Ἀλλὰ] Ἀλλὰ καὶ περὶ πάντων Edit. Lut. et Codd. Aug. et Vindob. Quod unice verum est. IDEM.

Τινὰ ἄδειαν] *Aliquam immunitatem*, i. e. magistratum aliquem, vel munus aliquod, ex quo veniat aliqua immunitas. AUGER.

Εν ἄλλαις] Istud ἐν ex Vindob. Baroc. Aug. Ital. et Edit. Parisina. Absorptum erat nempe in præcedenti μέν. TAYLOR.

Πάνθ' ὅσα] Vidit Wolfius, hæc similiter dici, ac si scripsisset, ἐν πᾶσιν, οἷς ἠδίκησεν, sed non vidit, saltem in Interpretatione non hoc significavit, quanta cum contentione et δεινότητι hæc dicerentur. Si ἠδίκησε χορηγὸν ὑμέτερον, si istud fecerit ἱερομηνίας οὔσης, si denique ἠδίκησε cum ὕβρει, si πάνθ', ὅσα ἠδίκησεν, ὑβρίσας φαίνεται. IDEM. Malim cum Aug. pr. et Bav. ἠδίκηκεν pro ἠδίκησεν. SPALDING.

καὶ τιμωρίας δίκαιός ἐστι τυγχάνειν· ἅμα γὰρ τῷ Δημοσθένει καὶ [1] χορηγὸς ὑβρίζετο. τοῦτο δ' ἐστὶ τῆς πόλεως ὄνομα. καίτοι ταύταις ταῖς ἡμέραις, αἷς οὐκ ἐῶσιν οἱ νόμοι. χρὴ δὲ, ὅταν μὲν [2] τιθῆσθε τοὺς νόμους, ὁποῖοί τινές εἰσι σκοπεῖν· ἐπειδὰν δὲ θῆσθε, φυλάττειν καὶ χρῆσθαι· καὶ γὰρ εὔορκα ταῦθ' ὑμῖν ἐστὶ, καὶ ἄλλως δίκαια. ἦν ὁ τῆς βλάβης ὑμῖν νόμος πάλαι, ἦν ὁ τῆς αἰκίας, ἦν ὁ τῆς ὕβρεως. εἰ τοίνυν ἀπέχρη τοὺς τοῖς Διονυσίοις τι ποιοῦντας τούτων κατὰ τούτους τοὺς νόμους δίκην διδόναι, οὐδὲν ἂν ὑμῖν προσέδει τοῦδε τοῦ νόμου. ἀλλ' οὐκ ἀπέχρη. σημεῖον δέ· ἔθεσθε ἱερὸν νόμον αὐτῷ τῷ θεῷ περὶ τῆς ἱερομηνίας· εἴ τις οὖν κἀκείνοις τοῖς προϋπάρχουσι νόμοις, καὶ τούτῳ τῷ μετ' ἐκείνους τεθέντι, καὶ πᾶσι τοῖς λοιποῖς ἔστ' ἔνοχος, ὁ τοιοῦτος πότερα μὴ δῷ διὰ τοῦτο δίκην, ἢ μείζω δοίη δικαίως; ἐγὼ μὲν οἶμαι μείζω.

ιά. Ἀπήγγειλε τοίνυν τίς μοι περιϊόντα αὐτὸν συλλέγειν καὶ πυνθάνεσθαι, τίσι πώποτε συμβέβηκεν ὑβρισθῆναι· καὶ λέγειν τούτους, καὶ διηγεῖσθαι πρὸς ὑμᾶς μέλλειν. οἷον, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν πρόεδρον, ὃν ποτέ φασιν ἐν ὑμῖν ὑπὸ Πολυζήλου πληγῆναι, καὶ τὸν θεσμοθέτην, ὃς ἔναγχος ἐπλήγη τὴν αὐλητρίδα ἀφαιρούμενος· καὶ τοιούτους τινάς· ὡς, ἐὰν πολλοὺς ἑτέρους πολλὰ καὶ δεινὰ πε- 526
πονθότας ἐπιδείξῃ, ἧττον ὑμᾶς ἐφ' οἷς ἐγὼ πέπονθα ὀργιουμένους. ἐμοὶ δ' αὖ τοὐναντίον, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖτε

[1] καὶ ὁ χορηγὸς T. R. [2] τίθησθε R.

Καίτοι ταύταις] Καὶ τὸ ταύταις Bar. Lind. Aug. Ital. καὶ τοιαύταις Bodl. Wolfius conjicit καὶ ἔτι ἐν ταύταις. Eruditissimus autem Marklandus καὶ ταῦτ' ἐν ταύταις ταῖς ἡμέραις. Vide §. κά. *fin. bis.* κβ'. *init.* et alibi sæpissime. Taylor. Variatur in hac vocula; facillima intellectu est Marklandi conjectura καὶ ταῦτ' ἐν — ; καίτοι an plane eodem sensu accipiam, dubito. Spalding.

Πάλαι] Post πάλαι addendum censet Lambinus ἦν ὁ τῶν βιαίων. Taylor.

Σημεῖον δὲ] Marg. Benenati, τεκμήριον δέ. ἀπόδειξις δέ. Quæ, quemadmodum scite observavit Wolfius, ut et complura alia, scholia potius esse, quam varias lectiones, dixeris. Idem.

Ἔθεσθε ἱερὸν νόμον] Post σημεῖον δέ· τεκμήριον δέ· et locutiones similes, sequi solet vox γάρ. σημεῖον δέ. ἔθεσθε γὰρ ἱερὸν νόμον. Sic §. μβ'. Markland. Vide de hac structura Morum ad Isocr. Paneg. p. 39. et Bachium ad Xenoph. Sympos. 4. 17. p. 183. ed. Zeunii, ubi etiam nostri loci ratio habetur. Spalding.

Ἱερομηνίας] Vid. D'Orville Charit. Aphrod. Lib. VI. cap. II. p. 515.

Δοίη] Miror hunc optativum carere τῷ ἄν. Spalding.

ιά. Θεσμοθέτην] Οἱ θεσμοθέται, τῶν τε ἄλλων ἐπεμελοῦντο, καὶ δὴ καὶ τῆς εὐκοσμίας· καὶ νύκτωρ περιϊόντες ἐσκόπουν, μή τινες ἁρπαγαὶ γίγνανται. τότε οὖν, εἴρξάν τινας νεωτέρους ἁρπάζοντας τὴν αὐλητρίδα, ἠβουλήθη ἀφελέσθαι. καὶ οὕτως ὑπ' αὐτῶν ἐπλήγη. Ulpian. Idem.

Ὀργιουμένους] Absoluti hi sunt accusativi, satis frequentes post ὡς, cum significi-

ποιεῖν ἂν εἰκότως, εἴπερ [1][ὑπὲρ] τοῦ κοινῇ βελτίστου δεῖ μέλειν ὑμῖν. τίς γὰρ οὐκ οἶδεν ὑμῶν, τοῦ μὲν πολλὰ [2]τὰ τοιαῦτα γίγνεσθαι τὸ μὴ κολάζεσθαι τοὺς ἐξαμαρτάνοντας αἴτιον ὄν, τοῦ δὲ μηδένα ὑβρίζειν [3]τὸ λοιπὸν, τὸ δίκην τὸν ἀεὶ ληφθέντα, ἣν προσήκει, διδόναι, μόνον αἴτιον ἂν γενόμενον; εἰ μὲν τοίνυν ἀποτρέψαι συμφέρει τοὺς ἄλλους, τοῦτον καὶ δι' ἐκεῖνα κολαστέον· καὶ μᾶλλόν γε, ὅσῳ περ ἂν ᾖ πλείω καὶ μείζω. εἰ δὲ [4]παροξῦναι, καὶ τοῦτον [5]καὶ τοὺς ἄλλους ἐατέον. ἔτι τοίνυν, οὐδ' ὁμοίαν οὖσαν τούτῳ, κἀκείνοις, συγγνώμην εὑρήσομεν. πρῶτον μὲν γὰρ ὁ τὸν θεσμοθέτην πατάξας, τρεῖς εἶχε προφάσεις, μέθην, ἔρωτα, ἄγνοιαν, διὰ τὸ σκότους καὶ νυκτὸς τὸ πρᾶγμα [6]γεγενῆσθαι. ἔπειθ' ὁ Πολύζηλος [7]ἐκεῖνος, ὀργῇ καὶ τρόπου προπετείᾳ, [8]φθάσας τὸν λογισμὸν, ἁμαρτὼν [9]ἔπαισεν. οὐ γὰρ

[1] ὑπὲρ T. [2] Deest articulus. T. R. [3] τολοιπὸν T. [4] παροξύναι T. R. [5] καὶ πάντας τοὺς ἄλλους ἐατ. R. καὶ πάντας ἐατ. T. [6] γενέσθαι T. [7] Deest ἐκεῖνος. T. [8] φθάσαι T. [9] ἔφησεν T.

cat *quasi*; alias non item. Sic apud Platonem in Gorgia. Vol. (Bip.) 4. 96. σκυτέας λέγων οὐδὲν παύῃ, ὡς περὶ τούτων ἡμῖν ὄντα τὸν λόγον. Isocr. Paneg. (ed. Mori) p. 30. ὥσπερ οὐ — τοὺς λόγους ὄντας. Noster adv. Phænippum ed. Reisk. 1041. ὥσπερ — ἀφαιροῦντας. Inter loca a Taylero in Indice Lysiæ allata, huc non pertinet Lys. p. 178. (Rsk.) 1. ἐλθόντας enim pendet ab ᾔδεσαν. Cetera sunt hujus tantum generis. Idem.

Ὑπὲρ] Reiskius τὸ ὑπὲρ uncis ut spurium recte videtur inclusisse. Sensus non postulat, et insuavem facit sonum. Idem. F. del. ὑπέρ. Auger.

Τίς γὰρ οὐκ οἶδεν ὑμῶν, τοῦ μὲν πολλὰ τοιαῦτα γίγνεσθαι, &c.] Attici per præteritum sæpe loquuntur de futuro, ut hoc loco etiam videre est. *Ne autem*, inquit, *in posterum quisquam hujusmodi petulantia uti ausit, quis non videt hoc præstaturum, si ut quisque convictus ac damnatus injuriarum fuerit, ita pœnam legitimam luerit.* De futuro enim loquens, participio præteriti temporis usus est. Latini sic quodammodo loqui videntur, cum per futurum subjunctivi efferunt quod dicunt, quod ipsum a præterito formatur. Exempla vide in Comment. Budæi. *Ex edit.* Hervag.

Εἰ δὲ παροξῦναι] S. δεῖ τοὺς ἄλλους. Wolf. Male hæc olim interpungebantur: εἰ δὲ παροξῦναι καὶ τοῦτον καὶ πάντας· ἐατέον. Atque adeo ab ipso Wolfio, qui tamen recte vertit. Plenius Bar. et Aug. καὶ τοῦτον καὶ πάντας τοὺς ἄλλους ἐατέον. Iidem deinde Codd. quorum alterum ex altero describi credibile est, pro γενέσθαι v. 12. γεγενῆσθαι, et statim, Πολύζηλος ἐκεῖνος. Porro circa hunc locum uterque Interpres fidem fefellit: ὅσῳπερ ἂν ᾖ πλείω καὶ μείζω. Nihil enim hic de Midia et *ejus* facinoribus. Sensus est apertus: *Si alios ab* hujusmodi facinoribus, *quæ iste allegat esse frequentia, deterreri expedit, ea de causa iste puniendus est, eoque magis,* quo *plura* ea *sint et atrociora*, cætera. Taylor.

Ὀργῇ καὶ τρόπου προπετείᾳ, φθάσαι τὸν λογισμὸν κ. τ. λ.] Ἁμαρτὼν ἔφησεν φθάσαι τὸν λογισμόν. Sicut paulo post, §. ιβ'. ἃ μὲν ἄν τις ἀφνω τὸν λογισμὸν φθάσας ἐξαχθῇ τι πεᾶξαι. utcunque ferri potest. Sed quid si legas: φθασάσῃ τὸν λογισμὸν, ἁμαρτεῖν ἔφησεν. Wolf. Immo quid si cum pluribus et præstantioribus Codd. ὀργῇ καὶ τρόπου προπετείᾳ φθάσας τὸν λογισμὸν, ἁμαρτὼν ἔπαισεν? Nempe Polyzelus φθάσας τὸν λογισμὸν, ut infra l. c. τὶς ἄφνω τὸν λογισμὸν φθάσας. φθάσας habent Reg. ε. Ital. ἔπαισεν Bodl. Ital. utrumque Ven. Bar. Aug. Simoni Fabricio, qui Augustanum Cod. contulit, magis placere video ἔπταισεν. Taylor. Non est, ut vertit H. Wolfius, "subitus animi impulsus" sed insita, innata, morum vehementia, *Heftigkeit des Characters* (*hastiness of temper or disposition*). Non est mera ταυτολογία τῆς ὀργῆς. Ceterum expressi lectionem Codd. quam certatim arripuerunt Taylorus et Reiskius,

ἐχθρός γε ὑπῆρχεν ὤν, οὐδ' ἐφ' ὕβρει τοῦτ' ἐποίησεν. ἀλλ' οὐ Μειδίᾳ τούτων οὐδέν ἐστιν εἰπεῖν. καὶ γὰρ ἐχθρὸς ἦν, καὶ μεθ' ἡμέραν, εἰδώς, ὕβριζε· καὶ οὐκ ἐπὶ τούτου μόνον, ἀλλ' ἐπὶ πάντων, φαίνεται προῃρημένος με ὑβρίζειν. Καὶ μήν, οὐδὲ τῶν πεπραγμένων ἐμοὶ καὶ τούτοις οὐδὲν ὅμοιον ὁρῶ. πρῶτον μὲν γὰρ ὁ θεσμοθέτης, οὐχ ὑπὲρ ὑμῶν, οὐδὲ τῶν νόμων φροντίσας, οὐδ' ἀγανακτήσας φανήσεται· ἀλλ' ἰδίᾳ πεισθεὶς, ὁπόσῳ δήποτε, ἀργυρίῳ, καθυφεὶς τὸν ἀγῶνα. ἔπειθ' ὁ πληγεὶς ἐκεῖνος ὑπὸ τοῦ Πολυζήλου, ταὐτὸ τοῦτο, ἰδίᾳ διαλυσάμενος, ἐρρῶσθαι πολλὰ τοῖς νόμοις εἰπὼν καὶ 527
ὑμῖν, οὐδ' εἰσήγαγε τὸν Πολύζηλον. εἰ μὲν τοίνυν ἐκείνων κατηγορεῖν βούλεταί τις ἐν τῷ παρόντι, δεῖ λέγειν ταῦτα. εἰ δ' ὑπὲρ ὧν ἐγὼ τούτου κατηγόρηκα, ἀπολογεῖσθαι, πάντα μᾶλλον, ἢ ταῦτα λεκτέον. πᾶν γὰρ τοὐναντίον ἐκείνοις, αὐτὸς μὲν οὔτε λαβὼν οὐδὲν, οὔτ' ἐπιχειρήσας λαβεῖν φανήσομαι, τὴν δ' ὑπὲρ τῶν νόμων καὶ τὴν ὑπὲρ τοῦ θεοῦ καὶ τὴν ὑπὲρ [1] ἡμῶν τιμωρίαν δικαίως φυλάξας, καὶ νῦν ἀποδεδωκὼς ὑμῖν.

ιβ'. Μὴ τοίνυν ἐᾶτε ταῦτ' αὐτὸν λέγειν, μηδ', ἂν βιάζηται, πείθεσθ' ὡς δίκαιόν τι λέγοντι. ἂν γὰρ ταῦθ' οὕτως ἐγνωσμένα ὑπάρχῃ παρ' ὑμῖν, οὐκ ἐνέσται αὐτῷ λόγος οὐδὲ εἷς. ποία γὰρ πρόφασις, τίς ἀνθρωπίνη καὶ μετρία σκῆψις φανεῖται τῶν πεπραγμένων αὐτῷ; ὀργὴ νὴ Δία. καὶ γὰρ τοῦτο τυχὸν λέξει. ἀλλ' ἃ μὲν ἄν τις ἄφνω τὸν

[1] ὑμᾶν T. R.

ἔπαισεν pro ἔφησεν. Habet illa, quod blandiatur. Sed si tueris, ut necesse est et faciunt illi, præstantem alteram lectionem φθάσας pro φθάσαι, quid facies τῷ ἁμαρτὼν in quo est mera repetitio τοῦ φθ. τ. λ.? Incidi in eandem H. Wolfio conjecturam, ut ἁμαρτεῖν legerem, inf. pro participio. Tum locum ita constituerim: φθάσας τὸν λογισμὸν ἁμαρτεῖν ἔφησεν. ἔφησε *contendit, affirmavit, causatus est*, rarius. Apud Platonem (Bip.) 10. 360. ἐφήσαμεν. SPALDING. L. φθάσας. deinde ἔπαισεν pro ἔφησεν. AUGER.

Ἔστιν εἰπεῖν] Cl. Marklando arridet ἔνεστιν, ut §. ιβ'. οὐκ ἐνέσται αὐτῷ λόγος. et δι' ὀργὴν γ' ἐνὶ φῆσαι πεποιηκέναι. TAYLOR.

Ταὐτὸ τοῦτο] Distingue post τοῦτο hoc modo: ταὐτὸ τοῦτο, ἰδίᾳ διαλυσάμενος, uti §. ι. med. καὶ πάλιν γε τὸν ἄρχοντα, ταὐτὸ τοῦτο, ἐὰν μὲν κ. τ. λ. ταὐτὸ τοῦτο, *eodem prorsus more*, subintellecto sc. κατὰ, non *de ea ipsa re*, ut Wolfius male vertit. MARKLAND.

Ἐκείνων] Αὐτὸν τὸν Μειδίαν πεποίηκε κατηγοροῦντα τοῦ πρέσβεος καὶ τοῦ θεσμοθέτου, ὅτι τοῖς ὑβρίσασιν οὐκ ἐπεξῆλθον. Ulpian. SPALDING.

Πᾶν γὰρ τοὐναντίον] Αὐτὸς μὲν γὰρ φανήσομαι πᾶν τοὐναντίον ἐκείνοις, (s. πεποιηκὼς) οὔτε λαβών. WOLF.

ιβ'. Λέγοντι] Λέξοντι, *dicturo*. MARKL.

Ἀλλ' ἃ μὲν ἄν τις ἄφνω τὸν λογισμὸν φθάσας ἐξαχθῇ τι πεῖξαι, κἂν ὑβριστικᾶς τοῦτο ποιήσῃ] Non sunt hæc sana. Nam aut delendum est τι, et scribendum ταῦτα, vel, quod magis arridet, et propius ad consuetam lectionem accedit, scribendum ἀλλὰ μὲν ἄν. JURIN.

λογισμὸν φθάσας [1] ἐξαχθῇ πρᾶξαι, κἂν ὑβριστικῶς τοῦτο ποιήσῃ, δι' ὀργήν γ' ἔνι φῆσαι πεποιηκέναι. ἃ δ' ἂν ἐκ πολλοῦ, συνεχῶς, ἐπὶ πολλὰς ἡμέρας, παρὰ τοὺς νόμους πράττων τις φωράται, οὐ μόνον δήπου [2] τοῦ [3] [μὴ] μετ' ὀργῆς [4] ἀπέχει, ἀλλὰ καὶ βεβουλευμένος ὁ τοιοῦτος ὑβρίζων ἐστὶν ἤδη φανερός. ἀλλὰ μὴν ὁπηνίκα καὶ πεποιηκώς, ἃ κατηγορῶ, καὶ ὕβρει πεποιηκώς, φαίνεται, τοὺς νόμους ἤδη δεῖ σκοπεῖν, ὦ ἄνδρες δικασταί. κατὰ γὰρ τούτους δικάσειν ὀμωμόκατε. καὶ θεωρεῖθ', ὅσῳ μείζονος ὀργῆς καὶ ζημίας ἀξιοῦσι τοὺς ἑκουσίᾳ, καὶ δι' ὕβριν, [5] τι πλημμελοῦντας, τῶν ἄλλως πως ἐξαμαρτανόντων. πρῶτον μὲν τοίνυν οἱ περὶ τῆς βλάβης οὗτοι νόμοι πάντες, ἵν' ἐκ τούτων ἄρξω-
528 μαι, ἂν μὲν ἑκών [6] τις βλάψῃ, διπλοῦν· ἂν δ' ἄκων, ἁπλοῦν τὸ βλάβος κελεύουσιν ἐκτίνειν. εἰκότως. ὁ μὲν γὰρ παθὼν παντάχοῦ βοηθείας δίκαιός ἐστι τυγχάνειν. τῷ δράσαντι δ' οὐκ ἴσην τὴν ὀργήν, ἄν θ' ἑκὼν ἄν τ' ἄκων, ἔταξεν ὁ νόμος. ἔπειθ' οἱ φονικοὶ, τοὺς μὲν ἐκ προνοίας ἀποκτιννύντας, θανάτῳ, καὶ ἀειφυγίᾳ, καὶ δημεύσει τῶν ὑπαρχόντων ζημιοῦσι, τοὺς δ' ἀκουσίως, [7] αἰδέσεως καὶ φιλανθρωπίας πολλῆς ἠξίωσαν.

[1] ἐξαχθῇ τι πρᾶξαι T. [2] [τοῦ] R. [3] Absunt unci. T. R. [4] [ἀπέχει] R. [5] Deest τι. T. [6] Deest τις. T. [7] ἀνέσεως T.

Ἐξαχθῇ] Cf. D'Orville Charit. Aphrod. Lib. V. cap. VIII. p. 481.

Οὐ μόνον δήπου κ. τ. λ.] Wolfius interpretatur, perinde ac si legisset, οὐ μόνον δήπου τοῦ μετ' ὀργῆς ἀπέχει, sine μή. Verum utrovis modo recte dicitur: quemadmodum et §. θ'. more Attico additur negativa, et §. μζ'. Ea autem, quæ modo præcedunt, Tu accuratius distinguas: ἃ δ' ἂν ἐκ πολλοῦ, συνεχῶς, ἐπὶ πολλὰς ἡμέρας, παρὰ τοὺς νόμους, etc. Hæc cum vocis contentione et membratim pronunciata, mirum quantam vim et gravitatem orationi concilient. TAYLOR. Turbatur hic locus τῷ μὴ quod παρέλκει. Proscribendi "τοῦ" et "ἀπέχει" audaciam Reiskianam, nullo præsertim Codice addicente, nolui imitari. Satis frequens locutio est apud Demosthenem ἀπέχειν τοῦ ποιεῖν vel πάσχειν τι, neque glossatorem sapit. Libentissime cum H. Wolfio abjicerim μὴ, quare uncis inclusi. Taylorus præter rem mihi videtur tueri μὴ ex Atticismo. Alia enim est ratio geminandi negationem, alia addendi eam ubi sensum turbat. Nulla hic diserta est negatio, sed dissimulatur verbo ἀπέχειν. Plena autem genitivi per τοῦ designati forma hæc foret: τοῦ μετ' ὀργῆς πεποιηκέναι. Illuc μὴ inferciri, nisi cum ruina sensus, non potest. Ceterum malim aut βεβουλευμένως legere, aut ὑβρίζειν. SPALDING.

Ὕβρει] MSS. nonnulli ὕβριν. Videtur ergo olim lectum fuisse, ut admonuit marg. Benen. δι' ὕβριν. TAYLOR.

Τοὺς δ' ἀκουσίως αἰδέσεως καὶ φιλανθρωπίας πολλῆς ἠξίωσαν] *Clementia dignos censuerunt.* Est enim αἴδεσις *venia et misericordia*, et *personæ periclitantis respectus et tuitio, ultionis animadversionisque remissio.* Lege autem licebat, cædis non voluntariæ crimen evadere, si is qui cædis reus erat, quendam ex consangineis precibus exorare potuisset, et ad clementiam adducere: cujusmodi exorata placabilitas αἴδεσις vocabatur. *Er edit.* HERVAG.

Αἰδέσεως] Οἷον ἀξιώσεως. εἰ γὰς δεηθείη

ιγ'. Οὐ μόνον δ' ἐπὶ τούτων τοῖς ἐκ προαιρέσεως ὑβρισταῖς χαλεπούς ὄντας ἰδεῖν ἐστὶ τοὺς νόμους, ἀλλὰ καὶ ἐφ' ἁπάντων. τί γὰρ δήποτ', ἄν τις ὄφλων δίκην μὴ ἐκτίσῃ, [1] οὐκέτ' ἐποίησεν ὁ νόμος τὴν ἐξούλης ἰδίαν, ἀλλὰ προστιμᾶν ἐπέταξε τῷ [2] δημοσίῳ; καὶ πάλιν, τί δήποτε, ἂν μὲν ἑκὼν παρ' ἑκόντος τις λάβῃ τάλαντον ἕν, ἢ δύο, ἢ καὶ δέκα, καὶ ταῦτ' ἀποστερήσῃ, οὐδὲν αὐτῷ πρὸς τὴν πόλιν [3] ἐστίν; ἂν δὲ μικροῦ πάνυ τιμήματος ἄξιόν τις λάβῃ, βίᾳ δὲ τοῦτο ἀφέληται, τὸ ἴσον τῷ δημοσίῳ προστιμᾶν οἱ νόμοι κελεύουσιν, [4] ὅσονπερ ἂν τῷ ἰδιώτῃ; διὰ τί; ὅτι πάνθ' ὅσα ἄν τις βιαζόμενος [5] πράττῃ, κοινὰ ἀδικήματα, καὶ κατὰ τῶν ἔξω τοῦ πράγματος ὄντων, ἡγεῖτο ὁ νομοθέτης. τὴν μὲν

[1] οὐκ T. [2] δημοσίῳ. T. [3] ἐστίν· T. [4] ὅσον περ τῷ ἰδιώτῃ. T. [5] πράττει T. R.

τινὸς τῶν συγγενῶν τοῦ ἀνῃρημένου· εἶτα (f. κἄτα) ἐκεῖνος ἐπιτρέπει· καταλύεται ὁ φόνον ἀκούσιον δράσας. Ulp. SPALDING.

ιγ'. Τοῖς ἐκ προαιρέσεως ὑβρισταῖς χαλεπούς ὄντας ἰδεῖν ἐστὶ τοὺς νόμους] Wolfius: *hominibus petulantibus et protervis leges iratus esse cernitur.* Potius: *homines deliberato injuriam facientes leges gravius punire cernitur.* JURIN.

Οὐκ ἐποίησεν] Οὐκ ἔτ' ἐποίησεν. Ita restitue cum MSS. quamplurimis, Bar. Vindob. Lind. Aug. Ital. marg. Benen. et σχ. TAYLOR.

Ἐξούλης] Ὄνομα δίκης ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξειργεσθαι τῶν ἰδίων, κατὰ τῶν ἐξειργόντων. δικάζονται δὲ ἐξούλης κἀπὶ τοῖς ἐπιτιμίοις (pœnæ a judice irrogatæ iis, qui causa cecidissent) οἱ μὴ ἀπολαμβάνοντες ἐν τῇ προσηκούσῃ προθεσμίᾳ (dies præstituta), ὑπερημέραν γιγνομένων τῶν δικασθέντων. οἱ δὲ ἁλόντες ἐξούλης, καὶ τῷ ἑλόντι ἐδίδοσαν ἃ ἀφῃροῦντο αὐτοῦ, καὶ τῷ δημοσίῳ κατετίθεσαν τὰ τιμηθέντα. Harpocration in h. v. SPALDING.

Ἀλλὰ προστιμᾶν ἐπέταξε τῷ δημοσίῳ] Wolfius: *sed ad crimina publica referri oportere statuit.* Potius vertendum: *sed insuper mulctam solvere ærario jusserit.* JURIN.

Τί γὰρ δήποτε, ἄν τις ὄφλων δίκην μὴ ἐκτίσῃ, οὐκ ἐποίησεν ὁ νόμος τὴν ἐξούλης ἰδίαν ἀλλὰ προστιμᾶν ἐπέταξε τῷ δημοσίῳ] Ad horum verborum intelligentiam scire oportet, quod pecuniæ damnato tempus rei judicatæ faciendæ præstituebatur, quo elapso, si judicatum non faciebat, is secundum quem judicatum fuerat, in possessionem bonorum damnati mittebatur. Qui si inde vi expelleretur, judicium jam non privatum, sed publicum esse incipiebat, hoc est, ἐξούλης δίκη, quæ actio erat pœnalis, contra vim inferentem, cumulabaturque judicium privatum judicio publico. Erat enim ἐξούλη sive ἐξούλης δίκη, interdictum unde vi, et judicium de vi, vel quasi vis publicæ judicium, non quod publicum per se crimen esset, sed quod mulcta in publicum committebatur: ut fit hodie, quum ex disceptationibus privatis enascitur actio procuratori regis, cujus damnatio et mulcta cedit in fiscum. ἐξούλη vero παρὰ τὸ ἐξείλλειν τῆς κτήσεως dicitur, quod est *possessione ejicere*, quo verbo πρὸς Πανταίνετον etiam utitur. [p. 976-7. ed. R.] Inde illud a Demosthene dictum hoc loco, τί γὰρ δήποτε ἄν τις ὄφλων δίκην μὴ ἐκτίσῃ, &c. *Quanam enim de causa si quis debitor est ob rem judicatam, et non solverit, lex judicium de vi non jam privatum esse voluit, sed in eum animadvertendum esse mulcta jussit in publicum cessura?* Et inferius sibi respondens, διὰ τί; ὅτι πάνθ' ὅσα τις βιαζόμενος πράττει, κοινὰ ἁμαρτήματα καὶ κατὰ τῶν ἔξω τοῦ πράγματος ὄντων ἡγεῖτο ὁ νομοθέτης, quoniam quæcunque quis violenter facit, communes ex eo injurias legislator esse censuit; adversusque eos perpetratas, ad quos res ipsa non pertinebat. Porro autem ὄφλων δίκην dicitur, *qui rei judicatæ debitor est*, qui si non solvebat intra terminum rei judicatæ, nec patiebatur bona sua possideri, tunc erat res ei etiam cum republica, non tantum cum creditore. Ut si quis hodie pignus prætorium vi auferat, de vi tenebitur. *Ex edit.* HERVAG.

Ἄξιόν τις] Non est nihili, quod suadet Reiskius, ut pro ἄξιόν τις legatur ἄξιόν τι. SPALDING.

Ὅσον περ] Vid. Var. Lect.

Τὴν μὲν γὰρ ἰσχὺν, ὀλίγαν, τοὺς δὲ νόμους,

γὰρ ἰσχὺν, ὀλίγων, τοὺς δὲ νόμους, ἁπάντων εἶναι, καὶ [1] τὸν πεισθέντα, ἰδίας, τὸν δὲ βιασθέντα, δημοσίας δεῖσθαι βοηθείας. διόπερ καὶ τῆς ὕβρεως αὐτῆς τὰς μὲν γραφὰς ἔδωκεν ἅπαντι τῷ βουλομένῳ, τὸ δὲ τίμημα ἐποίησεν ὅλον δημόσιον. τὴν γὰρ πόλιν ἡγεῖτο ἀδικεῖν, οὐχὶ τὸν παθόντα μόνον, τὸν ὑβρίζειν ἐπιχειροῦντα. καὶ δίκην ἱκανὴν
529 τὴν τιμωρίαν εἶναι τῷ παθόντι, χρήματα δ' οὐ προσήκειν τῶν τοιούτων ἐφ' ἑαυτῷ λαμβάνειν. Καὶ τοσαύτῃ γ' ἐχρήσατο ὑπερβολῇ, ὥστε, κἂν εἰς δοῦλον ὑβρίζῃ τις, ὁμοίως ἔδωκεν [2] τούτου γραφήν. οὐ γὰρ, ὅστις ὁ πάσχων, ᾤετο δεῖν σκοπεῖν· ἀλλὰ τὸ πρᾶγμα ὁποῖόν τι τὸ γιγνόμενον. ἐπειδὴ δὲ εὗρεν οὐκ ἐπιτήδειον, μήτε πρὸς δοῦλον, μήθ' ὅλως ἐξεῖναι πράττειν ἐπέταξεν.

ιδ'. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων οὐδὲν ὕβρεως ἀφορητότερον, οὐδ' ἐφ' ὅτῳ μᾶλλον ὑμῖν ὀργίζεσθαι προσήκει. ἀνάγνωθι δ' αὐτόν μοι λαβὼν τὸν τῆς ὕβρεως νόμον. οὐδὲν γὰρ, οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου.

[1] τὸν μὲν πεισθέντα T. R.

[2] ὑπὲρ τούτου T. R.

ἁπάντων εἶναι] Vertendum: *robur enim corporis, paucorum; leges vero universorum esse.* Jurin.

Καὶ τὸν μὲν πεισθέντα, ἰδίας· τὸν δὲ βιασθέντα, δημοσίας δεῖσθαι βοηθείας] Wolfius: *eum, qui transegerit, sibi: cui vis facta sit, reipublicæ velle satisfactum.* Reddendum potius: *et eum, cui per fraudem persuasum sit, sua ipsius; eum vero, cui vis facta sit, publica ope indigere.* Idem.

Δημοσίας δεῖσθαι βοηθείας] *Reip. velle satisfactum.* Perperam. Vertas cum Italo: *Colui, chi di sua volontà s' è accordato, di privato, e chi è flato forzato,* di publico ajuto ha di bisogno. Taylor.

Δημόσιον] Scrupulus, quem in hoc loco recte sentit, etsi non eximit item, Ulpianus, est in eo, quod hic ait Demosthenes lege fuisse τὸ τῆς ὕβρεως τίμημα ὅλον δημόσιον, cum supra §. δ'. dixerit, se τὴν τῶν ἰδίων δικῶν πλεονεξίαν ἀφεῖναι καὶ τοῦτον ἐλέσθαι τὸν ἀγῶνα, ἀφ' οὗ μηδέν ἐστι λῆμμα λαβεῖν. Aptissimum videtur, trahere illic τὰς ἰδίας δίκας, ἀφ' ὧν ἐστὶ λῆμμα λαβεῖν, ad solam *actionem damni*, quod perpessus erat Demosthenes in iis rebus, quas Midias, apud Pammenem inventas, absumserat per injuriam, non autem ad δίκην ὕβρεως, unde lucrum nullum perveniebat ad actorem. Spalding.

Τοιούτων] Ἕνεκα addit margo exempli Aldinæ, in Bibliotheca Regia Berolinensi. Malim ἀντί. Idem.

Ἐφ' ἑαυτῷ λαμβάνειν] *Injuriam vendere pecunia.* Nihil hic agitur de *transactionibus*, et *litibus cauponandis.* Nihil minus. Dicitur solummodo in causis τῆς ὕβρεως, τιμωρίαν fuisse privatam, *mulctam* ad *fiscum*, ad *publicum* redire, τὸ τίμημα ἐποίησεν ὅλον δημόσιον. Nihil lucri aut quæstus accedebat dolenti. Quantum intersit inter hunc sensum et interpretationem Wolfii! Taylor.

Καὶ τοσαύτῃ γ' ἐχρήσατο ὑπερβολῇ] Wolfius: *et rem usque adeo exaggeravit.* Potius: *et eo usque severitatis processit.* Jurin.

Ἐπέταξεν] Vix manum abstinui, quo minus in textu ponerem non paucorum Codd., interque hos Par. α. lectionem ἐπέτρεψεν, quæ magis hujus loci esse videtur. Obstitit quod antecedit ἐξεῖναι, in quo esse dicat aliquis, τὸ ἐπιτρέψαι. Fortasse manus Demosthenis fuit: μ. π. δ. μ. ὁ. πράττειν ἐπέτρεψεν, sine ἐξεῖναι. Spalding.

ιδ'. Οὐδὲν γὰρ, οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου] *Nihil enim vetat.* Siquidem οἷον etiam ἀντὶ τοῦ, κωλύον, τίθεται. Aristoph. ἀλλ' οὐδὲν οἷόν ἐστ' ἀκούειν τῶν ἐπῶν. potest tamen

ΝΟΜΟΣ.

Ἐάν τις ὑβρίσῃ [1] εἴς τινα, ἢ παῖδα, ἢ γυναῖκα, ἢ ἄνδρα, τῶν ἐλευθέρων, ἢ τῶν δούλων, ἢ παράνομόν τι ποιήσῃ εἰς τούτων τινὰ, γραφέσθω πρὸς τοὺς θεσμοθέτας ὁ βουλόμενος Ἀθηναίων, οἷς ἔξεστιν. οἱ δὲ θεσμοθέται εἰσαγόντων εἰς τὴν Ἡλιαίαν τριάκοντα ἡμερῶν, ἀφ' ἧς ἂν ἡ γραφὴ, ἐὰν μή τι δημόσιον κωλύῃ. εἰ δὲ μὴ, ὅταν ᾖ πρῶτον οἷόν τε. ὅτου δ' ἂν [2] καταγνῶτε ἡ Ἡλιαία, τιμάτω

[1] Deest εἰς. T. [2] καταγνωσθῇ T. καταγνῶτε, ἡ ἡλιαία τιμάτω R.

etiam significare *melius*, βέλτιον, *ut nihil melius quam verba legis audire*, &c. *Ex edit.* Hervag.

Οὐδὲν γὰρ] *Nihil est enim tale quale audire*, &c. i. e. nihil enim magis conducit, &c. Auger.

Τοῦ νόμου] Sic Plato Gorg. Vol. (Bip.) 4. p. 75. οὐδὲν οἷον τὸ αὐτὸν ἐρωτᾷν. Prorsus ut Galli: Il n'y a rien de tel. Consule Vigerum Zeun. p. 120. Spalding.

Ἀθηναίων] Quales sint inter Athenienses, quibus non liceat coram populo dicere, exponit Æschines contra Timarchum p. 21. ed. T. οἱ αἰσχρῶς βεβιωκότες. Idem.

Τριάκοντα] Ἔντος τριάκοντα ἡμερῶν, ut Wolfius interpretatur, Cod. Italicus. Taylor. Sensus certe ille est. Spalding.

Ἀφ' ἧς ἂν ἡ γραφή] Sub. ἀπενεχθῇ ἡ γένηται. εἰ δὲ μὴ, sub. τριάκοντα ἡμερῶν, ὅταν ᾖ πρῶτον οἷόν τε. Wolf. Nonnulli, qui hanc legem laudant, dubium, an casu, an consilio, ita legunt: τριάκοντα ἡμερῶν, ἀφ' ἧς ἂν γραφῇ. Eruditissimus Marklandus censet ante ἡ γραφὴ consimilem vocem elidi, ἀφ' ἧς ἂν ᾖ ἡ γραφή. Taylor.

Εἰ δὲ μὴ] Operæ pretium est hanc locutionem illustrare et rationem ejus reddere: eo magis, quod video, Wolfium, optimum fere Interpretem, et linguæ Græcæ bene gnarum, in ea lapsum fuisse. Sententia integra hæc est: Οἱ δὲ Θεσμοθέται εἰσαγόντων εἰς τὴν Ἡλιαίαν [ἐντὸς] τριάκοντα ἡμερῶν, ἀφ' ἧς ἂν [ᾖ] ἡ γραφὴ, εἰ μή τι δημόσιον κωλύῃ· εἰ δὲ μὴ, ὅταν ᾖ πρῶτον οἷόν τε. *Sexviri autem actionem danto intra dies triginta apud Heliæam ab eo die, quo res in judicium allata fuerit, nisi publicum aliquod impediat: tum vero, cum primum fieri poterit.* Wolfius vertit εἰ δὲ μὴ, *tum vero*: in annotationibus autem dicit: εἰ δὲ μὴ, *subintellige* τριάκοντα ἡμερῶν, hoc est, *si vero non* dent actionem intra triginta dies etc. Sed in hoc falsus est vir optimus. Hæc enim phrasis, εἰ δὲ μὴ, vel εἰ δὲ μή γε, vel εἰ μή γε, nunquam respicit remotiorem, sed semper proxime antecedentem, sententiam; ut in hoc loco, ubi non refertur ad τριάκοντα ἡμερῶν, sed ad ἐὰν μή τι δημόσιον κωλύῃ, et, licet Negativa sit, tamen vim habet *Affirmativam*: et significat, *si vero publicum aliquod negotium impediat.* Cujus significationis hæc est Ratio. Elliptica est, εἰ δὲ μὴ, et plena locutio foret: εἰ δὲ μὴ οὕτως ἔχει, *si vero res non ita se habet.* Jam vero connecte huic ea, quæ præcedunt: *Sexviri actionem danto intra* XXX. *dies, si publicum aliquod non impediat:* εἰ δὲ μὴ, *si vero res* NON *ita se habet, ut publicum aliquod* NON *impediat*, hoc est clare, *si vero publicum aliquod impediat.* Ut igitur εἰ δὲ μὴ *affirmet*, necesse est, ut *Negativa* sit sententia, quæ præcedit. Atque hæc est vis hujusce locutionis apud optimos Græcos Scriptores, a quibus defluxit ad Evangelistas. D. Marcus II. 22. οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μὴ, ῥήσσει ὁ οἶνος ὁ νέος τοὺς ἀσκοὺς etc. ubi iterum εἰ δὲ μὴ est, *si vero mittit vinum novum in veteres utres* etc. eadem, qua prius, resolutione. *Si vero res* NON *ita se habet, ut iste* NON *mittat*; hoc est, *si vero mittit.* Vide Matthæum IX. 17. et Lucam V. 36. qui habent εἰ δὲ μή γε, quod idem est. Quod si sententia, quam proxime sequuntur hæc verba, *Affirmativa* sit, tunc εἰ δὲ μὴ *Negativam* retinet et usitatam verborum significationem, *si vero non.* Cujus non opus est ut exempla proferam, quæ ubique occurrunt. Markland. Ita Xenoph. Anabas. l. IV. ed. Steph. p. 191. 14. τραχὺς ἦν ὁ ποταμὸς — καὶ οὕτω ἐν τῷ ὕδατι ἦν ἔχειν τὰ ὅπλα. εἰ δὲ μὴ, ἥρπαζεν ὁ ποταμός. *In schedis* Taylor.

Καταγνῶτε] Forte καταγνωσθῇ. Prior est κατάγνωσις, reum teneri objecto crimine; posterior, æstimatio mulctæ. Wolf. Καταγνῶτε est lectio Editt. omnium, et Codd. plurium. καταγνῶται Bar. pro varia lectione: καταγνῷ marg. Paris. καταγνῶτι, alii. Recte hic animadvertit Wolfius, agi de binis sententiis, quarum prior damnabat, altera pœnam adjudicabat. Atque ita intelligo locum in parili lege apud Æschinem c. Timarch. in qua de altera ὕβρεως specie, nempe ea, quæ *stuprum* designat, similiter cavetur. Has duas leges, quia in utraque περὶ ὕβρεως agitur, et eadem fere severitate verborum, eodem certe ritu et solennitate, Petitus in unam miscet, quem, quia Cl. Wesselingo satis pœnarum dedit, idcirco dimittam. Ibi legi-

περὶ αὐτοῦ παραχρῆμα, ὅτου ἂν δόξῃ ἄξιος εἶναι παθεῖν, ἢ [1]ἀποτῖσαι. ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας κατὰ τὸν νόμον, ἐάν τις μὴ ἐπεξέλθῃ, ἢ ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἀποτισάτω χιλίας δραχμὰς τῷ δημοσίῳ. ἐὰν δὲ ἀργυρίου τιμηθῇ τῆς ὕβρεως, δεδέσθω, ἐὰν ἐλεύθερον ὑβρίσῃ, μέχρις ἂν ἐκτίσῃ.

[1] ἀποτίσαι T. R.

tur: τίμημα ἐπιγραψάμενος, ᾧ ἂν τὸ δικαστήριον καταψηφισθῇ. Corrigunt alii οὐ ἂν, alii ὃ ἄν. Quibus prior correctio placet, locum præ manibus, prout a Wolfio emendatur, habere possunt vindicem; ὅτου δ' ἂν καταγνωσθῇ. Verum infeliciter semper causam egit Wolfius, quandocunque contra omnes Codd. et editos et MStos divinationem suam obtrudat. Lege et punge mecum: ὅτου δ' ἂν καταγνῷ τι ἡ Ἡλιαία, τιμάτω περὶ αὐτοῦ παραχρῆμα. *Quemcunque in aliqua causa condemnaverit Heliæa, statim* etc. Vel potius, ὅτου δ' ἂν καταγνῷ ἡ Ἡλιαία, cum marg. Benenati. Simile quiddam in proxima oratione, §. δ'. ὁ νόμος οὐκ ἐᾷ τὴν βουλὴν αἰτῆσαι τὴν δωρεὰν, ἐὰν μὴ ποιήσητε τὰς τριήρεις. Immo ποιήσῃ certe, nisi corrigendum, ut scribi fere video, ἐὰν μὴ ποιήσαιτο. Quæ scriptura mendo in Demosthenis Codd. locum fortasse dedit. TAYLOR. Hic recte hærent VV. DD. cum aliena sit sec. pers. plur. Parum tamen est præsidii a Codd. Optima ad sensum sane legendi ratio hæc foret: καταγνῷ ἡ Ἡλ., τιμ. κ. τ. λ. Operæ pretium erat afferre elegantem Taylori conjecturam pro καταγνῶτε legentis καταγνῷ τι. SPALDING. Lego et distinguo: ὅτου δ' ἂν καταγνῷ ἡ Ἡλιαία, τιμ. AUGER.

Ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας] Wolfius: *Qui vero privata judicia dictarint.* Potius: *qui vero lites privatas intenderint.* JURIN.

Γραφὰς ἰδίας] Opponuntur hic οἱ ὑβρισμένοι αὐτοὶ, qui ἰδίας γραφὰς γράφονται, τοῖς ἔξω τοῦ πράγματος οὖσι, quorum antea mentio erat. SPALDING. ἰδίας del. arbitror. AUGER.

Ἐὰν δὲ ἀργυρίου τιμηθῇ τῆς ὕβρεως] Sub. ἕνεκα ὁ φεύγων. Alias dicit τιμᾶται τῷ φεύγοντι. WOLF. γρ. τῷ δημοσίῳ, ἐὰν ἀργυρίου τιμηθῇ· τῆς δ' ὕβρεως, ἐὰν ἐλεύθερον κ. τ. λ. marg. Benenati. Locum ita ex ingenio refingere vult Lambinus: τῷ δημοσίῳ· ὁ δ' ὑβρίσας εἴτ' εἰς ἐλεύθερον, εἴτ' εἰς δοῦλον, ἐὰν μὲν θανάτου τιμηθῇ, αὐθήμερον τεθνάτω, ἐὰν δ' ἀργυρίου, δεδέσθω, μέχρις ἂν ἐκτίσῃ. Ἀκούετε etc. Concinnius multo, sine ulla cautione de ultimo supplicio, cujusmodi vocum nec vola nec vestigium superesse videtur in Codd., mecum reformabis: τῷ δημοσίῳ. ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεδέσθω, μέχρις ἂν ἐκτίσῃ. Totam ergo Legem ita ordino: ΝΟΜΟΣ. Ἐάν τις ὑβρίζῃ τινὰ, ἢ παῖδα, ἢ γυναῖκα, ἢ ἄνδρα τῶν ἐλευθέρων, ἢ τῶν δούλων, ἢ παράνομόν τι ποιήσῃ εἰς τούτων τινὰ, γραφέσθω πρὸς τοὺς Θεσμοθέτας ὁ βουλόμενος Ἀθηναίων, οἷς ἔξεστιν. Οἱ δὲ Θεσμοθέται εἰσαγόντων εἰς τὴν Ἡλιαίαν [ἐντὸς] τριάκοντα ἡμερῶν, ἀφ' ἧς ἂν [ᾖ] ἡ γραφὴ, ἐὰν μή τι δημόσιον κωλύῃ, εἰ δὲ μὴ, ὅταν ᾖ πρῶτον οἷόν τε. Ὅτου δ' ἂν καταγνῷ ἡ Ἡλιαία, τιμάτω περὶ αὐτοῦ παραχρῆμα, ὅτου ἂν δόξῃ ἄξιος εἶναι παθεῖν, ἢ ἀποτῖσαι. (Ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας κατὰ τὸν νόμον [τοῦτον,] ἐάν τις μὴ ἐπεξελθῇ, ἢ ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἀποτισάτω χιλίας δραχμὰς τῷ δημοσίῳ) ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεδέσθω, μέχρις ἂν ἐκτίσῃ. Ita vero interpretor: LEX DE CONTUMELIIS. *Quicunque contumeliose tractaverit liberum vel servum, liberam servamve, publice de eo cognoscitor. Si damnas fuerit, secundis sententiis statuito, quid luendum* [corpore], *aut solvendum* [ære] *fuerit.* Actionem ὕβρεως publicam esse voluit sapientissimus Legislator, ut in hac oratione pluribus contendit Orator noster: πάνθ', ὅσα τις βιαζόμενος πράττει, κοινὰ ἀδικήματα, καὶ κατὰ τῶν ἔξω τοῦ πράγματος ὄντων ἡγεῖτο ὁ νομοθέτης — τὸν βιασθέντα δημοσίας δεῖσθαι βοηθείας, διόπερ τὰς γραφὰς ἔδωκεν ἅπαντι τῷ βουλομένῳ. [§. ιγ'.] Γραφέσθω, ait Lex, ὁ βουλόμενος Ἀθηναίων οἷς ἔξεστιν. Eam enim esse formulam, sive solennitatem *publicæ* actionis erudite ostendit Salmasius ὁ μέγας Observat. ad Jus Attic. et Rom. C. 7. p. 231. *Hæc quippe nota est*, inquit ille, *publici judicii, cum volenti cuilibet licet reum facere illum, a quo non læsus est, si modo alterum læserit* etc. Idcirco autem publice datur accusatio, saltem omnibus, quibus causæ dictio est, (ὁ βουλόμενος eorum, οἷς ἔξεστιν) quoniam par est, existimare, crimen ad omnes pertingere, Remque publicam, non eum solummodo, qui contumeliam perpessus sit, in eo lædi. Ut recte Ulpianus: εἰ πᾶσιν ἔξεστι κατηγορεῖν τοῦ ἀδικοῦντος, πρόδηλον, ὅτι κοινὸν ἁπάντων ἔγκλημα καὶ δημόσιον ἀδίκημα. Interea tamen si ille ipse, cui facta sit injuria, eam persequi velit, pergit Lex, sive potius divertitur, modumque agendi circa eam rem quasi *interlocutorie* definit:

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ νόμου τῆς φιλανθρωπίας, ὃς οὐδὲ τοὺς δούλους ὑβρίζεσθαι ἀξιοῖ. τί οὖν πρὸς [1] θεῶν; εἴ τις εἰς τοὺς βαρβάρους ἐνεγκὼν τὸν νόμον τοῦτον, παρ' ὧν τὰ ἀνδράποδα εἰς τοὺς Ἕλληνας κομίζεται, ἐπαινῶν ὑμᾶς, καὶ διεξιὼν περὶ τῆς πόλεως, εἴποι πρὸς αὐτούς· ὅτι εἰσί τινες, Ἕλληνες ἄνθρωποι, οὕτως ἥμεροι καὶ φιλάνθρωποι τοὺς τρόπους, ὥστε πολλὰ ὑφ' ὑμῶν ἠδικημένοι, καὶ φύσει τῆς πρὸς ὑμᾶς ἔχθρας αὐτοῖς ὑπαρχούσης πατρικῆς, ὅμως οὐδ' ὅσων ἂν τιμὴν καταθέντες δούλους κτήσωνται, οὐδὲ τούτους ὑβρίζειν ἀξιοῦσιν, ἀλλὰ νόμον δημοσίᾳ τὸν ταῦτα κωλύσοντα τέθεινται τουτονί, καὶ πολλοὺς ἤδη πα- 530

[1] θεῶν, T.

Si privatus quispiam injuriam sibi factam conquestus fuerit juxta legem hanc, eamque aut non persecutus fuerit, aut persecutus quintam suffragiorum partem non tulerit, is mille drachmis damnas esto. Potuit nempe de contumeliis et *publice* agi, ubi scil. accusabant Reip. gratia οἱ ἔξω τοῦ πράγματος; potuit etiam *private*, ubi causam egerit ille, qui indoluit. Et in hac fortasse parte cessabant omnes illæ *publici judicii* solennitates, ea privilegia, quæ Reip. causa dabantur: δίκη ἰδία instituebatur, verum de publico crimine, atque tum demum ærario solvebat Actor, si quintam suffragiorum partem non tulerit. Civitas igitur ad *publicas* actiones de vi et injuriis hortabatur, ad *privatas* non item, nam ibi Actori et pœna mille drachmarum, si quintæ parti Judicum non persuaserit, atque etiam ἀτιμίας, sive Capitis diminutionis, si verum sit, quod habet Ulpianus, erat proposita, ὁ μὴ ἐλέγξας ἐν τοῖς δικαστηρίοις ἀτιμοῦται. Lex ergo, cum modum statuisset inter *publicam* et *privatam* contumeliarum actionem, *redit*, unde divertebatur, nempe ad illud, quod luere aut solvere deberet, qui judicio teneretur; *Si ære*, inquit, *æstimabitur*, ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεδέσθω, μέχρις ἂν ἐκτίσῃ. Addidit nimirum aliquis τῆς ὕβρεως, deinde alius ἐὰν ἐλεύθερον ὑβρίσῃ, ad oras Exemplarium, utrumque scil. ut admoneatur lector, hoc ultimum comma non spectare ad mille drachmas, quibus teneri potuit Actor privatus, licet id tamen proxime antecessit, sed ad mulctam ὕβρεως causa, ad judicium Heliastarum, ad sententiam, si quis ὑβρίσῃ. Deletis igitur otiosis iis vocabulis, restat communis Atticarum legum formula, ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεδέσθω, μέχρις ἂν ἐκτίσῃ. Ita Demosth. c. Timocrat. ἐὰν δὲ ἁλῷ, τιμάτω ἡ Ἡλιαία, ὅ, τι χρὴ παθεῖν αὐτὸν, ἢ ἀποτίσαι· ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεδέσθω τέως, ἕως ἂν ἐκτίσῃ. p. 733. 14. ed. Reisk. et rursus: ἐὰν δ' ἁλῷ, τιμάτω ἡ Ἡλιαία περὶ αὐτοῦ, ὅ, τι ἂν δοκῇ ἄξιος εἶναι παθεῖν, ἢ ἀποτίσαι· ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεδέσθω τέως, ἕως ἂν ἐκτίσῃ, ὅ τι ἂν αὐτοῦ καταγνωσθῇ. pag. 720. pen. ed. R. Tayl. Non præter rem Lambinus hic desiderabat μὲν ante δὲ, quare conjecit, audacius sane, nixus tamen simili lege apud Æsch. in Tim. l. c. p. 42. ὁ δ' ὑβρίσας, εἴτ' εἰς ἐλεύθερον εἴτ' εἰς δοῦλον, ἐὰν μὲν θανάτου τιμηθῇ, αὐθημερὸν τεθνάτω· ἐὰν δὲ κ. τ. λ. Taylorus, quo jure, omissa supplicii mentione "*concinniorem*" dicat fore lectionem, equidem non video. Consentit tamen in eo cum Lambino, quod ejicit "τῆς ὕβρεως" et "ἐὰν ἐλ. ὑβρ." quorum utrumque parum ἀκριβῶς defendere mihi videtur Reiskius. Ceterum plus profecto, quam in ipsa oratoris verba, Criticis licet in hujusmodi legum formulas, quæ fortasse nunquam ab ipsis auctoribus adscribebantur, (ut in Cicerone non apparent) quare etiam a Codd. abesse solent, ut ab Augustano pr. etiam hæc. Neque ejus rationem habet Ulpianus. cf. F. A. Wolfius in Leptineam §. ἡ. med. Spalding.

Ὅσων] Pro πάντας τούτους, ὧν τιμ. κ. τ. λ. Idem.

Οὐδὲ τούτους ὑβρίζειν ἀξιοῦσιν] Ἀθηναῖοι καὶ τῆς τῶν δούλων προνοοῦντες τύχης ἐνομοθέτησαν καὶ ὑπὲρ δούλων γραφὰς ὕβρεως εἶναι. Ὑπερείδης γοῦν ὁ ῥήτωρ ἐν τῷ κατὰ Μαντιθέου Αἰκίας, φησὶ, ἔθεσαν οὐ μόνον ὑπὲρ τῶν ἐλευθέρων, ἀλλὰ καὶ ἐάν τις εἰς δούλου σῶμα ὑβρίσῃ, γραφὰς εἶναι κατὰ τοῦ ὑβρίσαντος. τὰ ὅμοια εἴρηκε καὶ Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος πρώτῳ, καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. Athen. l. VI. p. m. 134. Taylor.

ραβάντας τὸν νόμον τοῦτον ἐζημιώκασι θανάτῳ. εἰ ταῦτ' ἀκούσαιεν καὶ συνεῖεν οἱ βάρβαροι, οὐκ ἂν οἴεσθε δημοσίᾳ πάντας [1]ἡμᾶς προξένους αὐτῶν ποιήσασθαι; τὸν τοίνυν οὐ παρὰ τοῖς Ἕλλησι μόνον εὐδοκιμοῦντα νόμον, ἀλλὰ καὶ παρὰ τοῖς βαρβάροις εὖ δόξαντ' ἂν ἔχειν, σκοπεῖσθ' ὁ παραβὰς, ἥντινα δοὺς δίκην, ἀξίαν ἔσται δεδωκώς.

ιέ. Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ χορηγὸς ὢν ταῦτ' ἐπεπόνθειν ὑπὸ Μειδίου, ὕβριν ἄν τις κατέγνω μόνον τῶν πεπραγμένων αὐτῷ. νῦν δέ μοι δοκεῖ, κἂν, ἀσέβειαν εἰ [2]καταγιγνώσκοι [3]τις, τὰ προσήκοντα ποιεῖν. ἴστε γὰρ δήπου τοῦθ' ὅτι τοὺς χοροὺς ὑμεῖς ἅπαντας τούτους καὶ ὕμνους τῷ θεῷ ποιεῖσθε, οὐ μόνον κατὰ τοὺς νόμους τοὺς περὶ τῶν Διονυσίων, ἀλλὰ καὶ κατὰ τὰς μαντείας, ἐν αἷς ἁπάσαις ἀνῃρημένον εὑρήσετε τῇ πόλει, ὁμοίως ἐκ Δελφῶν καὶ ἐκ Δωδώνης, χοροὺς ἱστάναι κατὰ τὰ πάτρια, καὶ κνισσᾶν ἀγυιὰς, καὶ στεφανηφορεῖν. ἀνάγνωθι δέ μοι λαβὼν αὐτὰς τὰς μαντείας.

[1] ὑμᾶς T. [2] καταγινώσκοι T. R. [3] [τις] R.

Ἂν οἴεσθε] Nolint tirones referre hoc ἂν ad proximum οἴεσθε, sed ad remotius ποιήσασθαι. SPALDING.

Ὁ τοίνυν οὐ παρὰ τὸ τοῖς Ἕλλησι] Lego: ὁ τοίνυν οὐ παρὰ τὸν παρὰ τοῖς Ἕλλησι μόνον — ἀλλὰ καὶ τοῖς Βαρβάροις εὖ δόξαντ' ἂν ἔχειν etc. WOLF. Scripturam haud paulo præstantiorem ex Editt. et MSS. expressimus. TAYLOR.

Ἂν ἔχειν] Iterum caveant tirones ab ἂν perperam jungendo. Pertinet ad participium. SPALDING.

Καταγιγνώσκοι] Optativum cum Reiskio ex Aug. pr. recepi pro καταγιγνώσκει, necessarium ob ἂν, in κἂν, pertinens ad ποιεῖν. Ceterum non operæ pretium erat cum eodem uncos ponere ad τις, quod, etsi supervacaneum, sensum non turbat et est in omnibus Codd. [excepto] Aug. pr. IDEM.

Κνισσᾶν] Τιμᾶν Cod. Reg. ε. quod displicet nostro Wolfio, ut decebat. Ille tamen conjicit, aliquando legi potuisse pro τιμᾶν, θυμιᾶν, ut esset Scholion. Hoc quidem eleganter. Cæterum de phrasi hac κνισσᾶν ἀγυιὰς, consulas Hellad. Besantin. apud Phot. Biblioth. cui adjungas hæc Aristophanis:

Ἐγώ; πρὸς ἀνθρώπους πέτομαι παρὰ τοῦ πατρὸς,
Φράσουσα θύειν τοῖς Ὀλυμπίοις θεοῖς,
Μηλοσφαγεῖν τε βουθύτοις ἐπ' ἐσχάραις,
Κνισσᾶν τ' ἀγυιάς. Aves, 1230.

Ὦ ταῖς ἱεραῖς νήσοις ἐπίκουρε, καὶ φέγγος ἐν Ἀθήναις,
Τίν' ἔχων φήμην ἀγαθὴν ἥκεις, ἐφ' ὅτῳ κνισσῶμεν ἀγυιάς; Equit. 1316.

Pluribus contendit Harpocratio legendum esse apud Demosthenem, non ἀγυιὰς cum gravi, sed circumflexe, ἀγυιᾶς, ut sit pro ἀγυιέας, a recto ἀγυιεὺς, κνισσᾶν non *vicos* et *compita*, sed *statuas* compitalitias ante fores positas. Hominem vide. Cujus tamen crisin refellere videtur Oraculum a Demosthene allegatum in Orat. c. Macartatum, iisdem fere verbis conceptum, quibus illud, in quo expoliendo jam exercemur: Καὶ ἀποπέμπειν Ἀμφικτυόνεσσι περὶ τύχας ἀγαθᾶς, Ἀπόλλωνι Ἀγυιεῖ, Λητοῖ, Ἀρτέμιδι, καὶ τὰς ἀγυιὰς κνισσῆν, καὶ κρατῆρας ἱστάμεν etc. p. 1072. 20. ed. Reisk. Et clarissime refellit epitheton εὐευχόρους in hoc Oraculo. quales enim (Dii boni!) sunt *statuæ*, in quibus *lati chori duci possunt?* TAYLOR. Non confecta res est de scriptura hujus vocabuli, inter veteres ipsos controversa, utrum ultima sit acuenda (ab ἀγυιὰ, vicus) an circumflectenda (ab ἀγυιεὺς, ara ante

ΜΑΝΤΕΙΑΙ. 531

Αὐδῶ [1] Ἐρεχθείδαισιν, ὅσοι Πανδίονος ἄστυ
Ναίετε, καὶ πατρίοισι νόμοις ἰθύνεθ' ἑορτὰς,
Μεμνῆσθαι Βάκχοιο, καὶ εὐρυχόρους κατ' ἀγυιὰς
Ἱστάναι ὡραίων Βρομίῳ χάριν ἄμμιγα πάντας,
Καὶ κνισσᾷν βωμοῖσι, κάρη στεφάνοις πυκάσαντας.

Περὶ ὑγιείας θύειν καὶ εὔχεσθαι Διὶ ὑπάτῳ, [2] Ἡρακλεῖ, Ἀπόλλωνι προστατηρίῳ· περὶ τύχας ἀγαθᾶς, Ἀπόλλωνι ἀγυιεῖ, Λατοῖ,

[1] Ἐρεχθείδεσσιν T. R.

[2] καὶ Ἡρακλεῖ T.

fores). Harpocration et Suidas posterius suadent, quod etiam probabilius fit, si reputes τὴν ἀγυιέα non esse *statuam* Apollinis, ut intelligit Taylorus, sed *aram*. V. Hesych. in h. v. et Schol. Eur. Phœn. 634. itemque Suid. Adstipulatur locus Eurip. Alc. 1159. βωμούς τε κνισσᾷν, et ipsum oraculum nostrum κνισσᾷν (ἐν) βωμοῖσι. Nisi obstaret itaque magni Hemsterhusii auctoritas (ad Luc. Prometh. Vol. (Bip.) 1. p. 472.) et locus Demosth. adv. Macart. ubi est τὰς ἀγ. et hic et ubique apud scriptores in hac formula circumflecterem ultimam. Quicquid est de hac re, in oraculo ipso, κατ' ἀγυιὰς, de *vicis* intelligendum est. Spalding.

Κνισσᾷν] *Sacrificiorum odore perfundere.* Auger.

Ἐρεχθείδαισιν] Confidenter contra omnes Editiones atque Codd. adeo, quantum quidem de iis constat, scripsi, cum solis Parisino α. et correctore Lessingiano, ἐρεχθείδαισιν pro ἐξεχθείδεσσιν, cujusmodi errores esse ex prava recentiorum pronunciatione docet summus Valckenaerius ad Theocr. 16. 36. cf. etiam Brunckius ad Ap. Rhod. 3. 578. et ipse Reiskius ad προσαναιρῦσι p. 47. v. 1. ait Græcos librarios ε et αι promiscue habere. Argutiæ sunt illæ, quæcunque disputantur a Scholiaste Theocriti ad 1. 92. Accusativum plur. pr. decl. corripi, tanquam tertiæ, Dorice (βοῦτας pro βούτας), novimus omnes; sed, nominativum quoque et ceteros casus Doricam pr. declinationem communes habere cum tert., unus hic Scholiastes narrat. Spalding.

Εὐρυχώρους] Editt. Felic. Manut. et Cod. Reg. α. εὐρυχόρους. Atque ita omnino rescribe, *sive* vocem hanc non pro *spatioso* acceperis, sed pro *loco choreis apto*, ut vel hic sumi possit: *sive* cum Poetis ω magnum in parvum licenter mutaveris: *sive* denique, quæ aliorum est sententia, verum maxime improbabilis, χορὸς in hac compositione vim et notionem τοῦ χῶρος inducerit. Homerus certe semper εὐρύχορος. Vid. Iliad. B. 498. I. 474. Ψ. 299. Odyss. Δ. 635. Z. 4. Λ. 255. N. 414. O. 1. Ω. 467. [Pausan. Phocic. p. 614. Lucian. T. 1. Not. p. 54. Priscian. col. 554. Salmas. ad Inscr. Herodis et Regiliæ. Diodor. Vol. I. p. 430. ed. Wessel. Athen. L. XII. p. 536. Callimach. Hymno in Cererem et fragm. Φιλίππου Μεγαρέως εἰς τοὺς ἀναιρεθέντας ὑπὸ Περσῶν Θεσπιεῖς. Ἄνδρες θ' οἳ ποτ' ἔναιον ὑπὸ κροτάφοις Ἑλικῶνος, Δόματι τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος. Apollon. Rhod. IV. 48. ἄστεος εὐρυχόροιο. Hoelzlin. ad Ap. Rh. II. 906. Dorville ad Chariton. seu potius Manethon. p. notar. 768. Taylor *in schedis*.] Ita apud Diod. Sic. l. XI. Οἱ δ' Ἕλληνες ἐκ τῶν λαφύρων δεκάτην ἐξελόμενοι κατεσκεύασαν χρυσοῦν τρίποδα, καὶ ἀνέθηκαν εἰς Δελφοὺς, ἐπιγράψαντες ἐλεγεῖον τόδε·

Ἑλλάδος εὐρυχόρου Σωτῆρες τόνδ' ἀνέθηκαν,
Δουλοσύνης στυγερᾶς ῥυσάμενοι πόλιας.

Ita Oraculum apud Herodot. VII. 220.

Ὑμῖν δ', ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο.

Corrige ergo Poetam apud Plutarch. in Theseo fin.

τὸν ἐν εὐρυχώρῳ ποτ' Ἀφίδνῃ
Μαρνάμενον Θησεὺς Ἑλένης ἕνεκ' ἠϋκόμοιο
Κτεῖνεν.

et Inscriptionem poculi, quod dicavit Pausanias Lacedæmonius, et memorat Heracleotes apud Athenæum:

Μνᾶμ' ἀρετῆς ἀνέθηκε Ποσειδάωνι ἄνακτι
Παυσανίας ἄρχων Ἑλλάδος εὐρυχώρου
Πόντου ἐπ' Εὐξείνου, Λακεδαιμόνιος γένος, υἱὸς
Κλεομβρότου, ἀρχαίας Ἡρακλέους γενεᾶς.
Taylor.

Καὶ Ἡρακλεῖ] Vel dele καὶ ante Ἡρακλεῖ cum Reg. α. vel substitue istam particulam ante Ἀπόλλωνι cum Ital. Idem.

Προστατηρίῳ] Προστατήριος· τὸν Ἀπόλλωνα οὕτω λέγουσι, παρόσον πρὸ τῶν θυρῶν αὐτὸν ἀφιδρύοντο. Hesychius. Spalding.

Ἀρτέμιδι, καὶ κατ' ἀγνιὰς κρατῆρας ἱστάμεν καὶ χοροὺς, καὶ στεφανηφορεῖν, κατὰ τὰ πάτρια, θεοῖς ὀλυμπίοις πάντεσσι καὶ πάσαις, [1]ἰδίας δεξιὰς καὶ ἀριστερὰς ἀνίσχοντες, καὶ μνασιδωρεῖν.

[2] ΕΚ ΔΩΔΩΝΗΣ ΜΑΝΤΕΙΑΙ.

Τῷ δήμῳ τῶν Ἀθηναίων ὁ τοῦ Διὸς σημαίνει. ὅτι τὰς ὥρας παρηνέγκατε [3] τῆς θεωρίας, [4] αἱρετοὺς πέμπειν [5] [κελεύει] θεωροὺς ἕνεκα τούτου, τοὺς δὲ ἀπάγειν τῷ [6] Διὶ τῷ ἐν Τομάρῳ τρεῖς βοῦς, καὶ πρὸς ἑκάστῳ [7] δύο ὄϊς. τῇ δὲ Διώνῃ βοῦν καὶ ἄλλα ἱερεῖα, καὶ

[1] ὁσίας δ. κ. ἀ. ἀνίσχοντας T.
[2] ΕΤΕΡΑ. ΕΚ Δ. T. ['Ετέρα.] 'Εκ Δ. R.
[3] τῆς θυσίας καὶ τῆς θεωρίας T. R.
[4] αἱρετοὺς δὲ πέμπειν T.
[5] κελεύει θεωροὺς ἐνέα καὶ τούτους διὰ ταχέων τῷ Διὶ T. R.
[6] Διὶ τῷ Δωδωναίῳ ἀροτρεῖς βοῦς T. Διὶ [τῷ δωδωνείῳ] ἀροτρεῖς βοῦς R.
[7] δύο βοήσεις. T. R.

'ἰδίας] F. ὁσίας. Quis enim *alienas* manus porrexerit? et ἀνίσχοντας, refertur enim ad Infinitivum.

Casta decent Superos: pura cum veste venite,
Et manibus puris sumite fontis aquam.
WOLF.

'ἰδίας] Habent MSti, credo, et editi omnes libri. Ego textum corrigo ad mentem Wolfii, tam ὁσίας, quam ἀνίσχοντας, (vulgo enim legitur ἀνίσχοντες) cui postremæ lectioni favent quodammodo marg. Par. et Ital. Abest certe tam ἰδίας, quam ὁσίας, ab Oraculo altero in Orat. c. Macart. p. 1072. 21. ed. Reisk. στεφανηφορεῖν κατὰ πάτρια θεοῖς Ὀλυμπίοις καὶ Ὀλυμπίαις, πάντεσσι καὶ πάσαις, δεξιὰς καὶ ἀριστερὰς ἀνίσχοντας μνασιδωρεῖν. TAYLOR. Videtur Formula fuisse in Sacris Gentilium: ὁσίας χεῖρας (vel δεξιὰς καὶ ἀριστερὰς) ἀνίσχειν. Et huic forte alludit, et simul lectionem ὁσίας confirmat S. Paulus 1 Tim. II. 8. Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. MARKLAND. Proscribere hanc vocem, quæ, alienissima profecto, abest ab oratione adv. Macartatum (Rsk. Dem. p. 1072.) promtissima videtur hujus loci medicina; quod si facere religio est, cum H. Wolfio legamus, ὁσίας. Lenior etiam mutatio proponitur a Buttmanno ἰθείας pro ἰδίας (Hesych. ἰθεῖα· ὀρθή.) modo exempla hujus formulæ supperterent. Ceterum ἀνίσχοντες, sollicitare legendo ἀνίσχοντας, nihil attinet, quo subaudiendum esse μέμνησθε, recte monet Reiskius. Est tritissima imperandi forma, ut in oraculo: μὴ κινεῖν Καμάριναν κ. τ. λ. Alia ratio est adv. Macartat. ubi antecedit συμφέρει. SPALDING.

ΔΩΔΩΝΗΣ] Vide ad fin. hujus Orationis de hisce duobus oraculis Dodoneis.

'Ο τοῦ Διὸς] 'Ο Ἀπόλλων. WOLF. Subaudi ἱερεύς. AUGER.

Τῆς θυσίας] F. τῆς θυσίας καὶ τῆς θεωρίας. αἱρετοὺς δὲ πέμπειν. WOLF. Hanc interpunctionem Wolfius de ingenio suo procudit. Lectum olim et scriptum τῆς θυσίας. καὶ τῆς θεωρίας αἱρετοὺς πέμπειν sine δέ. TAYLOR. Cf. Valckenaer. Animadvers. ad Ammon. Lib. II. cap. 3. p. 93.

Καὶ τούτους διὰ τ. τ. Δ.] F. θύειν τῷ Διὶ τῷ Δωδωναίῳ ἐνέα ἀροτρεῖς βοῦς. Et, pro δύο βοήσεις, v. ult. f. δύω βοίσσας, ἢ βοίδας, unde βοίδιον et κατὰ συναίρεσιν, βοίδιον τρισυλλάβως, ut notat Ulpianus. WOLF. Non inconcinne Vir doctissimus transduxit istud ἐνέα ad βοῦς, non ad θεωρούς. Certe abest a nonnullis Codd. et vehementer etiam displicuit Viro solerti, qui Italicum Cod. contulit: legit enim ille pro ἐνέα, ἕνεκα, puta, θεωρίας ἕνεκα, et proxime juxta Wolfii suspicionem, queritur, omissam fuisse a Scriba post ταχέων vocem θύσοντας. Porro, in Aldino exemplari deerat Δωδωναίῳ, quod cætera rite supplent. Minus feliciter Bodl. Κτησίῳ ἢ Νεμείῳ. Deinde, admonemur ab Italico annotatore, quosdam, quos non memorat, opinari legendum οἷς pro βοήσεις, quod quo modo fieri potuit, parum perspicit, divinat tamen, aliam varietatem lectionis posse indicari ista notula, nempe pro βοήσεις, βοήσοις. Quod ego minus perspicio. Procul dubio intelligendum est legere istos viros ὄϊς aut ὄϊας, nimirum, *boves novem, et bis tot* oviculas. Et nescio sane, annon hæc vera sit lectio. Solere enim aliquando sacra fieri duabus victimis, majore primum, deinde minore, *bove* nimirum illa, hac autem *ove*, atque hoc sacrificii genus vocari Ἐπίθοιον, docet Harpocratio. Ἐὰν δέ τις τῇ Ἀθηνᾷ θύῃ βοῦν, ἀναγκαῖόν ἐστι καὶ τῇ Πανδώρᾳ θύειν ὄϊν μετὰ βοός, καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίθοιον. Certe βοήσεις non legitur in Lexicis. TAYLOR. Nihil *transponendum* puto, si adhibeatur hæc distinctio: τῆς θεωρίας. αἱρετοὺς δὲ πέμπειν κελεύει θεωροὺς, ἐνέα (καὶ τούτους διὰ ταχέων) τῷ Διὶ τῷ Δωδωναίῳ ἀροτρεῖς βοῦς, καὶ πρὸς ἑκάστῳ δύο βοήσεις· τῇ δὲ Διώνῃ βοῦν etc. Si ponc-

τράπεζαν χαλκῆν. καὶ πρὸς, τὸ ἀνάθημα, ὃ ἀνέθηκεν ὁ δῆμος ὁ Ἀθηναίων.

ΕΤΕΡΑ.

Ὁ τοῦ Διὸς [1] σημαίνει ἐν Δωδώνῃ· Διονύσῳ [2] δημοτελῆ ἱερὰ τελεῖν, καὶ κρατῆρα κεράσαι, καὶ χοροὺς ἱστάναι· Ἀπόλλωνι ἀποτροπαίῳ βοῦν θῦσαι, καὶ στεφανηφορεῖν ἐλευθέρους καὶ δούλους, καὶ [3] ἐλινύειν μίαν ἡμέραν. Διὶ κτησίῳ βοῦν λευκόν.

ις'. Εἰσὶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αὗται καὶ ἄλλαι πολλαὶ μαντεῖαι [4] τῇ πόλει καλαὶ κἀγαθαί. τί οὖν ἐκ τούτων ὑμᾶς ἐνθυμεῖσθαι δεῖ; ὅτι τὰς μὲν ἄλλας θυσίας τοῖς ἐφ' ἑκάστης μαντείας προφαινομένοις θεοῖς προστάττουσι θύειν, ἱστάναι δὲ χορούς, καὶ στεφανηφορεῖν κατὰ τὰ πάτρια πρὸς ἁπάσαις [5] ἀεὶ ταῖς ἀφικνουμέναις μαντείαις 532

[1] σήμαιν' T. R. [2] δημοτελεῖ ἱερεῖον τέλειον T. R. [3] ἐλεεῖν θύειν μίαν T. [4] ἐν τῇ T. [5] Deest ἀεί. T.

retur καὶ ante ἐνέα, nulla de lectione fuisset dubitatio, sed frequenter omittitur copula, quando plures et diversæ res, ut in hoc loco, recensentur. Quod autem viri docti, Wolfius atque Italus, suspicantur deesse θύειν vel θύσοντας ante τῷ Διΐ, in eo falluntur, prout ex sequentibus patet. Licet enim recte dicatur θύειν τῷ Διΐ βοῦς, et τῇ Διώνῃ βοῦν καὶ ἄλλα ἱερεῖα, nemo tamen, opinor, dicit θύειν τράπεζαν χαλκῆν et τὸ ἀνάθημα. Nihil igitur hic deest, sed verbum πέμπειν singulis applicandum est, πέμπειν βοῦς, καὶ ἱερεῖα, καὶ τράπεζαν, καὶ τὸ ἀνάθημα. MARKLAND. Post βοῦς addo ἐνέα: pro βοήσεις lego ὄϊς aut ὄϊας, *ovicules*. Post χαλκῆν tollo punctum, deleo καὶ, item virgulam post πρός. AUGER.

Ὃ ἀνέθηκεν] F. ἀντὶ τοῦ ηὔξατο ἀναθήσειν. Cur enim jam dicatum denuo dicetur? WOLF.

Σήμαιν'] Σημαίνει Ital. Lambin. Hic proxime δημοτελεῖν ἱερεῖον τέλειον. Recte. TAYLOR.

Καὶ ἐλεεῖν] Dubito de lectione, sed emendationis conjecturis destituor. WOLF.

Διὶ Κτησίῳ] Vide, quæ scripsit de Jove Ctesio Cl. Mattaerius ad Inscriptionem II. in Appendice ad Marm. Oxon. Lond. 1733.

ΔΙΟΣ ΚΤΗΣΙΟΥ
ΔΙΟΣ ΚΑΠΕΤΩΛΙΟΥ
ΡΩΜΗΣ
ΑΓΑΘΟΥ ΔΑΙΜΟΝΟΣ.

Jupiter Κτήσιος erat Athenis Icuncula, ex Diis Penatibus una, πλουτοδότης, ideoque in Cella penuaria, ἐν τῷ ταμείῳ, collocata. Egregius est locus Isæi de Cironis hæreditate, ideoque exscribam: Οὐδέποτε θυσίαν ἄνευ ἡμῶν οὐδεμίαν ἐποίησεν, ἀλλ' εἴτε μικρὰ, εἴτε μεγάλα θύοι, πανταχοῦ παρῆμεν ἡμεῖς, καὶ συνεθύομεν. καὶ οὐ μόνον εἰς τὰ τοιαῦτα παρεκαλούμεθα, ἀλλὰ καὶ εἰς Διονύσια εἰς ἀγρὸν ἤγεν ἀεὶ ἡμᾶς· καὶ μετ' ἐκείνου τε ἐθεωροῦμεν καθήμενοι παρ' αὐτὸν, καὶ τὰς ἑορτὰς ἤγομεν παρ' ἐκεῖνον πάσας, τῷ Διΐ τε θύων τῷ Κτησίῳ, περὶ ἣν μάλιστ' ἐκεῖνος θυσίαν ἐσπούδαζε—καὶ ηὔχετο ἡμῖν ὑγίειαν διδόναι καί κτῆσιν ἀγαθήν. [v. Antiph. 113. 12. 22. Maussac. ad Harp. p. not. 54. 205.] Hinc satis apparet, quam negligenter a Wolfio versum *opulento Jovi*. Admonere potuit illud Callimachi Hym. I. 91.

Χαῖρε μέγα, Κρονίδη πανυπέρτατε, δῶτορ ἐάων.
TAYLOR.

De Jove Κτησίῳ tantum ex Harpocratione et Suida afferre juvat: Κτήσιον Δία ἐν τοῖς ταμείοις ἵδρυντο, ὡς πλουτοδότην. SPALDING.

ις'. Προστάττουσι] Qui sint, qui jubeant? recte quæras. Respondet Augerus: οἱ θεοί. Ceteri interpretes ne hæsisse quidem videntur. Equidem mihi persuadeo subjectum esse ipsas μαντείας. Est ea forma insolentior, sed quam hujus tamen loci esse dixerim. Multum refert utrius generis facias, quod antecedit ἐκ τούτων, neutrius an feminini. Si feminini, quod nexus suadet, subjectum erunt μαντεῖαι. Durissimum in hac ratione videatur, quod μαντεῖαι dicuntur ἐφ' ἑκάστης "μαντείας" πρὸς ἁπάσαις "μαντείαις" προσαναιρεῖν. Quid si ex glossa irrepserunt signata verba? Expunctis illis, etsi subaudiendis, aliquanto molliorem fieri orationem putem. IDEM.

Πρὸς] Hic pro ἐν. AUGER.

προσαναιροῦσιν ὑμῖν. οἱ τοίνυν χοροὶ πάντες οἱ γιγνόμενοι καὶ οἱ χορηγοὶ δῆλον ὅτι τὰς μὲν ἡμέρας ἐκείνας, ἃς συνερχόμεθα ἐπὶ τὸν ἀγῶνα κατὰ τὰς μαντείας ταύτας, [1] ὑπὲρ αὐτῶν στεφανούμεθα, ὁμοίως ὅ τε μέλλων νικᾶν, καὶ ὁ πάντων ὕστατος γενήσεσθαι· τὴν δὲ τῶν ἐπινικίων, ὑπὲρ αὐτοῦ τότ' ἤδη στεφανοῦται ὁ νικῶν. τὸν οὖν εἴς τινα τούτων τῶν χορευτῶν, ἢ τῶν χορηγῶν, ὑβρίζοντα ἐπ' ἔχθρᾳ, καὶ ταῦτ' ἐν αὐτῷ τῷ ἀγῶνι καὶ ἐν τῷ τοῦ θεοῦ ἱερῷ, τοῦτον ἄλλο τι, πλὴν ἀσεβεῖν, φήσομεν; καὶ μὴν ἴστε γε τοῦθ', ὅτι, βουλόμενοι μηδένα ἀγωνίζεσθαι ξένον, οὐκ ἐδώκατε ἁπλῶς τῶν χορηγῶν οὐδενὶ, προσκαλέσαντι τοὺς χο-

[1] περὶ αὐτῶν T. περὶ αὐτῶν R.

Οἱ χορηγοὶ] Nominativi hi, quo referantur, non habent, aut non habere videntur certe. Reiskiana emendatio, οἱ mutans in εἰ, inferens ἱεροὶ post τοίνυν, incidens post γιγν. et δῆλον ὅτι in unum conflans δηλονότι, et satis est lenis et sensum habet facilem; sed sequentia, quæ interpungendo dirimit ab antecedentibus, confragosa reddit et parum concinna. Illud in margine Paris: δηλοῦσι pro δῆλον, et auctore caret, et præsidii nihil affert. Quare cum H. Wolfio, in versione, jungo hos nominativos primæ personæ, quæ est in στεφανούμεθα. Absolutos etiam non male interpreteris eos, hoc sensu: Quod igitur ad nos attinet, qui choros efficimus et choregi sumus, &c. SPALDING.

Δῆλον] Δηλοῦσι marg. Par. f. δῆλοί εἰσι. Sed tum pro στεφανούμεθα legetur στεφανούμενοι. WOLF.

Περὶ αὐτῶν] Solito errore περὶ pro ὑπέρ. Hoc legit Scholiastes, qui et optime interpretatur, ὑπὲρ αὐτῶν, τῶν Θεῶν δηλονότι ἁπάντων. Idque apparet ex iis, quæ proxime v. 6. infert: τὸν οὖν εἴς τινα τῶν χορευτῶν ὑβρίζοντα ἄλλο τι πλὴν ἀσεβεῖν φήσομεν; Minus recte igitur Baroc. et Fel. ὑπὲρ ὑμῶν, quemadmodum conjecerat atque interpretatur Wolfius, et ὑπὲρ ὑμῶν αὐτῶν, ut legunt Obsop. et Manut. Memineris porro, ὑπὲρ scribi in Ald. Ven. Aug. et Regg. β. ε. ὑπὲρ ἡμῶν αὐτῶν ἐστεφανούμεθα Vindob. TAYLOR.

τοῦ φόνου, τοῖς τοῦ τετελευτηκότος οἰκείοις, χρήμαθ' ὑπισχνεῖτο δώσειν, εἰ τοῦ πράγματος [1] αἰτιῶντο ἐμέ. καὶ οὔτε θεοὺς, οὔθ' ὁσίαν, οὔτ' ἄλλο οὐδὲν ἐποιήσατ' ἐμποδὼν τῷ τοιούτῳ λόγῳ· οὐδ' ὤκνησεν. ἀλλ' οὐδὲ, πρὸς οὓς ἔλεγεν, αὐτοὺς ᾐσχύνθη, εἰ τοιοῦτο κακὸν καὶ τηλικοῦτον ἀδίκως ἐπάγει τῷ. ἀλλ', ἕνα ὅρον θέμενος παντὶ τρόπῳ με ἀνελεῖν, οὐδὲν ἐλλείπειν ᾤετο δεῖν, ὡς δέον, εἴ τις, ὑβρισθεὶς ὑπὸ τούτου, δίκης ἀξιοῖ τυχεῖν, καὶ μὴ σιωπᾷ, τοῦτον ἐξόριστον ἀνῃρῆσθαι, καὶ μηδαμῇ παρεθῆναι, ἀλλὰ καὶ λειποταξίου γραφὴν ἡλωκέναι, καὶ ἐφ' αἵματι φεύγειν, καὶ μονονοὺ προσ- 549
ηλῶσθαι.

λά. Καίτοι ταῦθ' ὅταν ἐξελέγχηται ποιῶν, πρὸς οἷς ὑβριζέ με χορηγοῦντα, τίνος συγγνώμης, ἢ τίνος ἐλέου δικαίως τεύξεται παρ' ὑμῶν; ἐγὼ μὲν γὰρ αὐτὸν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω αὐτόχειρά μου γεγενῆσθαι τούτοις τοῖς ἔργοις· καὶ τότε μὲν, τοῖς Διονυσίοις, τὴν παρασκευὴν, καὶ τὸ σῶμα, καὶ τὰ ἀναλώματα [2] πάνθ' ὑβρίζειν, νῦν δὲ [3] [τούτοις] οἷς ἐποίει καὶ διεπράττετο, ἐκεῖνά τε, καὶ τὰ λοιπὰ πάντα, τὴν πόλιν, τὸ γένος, τὴν ἐπιτιμίαν, τὰς

[1] αἰτιῶντο T. [2] Deest πάνθ'. T. [3] Absunt uncl. T. R.

Ὁσίαν] Ita Editi et MSS. constantissime. Solus Wolfius ὅσιον. Noster §. λζ'. ὁ θεὸς — καὶ τὸ τῆς ὁσίας ὅ, τι δήποτ' ἐστὶ τὸ σεμνὸν, καὶ τὸ δαιμόνιον, συνδίκηται. TAYLOR.

Ὤκνησεν] Interpunctionem Parisina antiquiorem reduxi, colo dirimentem οὐδ' ὤκνησεν ab antecedentibus. Epiphonema est, superadditum absolutæ sententiæ. "Ne dubitavit quidem" videl. omne fas abrumpere. SPALDING.

Δεῖν] Fateor meas aures non libenter admittere δεῖν, ὡς δέον, deinceps positum; fortasse quod Græco sermoni parum sunt assuetæ. Si abesset δεῖν (ut ex glossa natum), sensus τοῦ ᾤετο foret, quem vidimus supra §. κδ'. *constituerat*, ἠξίου, hoc loco etiam facilior quam illo. cf. Morus ad Isocr. p. 64. N. *e*. IDEM.

Ἡλωκέναι] Usitatius quidem ἑαλωκέναι: sed Mœris utrumque, ἥλω et ἑάλω, admittit. IDEM.

Ἐφ' αἵματι φεύγειν] Φόνου δίκην ἔχειν. WOLF.

Προσηλῶσθαι] Προσηλοῦν, ἀναστειροῦν. vid. Heysch. Alb. 2. p. 1045. SPALDING.

λά. Καίτοι ταῦθ' ὅταν ἐξελέγχηται ποιῶν, πρὸς οἷς ὑβριζέ με χορηγοῦντα] *Sed cum planum fecero hæc cum commisisse, qua tandem venia dignus erit?* Ubi καί τοι servit διαπορήσει. Id Cicero per *at* expressit in Ver. actione ult. "At quemadmodum ipse sese induit priore actione?" id est, quomodo sese indicavit ipse et prodidit? καί τοι ποῖον αὐτὸς τρόπον περιβέβλκκεν ἑαυτὸν ἐν τῇ προτερολογίᾳ; Vide Com. Bud. *Ex edit.* HERVAG.

Ἐξελέγχηται] Melius cum Ven. Baroc. Lind. Reg. *a*. Obsop. Aug. Vindob. et Ital. ἐξελεγχθῇ. TAYLOR.

Τούτοις] Rarior forma (τούτοις οἷς ἐποίει) mutati accusativi, in relativo, cum antecedit ipsum demonstrativum: suppresso hoc, frequentissima. Attamen non ideo τούτοις, ut glossam, uncis inclusi; sed quia, eo sublato, νῦν cum ἐποίει conjungi poterit, quod sensus flagitat. Simplicius dixisset: τούτοις δὲ, ἃ νῦν ἐποίει: sed propter magnum, quod hic est, temporis momentum, νῦν antevertitur. Sic non erit, quare cum Reiskio de inversa vitiosa structura queraris. SPALDING.

ἐλπίδας· εἰ γὰρ ἓν, ὧν ἐπεβούλευσε, κατώρθωσεν, ἁπάντων ἂν ἀπεστηρήμην ἐγώ, καὶ [1] μηδὲ ταφῆναι προσυπῆρχεν οἴκοι μοι. διὰ τί, ἄνδρες δικασταί; εἰ γὰρ, ἐάν τις, παρὰ πάντας τοὺς νόμους ὑβρισθεὶς ὑπὸ Μειδίου, βοηθεῖν αὐτῷ πειρᾶται, ταῦτα καὶ τοιαῦτα ἕτερ' αὐτῷ παθεῖν ὑπάρξει, προσκυνεῖν τοὺς ὑβρίζοντας, ὥσπερ ἐν τοῖς βαρβάροις, οὐκ ἀμύνασθαι, κράτιστον ἔσται.

λβ'. Ἀλλὰ μὴν, ὡς ἀληθῆ λέγω, καὶ προσεξείργασται ταῦτα τῷ βδελυρῷ τούτῳ καὶ ἀναιδεῖ, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Διονύσιος Ἀφιδναῖος, Ἀντίφιλος Παιανιεὺς, διαφθαρέντος Νικοδήμου, τοῦ οἰκείου ἡμῶν, βιαίῳ θανάτῳ ὑπὸ Ἀριστάρχου τοῦ Μόσχου, [2] ἐπεξῆμεν τοῦ φόνου τὸν Ἀρίσταρχον. αἰσθόμενος δὲ ταῦτα Μειδίας, ὁ νῦν κρινόμενος ὑπὸ Δημοσθένους, ᾧ μαρτυροῦμεν, ἔπειθεν ἡμᾶς, διδοὺς κέρματα, τὸν μὲν Ἀρίσταρχον ἀθῷον ἀφεῖναι, Δημοσθένει δὲ τὴν γραφὴν τοῦ φόνου παραγράψασθαι.

[1] οὐδὲ R. [2] ἐπεξῆμεν T.* ἐπεξήειμεν R.

Διὰ τί, ἄ. δ.] Interrogat et non respondet recta, sed ἀποσιωπήσει utitur, cum Judices ipsi rem satis intelligant, Midiæ violentiam in causa esse. Wolf. Abrupta videtur quibusdam (ut Reiskio) oratio, nulla præsertim quæstioni subjecta responsione. Monet Buttmannus, abesse ὦ ante vocativum: idque ulceris vestigium esse putat. Tentat idem hæc: διὰ τί οὖν τις δικάσεται; pro διὰ — δικασταί. Elegans conjectura; quam mihi tamen non persuadet. Etiam magis hiare crederem argumentationem, nisi ad superiora respiceretur in illo διὰ τί; Neque additur ubique illud ὦ. Mente expleo sententias hunc in modum: διὰ τί — τοσαύτῃ συμφορᾷ περιπέσοιμι ἄν; Respondet aliquis: ὅτι ἠμύνω τὸν Μειδ. Regerit orator: Οὐδὲν λέγεις. εἰ γὰρ κ. τ. λ. Integras sententias subaudiri ante γὰρ, quod ad suppressa retro spectat quodammodo, notum est. Ergo cum Ulpiano, H. Wolfio, et Augero ἀποσιώπησιν et ego hic agnosco. Spalding.

λβ'. Διαφθαρέντος Νικοδήμου] Historiam hanc de cæde Nicodemi narrat Ulpianus ad locum, Scholiastes item ad Æschinem περὶ παραπρεσβ. §. 46. et Athenæus l. 13. Vide præterea eundem Æsch. ibid. §. 52. et Orat. c. Timarch. versus finem. Taylor.

Ἐπεξῆμεν] Ἐπεξῆμεν (sic Wolfius) pro ἐπεξήειμεν, et fortasse τῷ Ἀριστάρχῳ. Τὸ γὰρ ἐπεξιέναι καὶ ἐπεξελθεῖν δοτικῇ συντάσσεται. Wolf. Rectissime ι subscripsit τῷ η H. Wolfius, quod perpetuo omitti, cum subscribendum est, in codd. maxime vetustioribus ad eandem formam, ἦμεν, monet Brunckius ad Arist. Plut. 659. Pro singulari sua confidentia Reiskius de suo dedit ἐπεξήειμεν. Idem, qui hic simplicissimam κράσεως formam non agnoscit, defendit insolentem mox structuram ἐπεξιέναι Ἀρίσταρχον acc. cas. pro Ἀριστάρχῳ, quod vult H. Wolfius. Vellem exemplis firmasset, quod ait etiam accusativo jungi ἐπεξιέναι. Mihi nullum ejusmodi structuræ succurrit. Spalding.

Ἔπειθεν] Πείθειν ἐπεχείρει. Wolf.

Κέρματα] Legendum videtur χρήματα. Nec enim verisimile est, Midiam nummis minutulis oblatis, sed notabili aliqua pecuniæ summa promissa, tantum facinus illis persuadere voluisse. Jurin. Non est nihili dubitatio Jurini de hoc vocabulo, qui malit χρήματα, cum absurdum videatur minutis numulis corrumpere hosce homines voluisse Midiam. Nisi forte indignatio est corruptionem rejicientium. Saltem difficilior vox non videtur faciliori mutanda esse. Spalding.

Δημοσθένει δὲ τὴν γραφὴν τοῦ φόνου παραγράψασθαι] Hoc in loco παραγράφομαι, non tam *praescribere* significat *et excipere*,

[1] Λαβὲ δή μοι καὶ τὸν περὶ τῶν δωρεῶν νόμον. ἐν ὅσῳ δὲ τὸν 550
νόμον, ὦ ἄνδρες Ἀθηναῖοι, λαμβάνει, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν, δεηθεὶς ὑμῶν [2] ἁπάντων· πρὸς Διὸς καὶ θεῶν, ὦ ἄνδρες δικασταὶ, περὶ πάντων, ὧν ἂν ἀκούητέ [3] μου, τοῦθ' ὑποθέντες ἀκούετε τῇ γνώμῃ, τί ἂν, εἴ τις ἔπασχε τοιαῦθ' ὑμῶν, ἐποίει, καὶ τίνα ἂν εἶχεν ὀργὴν ὑπὲρ αὐτοῦ πρὸς τὸν [4] ποιοῦντα. ἐγὼ γὰρ ἐνηνοχὼς χαλεπῶς ἐφ' οἷς περὶ τὴν λειτουργίαν ὑβρίσθην, ἔτι πολλῷ χαλεπώτερον, ὦ ἄνδρες Ἀθηναῖοι, τούτοις τοῖς μετὰ ταῦτα ἐνήνοχα, καὶ μᾶλλον ἠγανάκτηκα. τί γὰρ ὡς ἀληθῶς πέρας ἂν φήσειέ τις εἶναι κακίας, [5] καὶ τίνα ὑπερβολὴν ἀναιδείας καὶ ὠμότητος καὶ ὕβρεως, ἄνθρωπος εἰ ποιήσας δεινὰ, νὴ Δία, καὶ πολλὰ, ἀδίκως τινὰ, ἀντὶ τοῦ ταῦτ' ἀναλαμβάνειν καὶ μεταγιγνώσκειν, ἔτι πολλῷ δεινότερα [6] ὕστερον ἄλλα προσεξεργάζοιτο, καὶ χρῷτο τῷ πλουτεῖν, μὴ ἐπὶ ταῦτα ἐν οἷς, μηδένα βλάπτων, [7] αὐτὸς ἄμεινόν τι τῶν ἰδίων θήσεται, ἀλλ' ἐπὶ τἀναντία, ἐν οἷς ἀδίκως ἐκβαλών τινα καὶ προπηλακίσας, [8] αὐτὸν εὐδαιμονιεῖ τῆς περιουσίας; ταῦτα τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πάντα τούτῳ πέπρακται κατ' ἐμοῦ· καὶ γὰρ αἰτίαν ἐπήγαγέ μοι φόνου ψευδῆ, καὶ οὐδὲν ἐμοὶ προσήκουσαν, ὡς τὸ πρᾶγμα αὐτὸ ἐδήλωσε. Καὶ γραφὴν λειποταξίου με ἐγράψατο, τρεῖς αὐτὸς τάξεις λελοιπώς. καὶ τῶν ἐν Εὐβοίᾳ πραγμά-

[1] λάβε T. R. [2] ἁπάντων, - - δικασταὶ, T. ἁπάντων πρὸς - - δικασταὶ R. [3] Deest μου. T. [4] ποιοῦντα; T. [5] ἢ καὶ T. [6] Deest ὕστερον. T. [7] αὐτὸς R. [8] αὐτὸν R.

quam *accusationem transcribere et transferre*, vel *Demosthenem præterea accusare, et in eum, præterito alio, accusationem crimenque intendere*. Plura in Commentariis Bud. ubi etiam περὶ παραγραφῆς ex Quintiliano. *Ex edit.* HERVAG.

Τὴν γραφὴν τοῦ φόνου π.] Ἀναθεῖναι τὴν αἰτίαν τοῦ φόνου. WOLF.

Παράγραψασθαι] Reiskium optime cepisse hujus vocabuli sensum credo. Est *præter jus et fas accusare*. SPALDING.

Λαβὲ] Oxytonum contra omnes edd. feci imperativum ex præcepto Mœridis. IDEM.

Λαμβάνει] De hujusmodi artificio oratorio in scriptis etiam orationibus extemporalitatem (τὸ αὐτοσχέδιον) simulandi, vide elegantem F. A. Wolfii disputationem ad Leptin. §. ιή. fin. Præter loca ibi tractata vid. Verr. lib. 3. c. 10. ubi nutus scribæ, et c. 25. ubi risus Apronii in judicio ipso, tangitur. Ulpianus quoque in nostro loco schema agnoscit. IDEM.

Ἁπάντων] Ita distinguendum: ὑμῶν ἁπάντων πρὸς Διὸς — ἀκούετε τῇ γνώμῃ. MARKLAND.

Ὑποθέντες] Ὑποθέντες τῇ γνώμῃ, τουτέστιν, οὕτω διανοηθέντες καὶ ὑπολαμβάνοντες. WOLF.

Τούτοις] Ἐπὶ τούτοις. MARKLAND. Vid. add. ἐπὶ ante τούτοις. AUGER. Malim cum Marklando et Reiskio, ἐπὶ præmitti τῷ τούτοις. SPALDING.

Ὑπερβολὴν] Rectius hæc et felicius vertit Hier. Ferro Italus: *Percioche che fine, per Dio, al far male si porrà, o che maggiore isfacciataggine, crudeltà, o ingiuria aspetteremo, che* etc. TAYLOR.

Ταῦτ' ἀναλαμβάνειν] Ἐπανορθοῦν καὶ μεταθέσθαι. WOLF.

των, — τουτὶ γὰρ αὖ μικροῦ παρῆλθέ [1]με εἰπεῖν —, ἁ
Πλούταρχος, ὁ τούτου ξένος καὶ φίλος, διεπράξατο, ὡς
ἐγὼ αἴτιός εἰμι, [2]κατεσκεύασε, πρὸ τοῦ τὸ πρᾶγμα γε-
νέσθαι πᾶσι φανερὸν διὰ Πλουτάρχου γεγονός· καὶ τελευ-
551 τῶν, βουλεύειν μου λαχόντος, δοκιμαζομένου κατηγόρει.
Καὶ τὸ πρᾶγμα εἰς ὑπέρδεινόν μοι περιέστη· ἀντὶ γὰρ τοῦ
δίκην, ὧν ἐπεπόνθειν, λαβεῖν, δοῦναι πραγμάτων, ὧν οὐδὲν
ἐμοὶ προσῆκεν, ἐκινδύνευον. καὶ ταῦτα πάσχων ἐγώ, καὶ
τοῦτον τὸν τρόπον, ὃν διεξέρχομαι [3]νυνὶ πρὸς ὑμᾶς, ἐλαυ-
νόμενος, οὐκ ὢν οὔτε τῶν ἐρημοτάτων, οὔτε τῶν ἀπόρων
κομιδῇ, οὐκ ἔχω, ὦ ἄνδρες Ἀθηναῖοι, ὅ τι χρὴ ποιῆσαι. εἰ
γὰρ εἰπεῖν τι καὶ περὶ τούτων ἤδη δεῖ, οὐ μέτεστι τῶν
ἴσων, οὐδὲ τῶν ὁμοίων, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τοὺς πλου-
σίους τοῖς πολλοῖς ἡμῶν· οὐ μέτεστιν· οὔ· ἀλλὰ καὶ χρό-
νοι τούτοις τοῦ δίκην ὑποσχεῖν, οὓς ἂν αὐτοὶ βούλωνται,
δίδονται· καὶ τἀδικήματα ἔωλα τὰ τούτων ὡς ὑμᾶς καὶ
ψυχρὰ ἀφικνεῖται. τῶν δ' ἄλλων ἡμῶν ἕκαστος, ἄν τι
συμβῇ, πρόσφατος κρίνεται. καὶ μάρτυρές εἰσιν ἕτοιμοι
τούτοις, καὶ συνήγοροι πάντες εὐτρεπεῖς καθ' ἡμῶν· ἐμοὶ
δὲ οὐδὲ τἀληθῆ μαρτυρεῖν ἐθέλοντας ὁρᾶτε ἐνίους.

λγ'. Ταῦτα μὲν οὖν εἴποι τις ἂν, οἶμαι, θρηνῶν. τὸν δὲ
νόμον μοι λέγε ἐφεξῆς, ὥσπερ ἠρξάμην. Λέγε.

[1] μοι T. [2] κατεσκεύαζε T. [3] νῦν T.

Παρῆλθέ μοι] Με conjecit Cl. Wolfius, quo pacto legitur in optimo Aug. et Regg. α. β. Deinde legit etiam v. 5. λαχόντος καὶ δοκιμαζομένου, consentiente Baroc. TAYLOR. cf. supra p. præc. not. λαμβάνει. SPALDING.

Πλούταρχος] Plutarchus Eretriæ in Eubœa tyrannus contra Philippum Atheniensium opem imploraverat, cui suppetias ire ad suscipiendum bellum ἄδοξον καὶ δαπανηρὸν solus tum vetabat Demosthenes. Cum autem vinceretur ejus sententia, missæ sunt copiæ, Phocione et Hegesilao ducibus. Experti vero sunt deinde Athenienses, οἷα τῶν ἐντὸν ἀνδρώπων οὐδένες πώποτε πεπόνθασιν ὑπὸ τούτων, οἷς ἐβοήθησαν, deficientibus Eubœensibus, quippe qui libertati suæ timerent ab ipsis iis copiis Atheniensium. cf. Orat. Dem. de pace, §. β'. IDEM.

Δοκιμαζομένου] Examen subire cogebantur, generis et ætatis et vitæ anteactæ, quicunque sorte senatores exiisent. IDEM.

Ὁμοίων] Νόμων Obsop. Ital. et Vindob. Sed vulgata amplector. Modo, v. 14. pro τοῖς πολλοῖς, τοῖς λοιποῖς iidem Ital. et Vindob. Interea corrige ἡμῖν. Non enim dicitur *multi e nobis*, sed oppositio est inter τοὺς πλουσίους, et ἡμᾶς τοὺς πολλούς. Quod quantum intersit vel me silente animadvertis probe, mi bone Lector. Vide interea, quæ dixi ad §. μ'. fin. TAYLOR. Valde placet Taylori emendatio ἡμῶν mutantis in ἡμῖν. Non tamen dixerim, an frequenter apud scriptores pronomen postponatur, cum usitatissimum sit; ἡμῖν τοῖς πολλοῖς. Fortasse tamen ἡμῶν eundem habet sensum et est τ. π. ἡ. pro his, τοῖς πένησι τῶν Ἀθηναίων. SPALDING.

Χρόνοι] *Moræ*, ut supra §. κδ'. in testimonio. IDEM.

ΝΟΜΟΣ.

Ἐάν τις Ἀθηναίων λαμβάνῃ παρά τινος, ἢ αὐτὸς [1]διδῷ ἑτέρῳ· ἢ διαφθείρῃ τινὰς ἐπαγγελλόμενος, ἐπὶ βλάβῃ τοῦ δήμου, καὶ [2]ἰδίᾳ τινὸς τῶν πολιτῶν, τρόπῳ ἢ μηχανῇ ἡτινιοῦν, ἄτιμος ἔστω καὶ παῖδες καὶ τὰ ἐκείνου.

Οὕτω τοίνυν οὗτός ἐστιν ἀσεβὴς ἄνθρωπος καὶ μιαρὸς, καὶ πᾶν ἂν ὑποστὰς εἰπεῖν καὶ πρᾶξαι, — εἰ δ' ἀληθὲς, ἢ ψεῦδος, ἢ φρὸς ἐχθρὸν, ἢ [3]φίλον, [ἢ] τὰ τοιαῦτα, ἀλλ' [4]οὐδ' ὁτιοῦν διορίζων —, ὥστ' ἐπαιτιασάμενός με φόνου, 552

[1] διδῷ T. [2] Deest ἰδίᾳ. T. [3] φίλον, ἢ T. φίλον ᾖ, R. [4] οὐδοτιοῦν T. R.

λγ'. Ἐπὶ βλάβῃ] *Ad nocendum populo*, adde, *vel alicui civium*. Nam legendum puto: ἢ τινὸς τῶν πολιτῶν, non καὶ τινός. JURIN.

Καί τινος τῶν πολιτῶν] Ita lege, non καὶ διά τινος. Et [v. 7.] εἰπεῖν καὶ πρᾶξαι. hoc malo, quam διαπρᾶξαι, διαπράξασθαι facilius admitterem. Et εἴτ' ἀληθὲς, non εἰ δ'. Et [p. 81. v. 3.] εἴασε δ' ἀρχιθεωροῦντα, ut et Ulpianus, et Obsopœus, et Felicianus habent, non ἀρχιεροῦντα. WOLF. Examinemus singula. Primo ab omnibus Codd. tam editis, quam MStis, alteram lectionem recipi video καὶ διά τινος. Codex Ital. cum habeat καὶ ἰδίᾳ τινὸς, idem velle videtur. Error enim vocis ἰδίᾳ oritur ex vicinia verbi præcedentis. Tu ipse, Wolfi, bene reddidisti lectionis antiquæ sensum in ista tua interpretatione: bene etiam Italus: *o per mezzo d' alcun cittadino*. Non nego itaque vim et genium tuæ correctionis, si per Codd. liceret. Deinde διαπρᾶξαι habent Editt. et MSti præstantiores, Felic. Man. Vindob. Obsop. et Aug. Forte καὶ δὴ πρᾶξαι, Simo Fabricius. Quod inutile et otiosum. Proxime εἰ δ' ἀληθὲς cum vulgatis, non εἴτ' ἀληθές. Si hæc verba usque ad διορίζων mecum parenthesi includas, illud rectissime se habere sentias. Ultimo, istud ἀρχιθεωροῦντα est probum, ἀρχιεροῦντα uno nititur Aldino. De ἀρχιθεωροῖς vide, quæ diximus ad Marmor Sandvicense. Hoc vero comma cum Italico Interprete, non cum Wolfio, vertas ita: *Hora costui è si impio, e scelerato huomo, et a fare et a dire ogni cosa così audace (ne se e vera o falsa, ne verso nimico o amico, e simil cose, fa niuna distintione) che quantunque m' habbia incolpato d' homicidio — nondimeno* etc. TAYL.

Ἢ τὰ τοιαῦτα] Forte καὶ τὰ τοιαῦτα. MARKLAND. Uncis inclusimus vocabulum ἢ, quod tenebras offundit loco alias clarissimo. Est enim, ut recte monet Reiskius, frequens apud Dem. forma subjiciendi, post longiorem variarum rerum enumeratarum seriem, τὰ τοιαῦτα, quo singula ea in unum comprehenduntur et quasi ἀνακεφαλαιοῦται. Ab hujusmodi locutione alienum esse ἢ me tacente unusquisque sentiat. Poterat autem facile a librario, aliud agente, iterari etiam hic. Reiskii ratio, qua hanc literam ita signat: ᾖ, et putat pendere vocem ab εἰ, quod antecedit, auctoritate Græci sermonis carere mihi videtur, et debebat ille exempla conjunctivi huic particulæ (εἰ) juncti apponere; cf. Vig. Zeun. 490. et Hoogev. 227. Lectio est in margine Parisino, auctore carens illa, τοιαῦτα ἄλλα (pro τοιαῦτα, ἀλλ') quam neglexit Reiskius in varietate lect. Ea possit blandiri lectori, si quis immemor sit usus Demostheni peculiaris ἐν τοῖς: ἀλλ' οὐδ' ὁτιοῦν. ἀλλὰ ibi est pro mera intentione negationis, quasi dicas: non modo parum, *sed* ne minimum quidem. SPALDING.

Ὥστ' ἐπαιτιασάμενός με φόνου — περιεῖδε ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα] *Hic qui me cædis crimine reum facere instituit, cum ego a curia sacrificulus tertius designatus sum e numero omni civium; ut sacrum pro populo Deabus venerandis facerem* (sic enim Eumenides appellabant) *nulla intercessione obstitit quo minus sacrificium auspicarer.* Purgare se vult Demosthenes suspicione conscientiæ cædis, quam ei inimicus objecerat. Summa autem fuit cura antiquis vindicandarum cædium. In curia enim Areopagitarum sacrum fiebat Eumenidibus, quas σεμνὰς θεὰς vocant, bene ominandi gratia. eas enim existimari volebant ejus esse curiæ præsides, in qua sicarii judicabantur, tanquam vindices, ultricesque hominum necatorum. Quibus sacrificuli ob id tres erant instituti, id est, ἱεροποιοί. Notandum præterea, quod in Areopago cædes consultæ judicabantur, id est, φόνοι ἐκ προνοίας, non autem, ἀκούσιοι. Plura vide in Annotationibus poster. in Pandect. *Ex edit.* HERVAG.

καὶ τοιοῦτο πρᾶγμα ἐπαγαγὼν εἴασε μέν με εἰσιτήρια ὑπὲρ τῆς βουλῆς ἱεροποιῆσαι, καὶ θῦσαι, καὶ κατάρξασθαι τῶν ἱερῶν ὑπὲρ ὑμῶν καὶ ὅλης τῆς πόλεως, εἴασε δ' ἀρχιθεωροῦντα ἀγαγεῖν τῷ Διὶ τῷ [1] Νεμείῳ τὴν κοινὴν ὑπὲρ τῆς πόλεως θεωρίαν· περιεῖδε δὲ ταῖς σεμναῖς θεαῖς ἱερο-

[1] Νεμίῳ T. R.

Εἰσιτήρια] Ἐγίγνετο θυσία μελλούσης εἰσιέναι τῆς βουλῆς εἰς τὸ βουλευτήριον, ὥστε κατὰ γνώμην ἀπαντῆσαι τῶν πραγμάτων τὴν σκέψιν· καὶ ταύτην ἐκάλουν εἰσιτήρια. Ulpian. Spalding.

Νεμείῳ] Contra omnes edd. et Codd. ε inserui huic nomini. Nusquam enim invenio Δία Νέμιον, qui quam facile a male pronuntiante potuerit ex Νεμείῳ corrumpi, in promptu est. Ἀρχιθεωροῦντα recte sic exponit Ulpianus: ἄρχοντα θεωρῶν. θεωροὶ δὲ ἦσαν οἱ τὰς θυσίας τοῖς ἔξω θεοῖς ἀποφέροντες. Nota *theoria* ex historia Socratis. Idem.

Ταῖς σεμναῖς θεαῖς] Ταῖς Ἐριννύσιν ἢ Εὐμενίσι, Furiis, quæ κατ' εὐφημισμὸν Venerandæ Deæ vocantur. Wolf. Sollicitavit hunc locum Philippus Iacobus Maussacus doctus Vir in suis ad Harpocrationem notis, pag. 260. et adeo audacter pronunciat, eum esse corruptum, ut fere minetur plagas iis, qui contrarium sentiunt. Sed quibus viris? Ulpiano primum, antiquo Demosthenis scholiasti, deinde Budæo, Sigonio, et omni ferme Eruditorum catervæ. Operæ pretium est audire ejus verba. Sic igitur ille de hoc Demosthenis loco: *Quæ verba hactenus ita lacera et corrupta remanserunt, nec est ullus ex his, qui aliquid in Demosthenem contulerunt, qui non crediderit, veram esse hanc hujus loci lectionem, et qui non concluserit cum Ulpiano ex horum verborum auctoritate, tres tantum fuisse Dearum illarum* ἱεροποιούς. Ulpianus: τρεῖς δὲ ἴσως ὑπέστησεν, ἐπεὶ καὶ τρεῖς δοκοῦσιν εἶναι θεαί. *Eandem opinionem amplexati sunt viri doctissimi post illum, Budæus, Sigonius, et omnis ferme Eruditorum caterva. Nos primi monere volumus, textum Demosthenis esse corruptissimum, et non tres tantum Dearum illarum* ἱεροποιοὺς *fuisse, sed decem. Togam compone, lector, et te a regina veritate abduci patere. Verba Demosthenis sic corrigo:* περιεῖδε ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα ἐξ Ἀθηναίων ἁπάντων, καὶ περὶ τὸν αὐτὸν καιρὸν καταξάμενον. *Ex* περὶ τὸν *fecerunt* τρίτον *Notarii, et vocem* καιρὸν *prætermisere. Quæ cum ita se habeant, corruit omne fundamentum, quo suffulta videbatur sententia prior; ex verbis enim Demosthenis conjiciebant omnes, tres tantum fuisse* ἱεροποιοὺς *Eumenidum. Sed non sufficit, corruisse fundamentum, nisi tota domus aut ædificium susque deque vertatur et pessundetur. Superest probandum, decem fuisse* ἱεροποιοὺς *Venerandarum Dearum, ut nostra melius adstruatur opinio: quod exsequimur breviter, ne vadimonium videamur deserere. Nam fidejussorem dabimus Dinarchum, qui est solvendo, et in Orat.* κατὰ Λυκούργου εὐδύνων, *quæ nobis periit, ita locutus est:* καὶ τὰς σεμνὰς θεὰς, αἷς ἐκεῖνος ἱεροποιὸς καταστὰς, δέκατος αὐτός. *Quisquis ille erit, qui in posterum ibit inficias, et hæc negare audebit, næ cerritus ille, et qui ad Prætorem et cognatos amandetur, dignus erit.* Hæc Maussacus maximo verborum apparatu, et satis quidem pro imperio minas agit cum omnibus literatis. Sed tandem modestius agat, et bacchari desinat, vel illi sua verba reddentur, et pro cerrito circumferri jubebitur, qui tam confidenter ex loco Dinarchi, et oratione, quæ non exstat, textum Demosthenis antiquissimis Ulpiani scholiis confirmatum, et optimum sensum habentem, mutare non erubescit, et ex τρίτον αὐτὸν facit καὶ περὶ τὸν αὐτὸν καιρὸν, sine necessitate, sine verisimilitudine, additis decem literis. Sed dicat, si potest, quare potius Demosthenes ex Dinarcho, quam Dinarchus ex Demosthene corrigendus: nam multo facilius ex δέκατος fiet τρίτος, quam ex τρίτον αὐτὸν fiat καὶ περὶ τὸν αὐτὸν καιρὸν, ut vult Maussacus. Sed demus, Dinarchi locum non esse ex Demosthene corrigendum, (quod facio lubens, utpote qui credam, utrumque locum esse sanum) quis nobis præs est, non variasse numerum τῶν ἱεροποιῶν, prout res exigebat, vel ex populi libitu, vel ex oraculorum monitis, vel ex vatum responsis? Quis denique negare potest, non potuisse ex illis decem, de quibus loquitur Dinarchus, (si numerus ille fuit ordinarius et status, quod non probatur) populum tres eligere ἑξαιρέτους ad sacrificium quoddam, vel ad θεωρίαν, i. e. *sacram legationem*, vel aliud quod ministerium sacrum exsequendum? Certe quod ait Demosthenes τρίτον αὐτὸν, non παρέλκει, sed ad ejus dignitatem augendam

ποιὸν αἱρεθέντα ἐξ Ἀθηναίων ἁπάντων τρίτον αὐτὸν, καὶ καταρξάμενον τῶν ἱερῶν. ἆρ' ἂν, εἴγ' εἶχε στιγμὴν, ἢ σκιὰν τούτων, ὧν κατεσκεύαζε κατ' ἐμοῦ, ταῦτ' ἂν εἴασεν; ἐγὼ μὲν οὐκ [1]οἴομαι. οὐκοῦν ἐξελέγχεται τούτοις ἐναργῶς, ὕβρει ζητῶν με ἐκβαλεῖν ἐκ τῆς [2]πόλεως. ἐπειδὴ τοίνυν τοῦτο τὸ πρᾶγμα οὐδὲ καθ' ἕν, πανταχῇ στρέφων, οἷός τ' ἦν ἀγαγεῖν ἐπ' ἐμὲ, φανερῶς ἤδη δι' ἐμὲ τὸν Ἀρίσταρχον ἐσυκοφάντει, καὶ τὰ μὲν ἄλλα σιωπῶ· τῆς δὲ βουλῆς περὶ τούτων καθημένης, καὶ σκοπουμένης, παρελθὼν οὗτος· ἀγνοεῖτ', ἔφη, τὸ πρᾶγμα, ὦ [3]βουλή; καὶ τὸν αὐτόχειρα ἔχοντες, λέγων τὸν Ἀρίσταρχον, μέλλετε καὶ ζητεῖτε, καὶ [4]τετύφωσθε; οὐκ ἀποκτενεῖτε; οὐκ ἐπὶ τὴν οἰκίαν βαδιεῖσθε; οὐχὶ συλλήψεσθε; καὶ ταῦτ' ἔλεγεν ἡ μιαρὰ καὶ ἀναιδὴς αὕτη κεφαλὴ, ἐξεληλυθὼς τῇ προτεραίᾳ, παρ' Ἀριστάρχου, καὶ χρώμενος ὥσπερ ἂν ἄλλος τις αὐτῷ τὰ πρὸ τούτου, καὶ, ὅτ' ηὐτύχει, πλεῖστα παρεσχηκότος πάντων ἐκείνου πράγματά μοι, περὶ τῶν πρὸς τοῦτον διαλλαγῶν.

λδ'. Εἰ μὲν οὖν εἰργάσθαι τι τούτων, ἐφ' οἷς ἀπόλωλεν, ἡγούμενος τὸν Ἀρίσταρχον, καὶ πεπιστευκὼς τοῖς τῶν αἰτιασαμένων λόγοις, ταῦτ' ἔλεγε· χρῆν μὲν οὐδ' οὕτω. με-

[1] οἶμαι T. [2] πατρίδος T. R. [3] βουλὴ, T. [4] τετύφωσθε. T.

pertinet: nam quo pauciores fuerant, eo digniores videbantur, et phrasis τρίτος αὐτὸς manat ex puriore Hellenismo. Ea usus est sæpe Thucydides. Sed et ipse Dinarchus in loco a Maussaco citato, δέκατος αὐτὸς, debebat monere eum, ut pruritum suum corrumpendi, non corrigendi, Demosthenis sedaret, et ab hoc loco manus suas contineret. Ego certe cum Ulpiano, Budæo, Sigonio, malo cerritus vocari, quam esse Maussaci nimiæ confidentiæ hoc loco συνθιασώτης. PALMER. Maussacus, notante eruditissimo Valesio, emendationem suam ex Etym. M. mutuo sumsit, qui ita laudat hunc locum Demosthenis. Ineptam tamen crisin vocat idem Valesius, hominemque ait modestius egisse, si contentus fuisset dicere, καὶ τρίτον αὐτὸν καταρξάμενον τῶν ἱερῶν, in qua emendatione tantum καὶ transponitur. TAYLOR. οὕτω καλοῦσιν Ἀθηναῖοι τὰς Ἐρινύας. Harpocration. Vocem ἱεροποιὸς vide expositam §. μζ'. fin. Not. SPALDING.

Ἐξελέγχεται] Restitui ex Edit. Benenati et MSS. Baroc. Lind. Vindob. et Ital. Vulgo ἐξελέγξεται. TAYLOR.

Πόλεως] Veriorem lectionem credo hanc Paris. ε. vulgata πατρίδος. SPALDING.

Δι' ἐμὲ] Cum Demosthenem ipsum non posset, amicum ejus vexavit. Non multo post, in eandem sententiam dicit, §. λδ'. λέγων δὲ καὶ καταιτιώμενος ταῦτα ἕνεκα τοῦ συκοφαντεῖν ἐμέ. In variis lectionibus annotatum est δι' ἐμοῦ [ita legunt MSS. Ald. Felic. et Manut. Regg. α. β. ε. Ital. Vind. Lindenb. Baroc. et Ulpianus] sed illud melius. Μετ' ἐμὲ, *post me*, vel, *me relicto*, rectius legi videretur. WOLF. Fallitur Vir doctissimus: δι' ἐμὲ bene explicatur in sequentibus, §. λδ'. ἕνεκα τοῦ συκοφαντεῖν ἐμέ. TAYLOR. Wolfius: *me relicto*. Immo: *mea causa*, vel, *propter me*, nempe ut facti invidiam ad me derivaret. JURIN.

λδ'. Χρῆν μὲν οὐδ' οὕτω] Legendum ἐχρῆν. IDEM.

553 τρία γὰρ δίκη παρὰ τῶν φίλων ἐστὶν, ἄν τι δοκῶσι πεποιηκέναι δεινὸν, μηκέτι τῆς λοιπῆς φιλίας κοινωνεῖν. τὸ δὲ τιμωρεῖσθαι καὶ ἐπεξιέναι, τοῖς πεπονθόσι καὶ τοῖς ἐχθροῖς καταλείπεται. ὅμως δ' ἔστω τούτῳ γε συγγνώμη. εἰ δὲ [1] ἁλῶν μὲν κοινωνήσας, καὶ ὁμωρόφιος γενόμενος, ὡς οὐδὲν εἰργασμένῳ, φανήσεται, λέγων δὲ καὶ καταιτιώμενος ταῦθ' ἕνεκα τοῦ συκοφαντεῖν ἐμέ· πῶς οὐ δεκάκις, μᾶλλον δὲ μυριάκις, ἔστ' ἀπολωλέναι δίκαιος; ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, καὶ τῇ [2] μὲν προτεραίᾳ, ὅτε ταῦτ' ἔλεγεν, εἰσεληλύθει, καὶ διείλεκτο ἐκείνῳ· τῇ δ' ὑστεραίᾳ πάλιν [3] αὖ — τοῦτο γὰρ, τοῦτο οὐκ ἔχον ἐστὶν ὑπερβολὴν ἀκαθαρσίας, ἄνδρες Ἀθηναῖοι — εἰσελθὼν οἴκαδε ὡς ἐκεῖνον, καὶ ἐφεξῆς οὑτωσὶ καθεζόμενος, τὴν δεξιὰν ἐμβαλὼν, παρόντων πολλῶν, μετὰ τοὺς ἐν τῇ βουλῇ τούτους λόγους, ἐν οἷς αὐτόχειρα, καὶ τὰ δεινότατα εἰρήκει τὸν Ἀρίσταρχον, ὤμνυε μὲν κατ' ἐξωλείας μηδὲν εἰρηκέναι περὶ αὐτοῦ φλαῦρον, καὶ οὐδὲν ἐφρόντιζεν ἐπιορκῶν, καὶ ταῦτα παρόντων τῶν συνειδότων· ἠξίου δὲ καὶ πρὸς ἐμὲ [4] αὐτῷ δι' ἐκείνου γίγνεσθαι τὰς διαλύσεις· καὶ τούτων τοὺς παρόντας ὑμῖν καλῶ [5] μάρτυρας. Καίτοι πῶς οὐ δεινὸν, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον

[1] λαλῶν μὲν, καὶ ὁμωρ. γιγνόμενος T. *ἁλῶν μὲν κοινωνὸς, καὶ ὁμωρ. γιγνόμενος R.
[2] Deest μέν. T. [3] Deest αὖ. T. [4] αὐτῷ R.
[5] μάρτυρας. ΜΑΡΤΥΡΕΣ. T. μάρτυρας. [Μάρτυρες.] R.

Ὅμως δ' ἔστω τούτῳ] S. τῷ γενομένῳ τούτῳ, τῷ Μειδίᾳ βδελυρῷ ὄντι ἀνθρώπῳ, καὶ ἀλογίστως πάντα τολμῶντι. Melius hoc quam τοῦτό γε. WOLF.

Τούτῳ] Τούτων. MARKLAND. Puto τούτου. JURIN.

Εἰ — γενόμενος] Expressi locum ut exhibetur ab Henr. Stephano in Thesauro ad voc. ἅλς. Dicit ille sic legi eum in optimis et vetustissimis Codd., qui sunt profecto Parisini ii, quibus si ad finem usque uti per vitam licuisset Morelio in emendando Demosthene, jam diu in ora editionis Parisinæ vidissemus præstantissimam hanc lectionem. Nunc Lambinus vicarius illius diligentiæ accitus, levi, quod aiunt, brachio negotium tractans, neglexit unicum hujus loci constituendi præsidium. Reiskius, qui Stephanum non videtur evolvisse, in eandem fere lectionem conjectura incidit ingeniosissima, deductus scriptura Aug. pr. ubi legitur αλῶν sine spiritu. Vulgata sic habet: εἰ δὲ, λαλῶν μὲν καὶ ὁμωρόφιος γιγνόμενος. ἁλῶν κοινωνεῖν est mensæ consortem, convivam alicujus esse. SPALDING.

Τῇ προτεραίᾳ ὅτε] F. τῇ προτεραίᾳ ἡ ὅτε. Vid. Lect. Lysiac. cap. 1. deinde τῇ δ' ὑστεραίᾳ πάλιν. TAYLOR. Ita quoque Augerus.

Τοῦτο γὰρ, τοῦτο οὐκ ἔχον ἐστὶν ὑπερβολὴν ἀκαθαρσίας] *Hoc scelus nullo scelere superari potest.* opponitur enim τῇ ἐλλείψει ἡ ὑπερβολὴ. De quo etiam κατὰ Ἀφόβου. *Ex edit.* HERVAG.

Μηδὲν εἰρηκέναι περὶ αὐτοῦ φλαῦρον] Φλαῦρον et φαῦλον in MSS. sæpius confunduntur, uti in hoc loco, et rursus §. λέ. Earum autem vocum significationes diremit Eranius Philo, quem nuper edidit bono rei literariæ natus Cl. Valckenaer: φλαῦρον καὶ φαῦλον διαφέρει. φλαῦρον μὲν γάρ ἐστι τὸ μικρὸν καὶ κοῦφον κακόν. φαῦλον δὲ τὸ μέγα. Quod quam recte dixit, non definio. TAYLOR.

Αὐτῷ] Αὐτῷ, *sibi ipsi.* MARKLAND.

Μάρτυρες] Vix credo, hic adesse Testes, qui infra de hac re adducuntur, sc. §. λέ.

δὲ ἀσεβὲς, λέγειν ὡς φονεὺς, καὶ πάλιν, ὡς οὐκ εἴρηκε ταῦτ', ἀπομνύναι· καὶ φόνον μὲν ὀνειδίζειν, τούτῳ δ' ὁμωρόφιον γίγνεσθαι; κἂν μὲν ἀφῶ τοῦτον ἐγὼ, καὶ προδῶ τὴν ὑμετέραν καταχειροτονίαν, οὐδὲν, ὡς ἔοικεν, ἀδικῶ. ἂν δ' ἐπεξίω, λέλοιπα τὴν τάξιν, φόνου κοινωνῶ, δεῖ με ἀνηρπά- 554
σθαι. ἐγὼ δ' αὖ τοὐναντίον [1] οἴομαι· εἰ τοῦτον ἀφῆκα, λελοιπέναι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν τοῦ δικαίου τάξιν, φόνου δ' ἂν εἰκότως ἐμαυτῷ λαχεῖν. οὐ γὰρ ἦν μοι δήπου βιωτὸν τοῦτο ποιήσαντι.

λέ. Ὅτι τοίνυν καὶ ταῦτ' ἀληθῆ λέγω, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Λυσίμαχος [2] Ἀλωπεκῆθεν, Δημέας Σουνιεὺς, [3] Χάρης Θορίκιος, Φιλήμων Σφήττιος, Μόσχος Παιανιεὺς, καθ' οὓς καιροὺς ἡ εἰσαγγελία ἐδόθη, ἡ εἰς τὴν βουλὴν ὑπὲρ Ἀριστάρχου τοῦ Μόσχου, ὅτι εἴη Νικόδημον ἀπεκτονὼς, οἴδαμεν Μειδίαν, τὸν κρινόμενον ὑπὸ Δημοσθένους, ᾧ μαρτυροῦμεν, ἐλθόντα πρὸς [4] βουλὴν, καὶ λέγοντα, μηδένα ἕτερον εἶναι τὸν Νικοδήμου φονέα, ἀλλ' Ἀρίσταρχον, καὶ τοῦτον αὐτὸν γεγονέναι αὐτόχειρα· καὶ συμβουλεύοντα τῇ βουλῇ βαδίζειν ἐπὶ τὴν οἰκίαν τὴν Ἀριστάρχου, καὶ συλλαμβάνειν αὐτόν. ταῦτα δὲ ἔλεγε πρὸς τὴν βουλὴν, τῇ προτεραίᾳ μετ' Ἀριστάρχου καὶ μεθ' ἡμῶν συνδεδειπνηκώς. οἴδαμεν δὲ καὶ Μειδίαν, ὡς ἀπῆλθεν ἀπὸ τῆς βουλῆς, τούτους τοὺς λόγους εἰρηκὼς, εἰσεληλυθότα πάλιν ὡς Ἀρίσταρχον, καὶ τὴν δεξιὰν [5][ὡς] ἐμβεβληκότα· καὶ ὀμνύ-

[1] οἶμαι T. [2] Ἀλωπεκῆθεν T. [3] Χιάρης T. [4] τὴν βουλὴν T. R. [5] ὡς T. R.

Error est Scribæ post vocem consimilem repetentis. Inter hæc duo testimonia nihil nove allegatur, nihil, quod Testium fide comprobari postulavit. TAYLOR. Dele titulum ΜΑΡΤΥΡΕΣ, quia nondum prodeunt testes. AUGER.

Ἀνηρπάσθαι] "Subito et ita e medio tolli, ut vel in exilium, in loca ignota aveharis, vel etiam morti et supplicio tradaris. Quod Tacitus dicit Ann. II. 77. 'ut te inauditum et indefensum - - - primo rumore rapiant.' et Ammianus XV. 5. 65. 'alter ab oriente raptus odiis inimicorum addiceretur.'" D'Orville ad Charit. Aphrod. Lib. IV. cap. VI. p. 416.

Φόνου etc.] Πότερον ἐμαυτὸν ἐμαυτῷ? Quod est aut absurdum, aut ὑπερβολικώτερον. An λαχεῖν τινά? Quia λαγχάνεσθαι dicere noluit, etsi εἰλημμέναι δίκαι reperitur. WOLF. Nihil *absurdum*, aut ὑπερβολικώτερον in isto ἐμαυτὸν ἐμαυτῷ φόνου δίκην λαχεῖν. Sensus est: *si istum dimisissem, jure mihi ipsi dicam homicidii scripsisse viderer.* Proinde tu Wolfii et mentem et interpretationem mecum corrigas. TAYLOR.

λέ. Χάρης] Obsecutus sum Reiskio nomen, quod est in omnibus edd. Χιάρης, de conjectura mutanti. Quod legitur in libris, ignotum plane est, hoc notissimum inter Athenienses. SPALDING.

Ὑπὲρ] Hic iterum malim περὶ, ut supra §. Θ'. IDEM.

Ἀλλ' Ἀρίσταρχον] Ἀντὶ τοῦ, ἤ. WOLF. Αὐτὸν] Αὐτοῦ, ut §. λά. αὐτόχειρά μου. MARKLAND. Ita Manut. Obsop. Reg. α. et Cod. Vindob. TAYLOR.

Εἰρηκὼς] Ita pro εἰρηκότα, juxta auctoritatem omnium Editt. et MSS. præter Aldum. Verissime interpretatus est Wolfius, textum reformare aut neglexit, aut dubitavit. IDEM.

Ὡς ἐμβεβληκότα] Interpres *sic injecta dextra.* Proinde ut in superioribus, ἐφεξῆς οὕτωσὶ καθεζόμενος. i. e. *Negligenter, temere,* quod Wolfius ibi in versione non debuit omittere. D. Ioannes IV. 6. ἐκα-

οντα κατ' ἐξωλείας μηδὲν κατ' αὐτοῦ πρὸς τὴν βουλὴν εἰρηκέναι φαῦλον, καὶ ἀξιοῦντα Ἀρίσταρχον, ὅπως ἂν διαλλάξῃ αὐτῷ Δημοσθένην.

Τίς οὖν ὑπερβολή; τίς ὁμοία τῇ τούτου γέγονεν, ἢ γένοιτ' ἂν, πονηρία; ὃς ἄνδρα ἀτυχοῦντα, οὐδὲν αὐτὸν ἠδικηκότα, — ἐῶ γὰρ [1] εἰπεῖν φίλον —, ἅμα συκοφαντεῖν ᾤετο δεῖν, καὶ πρὸς ἐμὲ αὐτὸν διαλύειν ἠξίου, καὶ ταῦτ' ἔπραττε, καὶ χρήματ' ἀνήλισκεν, ἐπὶ τῷ μετ' ἐκείνου κἀμὲ προσεκβαλεῖν ἀδίκως;

λς'. Τοῦτο μέντοι τὸ τοιοῦτον ἔθος καὶ τὸ κατασκεύασμα, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τοῖς ὑπὲρ αὐτῶν ἐπεξιοῦσι δικαίως ἔτι πλείω περιϊστάναι κακὰ, οὐκ ἐμοὶ μὲν ἄξιόν ἐστ' ἀγανακτεῖν καὶ βαρέως φέρειν, ὑμῖν δὲ τοῖς ἄλλοις παριδεῖν· πολλοῦ γε καὶ δεῖ· ἀλλὰ πᾶσιν ὁμοίως ὀργιστέον, ἐκλογιζομένοις καὶ θεωροῦσιν, ὅτι τοῦ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, ῥᾳδίως κακῶς παθεῖν ἐγγύτατα ἡμῶν εἰσὶν οἱ πενέστατοι, καὶ ἀσθενέστατοι. τοῦ δ' ὑβρίσαι, καὶ τοῦ ποιήσαντάς [2] τι μὴ δοῦναι δίκην, ἀλλὰ τοὺς ἀντιπαρέξοντας πράγματα μισθώσασθαι, οἱ βδελυροὶ καὶ χρήματ' ἔχοντές [3] [εἰσιν ἐγγυτάτω]. οὐ δὴ δεῖ παρορᾶν τὰ τοιαῦτα, οὐδὲ τὸν ἐξείρ-

555

[1] εἰ T. [2] Deest τι. T. [3] Absunt unci. T.

θέζετο οὕτως ἐπὶ τῇ πηγῇ. *Jacentes sic temere*, Horatius, L. II. Od. XI. Observabis tamen illud οὕτωσὶ dici, hoc ὡς, quod longe secus. Tu delebis, me fidejussore. Annotavit olim nescio quis, istud εἰρηκότα scribi in nonnullis εἰρηκὼς (ut scribi debuit) nimirum — ως pro — οτα: verum deceptus ὁμοιοτελευτῇ verborum, crisin suam apposuit juxta alteram vocem ἐμβεβληκότα, deinde in textum irrepsit et in hunc diem ibi inveteravit. TAYLOR. *Ut erat* Ovid. Metam. sæpe. H. Stephan. Conformité du langage Francois avec le Grec. pag. 86. ubi ostendit οὕτως hic valere ὡς ἔτυχεν. Ita Lucian. in Asino. διὰ τὶ οὕτω καθέζῃ. v. Chrysost. ad locum Ioannis. *In schedis* IDEM.

Ὡς] Turbat orationem vox, quam uncis inclusi. Satis apparet, quomodo potuerit ex proximis irrepere. Abest ab iisdem hisce verbis supra ab ipso Demosthene pronuntiatis. Mirare autem, quam geminum hoc testimonium sit iis, quæ dixerat orator. Dicas contextum esse ab aliquo Grammatico ex iis ipsis; modo constaret, unde nomina testium rescierit ille. SPALDING. ὡς del. vid. AUGER.

Αὐτὸν] Αὐτὸν, *se*. MARKLAND.

λς'. Ἀλλὰ πᾶσιν ὁμοίως ὀργιστέον· ἐκλογιζομένοις κ. τ. λ.] Πάντας ὁμοίως ὀργίζεσθαι προσήκει τοῖς ὑβρισταῖς καὶ ἐκλογίζεσθαι. Constructio est τοῦ θετικοῦ ἐπιῤῥήματος, οὐχὶ δὲ ἡ τοῦ ῥήματος ἰδία. etsi id ipsum etiam dativum postulat, ut ἐγὼ ὀργίζομαι τοῖς ὑβρισταῖς, ὀργιστέον ἐμοὶ τοῖς ὑβρισταῖς. Observetur et participium dandi casu positum, ut cum verbi constructione consentiat. Alias plerumque accusativo, ταῦτ' ἐγνακότας καὶ λογιζομένους, et ἐνθυμουμένους, cum sc. verba præcedentia accusativum postulant. WOLF.

Καὶ τοῦ ποιήσαντας μὴ δοῦναι δίκην] Legendum: καὶ τοῦ κακῶς ποιήσαντας μὴ δοῦναι δίκην. Opponitur nimirum τὸ κακῶς ποιήσαντας, τῷ supra posito κακῶς παθεῖν. JURIN.

Εἰσιν ἐγγυτάτω] Nefas duxi signata verba sine uncis, qui a Reiskio jam additi erant, dimittere. Vix enim potuerunt proficisci a Demosthene. SPALDING.

γοντα δέει καὶ φόβῳ τὸ δίκην, ὧν ἂν ἡμῶν ἀδικηθῇ τις, λαμβάνειν παρ' αὐτοῦ, ἄλλο τι χρὴ νομίζειν ποιεῖν, ἢ τὰς τῆς ἰσηγορίας, καὶ τὰς τῆς ἐλευθερίας ἡμῶν μετουσίας ἀφαιρεῖσθαι. ἐγὼ μὲν γὰρ ἴσως διεωσάμην, καὶ ἄλλος τις ἂν, ψευδῆ λόγον καὶ συκοφαντίαν, καὶ οὐκ ἀνήρπασμαι. οἱ δὲ πολλοὶ τί ποιήσετε, ἂν μὴ δημοσίᾳ πᾶσι φοβερὸν καταστήσητε τὸ εἰς ταῦτα ἀποχρῆσθαι τῷ πλουτεῖν; δόντα λόγον, καὶ ὑποσχόντα κρίσιν, περὶ ὧν ἄν τις ἐγκαλῇ, τότ' ἀμύνεσθαι τοὺς ἀδίκως [1]ἐπ' αὐτὸν ἐλθόντας χρὴ, καὶ τότ', ἂν ἀδικοῦντας ὁρᾷ τις, οὐ προαναρπάζειν, οὐδ', ἐπάγοντ' αἰτίας ψευδεῖς, ἄκριτον ζητεῖν ἀποφεύγειν, οὐδ', ἐπὶ τῷ διδόναι δίκην ἀσχάλλειν, ἀλλὰ μὴ ποιεῖν [2]ἐξαρχῆς ἀσελγὲς μηδέν.

λζ'. Ὅσα μὲν τοίνυν εἴς τε τὴν λειτουργίαν καὶ τὸ σῶμα ὑβρίσθην, καὶ, πάντ' ἐπιβουλευόμενος τρόπον, καὶ πάσχων κακῶς, ἐκπέφευγα, ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι, 556
καὶ παραλείπω δὲ πολλά. οὐ γὰρ ἴσως ῥᾴδιον πάντ' εἰπεῖν. ἔχει δ' οὕτως· οὐκ ἔσθ' ἐφ' ὅτῳ τῶν πεπραγμένων ἐγὼ μόνος ἠδίκημαι, ἀλλ' ἐπὶ μὲν τοῖς εἰς τὸν χρόνον γεγενημένοις ἀδικήμασιν, ἡ φυλὴ, τὸ δέκατον μέρος ὑμῶν, συνηδίκηται· ἐπὶ δ' οἷς ἐμὲ ὕβρισε καὶ ἐπεβούλευσεν, οἱ νόμοι, δι' οὓς

[1] ἐφ' αὐτὸν T. [2] ἐξ ἀρχῆς T.

Τὸ δίκην] Quære, annon τοῦ δίκην — λαμβάνειν. MARKLAND.

Τὰς] Displicet accusativus articuli repetitus ante μετουσίας. Poterat facile ille se insinuare inter tot sui generis voculas. SPALDING.

Δόντα] Margo Berolinensis post hanc vocem inserit δέ. Mollior videtur cum eo transitus. IDEM.

Καὶ τότε ἂν ἀδικοῦντας ὁρᾷ τις] F. καὶ ὅταν, vel ὁπόταν ἀδικοῦντά σε ὁρᾷ τις. WOLF. Editt. omnes et MSti plurimi constanter, ut ego editum curavi. Scriptura, quam nulla auctoritate munitus adeo tuetur Wolfius, planissimam et expeditissimam periodum nobis intricatam præstitit. Hem! vide, quantum præstet Lectio nostra: *Si quis te criminetur, sine de te judicium capi; quod ubi diligenter celebratum fuerit, post tuam causam nimirum cognitam, tum demum, si te læsum fuisse queraris, aut si alios criminis alicujus postulas, ad judicem ito: neque tu tuam causam, novo interposito crimine, præreptam velis.* TAYLOR. Recte hæsit in hoc loco H. Wolfius, in corrigendo eo minus felix. Non autem erat, quod ei emendationem tentanti obloqueretur Taylorus et planissimam atque expeditissimam diceret hanc periodum. Reiskius sensit, quod res est, excidisse infinitivum inter τὶς et οὐ qui responderet et opponeretur τῷ προαναρπάζειν. Eorum, quæ proponit, simplicissimum sit, inserere τιμωρεῖσθαι, quod, post τὶς, ab oscitante librario poterat omitti. Sed præterea vitium loco inesse suspicor, in antecedentibus, ubi τότ', ante ἀμύνεσθαι, obscurum et inconcinnum mihi facere videtur insequens καὶ τότ', ante ἂν ἀδικ. Necessarium non est in priori loco, ferri tamen optime posset, nisi iterum subjiceretur deinde. Si expunxeris illic, hic aptissime legetur, et, addito inf. τιμ., tota oratio limpidissime fluet. SPALDING. καὶ ὁπόταν ἀδικοῦντα ἑαυτὸν ὁρᾷ. AUGER.

εἷς ἕκαστος ὑμῶν σῶς ἐστίν· ἐφ' ἅπασι δὲ τούτοις, ὁ θεὸς, ᾧ χορηγὸς ἐγὼ καθειστήκειν, καὶ τὸ τῆς ὁσίας, [1] ὁτιδήποτ' ἐστὶ, τὸ σεμνὸν, καὶ τὸ δαιμόνιον, συνηδίκηται. δεῖ δὴ τούς γε βουλομένους ὀρθῶς τὴν κατ' ἀξίαν τῶν πεπραγμένων παρὰ τούτου δίκην λαβεῖν, οὐχ, ὡς [2] ὑπὲρ ἐμοῦ μόνον ὄντος τοῦ λόγου, τὴν ὀργὴν ἔχειν, ἀλλ', ὡς ἐν ταὐτῷ, τῶν νόμων, τοῦ θεοῦ, τῆς πόλεως, [3] ὁμοῦ πάντων ἠδικημένων, οὕτω ποιεῖσθαι τὴν τιμωρίαν· καὶ τοὺς βοηθοῦντας [4] καὶ συνεξεταζομένους μετὰ τούτου, μὴ συνηγόρους μόνον, ἀλλὰ καὶ δοκιμαστὰς τῶν τούτῳ πεπραγμένων, ὑπολαμβάνειν εἶναι. εἰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, σώφρονα καὶ μέτριον πρὸς τἄλλα παρεσχηκὼς αὐτὸν Μειδίας, καὶ μηδένα τῶν ἄλλων πολιτῶν μηδὲν ἠδικηκὼς, εἰς ἐμὲ μόνον ἀσελγὴς οὕτω καὶ βίαιος ἐγεγόνει, πρῶτον μὲν ἔγωγ' ἀτύχημ' ἂν ἐμαυτοῦ τοῦτο ἡγούμην· ἔπειτ' ἐφοβούμην ἄν, μὴ τὸν ἄλλον ἑαυτοῦ βίον οὗτος μέτριον δεικνύων καὶ φιλάνθρωπον, τούτῳ τὸ [5] δίκην δοῦναι, ὧν ἐμὲ ὕβρικε, διακρούσηται. νυνὶ δὲ τοσαῦτ' ἐστὶ δὴ τἄλλα, ἃ πολλοὺς ὑμῶν ἠδίκηκε, καὶ τοιαῦτα, ὥστε τούτου μὲν τοῦ δέους ἀπήλλαγμαι· φοβοῦμαι δὲ πάλιν τοὐναντίον, μὴ, ἐπειδὰν πολλὰ καὶ δεινὰ ἑτέρους ἀκού-
557 σητε ὑπ' αὐτοῦ πεπονθότας, τοιοῦτός τις ὑμῖν λογισμὸς

[1] ὅ, τι δήποτ' T. [2] ὑπὲρ ἡμᾶν ὄντος μόνον τοῦ T. [3] ἐμοῦ, T.
[4] καὶ τοὺς συνεξεταζομένους T. R. [5] δίκην ἂν ἐμὲ ὕβρικε δοῦναι T.

λζ'. Ἐφ' ἅπασι δὲ τούτοις, ὁ θεὸς, ᾧ χορηγὸς ἐγὼ καθειστήκειν] *Postremo deus ipse, cujus ludis peragendis ego choragus designatus fueram, simul fas ipsum ejusque majestas et numen quodcunque est illud tandem, mecum utique contumelia affecta sunt.* nam ὁσία singulariter etiam ut ὅσιον dicitur id quod *fas* appellamus, id est, numen metuendum et reverendum. Idem alibi, οὔτε θεοὺς οὔθ' ὁσίας, pro *nec deos nec fas*, dixit. *Ex edit.* HERVAG.

Ὁτιδήποτ' ἐστὶ] Id ipsum in quo offenditur Reiskius, qui ὁτιδήποτε non nisi elevandi causa subjici solere arbitratur, mihi augustum in primis et grande visum est. Sic et Romani *nescio quid* in augendis rebus dicunt non minus quam in extenuandis. Arcanum aliquod et ineffabile numen est *fas* et *justitia*. SPALDING.

Ἐμοῦ] Ὁμοῦ conjecit Wolfius. Eleganter et adeo vere, quam quod ita est maxime. Ita legit quoque Baroc. cum Augustano. Deinde, v. 8. addidi τοὺς ante συνεξεταζομένους juxta fidem omnium Editt. (Aldina excepta) et MSS. Bar. Obsop. Vindob. Ital. Porro, v. 10. ὑπολαμβάνειν pro ὑπολαμβάνετε, cum Bar. Ven. Aug. TAYLOR. Omisi articulum τοὺς, qui abest ab Ald. Cod. Bav. et Wolfiana. Restituit eum de industria Taylorus et servavit Reiskius. Minus recte uterque, nisi fallor. Sunt iidem qui βοηθοῦσι et συνεξετάζονται, quorum vocabulorum posterius est synonymum fere prioris, et recte exponitur ab Ulpiano ἅμα αὐτῷ φαίνεσθαι καὶ συνδιατρίβειν. Pro φαίνεσθαι est ἐξετάζεσθαι supra §. ιθ'. ἐχθρὸν ἐξεταζόμενον; συνεξετάζεσθαι pro *versari cum aliquo, adesse alicui*, infra: τοὺς ῥήτορας συνεξεταζομένους τούτῳ ὄψεσθε. Bis autem ponendo articulo duo genera hominum designari viderentur. SPALDING.

Δοκιμαστὰς] Δοκιμαστὴς hic est non ἐξεταστὴς, sed ὁ ἀποδεχόμενος καὶ συνευδοκῶν. WOLF.

ἐμπέσῃ· τί [1] οὖν, οὐ δεινότερα, ἢ τῶν ἄλλων εἷς ἕκαστος, πεπονθὼς, ἀγανακτεῖς; πάντα μὲν δὴ τὰ τούτῳ πεπραγμένα, οὔτ' ἂν ἔγωγε δυναίμην πρὸς ὑμᾶς εἰπεῖν, οὔτ' ἂν ὑμεῖς ὑπομείναιτ' ἂν ἀκούειν, οὐδ', εἰ τὸ παρ' ἀμφοτέρων ἡμῶν ὕδωρ ὑπάρξειε πρὸς τὸ λοιπὸν, πᾶν, τό τ' ἐμὸν, καὶ τὸ τούτου προστεθὲν, οὐκ ἂν ἐξαρκέσειεν. ἃ δ' ἐστὶ μέγιστα, καὶ φανερώτατα, ταῦτ' ἐρῶ. μᾶλλον δ' ἐκεῖνο ποιήσω. ἀναγνώσομαι μὲν ὑμῖν, ὡς ἐμαυτῷ γέγραμμαι, πάντα τὰ ὑπομνήματα. Λέξω δ', ὅ τι ἂν πρῶτον ἀκούειν βουλομένοις ὑμῖν ᾖ, [2] τοῦτο πρῶτον· εἶθ' ἕτερον, καὶ τἆλλα τὸν αὐτὸν τρόπον, ἕως ἂν ἀκούειν βούλησθε. ἔστι δὲ ταῦτα παντοδαπὰ, καὶ ὕβρεις πολλαὶ, καὶ περὶ τοὺς οἰκείους κακουργήματα, καὶ περὶ τοὺς θεοὺς ἀσεβήματα, καὶ τόπος οὐδείς ἐστιν, ἐν ᾧ τοῦτον οὐ θανάτου πεποιηκότα ἄξια πολλὰ εὑρήσετε.

ΥΠΟΜΝΗΜΑΤΑ ΤΩΝ ΜΕΙΔΙΟΥ ΑΔΙΚΗΜΑΤΩΝ.

λή. Ὅσα μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ἀεὶ προστυχόντ' αὐτῷ πεποίηκε, ταῦτ' ἐστί. καὶ πολλὰ ἕτερα παραλέλοιπα. οὐ γὰρ ἂν δύναιτο οὐδεὶς εἰσάπαξ εἰπεῖν, ἃ πολὺν χρόνον οὗτος, [3] ὑβρίζων συνεχῶς ἅπαντα τὸν βίον, εἴργασται. ἄξιον δ' ἰδεῖν ἐφ' ὅσον φρονήματος ἤδη προελήλυθε, τῷ τούτων δίκην μηδενὸς δεδωκέναι. οὐ γὰρ ἡγεῖθ',

[1] οὖν; σὺ μὴ δεινότερα T. οὖν; * οὐ δ. R. [2] Deest τοῦτο. T.
[3] ὑβρίζων, - - - - βίον εἴργασται R.

Τί οὖν; σὺ δεινότερα] Addenda negatio, σὺ μὴ δεινότερα. Nec enim mihi placet Ulpiani enarratio: cum subjiciantur atrocissima crimina, graviora etiam iis, quæ in Demosthenem commisit. Idem. Secutus sum Reiskianam emendationem, lenissimam eam, quæ σὺ mutat in οὐ. Potest quidem explicari et defendi vulgata lectio, sed abruptior videtur, neque satis in antecedentibus præparata; quam vix potuisse carere τῷ ἄρα vel πότερον crediderim. Mutavi præterea interpunctionem, a Lamb. et Rsk. receptam, quæ interrogandi signum habet post οὖν, repetitque illud post ἀγανακτεῖς. τί οὖν melius coit cum sequentibus, et significat fere, quod εἶτα in expostulando. Spalding.

Παρ' ἀμφοτέρων ὑμῶν] Lego ἡμῖν, vel ἐμοὶ ὕδωρ παρ' ἀμφοτέρων· ἐμοῦ τε τοῦ διώκοντος καὶ Μειδίου τοῦ φεύγοντος. Wolf. Promptior est medicina παρ' ἀμφοτέρων ἡμῶν. Atque ita tandem comperio scriptum in optimo Codice Vindobonensi. Taylor.

Πρῶτον] Τοῦτο πρῶτον Fel. Man. Bar. Ital. Obsop. Vindob. Recte. Idem.

Τόπος] Recte monet Ulpianus non intelligi locum aliquem in urbe, ut Ceramicum aut forum, sed locos oratorios, aut argumentorum sedes. Sic venuste noster contra Aristogitonem: ἤδη τινὰς εἶδον τῶν ἀγωνιζομένων, οἵ, οὐκ ἔχοντες, ὡς οὐκ ἀδικοῦσι, δεῖξαι, οἱ μὲν εἰς τὴν τοῦ βίου μετριότητα καὶ σωφροσύνην κατέφυγον, οἱ δ' εἰς τὰ τῶν προγόνων ἔργα κ. τ. λ. τούτῳ δ' οὐδένα ὁρῶ τῶν τόπων τούτων βάσιμον ὄντα, ἀλλὰ πάντα ἀπόκρημνα, φάραγγας, βάραθρα. Spalding.

ὡς ἐμοὶ δοκεῖ, λαμπρὸν, οὐδὲ νεανικὸν [1] οὐδὲν, οὐδὲ ἄξιον [2] εἶναι θανάτου, ὅ τι ἄν τις πρὸς ἕνα εἷς διαπράττηται. ἀλλ', εἰ μὴ [3] καὶ φυλὴν ὅλην καὶ βουλὴν καὶ ἔθνος προπηλακιεῖ, καὶ πολλοὺς ἀθρόους ὑμῶν ἅμα ἐλᾷ, ἀβίωτον ᾤετο
558 ἔσεσθαι τὸν βίον [4] ἑαυτῷ. καὶ τὰ μὲν ἄλλα σιωπῶ, μυρία ἂν ἔχων εἰπεῖν. περὶ δὲ τῶν συστρατευσαμένων ἱππέων εἰς Ἄργουραν, ἵστε δήπου πάντες οἷα ἐδημηγόρησε παρ' ὑμῖν, ὅθ' ἧκεν ἐκ Χαλκίδος, κατηγορῶν καὶ φάσκων, ὄνειδος ἐξελθεῖν τὴν στρατιὰν ταύτην τῇ πόλει· καὶ τὴν λοιδορίαν, ἣν ἐλοιδορήθη Κρατίνῳ, περὶ τούτων, [5] τῷ νῦν, ὡς ἐγὼ πυνθάνομαι, μέλλοντι βοηθεῖν [6] αὐτῷ, μέμνησθε. τὸν [7] δὲ τοσούτοις ἀθρόοις τῶν πολιτῶν ἔχθραν ἐπ' οὐδενὶ τηλικαύτην ἀράμενον, πόσῃ πονηρίᾳ καὶ θρασύτητι ταῦτα χρὴ νομίζειν πράττειν; καίτοι, [8] πότεροί εἰσιν, ὦ Μειδία, ὄνειδος τῇ [9] πόλει, οἱ διαβάντες ἐν τάξει, καὶ τὴν σκευὴν ἔχοντες, ἣν προσῆκε τοὺς ἐπὶ τοὺς πολεμίους ἐξιόντας, καὶ [10] συμβαλουμένους τοῖς συμμάχοις, ἢ σὺ, ὁ μηδὲ λαχεῖν εὐχόμενος τῶν ἐξιόντων, ὅτ' ἐκληροῦ· τὸν θώρακα δὲ οὐδεπώποτ' ἐνδὺς, ἐπ' ἀστράβης δὲ ὀχούμενος ἐξ Ἀργούρας τῆς Εὐβοίας, χλανίδας

[1] Deest οὐδέν. T. [2] [εἶναι] R. [3] Deest καί. T. [4] αὐτῷ T. [5] Desunt τῷ νῦν. R. [6] αὐτῷ R. [7] δὴ T. R. [8] πότερ' T. [9] πόλει; R. [10] συμβαλλομένους T.

Ἄργουραν] Eubœæ oppidum. IDEM.

Καὶ τὴν λοιδορίαν, ἣν ἐλοιδορήθη Κρατίνῳ] Wolfius: *et quibus conviciis Cratinum fuerit insectatus.* Potius, ni fallor: *et quibus conviciis eum Cratinus fuerit insectatus.* Certe, si Græca utrumque sensum capiunt, id magis e re Oratoris esset, judicibus subjicere, Cratinum antea Midiam maximis conviciis insectatum fuisse, nunc vero eidem patrocinari. JURIN.

Κρατίνῳ] Στρατηγὸς ἦν οὗτος τοῦ πεζοῦ. Ulp. SPALDING.

Τῷ νῦν] Quæ verba absunt ab Ald. et Paris. restitui ex Wolfiana et Hervag. (1547) edd. et Marg. Berol. Mirum Reiskio adeo nihil suboluisse ut errorem propagaret. Sed scripsit idem in seqq. αὐτῷ; quo apparet eum junxisse βοηθεῖν αὐτῷ περὶ τούτων. Absentia tamen articuli, τῷ, vel sic eum vitii admonere debebat. IDEM.

Ταῦτα] Nempe hæc de quibus hodie agitur. AUGER.

Πότερ'] Πότεροι Baroc. Wolfius hic interpretatur, quasi legisset συμβαλλόμενοι. Redde cum Italo: *Ma dimmi, o Media, chi è colui, che fa vergogna alla città, coloro che fanno passagio in ordinanza con quelli arnesi, che a coloro, che vanno ad affrontare i nimici, et a congiongersi co' confederati si richieggono: o tu* etc. TAYLOR.

Ἢ σὺ, ὁ μηδὲ κ. τ. λ.] *Vel tu qui cum sortitionem faceres, vota faciebas ut non sorte contingeret esse inter militantes.* AUGER.

Ἐπ' ἀστράβης δὲ ὀχούμενος ἐξ Ἀργούρας τῆς Εὐβοίας] Ulpianus hoc loco non caret culpa, qui legit ἐξ ἀργυρᾶς, et sic ait: τὸ γὰρ ἠργυρῶσθαι τὴν καθέδραν δεῖγμα ἦν τοῦ ἐπιτηδεύοντος καὶ ἐντρυφῶντος τούτῳ τῷ εἴδει. Sed debebat meminisse, supra v. 6. Demosthenem dixisse: περὶ δὲ τῶν συστρατευομένων ἱππέων εἰς Ἄργουραν, et infra hac eadem oratione, §. μέ. *fin.* ἐπειδὴ δὲ ὁ στρατηγὸς Φωκίων μετεπέμπετο τοὺς ἐξ Ἀργούρας ἱππέας. Itaque non fuit argentata cathedra, sed cathedra vehebatur in reditu ex Argura, Eubœæ loco vel

[1] δὲ καὶ κυμβία, καὶ κάδους ἔχων, ὧν ἐπελαμβάνοντο οἱ πεντηκοστολόγοι; ταῦτα γὰρ εἰς τοὺς ὁπλίτας ἡμᾶς ἀπηγγέλλετο. οὐ γὰρ εἰς ταὐτὸν ἡμεῖς τούτοις διέβημεν. εἶτα εἴ σε ἐπὶ τούτοις ἔσκωψεν Ἀρχετίων, [2] ἤ τις ἄλλος, πάντας ἤλαυνες; εἰ μὲν γὰρ ἐποίεις ταῦτα, ὦ Μειδία, ἃ σέ φασιν οἱ συνιππεῖς, καὶ [3] κατηγορεῖς ὡς λέγοιεν περὶ σοῦ, δικαίως κακῶς ἤκουες. καὶ γὰρ ἐκείνους, καὶ [4] τουτουσὶ, καὶ ὅλην τὴν πόλιν ἠδίκεις καὶ κατήσχυνες. εἰ δὲ μὴ ποιοῦντός σου, κατεσκεύαζόν τινες καταψευδόμενοί σου, οἱ δὲ λοιποὶ τῶν στρατιωτῶν οὐκ ἐκείνοις ἐπετίμων, ἀλλὰ σοὶ

[1] [δὲ] R. [2] εἴ T. [3] κατηγόρεις T. R. [4] τούτους T.

oppido, de quo Stephanus. PALMER. Malo stare ab hoc doctissimo Tribuno, quam ab aliis, qui et numero et ætate vincunt. Inter eos esse videtur Helladius Besantinous in Chrestomath. apud Photium, p. 1590. Λέγεται μέντοι ἀστράβη καὶ τὸ κατασκεύασμα· ὡς Δημοσθένης ἐν τῷ κατὰ Μειδίου λόγῳ, ἐπ' ἀστράβης ὀχούμενος ἀργυρᾶς. Ulpiani auctoritate se vinci palam profitetur Maussacus ad Harpocr. En ipsius verba! "Sed quid faciemus Ulpiano, vetere Demosthenis interprete, qui ad hæc Midianæ ἐπ' ἀστράβης ὀχούμενος, non Ἀργούρας cum Harpocratione, et fæce interpretum, ut ille loquitur, legendum esse putavit, sed Ἀργυρᾶς? Ita ut secundum eum ex verbis Demosthenis hic sensus sit eliciendus: Midiam usum esse cathedra argentea, ad mollitiem et ejus lasciviam arguendam et aperiendam, non cathedra ex Argura Eubœæ civitate sibi comparata, quomodo vulgus existimabat. Verba illius digna relatu sunt: Εἶθ, inquit, ἵνα μὴ ἀντιπέσῃ, τί οὖν εἰ κακωθεὶς ἐχρήσατο ταύτῃ τῇ καθέδρᾳ, προσέθηκεν ἀργυρᾶς, τὸ μὲν ἠργυρῶσθαι τὴν καθέδραν, δεῖγμα ἦν τοῦ ἐπιτηδεύοντος καὶ ἐντρυφῶντος τούτῳ τῷ εἴδει· τὸ δὲ καὶ ἐξ Εὐβοίας, ὅτι μὴ εἰαθόταν τῶν Ἀθήνησι τοιαύτας ἐργάζεσθαι, αὐτὸς ἐξ Εὐβοίας ὠνήσατο. ἡ δὲ δημάδης [scriptura scilicet aut lectio vulgaris] ἐξ Ἀργούρας ἔχει, ἀπὸ τόπου τῆς Εὐβοίας, ἀλλὰ τὰ ἑξῆς δηλοῖ, ὅτι μαλακίαν αὐτῷ, καὶ τρυφὴν ὀνειδίζει; χλανίδας λέγων, καὶ ἱμάτια τρυφερὰ καὶ σκεύη ἐπιτήδεια πρὸς ἀνειμένον εἶον. Quæ profecto verissima et acutissima sunt, et vulgarem aliam lectionem rejiciendam demonstrant apertissime." Hæc Maussacus. Ἀργυρᾶς marg. Par. cum scholiaste: ὀχούμενος Ἀργούρας τῆς ἐξ Εὐβοίας Codd. Vindob. Ital. et Lindenb. TAYLOR.

Ἀστράβης] Lucianus Lexiph. sub init. T. V. p. 178. ed. Bip. ἐπ' ἀστράβης ὀχηθεὶς, ubi σχτης. Ἀστράβη, τὸ σάγμα, ἤτοι ἡ σέλλα. Mox: ἄλλοι δὲ, ἀστράβην, ὡς Ἀθηναῖοι, τὴν ἄζυγον φασὶν ἡμίονον, ἐφ' ἧς ὀχούμεθα. Lysias περὶ τοῦ Ἄδυν. p. 747. Athen. XIII. p. 582. Cf. Hesych. v. ἀστράβη. Vid. Jul. Poll. VII. segm. 186. Voss. Etymol. v. Astraba. Schol. Æschyl. in Suppl. v. 293. ἀστράβη λέγεται ἡ ναυτοφόρος ἡμίονος. Sic et Mœris. Alberti ad Hesych. Hæc et alia laudant Berglerus et alter ad Alciphronis Epist. Lib. II. ep. III. p. 322. V.

Ὧν ἐπελαμβάνοντο οἱ πεντηκοστολόγοι] Wolfius: *quæ publicani pignerabant.* Potius: *quæ publicani attinuerunt,* nempe donec portorium solveretur. JURIN.

Πεντηκοστολόγοι] Portitores, quinquagesimam mercium partem, secundum legem, ab advehentibus pariter atque asportantibus exigentes. Monet apte Ulpianus supellectilem bellicam immunem fuisse; quæ autem ad usus domesticos aut luxui inservitura inferrentur, ea portitores retinuisse, dum penderetur quinquagesima. SPALDING.

Ἡμᾶς] Ita ex Bar. Fel. Man. Par. Ital. pro ὑμᾶς. TAYLOR. Legendum ἡμᾶς, quod clare apparet ex sequentibus, ἡμεῖς διέβημεν. JURIN.

Εἴ τις ἄλλος] Ἢ τις ἄλλος. MARKLAND. Quæ conjectura confirmatur a Vindobonensi. TAYLOR.

Κατηγορεῖς] Accentum immutavi, ut præsens tempus fieret de imperfecto, quod est in omnibus edd. Hoc necesse esse credo, οὓς φασὶ, quod etiam debebat esse ἔφασαν, si κατηγόρεις recte scriberetur. H. Wolfius in versione utrobique expressit *imperfectum,* Augerus utrobique *præsens.* SPALDING.

Κατεσκεύαζον] Emendaveram olim κατεκλεύαζον. Ita legit et Lambinus. TAYLOR.

ἐπέχαιρον, δῆλον ὅτι ἐκ τῶν ἄλλων, ὧν ἔζης, ἄξιος αὐτοῖς
559 ἐδόκεις εἶναι τοῦ τοιαῦτα ἀκούειν. σαυτὸν οὖν μετριώτερον ἐχρῆν παρέχειν, οὐκ ἐκείνους διαβάλλειν. σὺ δ' ἀπειλεῖς πᾶσιν, ἐλαύνεις πάντας· τοὺς ἄλλους ἀξιοῖς, ὅ τι σὺ βούλει, σκοπεῖν, οὐκ αὐτὸς σκοπεῖς, ὅ τι μὴ [1] λυπήσεις τοὺς ἄλλους ποιῶν. καὶ τὸ δὴ [2] σχετλιώτατον καὶ μέγιστον ἔμοιγε δοκοῦν ὕβρεως εἶναι σημεῖον· τοσούτων ἀνθρώπων, ὦ μιαρὰ κεφαλή, σὺ παρελθὼν ἀθρόων κατηγόρεις! [3] ὃ τίς οὐκ ἂν ἔφριξε ποιῆσαι τῶν ἄλλων;

λθ'. Τοῖς μὲν τοίνυν ἄλλοις ἅπασιν ἀνθρώποις ὁρῶ τοῖς κρινομένοις, ὦ ἄνδρες δικασταί, ἓν μὲν ἢ δύο ὄντα τἀδικήματα, ἃ [4] κατηγορεῖται· λόγους δὲ ἀφθόνους τοιούτους ὑπάρχοντας· Τίς ὑμῶν ἐμοί τι σύνοιδε τοιοῦτον; Τίς ὑμῶν ἐμὲ ταῦθ' ἑώρακε ποιοῦντα; Οὐκ ἔστιν.—ἀλλ' οὗτοι δ' ἔχθραν καταψεύδονταί [5] μου. Καταψευδομαρτυροῦμαι. τὰ τοιαῦτα. τούτῳ δ' αὖ τἀναντία τούτων. Πάντας γὰρ ὑμᾶς εἰδέναι νομίζω τὸν τρόπον τὸν τούτου, καὶ τὴν ἀσέλγειαν, καὶ τὴν ὑπερηφανίαν [6] τοῦ βίου, καὶ πάλαι θαυμάζειν ἐνίους οἴομαι, ὧν αὐτοὶ μὲν ἴσασιν, οὐκ ἀκηκόασι δὲ νῦν ἐμοῦ. πολλοὺς δὲ τῶν πεπονθότων οὐδὲ πάνθ', ὅσα ἠδίκηνται, μαρτυρεῖν ἐθέλοντας ὁρῶ, τὴν βίαν καὶ τὴν φιλοπραγμοσύνην [7] ὀρρωδοῦν-

[1] λυπήσῃς T. R. [2] σχετλιότατον T. [3] ὅ τις T. R. [4] κατηγοροῦνται T. R. [5] μου, καταψευδομαρτυροῦμαι τὰ T. [6] τὴν τοῦ T. [7] ὀρᾶντας T. R.

Λυπήσεις] Obsecutus sum plurimis, iisque præstantibus Codd. Futurum λυπήσεις scribendo, pro Conjunctivo Aor. qui est in omnibus edd. Non enim puto conjunctivum hic locum habere ex bona Græcitate. Optativus ferri posset (ut est in margine Benenati), sed addita particula ἄν. SPALDING.

Ἀθρόων] Ita ex auctoritate Edit. Benenati et mente Wolfii, pro communi ἀθρόον. TAYLOR.

λθ'. Ἀνθρώποις] Malim abesse ἀνθρώποις, ut abest ab Aug. pr. SPALDING.

Κατηγορεῖται] Prætuli lectionem Aug. pr. κατηγορεῖται vulgatæ κατηγοροῦνται, quia ad personas κατηγορεῖν cum accusativo non refertur. IDEM.

Ξύλων καὶ χαράκων καὶ βοσκημάτων] Hunc locum allegat Plutarchus in libello, *An seni gerenda sit Resp.* Ὅπου γὰρ ὁ Δημοσθένης φησὶν ἀνάξια πάσχειν τὴν Πάραλον ἱερὰν οὖσαν τριήρη, ξύλα, καὶ χάρακας, καὶ βοσκήματα τῷ Μειδίᾳ παρακομίζουσαν· ἤ που πολιτικὸς ἀνὴρ κ. τ. λ. Sed fallitur eruditissimus Scriptor: non enim hæc gesta sunt in Paralo, sed in trireme, quæ Midiæ erat privata. Fuit quidem Midias Parali Quæstor, ut liquebit §. μζ'. Sed duas historias commiscuit, memoria nimium fretus. Quod tamen minime debuit: nam ni hæc in Paralo essent gesta, corruit argumentatio Plutarchi, et labefacta est omnis vis et gratia istius orationis. Locum vide. Taylor.

μζ'. Εἰ τοίνυν] Hæc melius ordinarentur juxta Italicum interpretem, hoc modo: sc. εἰ τοίνυν ὡς ἀληθῶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτ' ἦν αὐτῷ καὶ τὰ λελειτουργημένα καὶ πεπραγμένα, ἅπερ φήσει καὶ καταλαζονεύσεται πρὸς ὑμᾶς αὐτίκα δὴ μάλα, καὶ μὴ τοιαῦτα, οἷα ἐγὼ δεικνύω. *Se ben tutte le cose, Signori Atheniesi, fossero state così fatte et administrate da lui, come egli le dirà, e presto presto se n' avanterà con voi, e non com' io le mostro.* Vide, quantum præstet interpretationi Wolfianæ. Idem. Sensus, manente hoc vocabulo, ἅπερ, non impeditur; neque operæ pretium igitur erat textum corrigere, quod Reiskius fecit, scribendo οἷάπερ; etsi prætuleris hoc, si in Cod. inveneris. Nunc ἅπερ aut pronomen est relativum respiciens ad τοιαῦτα, aut adverbium, pro καθάπερ; de quo vocis usu vide Stephanum in Thesauro. Propter antecedens οι in Ἀθηναῖοι valde probabilis est conjectura Reiskii. Spalding.

Δέδονται] Ita antiquissimi Codd. et Editiones, non δίδονται cum Wolfio. Taylor.

ὅτι τοὺς ὑβρίζοντας [1] ἔπαυσαν· ὅτι τοίνυν καὶ κεκόμισται χάριν, ὦ ἄνδρες Ἀθηναῖοι, παρ' ὑμῶν, οὐ μόνον, ὧν αὐτὸς λελειτούργηκε, λειτουργιῶν ἀξίαν, — μικρὰ γὰρ αὕτη γέ τις ἦν —, ἀλλὰ καὶ τῶν μεγίστων, καὶ τοῦτο βούλομαι 570
δεῖξαι, ἵνα μηδ' ὀφείλειν οἴησθέ τι τῷ καταπτύστῳ τούτῳ. ὑμεῖς γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον [2] ἐχειροτονήσατε τῆς Παράλου ταμίαν, ὄντα τοιοῦτον, οἷός ἐστι, καὶ πάλιν ἵππαρχον, ὀχεῖσθαι διὰ τῆς ἀγορᾶς ταῖς πομπαῖς οὐ δυνάμενον, καὶ μυστηρίων ἐπιμελητὴν, καὶ ἱεροποιόν ποτε καὶ βοώνην, καὶ τὰ τοιαῦτα δή. εἶτα πρὸς τῶν θεῶν, τὸ τὴν τῆς φύσεως κακίαν, καὶ ἀνανδρίαν, καὶ πονηρίαν, ταῖς παρ' ὑμῶν ἀρχαῖς καὶ τιμαῖς καὶ χειροτονίαις ἐπανορθοῦσθαι, μικρὰν ὑπολαμβάνετε εἶναι δωρεὰν καὶ χάριν; καὶ μὴν εἴ τις αὐτοῦ ταῦτ' ἀφέλοιτο· ἱππάρχηκα, τῆς Παράλου ταμίας γέγονα· τίνος ἔστ' ἄλλου ἄξιος οὗτος;

μή. Ἀλλὰ μὴν κἀκεῖνό γε ἐπίστασθε, ὅτι τῆς μὲν Παράλου ταμιεύσας, Κυζικηνῶν ἥρπασε πλεῖον, ἢ πέντε τά-

[1] ἔπαυσαν. T. R.

[2] ἐχειροτονήσατε τοῦτον T.

Κεκόμισται] Nempe Midias. AUGER.

Μικρὰ] Ad λειτουργίαν referri nequit μικρὰ, tum quod antecedit pluralis λειτουργιῶν, tum quia pro ἦν deberet esse ἐγένετο. Ad χάριν igitur referendum est; sed tum locus vix potest carere particula ἄν; (*habita esset* gratia, non vere *habita est*). Eam inter τις et ἦν inseri vult Reiskius: equidem posuerim ante αὕτη, ubi facilius excidebat propter literas similes sequentes. SPALDING.

Ἐχειροτονήσατε —— ἵππαρχον] *Hunc equitum præfectum creavistis, qui ne in transvectione quidem, quæ per forum fieri solet, equo vehi potest.* Transvectionem enim apud T. Livium, Suetonium, et Valerium, pro equitum probatione dici, quod a Græcis, ut hoc loco ὀχεῖσθαι διὰ τῆς ἀγορᾶς appellatur, a Bud. in L. secundam, de in jus vocando, annotatum est. Similem autem legem fuisse apud Athenienses, testis est idem Demosthenes eadem Oratione: qui etiam legis verba ponit, cujus Evagoram latorem fuisse dicit, 'Ne scilicet in pompa Liberi patris prehendi aliquem, aut pignora capi ejus liceret. Transvectionem hodie monstram vocamus, quum equites solenniter recensentur.' Hæc, et plura Budæus in Pandectis. *Ex edit.* HERVAG.

Παράλου] Δύο εἰσὶ νῆες ὑπερηνίδες παρ' Ἀθηναίοις, ἡ Πάραλος καὶ ἡ Σαλαμινία. — ἡ Πάραλος τὰς θεωρίας ἀπῆγε, τουτέστι τὰ ἐς θυσίας πεμπόμενα. Scholiastes Aristophanis. Τούτων τῶν ἱερῶν τριηρῶν αὕτη (l. αὐτὴ) ἡ πόλις ἐπεμελεῖτο, καὶ χρήματα ἐδίδου τοῖς ταμίαις, ὥστε αὐτῶν ἐπιμελεῖσθαι, καὶ παρέχειν ταχυναυτούσας, καὶ τιμὴ ἦν τὸ τούτων τινὸς ἐπιμεληθῆναι. Ulpian. SPALDING.

Ὀχεῖσθαι] Melius legitur in aliis Editionibus ὀχεῖσθαι. PALMER. Lectionem antiquam Editt. Aldinæ et Parisinæ recte reformavit cum Wolfio Palmerius, quibus succenturiantur MSS. fere omnes libri. TAYLOR.

Ἱεροποιὸν] Τὸν ἐπισκοποῦντα τὰ θύματα, μὴ ἀδόκιμα καὶ πηρά. βοώνην δὲ, τὸν ὠνούμενον βοῦς εἰς τὰς ἑορτάς. Ulp. SPALDING.

Βοώνην] Τὸν ὠνοῦντα τὰς βοῦς εἰς τὰς θυσίας. WOLF.

Φύσεως] Dicat aliquis corpore debili fuisse Midiam, unde ne equo hærere quidem potuerit. Nihil tamen de ea re constat. SPALDING.

Ἐπανορθοῦσθαι] *Emendare*, Wolfius. Potius: *compensare*, vel *extollere*. JURIN.

μή. Κυζικηνῶν] Ἐν τῷ συμμαχικῷ πολέμῳ

λαντα. ὑπὲρ ὧν ἵνα μὴ δῷ δίκην, πάντα τρόπον περιωθῶν καὶ ἐλαύνων τοὺς ἀνθρώπους, καὶ τὰ σύμβολα συγχέων, τὴν μὲν πόλιν ἐχθρὰν τῇ πόλει πεποίηκε, τὰ χρήματα δ' αὐτὸς ἔχει. ἵππαρχος δὲ χειροτονηθεὶς, λελύμανται τὸ ἱππικὸν ὑμῶν, τοιούτους θεὶς νόμους, οὓς πάλιν αὐτὸς ἔξαρνος ἦν μὴ τεθεικέναι. καὶ τῆς μὲν Παράλου ταμιεύων τότε, ὅτε τὴν ἐπὶ Θηβαίους ἔξοδον εἰς Εὔβοιαν ἐποιεῖσθε ὑμεῖς, δώδεκα τῆς πόλεως τάλαντα ἀναλίσκειν ταχθεὶς, ἀξιούντων ὑμῶν πλεῖν, καὶ παραπέμπειν τοὺς στρατιώτας, οὐκ ἐβοήθησεν. ἀλλ' ἤδη τῶν σπονδῶν γεγονυιῶν, ἃς Διοκλῆς ἐσπείσατο Θηβαίοις, ἧκε. Καὶ τότε ἡττᾶτο πλέων τῶν ἰδιωτικῶν τριηρῶν μιᾶς· οὕτως εὖ τὴν ἱερὰν τριήρη [1]παρεσκευά-
571 κει. ἱππαρχῶν τοίνυν· τί οἴεσθε τἄλλα; ἀλλ' ἵππον, [2]ἵππον οὐκ ἐτόλμησεν ὁ λαμπρὸς καὶ πλούσιος οὗτος πρίασθαι· ἀλλ' ἐπ' ἀλλοτρίου τὰς πομπὰς ἡγεῖτο τοῦ Φιλομήλου τοῦ Παιανιέως ἵππου. καὶ ταῦτα [3]πάντες ἴσασιν οἱ

[1] παρεσκευάκει R. [2] Deest ἵππον. T. [3] πάντα T.

ἐψηφίσαντο Ἀθηναῖοι, κλίζεσθαι τοὺς θάλαττον πλέοντας, κἂν ἔμποροι ὦσι, τῶν πολεμίων. παρατυχὼν οὖν ἐμπόροις Κυζικηνοῖς, ἀφείλετο αὐτῶν, ὡς πολεμίων, τὰ χρήματα, οἱ δὲ ἐλθόντες εἰς Ἀθήνας, ἀπεδείκνυσαν αὐτοῖς φιλίαν ὑπάρχουσαν πρὸς τὴν πόλιν. ὁ δὲ Μειδίας μέχρι τοσούτου ἀντεῖπεν, ἕως ἔπεισε μὴ ἀποδοῦναι αὐτοῖς τὰ χρήματα. οἱ δὲ ἀπελθόντες ἀπέστησαν τὴν ἑαυτῶν πατρίδα. Ulp. Spalding.

Τὰ σύμβολα συγχέων] Τὰς συνθήκας λύων. De symbolis vide Orationem περὶ τῆς Ἀλονήσου. Nisi forte σύμβολα appellet *signa impressa sarcinis*, quæ deleverit Midias, ne agnoscerentur: ut intellexisse videtur Ulpianus. Wolf. Intelligo *fœdera conturbans*. Auger. Σύμβολα, πληθυντικῶς, μόνον αἱ περὶ τὰ συμβόλαια τῶν ἐμπόρων δίκαι. Thomas Magister. Fortasse tamen hic τὰ συμβόλαια τ. ε. intelliguntur potius ipsa. Spalding.

Ἔξοδον] Ἐγένετο γὰρ καὶ διὰ τὸν Πλούταρχον ἑτέρα. Ulpian. Quod scholium ita constituerim: ἐγένετο γὰρ διὰ τὸν Πλούταρχον καὶ ἑτέρα, videl. præter eam expeditionem, quæ memorata est §. λβ'. Idem.

Δώδεκα τῆς πόλεως] Forte δώδεκα ὑπὲρ τῆς πόλεως. Wolf. Non video necessitatem inserendi aliquid ante τῆς πόλεως. Quæ H. Wolfius et Reiskius proponunt, ea partim ipsius Midiæ impensam facerent hæc duodecim talenta, quod est alienum a consilio Demosthenis; partim eodem redeunt, quo vulgata. Quid enim est δώδεκα τῆς πόλεως τάλαντα, nisi δώδεκα ἐκ τῶν τῆς πόλεως ταλ.? Ulpianus etiam ex ærario accepisse eum pecuniam impendendam monet. Colligas tamen fere ex ejus verbis, excidisse εἰληφὼς, nisi ἀναλίσκειν ταχθεὶς idem est atque illud. Spalding.

Ἀξιούντων ὑμῶν πλεῖν] Wolfius: *petentibus vobis, ut navigaret*. Sed absurdum videtur istud *petentibus* in statu democratico. Malim itaque: *jubentibus vobis*, vel, *cum vestræ voluntatis esset*. Jurin.

Μιᾶς] Ingeniosa est Reiskii conjectura excidisse πλὴν ante μιᾶς. Non satis acerbum videtur, pro Demosthenis in Midiam ira, quod est in textu. Poterat faciliori errore omitti πλὴν, propter vicinum πλέων. Spalding.

Τὰς πομπὰς ἡγεῖτο] Forte τῆς πομπῆς. Nam τὸ ἡγοῦμαι genitivo et dativo jungi solet. Wolf. Recte in hoc accusativo hærent H. Wolfius et Reiskius, pro quo aut τῆς πομπῆς aut ταῖς πομπαῖς legi malint. Fortasse ne pendere quidem ab ἡγεῖτο dici potest τὸ τὰς πομπὰς ut τ. π. ἡ. sit pro: ἡγεμόνα εἶναι κατὰ τὰς πομπάς. Spalding.

Καὶ ταῦτα πάντα ἴσασιν οἱ ἱππεῖς] Alii καὶ ταῦτα ἐξιόντων. Quod ferri potest, addito articulo: καὶ ταῦτα τῶν ἐξιόντων

ἱππεῖς. ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Βούλομαι τοίνυν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ, ὅσων ἤδη, καταχειροτονήσαντος τοῦ δήμου περὶ τὴν ἑορτὴν ἀδικεῖν, ὑμεῖς κατεγνώκατε, εἰπεῖν καὶ δεῖξαι, τί πεποιηκότες αὐτῶν ἔνιοι τίνος ὀργῆς τετυχήκασι παρ' ὑμῶν, ἵν' αὐτὰ πρὸς τὰ τούτῳ πεπραγμένα ἀντιθῆτε. πρῶτον μὲν τοίνυν — ἵνα πρώτης [1] τῆς τελευταίας γεγονυίας μνησθῶ καταγνώσεως — περὶ τὰ μυστήρια ἀδικεῖν Εὐάνδρου κατεχειροτόνησεν ὁ δῆμος, τοῦ Θεσπιέως, προβαλλομένου αὐτὸν Μενίππου, Καρός τινος ἀνθρώπου. ἔστι δὲ ὁ αὐτὸς νόμος τῷδε τῷ περὶ τῶν Διονυσίων, ὁ περὶ τῶν μυστηρίων· κἀκεῖνος ὕστερος τούτου ἐτέθη. τί οὖν ποιήσαντος, ὦ ἄνδρες Ἀθηναῖοι, κατεχειροτονήσατε τοῦ [2] Εὐάνδρου; τοῦτ' ἀκούσατε. ὅτι δίκην ἐμπορικὴν καταδικασάμενος τοῦ Μενίππου, οὐκ ἔχων πρότερον λαβεῖν αὐτὸν, ὡς ἔφη, τοῖς μυστηρίοις ἐπιδημοῦντος ἐπελάβετο, κατεχειροτονήσατε μὲν διὰ ταῦτα, καὶ οὐδοτιοῦν ἄλλο προσῆν. εἰσελθόντα δὲ εἰς τὸ δικαστήριον [3] ἐβουλεύσασθε μὲν θανάτῳ ζημιῶσαι. τοῦ δὲ [4] προβαλομένου πεισθέντος, τὴν δίκην τε πᾶσαν ἀφεῖναι ἠναγκάσατε αὐτὸν, ἣν ἠρήκει πρότερον· ἣν δὲ δυοῖν αὕτη ταλάντοιν· καὶ προσετιμήσατε τὰς βλάβας, ἃς, ἐπὶ τῇ καταχειροτονίᾳ 572
μένων, ἐλογίζετο [5] αὐτῷ γεγενῆσθαι πρὸς [6] ὑμᾶς ἄνθρω-

[1] Deest articulus. T. [2] Εὐάνδρου, T. [3] ἐβούλεσθε T. [4] προβαλλομένου T. [5] αὐτῷ T. [6] ὑμᾶς. ἄνθρωπος εἷς T.

πάντες ἴσασιν οἱ ἱππεῖς. Etsi hoc modo potius dicendum esset: καὶ ταῦτα τῶν ἱππέων πάντες ἴσασιν οἱ ἐξιόντες. Wolf. Omnino autem cum pluribus Codd. et doctissimo Marklando verum erit istud πάντες. Taylor.

Καταχειροτονήσαντος — ἀδικεῖν] Ὅτι ἀδικοῦσιν ἢ ἠδίκησαν τῇ χειροτονίᾳ δηλώσαντος. Wolf.

Πρώτης] Πρῶτον Bar. et Aug. quod videtur satius esse et commodius. Taylor. M. πρώτων. Auger.

Ἐκεῖνος] Lex de mysteriis — τούτου legis de Bacchanalibus. Auger.

Καταδικασάμενος] Ἄλλο "καταδικάσας," καὶ ἄλλο "καταδικασάμενος." τὸ μὲν γὰρ κυρίως ἐπὶ τῶν δικαζόντων δικαστῶν. τὸ δὲ ἐπὶ τῶν νικώντων τὰς δίκας, καὶ αἰτίων γιγνομένων τοῦ καταδικασθῆναί τινα. Ulp. Spalding.

Ἐβουλεύσασθε] Pro vulgato ἐβούλεσθε ex Aug. pr. et Barocciano Codd. recepit Reiskius; quam recte, non equidem dixerim. De judicibus possitne dici βουλεύεσθαι, exemplis velim doceri. Neque quicquam est in illo ἐβούλεσθε, quod sensum impediat. Servavi tamen Reiskianam lectionem, quod Aoristus mihi visus est magis esse hujus loci, quam Imperfectum. Idem.

Μένων] Αἰτιασαμένου τοῦ Μενίππου, ὅτι ἄλλας ὑπέστη βλάβας περὶ τὰ φορτία καὶ

πος. εἷς μὲν οὗτος ἐξ ἰδίου πράγματος, οὐδεμιᾷς ὕβρεως προσούσης, ὑπὲρ αὐτοῦ τοῦ παραβῆναι τὸν νόμον, τοσαύτην ἔδωκε δίκην. εἰκότως. τοῦτο γὰρ ἔσθ', ὃ φυλάττειν ὑμᾶς δεῖ, τοὺς νόμους, τὸν ὅρκον. ταῦτ' ἔχεθ' ὑμεῖς οἱ δικάζοντες ἀεὶ, παρὰ τῶν ἄλλων ὥσπερεὶ παρακαταθήκην, ἣν ἅπασιν, ὅσοι μετὰ τοῦ δικαίου πρὸς ὑμᾶς ἔρχονται, [1]σῶν ὑπάρχειν δεῖ.

μθ'. Ἕτερος ἀδικεῖν ποτ' ἔδοξεν ὑμῖν περὶ τὰ Διονύσια. καὶ κατεχειροτονήσατ' αὐτοῦ, παρεδρεύοντος ἄρχοντι τῷ υἱεῖ, ὅτι θέαν τινὸς [2]καταλαβόντος ἥψατο, ἐξείργων ἐκ τοῦ θεάτρου. ἦν δ' οὗτος, ὁ τοῦ βελτίστου πατὴρ Χαρικλείδου, τοῦ ἄρξαντος, καὶ μέγα γ' ὑμῖν τοῦτ' ἐδόκει [3]δίκαιον ἔχειν ὁ προβαλόμενος λέγειν· εἰ κατελάμβανον, ἄνθρωπε, θέαν, [4]καὶ εἰ μὴ τοῖς κηρύγμασιν, ὡς σύ με [5]φῂς, ἐπειθόμην, τίνος ἐκ τῶν νόμων εἶ κύριος, καὶ ὁ ἄρχων αὐτός; τοῖς ὑπηρέταις ἐξείργειν εἰπεῖν, οὐκ αὐτὸς τύπτειν. οὐδ' οὕτω πείθομαι; ἐπιβολὴν ἐπιβάλλειν, πάντα

[1] σῶαν T. σῶαν R. [2] καταλαμβάνοντος T. [3] καὶ δίκαιον ἔ. ὁ προβαλλόμενος T. [4] Deest καί. T. [5] φὴς T. R.

τὴν ἐμπορίαν, διὰ τὴν κρίσιν Ἀθήνησι κατεχόμενος, προστετάξατε αὐτὸν (τὸν Εὐανδρ.) καὶ ταύτας ἐκτῖσαι Ulp. SPALDING.

Πρὸς ὑμᾶς] Πρὸς ὑμᾶς ἄνθρωπος, εἷς etc. Sic Benenatus, Lind. et Ital. quo pacto etiam Ulpianus Interpres Demosthenis legisse videtur. Et recte, meo quidem judicio, dissentiente licet Lambino. Rescribe igitur: ἐλογίζετο αὐτῷ γεγενῆσθαι πρὸς ὑμᾶς ὁ ἄνθρωπος. εἷς μὲν οὗτος, et quæ sequuntur. TAYLOR. Sic nude h. l. legi ἄνθρωπος sine articulo, displicet. Inserit illum Taylorus de conjectura; reprehensus a Reiskio, qui non necessarium esse ait articulum; ipse tamen post ἄνθρωπος excidisse putat Κὰς, cum contemtu; ingeniose. Cf. F. A. WOLF. ad Lept. §. ιά. SPALDING.

Σῶν] Ut magis Atticum, recepi ex Aug. pr. pro vulgato σῶαν. σῶς, notione fœminini, (ne quis forte dubitet) habet Eurip. in Cycl. 293. IDEM.

μθ'. Παρεδρεύοντα] Συμπονοῦντος καὶ συμπαρόντος τῷ παιδὶ, μήπου τι ὡς νέος ἁμάρτῃ κατὰ τὴν ἀρχήν. Cfr. Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί. Λαμβάνουσι δὲ παρέδρους, ὅ τε Ἄρχων καὶ ὁ Πολέμαρχος, δύο ἑκάτερος οὓς ἂν βούλωνται· καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας διδόασιν, ἐπὰν παρεδρεύωσι. Harpocration. IDEM.

Θέαν — καταλαμβάνοντος] Ita loquitur Lucianus ad fin. lib. de Saltatione, nisi fallor, et alibi. MARKLAND. Vide omnino P. Leopard. I. Emendat. 13. TAYLOR. Καταλαμβάνειν θέαν· καθέδραν (ἐν θεάτρῳ) ἀλλοτρίαν κατέχειν. Ulp. SPALDING. Θέα, οὐ μόνον ἡ θεωρία τινὸς πράγματος, ἀλλὰ καὶ ὁ τόπος ἐν ᾧ καθήμενοι ἐθεώρουν τὰ ἐν τῷ θεάτρῳ τελούμενα. Thom. Magist.

Εἰ κατελάμβανον κ. τ. λ.] Εἰ κατελάμβανον, ἄνθρωπε, θέαν, καὶ εἰ μὴ etc. Editio Lambini. TAYLOR.

Τίνος — εἶ κύριος; καὶ ὁ ἄρχων αὐτὸς τοῖς ὑπηρέταις κ. τ. λ.] Ita male in Wolfiana pungitur. Ego distinxi certissima fide, et miror, eos, qui hoc saxum ante me evolverint, non admoneri potuisse ex Wolfiana interpretatione, quæ rectissime se habet. IDEM.

Οὐδ' οὕτω πείθομαι] Legendum videtur: εἰ δ' οὐδ' οὕτω πείθομαι, vel, εἰ δ' οὔπω πείθομαι. JURIN.

Ἐπιβολὴν ἐπιβάλλειν] Ζημίαν ἐπιθεῖναι. WOLF.

μᾶλλον, πλὴν αὐτὸς ἅψασθαι τῇ χειρί. πολλὰ γὰρ πρὸς τὸ μὴ τὸ σῶμα ἕκαστον ὑβρίζεσθαι, πεποιήκασιν οἱ νόμοι. ταῦτ' ἔλεγε μὲν ἐκεῖνος, κατεχειροτονήσατε δὲ ὑμεῖς. οὐ μὴν εἰσῆλθεν εἰς τὸ δικαστήριον οὗτος· ἀλλ' ἐτελεύτησε πρότερον. ἑτέρου τοίνυν ὅ τε δῆμος ἅπας κατεχειροτόνησεν ἀδικεῖν περὶ τὴν ἑορτὴν, καὶ ὑμεῖς εἰσελθόντα ἀπεκτείνατε· Κτησικλέα λέγω. διὰ τί δὴ τοῦτον ἀπεκτείνατε; ὅτι σκύτος ἔχων ἐπόμπευε, καὶ τούτῳ μεθύων ἐπάταξέ τινα ἐχθρὸν [1] ὑπάρχον-θ' αὐτῷ. ἐδόκει γὰρ ὕβρει, καὶ οὐκ οἴνῳ, τύπτειν, ἀλλὰ τὴν ἐπὶ 573
τῆς πομπῆς καὶ τοῦ μεθύειν πρόφασιν λαβὼν, ἀδικεῖν, ὡς δούλοις χρώμενος τοῖς ἐλευθέροις. ἁπάντων τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τούτων, ὧν ὁ μὲν, ὧν εἶλεν, ἀποστὰς, ὁ δὲ καὶ θανάτῳ ζημιωθεὶς, φαίνεται, πολλῷ δεινότερα εὖ οἶδ' ὅτι πάντες ἂν εἶναι φήσειαν τὰ Μειδίᾳ πεπραγμένα· οὔτε γὰρ πομπεύων, οὔτε δίκην ἠρηκὼς, οὔτε παρεδρεύων, οὔτ' ἄλλην σκῆψιν ἔχων οὐδεμίαν, πλὴν ὕβριν, τοιαῦτα πεποίηκεν, οἷα οὐδεὶς ἐκείνων. καὶ τούτους μὲν δὴ ἐῶμεν.

ν'. Ἀλλὰ Πύῤῥον, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Ἐτεοβουτά-

[1] ὑπάρχοντ' αὐτῷ T.

Πρὸς τὸ μὴ τὸ σῶμα] Duriuscula hæc sane, et aliena a Demosthene. Lege: πολλὰ γὰρ πρὸ τοῦ μὴ τὸ σῶμα ἕκαστον ὑβρίζεσθαι πεποιήκασιν οἱ νόμοι. Atque ita legunt Vindob. Ital. Lindenb. et Baroc. Nugatur Wolfius, μὴ εἰς, vel κατὰ, τὸ σῶμα ἕκαστον, vel, μὴ τὸ σῶμα ἑκάστου. TAYLOR. ἑκάστου. AUGER.

Καὶ ὑμεῖς κ. τ. λ.] Forte: καὶ ὑμεῖς εἰσελθόντα ἀπεκτείνατε τοῦτον· Κτησικλέα λέγω. διὰ τί δή; ὅτι σκύτος etc. Nam ita in quibusdam Codd. clare legitur, in plurimis desunt posteriora ista τοῦτον ἀπεκτείνατε. TAYLOR. Nisi religio fuisset uncis fœdare textum, præter necessitatem, duo postrema vocabula libenter notassem. Absunt a Paris. α. SPALDING.

Ὧν εἶλεν ἀποστὰς] De Evandro loquitur, qui pecuniam judicio evictam reo condonare coactus est. WOLF. Cl. Marklando magis placet ὃν εἶλεν ἀποστὰς, subintellecto ἐκείνου, *remittens* vel *condonans* illi, *quem judicio vicerat*. Eadem est locutio §. νδ'. ὥστε καὶ [ἐκείνους,] πρὸς οὓς μηδέν ἐστι σοὶ πρᾶγμα, λυπεῖσθαι. Ὃν εἶλεν, ut supra §. κδ'. εἷλον αὐτόν. Lambinus legit ὧν ὁ μὲν τῆς, ἧς εἶλεν, δίκης ἀποστάς. TAYLOR.

Εὖ οἶδ'] Revocavi istud εὖ, adjuvantibus Editt. Fel. Man. et Lutet. MSS. autem Bar. Ital. Obsop. Vindob. aliisque fere omnibus. Sæpissime excludi solet vox ea in isto situ. Vide Lection. Lysiac. c. XII. initio. IDEM.

Οὔτε πομπεύων, οὔτε δίκην ἠρηκὼς, &c.] Id est, οὐδεμίαν δίκην νενικηκώς. Est enim αἱρῶ τὴν δίκην, *vinco judicio, reum perago*: quod de actore tantum dicitur. *Ex edit.* HERVAG.

ν'. Ἐτεοβουτάδην] Converti gallice, *descendant de Butès*. Aliqui volunt Ἐτεοβουτάδην esse gentile nomen pagi Atheniensis dicti Βουτεία, cujus dicunt nomen gentile βουτάδης vel ἐτεοβουτάδης. AUGER.

Ἐτεοβουτάδην] Mira est hujus nominis explicatio apud Ulpianum: τὸν ἀληθῶς εὐγενῆ. τὸ γὰρ ὄνομα ἀπὸ Βούτου τινὸς ἀρχαίου γέγονεν Ἀθηναίου οὕτω καλουμένου, καὶ τὸ "ἐτεὸν" τὸ ἀληθές. Quicquid est de etymo, appositum ἐτεο hujus esse significationis videtur, quia Βουτεία, demus, invenitur quidem; non autem Ἐτεοβουτεία. Eadem nominis ἐτεοβουτάδης derivatio est

δην, ἐνδειχθέντα δικάζειν, ὀφείλοντα τῷ δημοσίῳ, θανάτῳ ζημιῶσαί τινες ὑμῶν ᾤοντο χρῆναι. καὶ τέθνηκεν ἄλλους παρ' ὑμῖν. καίτοι τοῦτο τὸ λῆμμα δι' ἔνδειαν, οὐ δι' ὕβριν, λαμβάνειν ἐπεχείρησεν ἐκεῖνος. καὶ πολλοὺς ἂν ἑτέρους ἔχοιμι λέγειν, ὧν οἱ μὲν τεθνᾶσιν, οἱ δ' ἠτιμωμένοι διὰ πολλῷ τούτων εἰσὶν ἐλάττω πράγματα. ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, Σμίκρωνι δέκα ταλάντων ἐτιμήσατε· καὶ Σκίτωνι τοσούτων ἑτέρων, δόξαντι παράνομα γράφειν. καὶ οὔτε παιδία, οὔτε φίλους, οὔτε συγγενεῖς, οὐδ' [1]ὁντινοῦν ἠλεήσατε τῶν παρόντων ἐκείνοις. μὴ τοίνυν, ἂν μὲν εἴπῃ τις παράνομα, οὕτως ὀργιζόμενοι φαίνεσθε. ἂν δὲ ποιῇ, μὴ λέγῃ, πράως διάκεισθε. οὐδὲν γὰρ ῥῆμα, οὐδ' ὄνομα οὕτως ἐστὶ τοῖς πολλοῖς ὑμῶν χαλεπὸν, ὡς ὅσα ὑβρίζων τις τὸν ἐντυχόντα ὑμῶν διαπράττεται. μὴ τοίνυν αὐτοὶ καθ' ὑμῶν αὐτῶν δεῖγμα τοιοῦτον ἐξενέγκητε, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς ἄρα ὑμεῖς, ἂν μὲν τῶν μετρίων τινὰ καὶ δημοτικῶν λάβητε
574 [2]ὁτιοῦν ἀδικοῦντα, οὔτ' ἐλεήσετε, οὔτ' ἀφήσετε, ἀλλ' ἀποκτενεῖτε, ἢ ἀτιμώσετε· ἂν δὲ πλούσιος ὤν τις ὑβρίζῃ, συγγνώμην ἔξετε· μὴ δῆτα· οὐ γὰρ δίκαιον. ἀλλ' ἐπὶ πάντων ὁμοίως ὀργιζόμενοι φαίνεσθε.

[1] ὁντινοῦν ἄλλον ἠλεήσατε R. [2] ὁ, τιοῦν T.

apud Harpocrationem et, qui eum exscripsit, Suidam in v. Βούτης. SPALDING.

Ἐνδειχθέντα δικάζειν ὀφείλοντα] Ὅτι δικάζει ὀφείλων τῷ δημοσίῳ. WOLF. Κατηγόρηται ὡς ἐν τοῖς δικασταῖς κληρωθεὶς, οὐκ ἐξόν. ὡς ὀφείλων γὰρ χρήματα κοινὰ, ἦν ἄτιμος. Ulpian. SPALDING.

Ὑμεῖς ὦ ἄνδρες Ἀθην. Σμίκρωνι δέκα ταλάντων ἐτιμήσατε] *Vos autem judices Smicroni mulctam talentorum decem irrogastis, et totidem aliorum Scitoni, ob id quod rogationem quandam iniquam, et legibus adversam promulgasset, quam pœnam nec ejus liberi, nec amici, nec cognationis advocationisque ejus intercessio supplex, et misericordiam implorans deprecari potuerant.* Hinc satis apparet magnas fuisse apud Athenienses maleficiorum mulctas, unde suam etiam severitatem Romana jura mutuarunt. Vide plura lib. 5. de Asse. *Ex edit.* HERVAG.

Ὑμεῖς δὲ] Ἀλλ' ὑμεῖς δὲ Ven. Bar. Aug. quo pacto etiam exorsa est periodus anterior : ἀλλὰ Πύῤῥον, ὦ ἄνδρες Ἀθηναῖοι, vel, ut Lind. et Ital. legunt, ἀλλὰ Πύῤῥον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι. Quam lectionem recipiendam esse statuo : et plerumque, quæ in MSS. Auctoris nostri *adduntur*, ejusmodi sunt, ut elegantiam et emphasin secum trahant. TAYLOR.

Καὶ Σκίτωνι τοσούτων ἑτέρων] Καὶ τούτου δέκα ταλάντων ἐτιμήσατε, sc. τὴν δίκην. WOLF.

Ὁντινοῦν] Sequitur hanc vocem apud Reiskium ἄλλον, quod recepit ille, e Codd. quidem, sed iis non integram hanc dantibus lectionem, quare nonnisi conjecturæ fidem habere potest. In Codd. aut ὁντινοῦν solum legitur, aut, pro eo : ἄλλον οὐδένα, quod illius scholium putat Sim. Fabricius; egoque itidem. SPALDING.

Ἂν — λέγῃ] Hæc optimorum Codd. et edd. lectio est. Non spernenda tamen vulgata, in ed. Paris., ἂν δὲ, ἃ ποιεῖ, μὴ λέγῃ. Fateor *hanc* potuisse fingi, ab eo qui *illam* non intelligeret ; ingeniosa saltem est. IDEM.

Μὴ δῆτα, οὐ γὰρ δίκαιον] *Vide obsecro, ne faciatis.* Siquidem μὴ δῆτα, ἀπαγορευτικόν ἐστι. De quo περὶ Στεφάνου. Ponitur tamen etiam μὴ δῆτα, pro *dii avertant, dii meliora*, ut in hac eadem mox infra, [§.

ναί. Ἃ τοίνυν οὐδενὸς τῶν εἰρημένων ἧττον ἀναγκαῖον εἶναι νομίζω πρὸς ὑμᾶς εἰπεῖν, ταῦτ' [1]εἰπὼν ἔτι, καὶ βραχέα περὶ τούτων διαλεχθεὶς, καταβήσομαι. ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, μεγάλη τοῖς ἀδικοῦσιν ἅπασι μερὶς, καὶ πλεονεξία, ἡ τῶν ὑμετέρων τρόπων πραότης. ὅτι δὴ ταύτης οὐδοτιοῦν ὑμῖν μεταδοῦναι προσήκει Μειδίᾳ, τοῦτ' ἀκούσατέ μου. ἐγὼ νομίζω πάντας ἀνθρώπους ἐράνους φέρειν παρὰ [2]πάντα τὸν βίον [3]αὐτοῖς, οὐχὶ τούσδε μόνους, οὓς συλλέγουσί τινες, καὶ ὧν πληρωταὶ γίγνονται, ἀλλὰ καὶ ἄλλους. οἷον· ἔστι τις μέτριος καὶ φιλάνθρωπος ἡμῶν, καὶ ἐλεῶν [4]πολλούς· τούτῳ ταὐτὸ δίκαιον ὑπάρχειν [5]εἰκὸς παρὰ πάντων, ἄν ποτ' εἰς χρείαν καὶ ἀγῶνα ἀφίκηται. ἄλλος οὑτοσί τις ἀναιδὴς, καὶ πολλοὺς ὑβρίζων, καὶ τοὺς

[1] εἰπὼν, ἔτι καὶ T. [2] Deest πάντα. T. [3] αὐτοῖς T. [4] πολλούς; T. R. [5] Deest εἰκός. T.

νβ'.] ἐμοὶ παιδία οὐκ ἔστιν, διὰ τοῦτ' ἄρα τοῦ πεποιηκότος ὁ πεπονθὼς ἔλαττον ἕξω παρ' ὑμῖν; μὴ δῆτα. Pro quo etiam μὴ γὰρ δὴ dicitur. Plura in Comment. Bud. Ex edit. HERVAG.

νά. Εἰπὼν ἔτι] Virgula post ἔτι non post εἰπὼν, *his rursus dictis*. AUGER.

Δὴ] Hoc δὴ hujus loci est plane. Consentiunt etiam in illud MSS. Bav. superscriptum τῷ δὴ habet αὖ, unde suspicatur Reiskius correctorem voluisse δ' αὖ. SPALD.

Παρὰ τὸν βίον] Non significat *per vitam*, sed *secundum vitam*. Cæterum videatur superius explicatio mea loci prope similis in eadem oratione. AUGER.

Ἐλεῶν πολλούς;] Ulpianus et hic legisse videtur οἷος ἐγώ. Quæ appendix videtur non Demosthenis, sed Scholiastæ esse Demosthenis studiosi. WOLF.

Ἄλλος οὑτοσί τις ἀναιδὴς] Wolfius: *Alius quispiam, ut iste, impudens.* Male: nec enim loquitur hic Demosthenes de Midia, sed de homine quovis moribus Midiæ similibus: *Alius quispiam impudens.* JURIN. Secutus sum, in continuandis hisce verbis: ἄλλος οὑτοσί τις ἀναιδὴς κ. τ. λ., edd. ad unam omnes, quo in genere ego pariter atque illarum aliquot auctores inconstantiæ reus sum. Supra enim (§. κη'.) ubi prorsus eadem leguntur verba, nisi quod pro ἄλλος ibi est ἕτερος, post οὑτοσί τις interpunxerunt aut interrogationis signo, aut virgula; ego autem, qui interrogationem nullam agnoscerem, colo. Malo tamen inconstans esse, quam in errore perseverare. Ut ego capiebam locum, οὑτοσί τις mihi dictum videbatur pro: "hujusmodi fere homo," ad quem sensum efficiendum nunc video opus fuisse τῷ: τοιοῦτός τις, non οὑτοσί τις. Marklandus, ad superiorem locum, optime structuram constituisse mihi nunc videtur, etsi de interrogatione, et de virgula, ibi post οὑτοσὶ et post οὑτοσί τις posita, ei non assentior. Ut enim hic: ἔστι τις μέτριος, priore loco dicitur, continuata oratione, neque in quæstionem et responsionem discerpta, sic ibi quoque ἐγώ τις οὑτοσὶ μ. π. ἄ. εἰμὶ continuandum erat, quod ab omnibus editt. neglectum est. Quod cum fit, eximitur ille scrupulus, quem ego inveniebam in positu τοῦ τις Not. ibi. Jam rationem prioris exempli posterius sequi debet et itidem continuari, illic (§. κή.): ἕτερος οὑτοσί τις βίαιος (videl. ἐστὶ) κ. τ. λ. hic, nostro loco: ἄλλος οὑτοσί τις ἀναιδὴς κ. τ. λ. In tota hac oratione alienum fortasse dixerit aliquis τὸ οὑτοσὶ, quod mihi quoque supra fraudi fuit. Abest sane illud hinc, priori loco: ἔστι τις, non ἔστι τις οὑτοσί. Videor tamen mihi sermonem quotidianum et simpliciorem in eo agnoscere; sensu eo, quem Marklandus fere expressit ad superiorem locum. Versio, premens vestigia singulorum verborum, hæc fuerit: *Ego, quisquis sum, qui adsum—; alter, qui adest, quisquis est.* Quare orator variaverit situm τοῦ τις, ut nunc ante οὑτοσὶ collocaret, nunc post illam vocem, equidem non dixerim. H. Wolfius falsitur sane dum scribit "*ut iste;*" deest enim ὡς. SPALDING.

μὲν καθάρματα, τοὺς δὲ πτωχοὺς, τοὺς δ' οὐδὲν ὑπολαμβάνων [1] εἶναι· τούτῳ τὰς αὐτὰς δίκαιον ὑπάρχειν φορὰς, ἅσπερ αὐτὸς εἰσενήνοχε τοῖς ἄλλοις. ἂν τοίνυν ὑμῖν ὀρθῶς ἐπίῃ σκοπεῖν, τούτου πληρωτὴν εὑρήσετε Μειδίαν ὄντα τοῦ ἐράνου, οὐκ ἐκείνου. οἶδα τοίνυν, ὅτι καὶ τὰ παιδία ἔχων ὀδυρεῖται, καὶ πολλοὺς λόγους καὶ ταπεινοὺς ἐρεῖ, δακρύων, καὶ ὡς ἐλεεινότατον ποιῶν ἑαυτόν. ἔστι δ', ὅσῳ περ ἂν αὐτὸν νῦν ταπεινότερον ποιῇ, τοσούτῳ μᾶλλον ἄξιον μισεῖν αὐτὸν, ὦ ἄνδρες Ἀθηναῖοι. διὰ τί; ὅτι, εἰ μὲν, μηδαμῶς δυνηθεὶς γενέσθαι ταπεινὸς, οὕτως ἀσελγὴς καὶ βίαιος ἦν
575 ἐπὶ τοῦ παρεληλυθότος βίου, τῇ φύσει καὶ τῇ τύχῃ, δι' ἣν τοιοῦτος ἐγένετο, ἄξιον ἦν ἄν τι τῆς ὀργῆς ἀνεῖναι. εἰ δ' ἐπιστάμενος μέτριον παρέχειν ἑαυτὸν, ὅταν βούληται, τὸν ἐναντίον, ἢ τοῦτον τὸν τρόπον, εἵλετο ζῆν, εὔδηλον δήπου τοῦθ', ὅτι, καὶ νῦν ἂν διακρούσηται, πάλιν [2] ὁ αὐτὸς ἐκεῖνος, ὃν ὑμεῖς ἴστε, γενήσεται. οὐ δὴ δεῖ προσέχειν, οὐδὲ τὸν παρόντα καιρὸν, ὃν οὗτος ἐξεπίτηδες [3] διαπλάττεται, κυριώτερον, οὐδὲ πιστότερον, τοῦ παντὸς, ὃν αὐτοὶ σύνιστε, χρόνου ποιήσασθαι.

νβ'. Ἐμοὶ παιδία οὐκ ἔστιν, οὐδ' ἂν ἔχοιμι ταῦτα παραστησάμενος κλαίειν καὶ δακρύειν, ἐφ' οἷς ὑβρίσθην. διὰ τοῦτ' ἄρα τοῦ πεποιηκότος ὁ πεπονθὼς ἔλαττον ἕξω παρ' ὑμῖν; μὴ δῆτα· ἀλλ' ὅταν οὗτος ἔχων τὰ παιδία, τούτοις ἀξιοῖ δοῦναι τὴν ψῆφον ὑμᾶς, τόθ' ὑμεῖς τοὺς νόμους ἔχοντά με πλησίον ἡγεῖσθε παρεστάναι, καὶ τὸν ὅρκον, ὃν ὀμωμόκατε, τούτοις ἀξιοῦντα καὶ ἀντιβολοῦντα ἕκαστον

[1] εἶναι; T. R. [2] Deest articulus. T. [3] πλάττεται T.

Οὐδὲν ὑπολαμβάνων εἶναι;] Lege οὐδὲ ἄνους ὑπολαμβάνων εἶναι; i. e. ἀνθρώπους. Supra §. κή. *fin.* loco parallelo: Ἕτερος οὐτοσί τις; βίαιος, οὐδένα οὔτ' ἐλεῶν, οὔθ' ὅλως ἡγούμενος ἄνθρωπον. Infra §. νέ. πάντες εἰσὶ τούτῳ καθάρματα, καὶ πτωχοὶ, καὶ οὐδὲ ἄνθρωποι, quæ sunt ipsissima hujus loci verba. MARKLAND.

Οὐκ ἐκείνου] Καὶ οὐκ ἐκείνου Lindenb. Obsop. Ital. et Vindob. Quæ vox in postremo Cod. deest etiam ante τὰ παιδία in sequentibus. Quod felicissime totum hunc locum complanat. Nam ex hac parte abesse certe, in illa suppleri omnino debet. TAYLOR.

Ὡς] Τὸ "ὡς" μόριον δηλοῖ καὶ τὸ "πάνυ" κατ' ἐπίτασιν. ἴσως δὲ νῦν, τὸ "ἐν σχήματι καὶ ὑποκρίσει" δηλοῖ. Ulpian. SPALDING.

Ὅτι εἰ μὲν μηδαμῶς δυνηθεὶς γενέσθαι ταπεινὸς] Wolfius: *quia si nulla ratione ferociam suam domare potuisset.* Potius: *quia si nulla ratione humilitatem et modestiam præstare potuisset.* JURIN.

Τὸν ἐναντίον] Τὸν ἐναντίον μᾶλλον, ἢ τοῦτον. WOLF.

Ἀξιοῖ] Conjunctivus est. SPALDING.

Τούτοις ἀξιοῦντα] Διὰ τούτων τῶν νόμων δήπου καὶ τῶν ὅρκων. WOLF.

ὑμῶν ψηφίσασθαι. οἷς ὑμεῖς κατὰ πολλὰ δικαιότερον [1]πρόσθοισθ' ἄν, ἢ τούτῳ· καὶ γὰρ ὀμωμόκατε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς νόμοις πείθεσθαι· καὶ τῶν ἴσων μέτεστιν ὑμῖν διὰ τοὺς νόμους, καὶ πάνθ', ὅσα ἐστὶν ἀγαθὰ ὑμῖν, διὰ τοὺς νόμους ἐστίν, οὐ διὰ Μειδίαν, οὐδὲ διὰ τοὺς Μειδίου παῖδας. Καὶ ῥήτωρ ἐστὶν οὗτος, ἴσως ἐμὲ φήσει λέγων· ἐγὼ δ', εἰ μὲν ὁ συμβουλεύων ὅ τι ἂν συμφέρειν ὑμῖν ἡγῆται, καὶ τοῦτ' ἄχρι τοῦ μηδὲν ὑμῖν ἐνοχλεῖν, μηδὲ βιάζεσθαι, ῥήτωρ ἐστίν, οὔτε φύγοιμ' ἄν, οὔτε ἀπαρνοῦμαι [2]τοῦτο τοὔνομα. εἰ μέντοι ῥήτωρ ἐστίν, οἵους ἐνίους τῶν λεγόντων ἐγώ, καὶ ὑμεῖς δὲ ὁρᾶτε, ἀναιδεῖς, καὶ ἐξ ὑμῶν πεπλουτηκότας, οὐκ ἂν εἴην 576
οὗτος ἐγώ. εἴληφα μὲν γὰρ οὐδ' ὁτιοῦν ἐξ ὑμῶν. τὰ δὲ ὄντα, εἰς ὑμᾶς, πλὴν πάνυ μικρῶν, ἅπαντ' ἀνήλωκα. καίτοι, εἰ [3]καὶ τούτων ἦν πονηρότατος, κατὰ τοὺς νόμους ἔδει παρ' ἐμοῦ δίκην λαμβάνειν, οὐκ ἐφ' οἷς ἐλειτούργουν ὑβρίζειν. ἔτι τοίνυν οὐδείς ἐστιν, ὅστις ἐμοὶ τῶν λεγόντων συναγωνίζεται. καὶ οὐδενὶ μέμφομαι· οὐδὲ γὰρ αὐτὸς οὐδενὸς ἕνεκα τούτων οὐδὲν ἐν ὑμῖν πώποτ' εἶπον. ἀλλ' ἁπλῶς κατ' ἐμαυτὸν ἔγνων καὶ λέγειν καὶ πράττειν, ὅ τι ἂν συμφέρον ὑμῖν [4]ἡγῶμαι. ἀλλὰ τούτῳ πάντας αὐτίκα δὴ μάλα συνεξεταζομένους τοὺς ῥήτορας ὄψεσθε ἐφεξῆς. καίτοι πῶς ἐστὶ δίκαιον τοὔνομα μὲν τοῦτο ὡς ὄνειδος προφέρειν ἐμοί, διὰ τούτων δ' αὐτὸν τῶν ἀνδρῶν ἀξιοῦν σωθῆναι;

νγ'. Τάχα τοίνυν ἴσως καὶ τὰ τοιαῦτ' ἐρεῖ, ὡς ἐσκεμμένα καὶ παρεσκευασμένα πάντα λέγω [5]νῦν ἐγώ. ἐγὼ δέ

[1] πρόσθεισθ' T. [2] Deest τοῦτο. T. [3] καὶ εἰ T. [4] ἡγοῦμαι T. [5] νῦν· ἐγὼ δ' ἐσκέφθαι T.

Πρόσθοισθ'] Recte ex uno Codice Aug. pr. Atticam formam optativi adscivit Reiskius, pro vulgato: πρόσθεισθε. SPALDING.

Καὶ ὑμεῖς δὲ ὁρᾶτε] Legendum puto δὴ pro δὲ. JURIN. Frustra tentat Jurinus δὴ pro hoc δέ. vid. supra §. θ'. ubi ille nihil monuit. De μέντοι illo, in proxime antecedentibus vid. supra §. μγ'. SPALDING.

Τούτων] Sc. ῥητόρων. AUGER.

Ἕνεκα τούτων] Structuram impeditiorem sic resolve: ἕνεκα οὐδενὸς τούτων (i. e. τῶν ῥητόρων). vid. de trajectione verbb. F. A. Wolfius ad Lept. §. ιή. fin. SPALDING.

Ἡγοῦμαι] Scribe ὅ, τι ἂν — ἡγῶμαι, ut supra v. 8. MARKLAND. Ita scribitur in marg. Edit. Morel. Codd. Aug. et Vindob. TAYLOR.

Συνεξεταζομένους] Παριστάμενους καὶ συνηγοροῦντας. WOLF. De voce συνεξετάζεσθαι vid. supra §. λζ'. et confer Morum ad Isocr. Paneg. sec. ed. p. 86. Not. e. SPALDING.

γ' ἐσκέφθαι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, φημὶ, καὶ οὐκ ἂν ἀρνηθείην, καὶ μεμελετηκέναι γ' ὡς ἐνῆν μάλιστα ἐμοί· καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων, ἠμέλουν ὧν περὶ τούτων ἐρεῖν [1] ἤμελλον πρὸς ὑμᾶς· γεγραφέναι μέντοι μοι τὸν λόγον Μειδίαν· ὁ γὰρ τὰ ἔργα παρεσχηκὼς, περὶ ὧν εἰσὶν οἱ λόγοι, δικαιότατ' ἂν ταύτην ἔχοι τὴν αἰτίαν, οὐχ ὁ ἐσκεμμένος, οὐδ' ὁ μεριμνήσας τὰ δίκαια λέγειν νῦν. ἐγὼ μὲν οὖν τοῦτο [2] ποιῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αὐτὸς ὁμολογῶ. Μειδίαν μέντοι μηδὲν ἐσκέφθαι πώποτ' ἐν ἅπαντι τῷ βίῳ δίκαιον, εἰκός ἐστιν· εἰ γὰρ καὶ κατὰ μικρὸν ἐπῄει τὰ τοιαῦτα αὐτῷ σκοπεῖν, οὐκ ἂν τοσοῦτον διημάρτανε τοῦ πράγματος. [3] οἴομαι τοίνυν αὐτὸν,
577 οὐδὲ τοῦ δήμου κατηγορεῖν ὀκνήσειν, οὐδὲ τῆς ἐκκλησίας. ἀλλ' ἅπερ τότ' ἐτόλμα λέγειν, ὅτ' ἦν ἡ προβολὴ, ταῦτα καὶ νῦν ἐρεῖν, ὡς ὅσοι, δέον ἐξιέναι, κατέμενον, καὶ ὅσοι τὰ φρούρια ἦσαν ἔρημα λελοιπότες, [4] ἐξεκλησίασαν· καὶ χορευταὶ, καὶ ξένοι, καὶ τοιοῦτοί τινες ἦσαν, οἳ κατεχειροτόνησαν αὐτοῦ· εἰς γὰρ τοῦτο θράσους καὶ ἀναιδείας τότ' ἀφίκετο, ὦ ἄνδρες δικασταὶ, ὡς ἴσασιν ὅσοι παρῆσαν ὑμῶν·

[1] ἔμελλον T. [2] ποιῶ R. [3] οἶμαι T. [4] ἐξεκκλησίασαν T.

νγ'. Οὐκ ἂν ἀρνηθείην] Οὐκ ἀπαρνηθείην Obsop. Ital. Vindob. Reg. ε. et propemodum Lindenb. Locum hunc ita laudat Plutarchus de Educat. Puerorum: Ἐν δὲ τῷ κατὰ Μειδίου τὴν τῆς σκέψεως ὠφέλειαν ἐναργῶς παρίστησι. φησὶ γοῦν· Ἐγὼ δ' ἐσκέφθαι μὲν, ὦ Ἀθηναῖοι, φημὶ, κοὐκ ἂν ἀρνηθείην καταμεμελετηκέναι γε ὡς ἐνῆν μάλιστα ἐμοί· καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων ἠμέλουν, ὧν περὶ τούτων ἐρεῖν ἔμελλον. TAYLOR.

Ὁ γὰρ τὰ ἔργα παρεσχηκὼς] Legendum videtur: ὁ γὰρ τότε τὰ ἔργα παρεσχηκώς: ut opponatur τότε, τῷ νῦν in fine sententiæ, cum alioqui redundet τὸ νῦν. JURIN. Ipse inter legendum incidebam in eandem Jurino suspicionem, excidisse in antecedentibus τότε, (quod commode ille collocat inter γὰρ et τὰ ἔργα), quo referretur νῦν hic comparens. Non tamen dixerim cum eo, *alioqui redundare* τὸ νῦν. Potest illud referri ad ἐσκεμμένος et μεριμνήσας, meditatus et commentatus *antea*, quæ essem dicturus *nunc*." SPALDING.

Ποιῶν] Revocavi vulgatam lectionem ποιῶν, pro qua, cum Aug. pr., Reiskius scripsit ποιῶ, insuavem ante ὦ sonum. Causa sic corrigendi, quam affert ille, quod καὶ supervacaneum sit in lectione ποιῶν, nulla est. καὶ valet h. l. *etiam*. IDEM.

Ἐρεῖν] Ita edidi pro ἐρεῖ ex auctoritate Ven. et Bar. Mox v. 16. vocem ἔρημα delent iidem MSS. cum Augustano. TAYLOR.

Ὡς ὅσοι δέον ἐξιέναι] Sic Cicero a Clodianis operis, non a civibus, se pulsum esse a civitate jactat. WOLF.

Ἐξεκκλησίασαν] Ἐξεκλησίασαν Edit. Lutet. corrupte. Lege ἐκκλησίασαν cum margine Benenati, et Vindob. vel ἐκκλησίαζον cum MSS. Ven. Baroc. Aug. Ital. et confer Lysiam pagg. 493. ult. et 787. TAYLOR.

Ἀφίκετο] Subit quærere, annon magis fuisset hujus loci ἀφῖκτο, plusq. perf., cum τότε cum aoristo minus coire videatur. Facillimum fuisse errorem, nemo negaverit. Eundem irrepsisse suspicor in locum Xenophontis Cyrop. 1. 4. 5. ubi post ἀφίκετο sunt mera plusq. perfecta: παρῆει, ἀνηλώκει. Legitur autem nostrum ἀφῖκτο e. g. apud Thucyd. VII. 75. SPALDING.

ὥστε κακῶς λέγων, καὶ ἀπειλῶν, καὶ βλέπων οὗτος εἰς τὸν ἀεὶ θορυβοῦντα τόπον τῆς ἐκκλησίας, καταπλήξειν ᾤετο τὸν δῆμον ἅπαντα. ἢ καὶ γελοῖα εἶναι τὰ νῦν, οἶμαι, δάκρυα εἰκότως ἂν αὐτοῦ δοκοίη.

νδ'. Τί λέγεις, ὦ μιαρὰ κεφαλή; σὺ τὰ σαυτοῦ παιδία ἀξιώσεις ἐλεεῖν, ἢ σέ, τούςδε, ἢ σπουδάζειν εἰς τὰ σά, τοὺς ὑπὸ σοῦ δημοσίᾳ προσπεπηλακισμένους; σὺ μόνος τῶν ὄντων ἀνθρώπων, ἐπὶ μὲν τοῦ βίου τοσαύτης ὑπερηφανίας καὶ ὑπεροψίας πάντων ἀνθρώπων μεστὸς ὢν ἔσῃ φανερώτατος, ὥστε καὶ πρὸς οὓς μηδέν ἐστί σοι πρᾶγμα, λυπεῖσθαι, τὴν σὴν θρασύτητα καὶ φωνὴν, καὶ τὸ σὸν σχῆμα, καὶ [1] τοὺς ἀκολούθους, καὶ πλοῦτον, καὶ ὕβριν θεωροῦντας, ἐν δὲ τῷ κρίνεσθαι παραχρῆμα ἐλεηθήσῃ; μεγάλην μέντ' ἂν ἀρχὴν, μᾶλλον δὲ τέχνην, εἴης ἂν εὑρηκὼς, εἰ δύο [2] τἀναντιώτατα ἑαυτοῖς ἐν οὕτω βραχεῖ χρόνῳ περὶ σαυτὸν δύναιο ποιήσασθαι· φθόνον ἐξ ὧν ζῇς, καὶ ἐφ' οἷς ἐξαπατᾷς ἔλεον. οὐκ ἔστιν οὐδαμόθεν σοι προσήκων ἔλεος, οὐδὲ καθ' ἕν, ἀλλὰ, τοὐναντίον, [3] μῖσος, καὶ φθόνος, καὶ ὀργή. τούτων γὰρ ἄξια ποιεῖς. ἀλλ' ἐπ' ἐκεῖνο ἐπάνειμι, ὅτι τοῦ δήμου κατηγορήσει, καὶ τῆς ἐκκλησίας. ὅταν οὖν τοῦτο ποιῇ, 578
ἐνθυμεῖσθε παρ' ὑμῖν αὐτοῖς, ἄνδρες δικασταὶ, ὅτι οὗτος τῶν μεθ' ἑαυτοῦ στρατευσαμένων ἱππέων, ὅτε εἰς Ὄλυνθον

[1] τοὺς σοὺς ἀκολούθους T. R. [2] τὰ ἐναντιώτατα T. [3] μίσος T.

Οὗτος] Οὕτως Wolfius, ut sit δεικτικόν. Verum, ita si fuisset, sede mutata legi oportuisset: ὥστε κακῶς λέγων, καὶ ἀπειλῶν, καὶ βλέπων εἰς τὸν ἀεὶ θορυβοῦντα τόπον τῆς ἐκκλησίας, οὕτω καταπλήξειν ᾤετο τὸν δῆμον ἅπαντα. Vid. supra §. μγ'. TAYLOR. Fateor etiam mihi, pariter atque H. Wolfio, displicere quodammodo οὗτος, cum ipsum hoc antecesserit subjectum, ut iteratione pronominis plane non indigeret locus. In eo tamen assentior Tayloro, si mutetur illud in οὕτως, collocari debere inter ἐκκλησίας et καταπλήξειν. Hæc commodissima sit lectio. SPALDING.

νδ'. Ὥστε καὶ πρὸς οὓς μηδέν ἐστι πρᾶγμα] *Ita ut etiam eos, quibuscum nihil tibi rei est, dolere contigerit.* Dicitur enim ita Græce etiam ἔστι μοι πρᾶγμα πρὸς τοῦτον, ut Latine, *est mihi cum eo negotium. Ex edit.* HERVAG.

Ἐν δὲ τῷ κρίνεσθαι] Ἐν δὲ τῷ κρίνεσθαί σε Aug. Proxime autem, vocabulis transpositis, rectius nonnihil, meo quidem judicio, leges: μεγάλην μέν τ' ἂν τέχνην, μᾶλλον δὲ ἀρχὴν εἴης ἂν εὑρηκὼς, εἰ —. Prius istud ἂν dissimulant Lind. et Ital. Quibus tamen parum moveor. Istius enim idiomatis satis amplam messem congessit Barnesius in Indice ad Euripidem, homo in istiusmodi crisi satis exercitatus, eique muneri non admodum impar. TAYLOR.

Ἐν οὕτω βραχεῖ χρόνῳ] Wolfius: *tam paulo momento.* Potius: *tantulo temporis momento.* JURIN.

Ἐξαπατᾷς] Egregium ἀπροσδόκητον (*inopinatum*, cf. Quint. 9. 2. 23. et 6. 3. 84.) cum expectes ἐφ' οἷς ὀδύῃ. Pro iis, quia mera fraus est hæc lamentatio, statim subjecit ἐφ' οἷς ἐξαπατᾷς. SPALDING.

Ὄλυνθον] Nisi hoc interjectum esset de Olyntho (ὅτε — διέβησαν) unusquisque referret hæc ad equites de quibus agebatur supra §. λή. Nunc fateor hærere me in

διέβησαν, ἐλθὼν πρὸς ὑμᾶς εἰς τὴν ἐκκλησίαν, κατηγόρει. νῦν πάλιν, μείνας, πρὸς τοὺς ἐξεληλυθότας, τοῦ δήμου κατηγορήσει. πότερον οὖν ὑμεῖς, ἄν τε μένητε, ἄν τε ἐξίητε, ὁμολογήσετε εἶναι τοιοῦτοι, οἵους Μειδίας ὑμᾶς ἀποφαίνει, ἢ τοὐναντίον, τοῦτον ἀεὶ καὶ παντάχοῦ θεοῖς ἐχθρὸν καὶ βδελυρόν; ἐγὼ μὲν οἶμαι τοῦτον τοιοῦτον· ὃν γὰρ οὐχ ἱππεῖς, οὐ συνάρχοντες, οὐ φίλοι δύνανται φέρειν, τί τοῦτον ἂν εἴποι τις;

νέ. Ἐμοὶ μέν, νὴ τὸν Δία, καὶ τὸν Ἀπόλλω, καὶ τὴν Ἀθηνᾶν, — εἰρήσεται γὰρ, εἴτ' ἄμεινον, εἴτε μὴ —, ὅδ' οὗτος, ὡς ἀπήλλαγμαι, περιιὼν ἐλογοποιεῖ, ἔνδηλοί τινες ἦσαν ἀχθόμενοι τῶν πάνυ τούτῳ λαλούντων ἡδέως. καὶ

loco nostro. Ulpiani sententia, qui hæc pertinere ait ad tempora excisæ a Philippo Olynthi, magnopere discrepat a Reiskii ratione, putantis, expeditionem Timothei contra Olynthios memorari. Scholium, falsum ipsum, quod in textum se insinuaverit, suspicari totum hoc, temerarium sit fortasse, præsertim cum apud Ulp. verba illa appareant. Multo tamen expeditiorem fieri locum ejectis hisce verbis, et structuram adeo molliorem existere, nemo negaverit. In primis necessarium erat, tangi hic tale Midiæ facinus, quod jam antea esset memoratum in hac oratione. Atqui Olynthi nonnisi obiter in antecedentibus fit mentio (§. μέ.) Ex hac tamen, quam tantum non suadeo, verborum jactura, velim eximi et servari ὅτε, aut potius τότε, quod fortasse extritum est ab eo ipso ὅτε adventitio. τότε enim ad concinnitatem magnopere faceret, oppositum sequenti νῦν. Idem.

Πρὸς] Prope abfui ab adsciscenda in textum lectione Cod. Bav. ὡς, pro πρός; tantopere ea blanditur mihi. Sed est præterea in hac sententia, quod male me habeat; abrupta et confragosa oratio: νῦν — κατηγορήσει, sine δὲ, nisi forte dicas, ipsius indignationis hanc esse duritiem structuræ, et πάλιν quodammodo vicarium esse τοῦ δέ. Idem.

Νῦν πάλιν μείνας κ. τ. λ.] Si remanserit in urbe, quomodo populum apud eos, qui egressi sunt, accusabit? Ego me, etiamsi τὸ μείνας sustuleris, hunc locum non intelligere fateor: et ut interpreteris μείνας, S. τὸν καιρὸν, *exspectata occasione*, parum probo. Legere autem, id quod sententia postulare videtur, νῦν πάλιν τῶν μεινάντων πρὸς τοὺς ἐξεληλυθότας τοῦ δήμου κατηγορήσει, *nunc vicissim eos, qui remanserunt, apud eos e populo qui egressi sunt accusabit*, aut μείνας πρὸς τοὺς μένοντας τῶν ἐξεληλυθότων, sine fide et subsidio probati Codicis, nimis calidum videtur. Etsi huic conjecturæ suffragantur sequentia: πότερον οὖν ὑμεῖς, ἄν τε μένητε, ἄν τε ἐξίητε. Wolf. Quidni ita legeretur, cum huic emendationi favere videatur Cod. Italicus? Νῦν πάλιν μεινάντων πρὸς τοὺς ἐξεληλυθότας τοῦ δήμου κατηγορήσει. Supra enim §. νγ'. ἑτόλμα λέγειν, ὡς ὅσοι, δέον ἐξιέναι, κατέμενον, καὶ ὅσοι τὰ φερούρια ἦσαν ἔρημα λελειπότες ἐκκλησίασαν, καὶ χορευταὶ καὶ ξένοι — ἦσαν, οἳ κατεχειροτόνησαν αὐτοῦ. Taylor. Wolfius: *nunc rursus — occasione exspectata.* Immo: *nunc rursus domi sedens.* Nec enim exiverat Midias cum equitibus, nec cum sua trireme, sed ad urbem remanserat. Vide §. μέ. Jurin.

νέ. Εἴτε μὴ] Μέλλων ἀποῤῥήτους λόγους ἐξηγεῖσθαι, διστάζειν προσποιεῖται. Ulp. Spalding.

Ἀπήλλαγμαι] Ἐψεύδετο θρυλλῶν καὶ λογοποιούμενος· "ἐσπείσατό μοι Δημοσθένης, ἀπηλλάγην τῆς ἐχθρᾶς, λέλυται μοι τῶν ἐγκλημάτων ὁ κίνδυνος." Ulp. Trahebat itaque Ulpianus ἀπήλλαγμαι ad Midiam, non ad Demosthenem ut Reiskius. Neque videtur de eo, qui in gratiam redierit, dici posse ἀπαλλαγῆναι; διαλλαγῆναι optime. Fraudi fuit Reiskio particula ὡς, quæ hic inducit sermonem alterius ut ὅτι. Hoc monuit de nostro loco Budæus in Comment. Gr. Lingu. vid. Hoogev. Sch. p. 775. cf. etiam Viger. Zeun. p. 547. Idem.

Ἔνδηλοι] Forte εὔδηλοι. Wolf. Sufficit Hesychii auctoritas ad vindicandam vocem ἔνδηλος, etsi apud eum VV. DD. malint ἔκδηλος. Spalding.

Ἡδέως] Vel *libenter* vel *blande*. Wolf.

νὴ Δία αὐτοῖς πολλὴ συγγνώμη. οὐ γάρ ἐστι φορητὸς ἄνθρωπος· ἀλλὰ καὶ πλουτεῖ μόνος, καὶ λέγειν δύναται μόνος, καὶ πάντες εἰσὶ τούτῳ καθάρματα, καὶ πτωχοὶ, καὶ οὐδὲ ἄνθρωποι. τὸν οὖν ἐπὶ ταύτης τῆς ὑπερηφανίας [1]ὄντα, νῦν ἂν ἀποφύγῃ, τί ποιήσειν οἴεσθε; ἐξ ὅτου δὲ τοῦτ' ἂν εἰδείητε, ἐγὼ φράσω· εἰ τοῖς μετὰ τὴν καταχειροτονίαν τεκμηρίοις θεωρήσετε. τίς γὰρ ἐστὶν, ὅστις, [2]καταχειροτονηθὲν αὐτοῦ, καὶ ταῦτα ἀσεβεῖν περὶ τὴν ἑορτὴν, εἰ καὶ μηδεὶς ἄλλος ἐπῆν κίνδυνος, μηδὲ ἀγών, οὐκ ἂν ἐπ' αὐτῷ [3]τούτῳ κατέδυ, καὶ μέτριον παρέσχεν ἑαυτὸν, τόν γε δὴ μέχρι τῆς κρίσεως χρόνον, εἰ καὶ μὴ πάντα; οὐδεὶς ὅστις οὐκ ἄν. ἀλλ' οὐ Μειδίας· ἀλλ' ἀπὸ ταύτης τῆς ἡμέρας λέγει, λοιδορεῖται, βοᾷ. [4]χειροτονεῖταί τις; 579
Μειδίας Ἀναγυράσιος προβέβληται. Πλουτάρχου προ-

[1] ὄντα νῦν, ἂν T. [2] καταχειροτονηθέντος T. [3] Deest τούτῳ. T.
[4] χειροτονεῖται, τίς; Μειδίας ἀναγυράσιος. προβέβληται Πλουτάρχου. προξενεῖ. R.

Ipsos ῥήτορας, Midiæ auxilium pollicitos, designari puto. SPALDING.

Τίς γάρ ἐστιν ὅστις καταχειροτονηθέντος αὐτοῦ, &c.] *Ecquis est enim hominum, qui præjudicio populi damnatus violatæ quoque religionis, non eam ob rem publico caruisset, domique delitescens, modestum se civem exhibuisset, si non omne postea tempus certe quidem quoad in reatu fuisset, et usque ad judicium.* quod dixit γε δὴ, idem est quod alibi, ἀλλά γε, καὶ ἀλλὰ, Cicero *quidem certe* extulit de Natura deorum, "Debebant quidem illi omnes bonos efficere. siquidem hominum generi consulebant: sin id minus, bonis quidem certe consulere debebant." *Ex edit.* HERVAG.

Τίς γάρ ἐστιν κ. τ. λ.] Olim, nempe in Edit. Lutet. legebatur, τίς γάρ ἐστιν ἔτι τούτῳ, ὅστις κ. τ. λ. Id Wolfium male habuit, cujus sunt verba, sc. "ἔτι τούτῳ alii Codd. non habent, et turbat sententiam et constructionem: neque etiam placet ἔθει τούτῳ, *hisce moribus*, quod commodius diceretur τοιοῦτος τὸν τρόπον, οὕτως ἀναιδὴς, ἢ θρασὺς, ἢ τολμηρὸς, aut aliquid simile." Hucusque Vir doctissimus. Locum melioribus auspiciis sanavit optimus Lambinus, cum voces istas erraticas inferius v. 9. ad suam sedem revocaverit, εἰ καὶ μηδεὶς ἄλλος ἐπῆν κίνδυνος ἔτι τούτῳ, μηδὲ ἀγὼν — Ibidem, ἀγὼν ἔτι μηδὲ κίνδυνος Lindenbrog. Ital. Vindob. TAYLOR. Non pauci Codd. post ἐστὶν habent ἔτι τούτῳ, sine sensu. Ablegat ea vocabula Lambinus inter κίνδυνος et μηδέ; parum ingeniose, etsi facientem laudat Taylorus. Reiskius ex adscripta margini varietate lectionis repetit; melius ille. In mentem venit, an sit ἐπὶ τούτῳ legendum, sensu hoc: *præter hunc* (Midiam)? Sed exemplo locutionis destituor. Bene nobiscum agitur, quod absunt importuna verba a bonæ notæ aliquot Codd. SPALDING.

Καταχειροτονηθέντος] Τοῦ δήμου καταχειροτονήσαντος αὐτοῦ, ut ἐγὼ καταχειροτονοῦμαι sit formula. Sed quid si καταχειροτονηθὲν κατ' Ἀττικισμόν? WOLF. Lege καταχειροτονηθέντος αὐτοῦ. MARKLAND.

Ἐπ' αὐτῷ] Ἐπ' αὐτῷ τούτῳ Editi cum MSS. paucis, sed infeliciter. Commonstravi, quo pertineret istud τούτῳ. Id mendum fraudi fuisse Wolfio video, *ob id ipsum.* ἐπ' αὐτῷ (vel ἐφ' αὐτῷ) καταδῦναι est *in se ipsum descendere.* TAYLOR.

Ἀλλ' ἀπὸ ταύτης etc.] Hoc comma laudat Plutarchus Platon. Quæst. extrem. ubi expendit vim orationis ἐξαιρεθέντων τῶν συνδέσμων. Locum consule. TAYLOR.

Μειδίας Ἀναγυράσιος κ. τ. λ.] Distingue: Μειδίας Ἀναγυράσιος προβέβληται Πλουτάρχου· προξενεῖ· τὰ etc. Sic §. λθ'. τούτου προβέβληνται Πολύευκτος, Τιμοκράτης. ubi recte se habet Wolfiana interpretatio, quæ pessima est hoc loco. Alluditur nimirum hic ad factum aliquod tunc temporis bene notum, quod evenit inter καταχειροτονίαν Midiæ et scriptionem hujus orationis. MARKLAND.

ξενεῖ. τὰ ἀπόῤῥητα οἶδεν. ἡ πόλις αὐτὸν οὐ χωρεῖ. καὶ ταῦτα πάντα ποιεῖ, δηλονότι οὐδὲν ἄλλο ἐνδεικνύμενος, ἢ ὅτι ἐγὼ οὐδὲν πέπονθα ὑπὸ τῆς καταχειροτονίας· [1] οὐ δέδοικα, οὐδὲ φοβοῦμαι τὸν μέλλοντα ἀγῶνα. ὃς οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ μὲν ὑμᾶς δεδιέναι δοκεῖν, αἰσχρὸν ἡγεῖται· τὸ δὲ μηδὲν φροντίζειν ὑμῶν, νεανικόν· τοῦτον οὐκ ἀπολωλέναι δεκάκις προσήκει; [2] ἐγὼ μὲν ἡγοῦμαι. οὐδὲ γὰρ ἕξειν ὑμᾶς, ὅ τι χρήσεσθε αὐτῷ, νομίζει. πλούσιος, θρασύς, μέγα φρονῶν, μέγα φθεγγόμενος, βίαιος, ἀναιδής. ποῦ ληφθήσεται, νῦν ἂν διακρούσηται;

νς'. Ἀλλ' ἔγωγε, εἰ μηδενὸς ἕνεκα τῶν ἄλλων, τῶν γε δημηγοριῶν, ὧν ἑκάστοτε [3] δημηγορεῖ, καὶ ἐν τοῖς καιροῖς, τὴν μεγίστην ἂν αὐτὸν δικαίως [4] οἶομαι δίκην δοῦναι· ἴστε γὰρ δήπου τοῦθ', ὅτι, ἂν μέν τι τῶν δεόντων ἀπαγγελθῇ τῇ πόλει, καὶ τοιοῦτον, οἷον [5] εὐφρᾶναι πάντας, οὐδαμοῦ πώποτε Μειδίας τῶν συνηδομένων, οὐδὲ τῶν συγχαιρόντων ἐζητάσθη τῷ δήμῳ. ἂν δέ τι φλαῦρον, ὃ μηδεὶς ἂν [6] βούλοιτο τῶν ἄλλων, πρῶτος ἀνέστηκεν εὐθέως, καὶ δημηγορεῖ, ἐπεμβαίνων τῷ καιρῷ, καὶ τῆς σιωπῆς ἀπολαύων, ἣν, ἐπὶ τῷ περὶ τῶν συμβεβηκότων ἄχθεσθαι, ποιεῖσθε ὑμεῖς· τοιοῦτοι γὰρ ἐστέ, ὦ ἄνδρες Ἀθηναῖοι· [7] οὐ γὰρ

[1] οὐδὲ T. [2] Desunt ἐγὼ μὲν ἡγοῦμαι. T. [3] ἐδημηγόρει, καὶ ἐν οἷς καιροῖς T. [4] οἶμαι T. [5] εὐφρᾶναι R. [6] βούλοιτο, τῶν ἄλλων πρῶτος T. [7] οὐδὲ T.

Ἀπόῤῥητα] Τοῦ Πλουτάρχου δηλονότι. Ulp. Arcana Plutarchi, tyranni Eretriensis, consilia, perniciosa illa Athenis, novit. Cæterum dirimendi et interpungendi illa ἀσύνδετα (celebrata rhetoribus) multæ sunt rationes; suis causis commendatæ singulæ. Mihi ex Aristidis loco (p. Norm. 190.) Reiskius eam, quam expressi, persuasit. Absunt verba illa: Πλουτ. προξ. ab Aristide, unde hoc saltem colligi posse videtur, a veteribus sic disponi solita esse hæc verba, ut jungeretur Μειδ. προβεβλ. et Πλουτ. προξ. Et, referri aliquid ad quæstionem: χειροτον. τις, necesse esse dixerim. Ea etiam Ulpiani ratio est. Spalding.

Ἢ ὅτι ἐγὼ] Distinctius ἢ ὅτι, Ἐγὼ etc. ut appareat, hæc esse verba Midiæ insolenter se efferentis. Markland.

Προσήκει;] Huic interrogationi respondent Bar. Aug. et Reg. ε. ἐγὼ μὲν ἡγοῦμαι. Recte. Taylor.

νς'. Τῶν γε δημηγοριῶν] *Vel ob crebras et importunas conciones*, adde, *et tempora, quibus eas habuerit.* Jurin.

Ἑκάστοτ' ἐδημηγόρει] Et insolentes et minime tempestivas eum habuisse conciones significat. Wolf. Potius cum Ital. et Reg. α. ἑκάστοτε δημηγορεῖ. Taylor.

Τοῖς] Cum varietur in Codd. quorum alii omittunt articulum, alii exhibent οἷς pro τοῖς, non alienum videtur, quod monet Reiskius, vitium esse in loco, et fortasse excidisse μεγίστοις. In ipsa ea iteratione, μεγίστην δίκην, figuram esse opinor. Spalding.

Ὅτι ἂν μέν τι τῶν δεόντων ἀπαγγελθῇ] Hæc eadem et Æschini objicit. Wolf.

ἐξέρχεσθε, [1]οὐ γὰρ οἴεσθε δεῖν χρήματα εἰσφέρειν. εἶτα θαυμάζετ', εἰ κακῶς ὑμῖν τὰ πράγματ' ἔχει; ἐμὲ [2]δὲ οἴεσθ' ὑμῖν εἰσοίσειν, ὑμεῖς δὲ [3]νεμεῖσθαι; ἐμὲ οἴεσθε τριηραρχήσειν, ὑμεῖς δ' οὐκ [4]ἐμβήσεσθαι; τοιαῦθ' ὑβρίζων, καὶ τὴν ἀπὸ 580
τῆς ψυχῆς πικρίαν καὶ κακόνοιαν, ἣν κατὰ τῶν πολλῶν ὑμῶν ἔχων ἀφανῆ παρ' ἑαυτῷ περιέρχεται, φανερὰν ἐπὶ τοῦ καιροῦ καθιστάς. δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμᾶς οὕτω νῦν, ὅταν οὗτος ἐξαπατῶν καὶ φενακίζων ὀδύρηται, καὶ κλαίῃ, καὶ δέηται, [5]τοιαῦθ' ὑποβάλλειν αὐτῷ. τοιοῦτος γὰρ εἶ, Μειδία· ὑβριστὴς γὰρ εἶ, καὶ οὐκ ἐθέλεις ἔχειν παρὰ σαυτῷ τὸ χεῖρε. εἶτα θαυμάζεις, εἰ κακὸς κακῶς ἀπολῇ; ἀλλὰ νομίζεις ἡμᾶς μὲν ἀνέξεσθαί σου, αὐτὸς δὲ τυπτήσειν; καὶ ἡμᾶς μὲν ἀποψηφιεῖσθαί σου, [6]σὺ δὲ οὐδὲ παύσεσθαι;

νζ'. Καὶ βοηθήσουσιν οἱ λέγοντες ὑπὲρ αὐτοῦ, οὐχ

[1] οὐδ' οἴεσθε T. [2] Deest δέ. T. [3] νεμεῖσθε T. [4] ἐμβήσεσθε T. [5] ταῦθ' T.
[6] σὲ δὲ οὐ παύσεσθαι T. σὺ δὲ οὐδὲ * οὕτω παύσ. R.

Νεμεῖσθαι] F. νεμεῖσθαι, et v. seq. ἐμβήσεσθαι, (subintellecta sc. ἀπὸ τοῦ κοινοῦ, voce οἴεσθε). Vide enim, quomodo his ἀντίστοιχα efferantur v. 14. Νομίζεις ἡμᾶς μὲν ἀνέξεσθαί σου, αὐτὸς δὲ τυπτήσειν; καὶ ἡμᾶς μὲν ἀποψηφιεῖσθαί σου, σὲ δὲ οὐ παύσεσθαι, ubi pro σὲ congruentius legas σύ. MARKLAND. Infinitivi isti, quos amplectitur Vir felicissimæ divinationis, reperiuntur in optimis exemplaribus, Manutiano et Feliciano. σὺ etiam pro σὲ in MSS. νεμεῖσθαι correxit quoque Lambinus, neglectis reliquis. TAYLOR.

Ἔχων] Ἔχει Ald. et Ven. Rectius. Lege itaque et distingue: καὶ τὴν ἀπὸ τῆς ψυχῆς πικρίαν καὶ κακόνοιαν, ἣν κατὰ τῶν πολλῶν ὑμῶν ἔχει ἀφανῆ παρ' ἑαυτῷ, περιέρχεται, φανερὰν ἐπὶ τοῦ καιροῦ καθιστάς. IDEM.

Τοιαῦθ'] E vulgata ταῦθ', pro qua Aug. primi lectionem recepit Reiskius, equidem libentius fecerim; ταὐτά. Ad hoc τοιαῦτα requiri mihi videtur τινά. SPALDING.

Ἀπολῇ] Arridet Bav. Cod. lectio: ἀπολεῖ. IDEM.

Καὶ ἡμᾶς] Ita recte Wolfius pro ὑμᾶς, quod obtinet in Ald. Fel. Paris. Ven. et Aug. ἡμᾶς habet Manutius, Vindob. et Baroc. Porro, emendabis, αὐτὸς δὲ τυπτήσειν — σὺ δὲ οὐ παύσεσθαι; Ita enim Bar. Aug. et Ital. Vide supra ad v. 4. Istud vero μὲν ante ἀποψηφιεῖσθαι jam restituimus ex MSS. fere omnibus. TAYLOR.

Οὐδὲ] Quod addidit de suo Reiskius, οὕτω, in Codd. silentio, recipere non sustinui, etsi magnopere sapit Atticam formam. Possumus tamen eo carere, cum etiam hic sensus sit idoneus: "Tantum abest, ut pœniteat te actorum, ut ne desinere quidem destines malas artes." SPALDING.

νζ'. Καὶ βοηθήσουσιν] Hæc ex abrupto quodammodo inseruntur, non sine suspicione mendi. Sed utrum οἱ λέγοντες ὑπὲρ αὐτοῦ βοηθήσουσιν, S. αὐτῷ: an οἱ λέγοντες (τουτέστιν οἱ ῥήτορες) βοηθήσουσιν ὑπὲρ αὐτοῦ, ἀντὶ τοῦ αὐτῷ? Neutrum sane bellum videtur. WOLF. Abrupta quidem hæc esse videntur, neque, ut ait Wolfius, mendi suspicione carere. Verum si novam periodum institueris: Καὶ βοηθήσουσιν οἱ λέγοντες etc. tum Comma hoc [sc. p. 122. v. ult. p. 124. v. antepen.] ad Midiæ advocatos pertinebit, neque junctura abruptior esse apparebit, quam hæ res so-

οὕτω τούτῳ χαρίζεσθαι, μὰ τοὺς θεούς, βουλόμενοι, ὡς ἐπηρεάζειν ἐμοὶ διὰ τὴν ἰδίαν ἔχθραν, ἣν οὗτος αὐτῷ πρὸς ἐμέ, ἄν τ' ἐγὼ φῶ, ἄν τε μὴ φῶ, φησὶν εἶναι, καὶ βιάζεται [1][τοῦτο] οὐκ ὀρθῶς. ἀλλὰ κινδυνεύει τὸ λίαν εὐτυχεῖν, ἐνίοτε ἐπαχθεῖς ποιεῖν. ὅπου γὰρ ἐγὼ μὲν οὐδὲ πεπονθὼς κακῶς ἐχθρὸν εἶναί μοι τοῦτον ὁμολογῶ· οὗτος δὲ οὐδ' ἀφιέντα ἀφίησιν, ἀλλὰ καὶ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγῶσιν ἀπαντᾷ, καὶ νῦν ἀναβήσεται, μηδὲ τῆς κοινῆς τῶν νόμων ἐπικουρίας ἀξιῶν ἐμοὶ μετεῖναι, πῶς οὐχ οὗτος ἐπαχθής ἐστιν ἤδη, καὶ μείζων ἢ καθ' ὅσον ἡμῶν ἑκάστῳ συμφέρει; ἔτι τοίνυν παρῆν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐκάθητο Εὔβουλος ἐν τῷ θεάτρῳ, ὅτε ὁ δῆμος κατεχειροτόνησε Μει-

[1] Absunt unci. T.

lent fieri. Quod tamen mihi et stomachum et suspicionem movet valde, est hujusmodi, sc. quod ἐκ τῶν λεγόντων, *ex Advocatis*, Eubulum quendam perstringit solum, (licet complures fuerint) atque omnino ita, ut Oratio ad eum jam dudum conversa fuisse videretur. Hunc enim primum nomine compellat v. pen. p. 123. de eo tamen perpetuo ab exorsa usque hac periodo ad exeuntem agit. Aut igitur desunt nonnulla, aut delabitur furtim Orator ad Eubulum, quem et hac voce οὗτος v. 2. et digito simul commonstrat. Neque enim nobis legentibus tam clara et perspicua omnia esse possunt, quam oculatis et auritis solent esse. Emortuum tantum sermonem percurrimus, neque nos capere possit vis et proprietas eorum, quæ *agendo* fiebant. Quæ fortasse contemplatio quorundam locorum molestiam levabit, quæ nunc duriter et inconcinne dici videntur. Verbi gratia, in Leptinea, p. 480. 7. ed. Reisk. cum de Chabria sermo habetur, et rebus gestis, εἶλε, inquit Rhetor, τῶν νήσων τούτων τὰς πολλὰς, (Cycladas intelligit,) quare tamen τούτων diceret, nostrum erat, qui intelligeret, nemo. Quid tamen significantius, quid expressius, quam ut hac voce digitum intenderet ad πράξεις Χαβρίου, ad *librum memorialem* in medio jacentem, et mox recitandum, qui Chabriæ res gestas, harumque insularum nomina et memoriam complecteretur? Elegantissimam hanc Crisin debeo eruditissimo cuidam, sed ignoto, juveni, qui literis suam mentem aperuit post editam a me orationem, quam dixi. TAYLOR.

Χαρίσεσθαι] Nescio, unde hoc arripuerit Wolfius: Editi enim et MSS. constanter habent χαρίζεσθαι, uti ego dedi. Reg. solummodo α. χαρίσασθαι. Quod omnino alienum. IDEM.

Οὗτος] Sane δεικτικῶς intelligi hoc debet. Respicit autem orator ad Eubulum τὸν ἀντιπολιτευόμενον Δημοσθένει, de quo vid. supra §. λ'. et Ruhnkenius Hist. Orr. Grr. p. 65. seqq. SPALDING.

Αὐτῷ] Aberat a Manutio et Wolfianis. Restitui ex Ald. et Paris. Editt. Ven. Bar. Lindenb. Aug. Vindob. et Ital. MSS. TAYLOR.

κνύῃ τι τούτων, ἱκανὸν [1] νομίζητε ἔλεγχον ἔχειν ὑμεῖς εἰκότως τῆς ἀληθείας ἑκάστοτε. ἡμεῖς τοίνυν οὐκ ἐκ λόγων εἰκότων, [2] οὐδὲ τεκμηρίων, ἀλλὰ παρ' οὗ μάλιστα δίκην ἐστὶ [3] λαβεῖν, τούτῳ ταῦτ' ἐπιδείκνυμεν, ἄνδρα παρεσχηκότα γραμματεῖον, ἐν ᾧ τὰ τούτῳ βεβιωμένα ἔνεστιν· ὃς αὐτὸν ὑπεύθυνον ποιήσας μαρτυρεῖ ταῦτα. ὥς-θ' ὅταν μὲν λοιδορίαν ταῦτα καὶ αἰτίαν εἶναι φῇ, ὑπολαμβάνετε, ὡς ταῦτα μέν ἐστιν ἔλεγχος, ἃ δ' οὗτος ποιεῖ, ταῦτα [4] λοιδορία καὶ αἰτία· ὅταν δ', ὅτι πρὸς τοὺς θεσμοθέτας προσῆκεν ἐπαγγέλλειν [5] ἡμῖν, ἐκεῖνο ὑπολαμβάνετε, ὅτι καὶ τοῦτο ποιήσομεν, καὶ νῦν προσηκόντως περὶ τοῦ νόμου λέγομεν. εἰ μὲν γὰρ ἄλλον τινὰ ἀγῶνα ἀγωνιζομένου σου ταῦτα κατηγορούμεν, δικαίως ἂν ἠγανάκτεις· εἰ δ' ὁ μὲν νῦν ἐνεστηκὼς ἀγών ἐστι παρανόμων, οἱ νόμοι δ' οὐκ ἐῶσι λέγειν οὐδὲ τὰ ἔννομα τοὺς οὕτω βεβιωκότας, ἡμεῖς δ' ἐπιδείκνυμεν οὐ μόνον εἰρηκότα 601
αὐτὸν παράνομα, ἀλλὰ καὶ βεβιωκότα παρανόμως, πῶς οὐχὶ προσήκει λέγειν περὶ τούτου τοῦ νόμου, δι' οὗ ταῦτα ἐλέγχεται;

ή. Καὶ μὴν κἀκεῖνό γε δεῖ μαθεῖν ὑμᾶς, ὅτι τοὺς νόμους ὁ τιθεὶς [6] τούτους Σόλων, καὶ τῶν ἄλλων τοὺς πολλούς, οὐδὲν ὅμοιος ὢν τούτῳ νομοθέτης, οὐχ ἑνὶ δέδωκε τρόπῳ περὶ τῶν ἀδικημάτων [7] ἑκάστου λαβεῖν δίκην τοῖς βουλομένοις παρὰ τῶν ἀδικούντων, ἀλλὰ πολλαχῶς. ᾔδει γάρ, οἶμαι, τοῦθ', ὅτι τοὺς ἐν τῇ πόλει γενέσθαι πάντας [8] ὁμοίως ἢ δεινοὺς, ἢ θρασεῖς, ἢ μετρίους, οὐκ ἂν εἴη. εἰ μὲν οὖν ὡς τοῖς μετρίοις δίκην [9] ἐξαρκέσειε λαβεῖν, οὕτω τοὺς νόμους θήσει, μετὰ ἀδείας ἔσεσθαι πολλοὺς πονηροὺς ἡγεῖτο· εἰ δ' ὡς τοῖς θρασέσι καὶ δυνατοῖς λέγειν, τοὺς ἰδιώτας οὐ δυνή-

[1] νομίζετε [2] οὐδ' ἐκ τεκμηρίων * ταῦτ' ἐπιδείκνυμεν, ἀλλὰ [3] λαβεῖν τούτῳ, ἄνδρα [4] λοιδορία τε καὶ [5] ἡμῖν ἐπαγγέλλειν [6] τούτους ὁ τιθεὶς [7] ἑκάστων [8] ὁμοίους [9] ἐξαρκέσει

Νομίζητε] Wolfius interpretatur lectionem, quæ videtur esse omnium Codd. νομίζετε. Est ergo vulgata fortasse Typothetarum error. TAYLOR. Plane legendum νομίζετε. JURIN.

Τούτῳ κ. τ. λ.] Fortius videtur et clarius, si legas τούτῳ ταῦτ' ἐπιδείκνυμεν. ἐπιδείκνυμεν ἄνδρα etc. IDEM.

Ἄνδρα παρεσχηκότα] Ἄνδρας παρεσχηκότες Bodl. Quod parum intelligo. ἄνδρα παρέχοντες ἔχοντα γραμματεῖον. Lambinus. Certe illa superiora sic legenda sunt: παρ' οὗ μάλιστα πίστιν ἐστὶ λαβεῖν. TAYLOR.

Ταῦτα] Nempe, *ea quæ proferimus.* AUGER.

Ἐπαγγέλλειν] Mavult Lambinus ἀπαγγέλλειν. Qui vel a Scholiaste refutari potuit. Vid. §. ή. fin. et Harpocrationem in voce. TAYLOR.

Παρανόμων] Vide ad Midianam §. γ'. IDEM.

σεσθαι τὸν αὐτὸν τούτοις τρόπον λαμβάνειν δίκην. δεῖν δ' ᾤετο μηδένα ἀποστερεῖσθαι τοῦ δίκης τυχεῖν, ὡς ἕκαστος δύναται. πῶς οὖν ἔσται τοῦτο; ἐὰν πολλὰς ὁδοὺς δῷ διὰ τῶν νόμων ἐπὶ τοὺς [1] ἠδικηκότας. οἷον τῆς κλοπῆς, ἔρρωσαι καὶ σαυτῷ πιστεύεις; ἄπαγε. ἐν χιλίαις δὲ ὁ κίνδυνος. ἀσθενέστερος εἶ; τοῖς ἄρχουσιν ἐφηγοῦ. τοῦτο ποιήσουσιν ἐκεῖνοι. φοβῇ καὶ τοῦτο; γράφου. καταμέμφῃ σεαυτὸν, καὶ πένης ὢν οὐκ ἂν ἔχοις χιλίας ἐκτίσαι; δικάζου κλοπῆς πρὸς διαιτητὴν, καὶ οὐ κινδυνεύσεις. οὐδέτερον βούλει τούτων; γράφου. κατοκνεῖς καὶ τοῦτο; ἐφηγοῦ. τούτων οὐδέν ἐστι τὸ αὐτό. τῆς ἀσεβείας κατὰ [2] ταῦτα ἐστὶν, ἀπάγειν, γράφεσθαι, δικάζεσθαι πρὸς Εὐμολπίδας, φράζειν πρὸς τὸν βασιλέα. περὶ τῶν ἄλλων ἁπάντων τὸν αὐτὸν τρόπον σχεδόν. εἰ δή τις ὡς
602 μὲν οὐχὶ κακοῦργός ἐστι μὴ λέγοι, ἢ ὡς οὐκ ἀσεβὴς, ἢ ὅ, τι δήποτ' εἴη δι' ὃ κρίνοιτο, διὰ ταῦτα δ' ἐκφεύγειν ἀξιοίη, εἰ μὲν ἀπηγμένος εἴη, διότι πρὸς διαιτητὴν ἐξῆν αὐτῷ λαχεῖν,

[1] ἠδικηκότας, οἷον τῆς κλοπῆς. [2] ταὐτὰ

Γράφου — ἐφηγοῦ] Atqui et τὸ γράφεσθαι et τὸ ἐφηγεῖσθαι jam dictum est: nisi forte superiora pertineant ad judices, hæc ad arbitrum. Ego verba auctoris rejicere nolui, quia fortassis, ut in superiore anantapodoto, ita hic etiam de industria plebeiam confusionem et ταυτολογίαν, ne qua suspicio esset artificii, affectavit. Ulpianus aliter hanc repetitionem excusat. Vide Suidam in voce ἐφήγησις. Wolf. Neque mihi commentum Wolfii placet, neque Ulpiani, quem in scholiis otiosus consulas. Addam jam tertium, Heraldum sc. Animadv. in Salmas. L. 4. c. 7. §. 10. qui ita legit et interpretatur: "Ἔρρωσαι καὶ σαυτῷ πιστεύεις; Ἄπαγε· ἐν χιλίαις δὲ ὁ κίνδυνος. ἀσθενέστερος εἶ; τοῖς ἄρχουσιν ἐφηγοῦ· τοῦτο ποιήσουσιν ἐκεῖνοι. οὐδέτερον βούλει τούταων; γράφου. κατοκνεῖς καὶ τοῦτο, καὶ πένης ὢν οὐκ ἂν ἔχοις χιλίας ἀποτίσαι; δικάζου κλοπῆς πρὸς διαιτητὴν, καὶ οὐ κινδυνεύσεις. τούταων οὐδέν ἐστι τὸ αὐτό. *Viribus polles, atque iis es fretus? abduc ad XIviros: verum mille drachmis periclitaris. minus vales viribus? magistratibus indica, et eos deducito: ipsi id facient et furem prehendi jubebunt. neutrum istorum vis? accusa. hoc etiam non audes, et pauperior es, quam qui mille drachmas possis solvere? furti age apud minores judices, et extra periculum eris. hæc omnia diversa sunt.* Delevi φοβῇ καὶ τοῦτο, item καταμέμφῃ σαυτὸν, quæ omnia esse existimo horum verborum (κατοκνεῖς καὶ τοῦτο) interpretamenta. Delevi etiam γράφου et ἐφηγοῦ repetita." Hæc vir doctissimus. Qui quantum in hac re profecerit, alii videant. Hoc certissimum, in his verbis Demosthenis explicari Ἀπαγωγὴν, Ἐφήγησιν, Γραφὴν, Δίκην, hæc quatuor; quicquid autem ultra hæc dicitur, aut inutiliter repetitur, resecandum esse. Hoc mihi cum Heraldo commune. Nemo tamen mihi intercesserit, quin ista potius inducam, quæ in fine sententiæ leguntur: οὐδέτερον βούλει τούταων; γράφου. κατοκνεῖς καὶ τοῦτο; ἐφηγοῦ. Remoto enim hoc quasi scholiolo, cætera omnia aperta manent et facilia. Interea consulere potes, quæ disputat bene multa ad hunc locum ὁ μέγας Salmasius de modo Usurarum pag. 776. seq. Neque obliviscaris, hæc verba superioribus olim Criticis negotii plurimum attulisse, siquidem ad ea credo digitum intendisse Ulpianum, cum ait: ἐν τῷ μέρει τούτῳ τῆς λύσεως ἔστι τι τῶν ἀσαφῶν κατὰ τὴν ἐξαγγελίαν, μᾶλλον δὲ κατὰ τὴν ἱστορίαν τῆς πολιτείας, ἃ παρείληπται μὲν ὡς παράδειγμα, δεῖται δὲ τῆς διορθώσεως. Taylor.

Κατὰ ταὐτὰ] Ὡσαύτως, τὸν αὐτὸν τρόπον. Cave legas κατὰ ταῦτα, priore circumflexa. Wolf.

Κατὰ ταῦτα] Melius cum marg. Benenati ταὐτά. Taylor.

Αὐτῷ] Vel αὐτῷ delendum ut inutile, vel scribendum cum spiritu aspero [αὑτῷ],

καὶ γράφεσθαι χρῆν, εἰ δὲ πρὸς [1] διαιτητὴν φεύγοι, ὅτι χρῆν σε ἀπάγειν ἵν' ἐκινδύνευες περὶ χιλίων, γέλως ἂν εἴη δήπουθεν. οὐ γὰρ τόν γε μηδὲν πεποιηκότα δεῖ [2] περὶ τοῦ τρόπου ὅντινα χρὴ διδόναι δίκην ἀντιλέγειν, ἀλλ' ὡς οὐ πεποίηκεν ἀποδεικνύναι. τὸν αὐτὸν δὴ τρόπον, Ἀνδροτίων, καὶ σύ, μὴ διὰ ταῦτα οἷου σοι προσήκειν μὴ δοῦναι δίκην, εἰ γράφεις ἡταιρηκώς, ὅτι καὶ πρὸς τοὺς θεσμοθέτας ἔσθ' ἡμῖν ἐπαγγελία· ἀλλ' ἢ δεῖξον οὐ πεποιηκότα ταῦτα [3] σεαυτὸν, ἢ δίκην ὑπεχε, εἰ γέγραφάς τι, τοιοῦτος ὤν. οὐ γὰρ ἔξεστί σοι. εἰ δέ σε μὴ πάντας ὅσους οἱ νόμοι διδόασι τρόπους τιμωρούμεθα, χάριν ἡμῖν ὧν παραλείπομεν ἐκείνων ἔχε, μὴ διὰ ταῦτα ἀξίου μηδὲ καθ' ἕνα τρόπον δοῦναι δίκην.

θ'. Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὸν θέντα τὸν νόμον ἐξετάσαι Σόλωνα, καὶ θεάσασθαι, ὅσην πρόνοιαν ἐποιεῖτο ἐν ἅπασιν οἷς ἐτίθει νόμοις τῆς πολιτείας, καὶ ὅσῳ περὶ τούτου μᾶλλον ἐσπούδαζεν, ἢ περὶ τοῦ πράγματος αὐτοῦ οὗ τιθείη τὸν νόμον. πολλαχόθεν μὲν οὖν ἄν τις ἴδοι τοῦτο, οὐχ ἥκιστα δ' ἐκ τούτου τοῦ νόμου, μήτε λέγειν μήτε γράφειν ἐξεῖναι τοῖς ἡταιρηκόσιν. ἑώρα γὰρ ἐκεῖνο, ὅτι τοῖς πολλοῖς ὑμῶν ἐξὸν λέγειν, οὐ λέγετε. ὥστε τοῦτό γε οὐδὲν ἡγεῖτο βαρύ. καί τοι πολλὰ ἂν εἶχεν, εἴ γε κολάζειν [4] ἐβούλετο τούτους, χαλεπώτερα θεῖναι. ἀλλ' οὐ τοῦτ' ἐσπούδασεν, ἀλλὰ ταῦτα ἀπεῖπεν ὑπὲρ ὑμῶν, καὶ τῆς πολιτείας. ᾔδει γάρ, ᾔδει τοῖς αἰσχρῶς βεβιωκόσιν ἁπασῶν οὖσαν ἐναντιωτάτην πολιτείαν, 603
ἐν ᾗ πᾶσιν ἔξεστι λέγειν τἀκείνων ὀνείδη. ἔστι δὲ αὕτη τίς;

[1] διαιτητῇ [2] * περὶ τοῦ, τρόπον [3] σαυτὸν [4] ἐβούλετο, τούτου χαλεπώτερα

contra seipsum. Auger.

Εἰ δὲ πρὸς διαιτητὴν φεύγοι] Εἰ δικάζοιτό τις αὐτῷ κλοπῆς πρὸς διαιτητήν. ut supra dixit. Wolf. Timebat Vir doctissimus, ne phrasi illa πρὸς διαιτητὴν φεύγειν aliquis abreptus hæc secus acciperet, ac debuit. *Cave* ergo prædixit. Et recte sane. Sed non opus erat vel isto monito, si cum Ital. legisset, πρὸς διαιτητῇ φεύγοι. *Apud judicem pedaneum, in curia judicis pedanei, reum sisti.* Quam veram lectionem esse arbitror. Taylor.

Τοῦ τρόπου] Τὸν τρόπον Editt. omnes ante Wolfium. Conjecit Lambinus περὶ τοῦ ὅντινα τρόπον χρὴ κ. τ. λ. Taylor.

Μὴ διὰ ταῦτα] Μὴ διὰ ταῦτα δ' ἀξίου. Wolf.

θ'. Οὗ τιθείη] Γρ. περὶ οὗ τιθείη. Marg. Benenat. Taylor. Sub. ἕνεκα. Auger.

Ὅτι τοῖς πολλοῖς] *Quod cum vobis plebeiis dicere liceat, non dicatis.* Sic ad verbum. Ego de industria nonnihil a verbis recessi. Wolf.

Τούτους, χαλεπώτερα θεῖναι] Ἰδοὺ λῆμμα Ὁμηρικὸν, ἀντὶ Δημοσθενείου. Idem.

Ἤδει γάρ, ᾔδει] De διπλασιασμοῖς hujusmodi, vid. D'Orville ad Charit. Aphrod. Lib. III. cap. V. p. 311.

δημοκρατία. οὐκοῦν ἐνόμιζεν ἀσφαλὲς, εἴποτε συμβήσεται γενέσθαι συχνοὺς ἀνθρώπους κατὰ τοὺς αὐτοὺς χρόνους, εἰπεῖν μὲν δεινοὺς καὶ θρασεῖς, τοιούτων δ' ὀνειδῶν καὶ κακῶν μεστούς. πολλὰ γὰρ ἂν τὸν δῆμον ὑπ' αὐτῶν ὑπαχθέντα ἐξαμαρτεῖν, κἀκείνους ἤτοι καταλῦσαί γ' ἂν πειρᾶσθαι τὸ παράπαν τὸν δῆμον, — ἐν γὰρ ταῖς ὀλιγαρχίαις, οὐδ' ἂν ὦσιν ἔτ' Ἀνδροτίωνός τινες αἴσχιον βεβιωκότες, οὐκ ἔστι λέγειν κακῶς τοὺς ἄρχοντας —, ἢ προάγειν ἂν ὡς πονηροτάτους [1] εἶναι, ἵν' ὡς ὁμοιότατοι σφίσιν ὦσι. τὴν οὖν ἀρχὴν τοῖς τοιούτοις ἀπεῖπε μὴ μετέχειν τοῦ συμβουλεύειν, [2] ἵνα μὴ φενακισθεὶς ὁ δῆμος ἐξαμάρτῃ μηδέν. ὧν ὀλιγωρήσας ὁ καλὸς κἀγαθὸς οὗτος οὐ μόνον ᾤετο δεῖν λέγειν, καὶ γράφειν, οὐκ ἐξὸν, ἀλλὰ καὶ παρὰ τοὺς νόμους ταῦτα ποιεῖν.

ί. Περὶ μὲν τοίνυν τοῦ νόμου, καθ' ὃν ὠφληκότος αὐτοῦ τοῦ πατρὸς τῷ δημοσίῳ χρήματα, καὶ οὐκ ἐκτετικότος, οὐκ ἔξεστι λέγειν οὐδὲ γράφειν τούτῳ, ταῦτα δίκαια λέγειν ἂν ἔχοιτ' εἰκότως, ἐὰν φῇ δεῖν ἡμᾶς αὐτὸν ἐνδεικνύναι. τότε γὰρ [3] τοῦτο ποιήσομεν, οὐ μὰ Δί' οὐχὶ νῦν, ἡνίκα δεῖ σε ἑτέρων ὧν ἀδικεῖς δοῦναι λόγον, ἀλλ' ὅταν ᾖ προσῆκον ἐκ τοῦ νόμου· καὶ [4] νῦν σε δείκνυμεν οὐκ ἐῶντα γράφειν, οὐδ' ἃ τοῖς ἄλλοις ἔξεστι, τὸν νόμον. ὡς οὖν οὐκ ὤφλεν ὁ πατήρ σου, τοῦτ' ἐπίδειξον, ἢ ὡς οὐκ ἀποδρὰς ἐξῆλθεν ἐκ τοῦ δεσμωτηρίου, ἀλλὰ τὰ χρήματα ἐκτίσας. εἰ δὲ μὴ ταῦθ' ἕξεις δεικνύειν, οὐκ ἐξὸν γέγραφας. κληρονόμον γάρ σε καθίστησιν
604 ὁ νόμος τῆς ἀτιμίας τῆς τοῦ πατρός· ὄντι δ' ἀτίμῳ σοι, λέγειν οὐ προσῆκεν, οὐδὲ γράφειν.

ιά. Καὶ περὶ μὲν τῶν νόμων οὓς παρεγραψάμεθα [5] οἶμαι δεῖν ὑμᾶς, ἄν τι φενακίζειν ἐγχειρῇ καὶ παράγειν οὗτος, ταῦθ' ὑπολαμβάνειν, ἃ διεξεληλύθα ἐγώ· εἰσὶ δὲ καὶ περὶ

[1] εἶναι τοὺς πολίτας, ἵν'
[2] ἵνα δὴ μὴ
[3] [τοῦτο]
[4] νῦν * δέ γε δείκν. ο. ἐ. γρ. σε, οὐδ'
[5] οἴομαι

Τοὺς ἄρχοντας] Non *magistratibus*, verum *iis, qui summa rerum potiuntur*. Aliter non procedet argumentatio. TAYLOR.

Πονηροτάτους εἶναι] Post εἶναι adde vel sub. τοὺς πολίτας. AUGER.

ί. Ἔχοιτ' εἰκότως] Vertit hæc Wolfius, quasi ἔχοιτ' accipiendum sit pro ἔχοιτε. Sensus autem postulat, ut accipiatur pro ἔχοιτο, activa significatione, voce media. Nisi potius legendum sit ἔχοι cum Editione Benenati. JURIN. ἔχοιτε Cod. Reg. α. Alibi Wolfius: F. ἄν τις ἔχοι. TAYLOR.

Καὶ νῦν] Refinge hunc locum cum Editt. et MStorum nonnullis: καὶ νῦν δὲ δείκνυμεν οὐκ ἐῶντα γράφειν σε, οὐδ' ἃ τοῖς ἄλλοις ἔξεστι, τὸν νόμον. IDEM.

τῶν ἄλλων αὐτῷ λόγοι, πρὸς τὸ φενακίζειν ὑμᾶς εὖ μεμηχανημένοι, περὶ ὧν βέλτιον ὑμᾶς προακοῦσαι. ἔστι γὰρ εἷς αὐτῷ τοιοῦτος, μὴ πεντακοσίους ὑμῶν αὐτῶν ἀφελέσθαι τὴν δωρεὰν, μηδὲ ὀνείδει περιβαλεῖν· ἐκείνων ὁ ἀγών, οὐκ ἐμός. ἐγὼ δ', εἰ μὲν ἐμέλλετε ἀφαιρήσεσθαι τούτους μόνον, ἄλλο δὲ μηδὲν ὠφελήσειν τὴν πόλιν, οὐδὲν ἂν ὑμᾶς σφόδρα σπουδάζειν ἠξίουν· εἰ δὲ τῷ τοῦτο ποιῆσαι, πλείους ἢ μυρίους τοὺς ἄλλους πολίτας βελτίους εἶναι προτρέψετε, πόσῳ κάλλιον τοσούτους παρασκευάσαι χρηστοὺς, ἢ πεντακοσίοις ἀδίκως [1] χαρίσασθαι; ὡς δ' [2] οὐκ ἔστιν ἁπάσης τὸ πρᾶγμα τῆς βουλῆς, ἀλλὰ τινῶν, οἵπερ εἰσὶν αἴτιοι τῶν κακῶν, καὶ Ἀνδροτίωνος, ἔχω λέγειν. [3] τῷ γάρ ἐστιν ὄνειδος, εἰ σιωπῶντος αὐτοῦ, καὶ μηδὲν γράφοντος, ἴσως δὲ οὐδὲ τὰ πολλὰ εἰς τὸ βουλευτήριον εἰσιόντος, μὴ λάβῃ ἡ βουλὴ τὸν στέφανον; οὐδενὶ δήπουθεν· ἀλλὰ τοῦ γράφοντος, καὶ πολιτευομένου, καὶ πείθοντος ἃ βούλοιτο τὴν βουλήν. διὰ γὰρ τούτους ἀνάξια τοῦ στεφανωθῆναι βεβούλευκεν. οὐ μὴν ἀλλ' εἰ καὶ [4] ταμάλιστα πάσης ἔσθ' ὁ ἀγὼν τῆς βουλῆς, ὅσῳ συμφέρει μᾶλλον ὑμῖν καταγνοῦσιν, ἢ μὴ, θεάσασθε. εἰ μὲν ἀπογνώσεσθε, ἐπὶ τοῖς λέγουσι τὸ βουλευτήριον ἔσται· ἐὰν δὲ καταγνῶτε, ἐπὶ τοῖς ἰδιώταις. ἑωρακότες γὰρ οἱ πολλοὶ διὰ τὴν τῶν λεγόντων πονηρίαν, τήνδ' ἀφῃρημένην τὴν 605
βουλὴν τὸν στέφανον, οὐχὶ προήσονται τούτοις τὰς πράξεις, ἀλλὰ τὰ βέλτιστ' ἐροῦσιν αὐτοί· εἰ δὲ γενήσεται τοῦτο, καὶ τῶν ἐθάδων καὶ συνεστηκότων ῥητόρων ἀπαλλαγήσεσθε, ὄψεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, πάνθ' ἃ προσήκει γιγνόμενα. ὥστ' εἰ μηδενὸς ἄλλου ἕνεκα, διά γε ταῦτα καταψηφιστέον.

[1] χαρίσασθαι! [2] οὐδ' [3] τῷ [4] τὰ μάλιστα

Αὐτῷ] Αὐτὸς habent Editiones. Restituit Reg. α. Aug. Wolfius. Idem.

Περιβαλεῖν] "Semper cum *dativo rei*. Demosth. π. Ἀνδροτ. ὀνείδει περιβαλεῖν. ubi ab ignaris in ora ὀνείδη." D'Orville ad Charit. Aphrod. Lib. VIII. cap. I. p. 651. cf.

Οὐδὲν ἂν ὑμᾶς] Forte οὐδ' ἂν αὐτὸς ὑμᾶς. Wolf.

Ἀλλὰ τοῦ γράφοντος] Ἀλλὰ τῷ γράφοντι — πολιτευομένῳ — πείθοντι. marg. Benen. Laudo, si ita scribatur; Aliter simplicior esset medela in superioribus v. 12. του γάρ ἐστιν ὄνειδος —; Taylor.

Καταγνοῦσιν] Καταγνῶναι ἢ μή. Wolf.

Ἰδιώταις] Wolfius: *in populi potestate.* Male. Nam opponuntur senatores dicendi rudes senatoribus dicendi peritis, τοῖς λέγουσι. Vertendum itaque: *in potestate senatorum eorum, qui rei oratoriæ operam non dant.* Jurin.

Ἐθάδων] Ἠθάδων Bodl. Ital. Deinde παρεστηκότων plurimi. Sed rem vidit acutissimus longe Jurinus: τῶν αὐθάδων καὶ συνεστηκότων ῥητόρων. Taylor. M. αὐθάδων. Auger.

Καταψηφιστέον] *Sunt condemnandi.* Po-

ιβ'. Ὁ τοίνυν ἕτερον δεῖ μὴ λαθεῖν ὑμᾶς, ἀκούσατε. ἴσως ἀναβήσεται καὶ συνερεῖ τῇ βουλῇ Φίλιππος, καὶ Ἀντιγένης, καὶ ὁ ἀντιγραφεύς, καί τινες ἄλλοι, οἵπερ ἐκεῖ δι' ἑαυτῶν εἶχον μετὰ τούτου τὸ βουλευτήριον, καὶ τούτων τῶν κακῶν εἰσὶν αἴτιοι. δεῖ δὴ πάντας ὑμᾶς γιγνώσκειν, ὅτι τούτοις ἐστὶ μὲν ἡ προφασις τῆς συνηγορίας, τῇ βουλῇ βοηθεῖν· τῇ δ' ἀληθείᾳ, ὑπὲρ αὐτῶν ἀγωνιοῦνται, καὶ τῶν εὐθυνῶν, ἃς αὐτοὺς προσήκει δοῦναι τῶν πεπραγμένων. ἔχει γὰρ οὕτως. ἐὰν μὲν ἀπογνῶτε τὴν γραφὴν ταύτην, ἅπαντές εἰσιν ἀπηλλαγμένοι, καὶ δίκην οὐδεὶς οὐδεμίαν μὴ δῷ. τίς γὰρ ἔτ' ἂν καταψηφίσαιτο ἐκείνων, τὴν βουλὴν ὑμῶν ἐστεφανωκότων, ἧς οὗτοι προέστασαν; ἐὰν δὲ καταγνῶτε, πρῶτον μὲν τὰ εὔορκα ἔσεσθ' ἐψηφισμένοι· εἶτ' ἐπὶ ταῖς εὐθύναις ἕκαστον τούτων λαμβάνοντες, ὃς μὲν ἂν ὑμῖν ἀδικεῖν δοκῇ, κολάσετε, ὃς δ' ἂν μὴ, τότε ἀφήσετε. μὴ οὖν ὡς ὑπὲρ τῆς βουλῆς λεγόντων, καὶ τῶν πολλῶν, ἀκούετε, ἀλλ' ὡς ὑπὲρ αὐτῶν παρακρουομένοις ὀργίζεσθε.

ιγ'. Ἔτι τοίνυν Ἀρχίαν [1] οἶμαι τὸν Χολαργέα — καὶ γὰρ οὗτος ἐβούλευε πέρυσιν — ὡς ἐπιεικῆ δεήσεσθαι καὶ συνερεῖν αὐτοῖς. ἐγὼ δ' οἶμαι [2] δεῖν ὧδί πως ἀκούειν Ἀρχίου· ἐρωτᾷν αὐτὸν, ταῦτα ἃ [3] κατηγόρηται τῆς βουλῆς
606 πότερα αὐτῷ δοκεῖ καλῶς ἔχειν, ἢ [4] κακῶς. κἂν μὲν φῇ καλῶς, μηκέτι τὸν νοῦν ὡς ἐπιεικεῖ προσέχειν· ἐὰν δὲ κακῶς, τί δὴ ταῦτ' εἶα, φάσκων ἐπιεικὴς [5] εἶναι, πάλιν αὐτὸν ἐρωτᾶτε. κἂν μὲν ἀντιλέγειν φῇ, μηδένα δ' αὐτῷ πείθε-

[1] οἴομαι [2] δεῖν ὑμᾶς ὧδί [3] κατηγορεῖται [4] κακῶς; [5] εἶναι;

tius: *condemnandus est.* JURIN.

ιβ'. Ἀναβήσεται κ. τ. λ.] De verbo singularis numeri præmissum substantivis pluribus, quorum modo primum numero conveniat, vide D'Orville ad Charit. Aphrod. Lib. V. cap. IX. p. 487.

Ἧς οὗτοι προέστασαν] Wolfius: *cujus illi patroni fuerunt.* Immo: *cujus illi principes fuerunt.* JURIN.

Τότε ἀφήσετε] F. τοῦτον ἀφήσετε. WOLF. Quo nihil inscitius. Τότε, sc. *Tunc demum*, ἐπὶ ταῖς εὐθύναις. De quibus *præjudicium* fieri minime oportet. Certe, mi Wolfi, non opus erat hæc sollicitare. TAYLOR.

Καὶ τῶν πολλῶν] Wolfius: *et populi.* Male. nam hic agitur non de populo, sed de senatu. vult autem Orator, patronos istos non senatus universi, nec maximæ partis senatus, sed suam ipsorum causam agere, qui pauci numero in senatu dominabantur. JURIN.

ιγ'. Χολαργέα] Alii Χολαεγέα, utrumque malum cognomen, sive παρὰ τὴν χολὴν, sive παρὰ τὴν χολὴν, καὶ τὴν ἀεγίαν deducatur. WOLF. Satis imperite. Attici Χολαργεῖς satis noti. Meminit Demosthenes et Πολυπράτου τοῦ Χολαεγέως 2 Orat. c. Bœot. p. 1009. 25. ed. Reisk. qui etiam Εὔνικον τὸν Χολαργέα semel iterumque nominat in Orat. c. Eubul. p. 1312—20. Aristophanes in Acharn. v. 855. Λυσίστρατος Χολαεγέων ὄνειδος. BERGLER. Cf. Meurs. de pop. Attic. p. 147.

σθαι, ἄτοπον δή που νῦν λέγειν ὑπὲρ τῆς τὰ βέλτιστα οὐχὶ πειθομένης αὐτῷ βουλῆς· ἐὰν δὲ σιωπᾷν, πῶς οὐκ ἀδικεῖ, εἰ παρὸν ἐξαμαρτάνειν μέλλοντας ἀποτρέπειν, τοῦτο μὲν οὐκ ἐποίει, νῦν δὲ λέγειν τολμᾷ, ὡς [1] οὐ δεῖ τοὺς τοσαῦτα κακὰ εἰργασμένους στεφανῶσαι;

ιδ'. [2] Οἶμαι τοίνυν αὐτὸν οὐδ' ἐκείνων ἀφέξεσθαι τῶν λόγων, ὅτι ταῦτα πάντα αὐτῷ διὰ τὰς εἰσπράξεις γέγονεν, ἃς ὑπὲρ ὑμῶν ὀλίγους εἰσπρᾶξαι φήσει, πολλὰ χρήματα ἀναιδῶς οὐ τιθέντας· καὶ κατηγορήσει τούτων [3] πρᾶγμα ῥᾴδιον, οἶμαι, διαπραξάμενος, τῶν μὴ τιθέντων τὰς εἰσφοράς, καὶ φήσει πᾶσαν ἄδειαν ἔσεσθαι τοῦ μὴ τιθέναι τὰς εἰσφοράς, εἰ καταψηφιεῖσθε αὐτοῦ. ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, πρῶτον μὲν ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι οὐ περὶ τούτων δικάσειν ὀμωμόκατε, ἀλλ' εἰ κατὰ τοὺς νόμους τὸ ψήφισμα εἶπεν. εἶθ' ὅτι πάνδεινόν ἐστι, κατηγορίαν ποιούμενον, ὡς ἀδικοῦσί τινες τὴν πόλιν, αὐτὸν ἀξιοῦν, ὧν ἀδικεῖ, μειζόνων ὄντων, μὴ δοῦναι δίκην. πολὺ γὰρ δή που μεῖζόν ἐστ' ἀδίκημα γράφειν παρὰ τοὺς νόμους, ἢ τὴν εἰσφορὰν μὴ θεῖναι. ὅτι τοίνυν, οὐδ' εἰ φανερῶς ἔμελλεν, ἀλόντος τούτου, μηδεὶς εἰσοίσειν, μηδ' ἐθελήσειν εἰσπράττειν, οὐδ' οὕτως ἀποψηφιστέον, ἐκ τῶνδε γνώσεσθε. ὑμῖν παρὰ τὰς εἰσφορὰς τὰς ἀπὸ Ναυσινίκου παρίσως τάλαντα τριακόσια, ἢ μικρῷ πλείω, [4] ἐλλείμματα τέτταρα καὶ δέκα ἐστὶ τάλαντα. ὧν 607
ἑπτά· οὗτος εἰσέπραξεν. ἐγὼ δὲ τίθημι ἅπαντα. ἐπὶ μὲν δὴ τοὺς ἑκόντας τιθέντας, οὐ δεῖσθε Ἀνδροτίωνος· ἐπὶ δὲ τοὺς ἐλλείποντας. ἔστι τοίνυν ὑμῖν νυνὶ σκεπτέον, εἰ τοσούτου τιμᾶσθε τὴν πολιτείαν, καὶ τοὺς κειμένους νόμους, καὶ τὸ εὐορκεῖν. εἰ γὰρ ἀποψηφιεῖσθε τούτου, φανερῶς οὕτω παρὰ τοὺς νόμους εἰρηκότος, δόξετε πᾶσι τὰ χρήματα ταῦτα ἀντὶ

[1] Deest οὐ. [2] οἴομαι [3] (πρᾶγμα ῥᾴδιον, οἶμαι), [διαπραξάμενος], [4] ἔλλειμμα

Ὡς οὐ δεῖ] Negationem tollendam esse quis non videt? F. ὡς ἄρα δεῖ. Wolf. Delet Bodl. Taylor. Plane delendum istud οὐ. Jurin.

ιδ'. Αὐτὸν] Nempe, Androtionem. Auger.

Ποιούμενον] Τὸ ποιούμενος Editt. Ald. et Wolfii emendavi ex Editt. cæteris et MStis. Taylor.

Εἰσφορὰς τὰς ἀπὸ Ναυσινίκου] S. ἄρχοντος γεγενημένας. Wolf. *Tributis Nausinico prætore imperatis.* Potius e tributis, *quæ ab istius Prætura* usque ad res gestas Androtionis debebantur. Quod si infra censum istius Populi esse videbitur, ne nos in tributis XXV. circiter annorum nimium parci videamur, legendum est ἐπὶ Ναυσινίκου, *Nausinico* Prætore. Laudus tamen: *Exactiones, quæ erant* post Nausinicum. Taylor.

Παρίσως] Παρ' ἴσως malit Wolfius. Idem.

τῶν νόμων καὶ τῆς εὐορκίας ἠρῆσθαι· ἃ, οὐδ' ἂν εἰ παρ' ἑαυτοῦ δοίη τις ὑμῖν, λαβεῖν ἄξιον, μήτι γε [1] ἐφ' ἑτέρους εἰσπράττειν. ὥςθ' ὅταν ταῦτα λέγῃ, μέμνησθε τῶν ὅρκων, καὶ τὴν γραφὴν ἐνθυμεῖσθε, ὅτι νῦν οὐ περὶ πράξεως εἰσφορῶν ἐστὶν, ἀλλ' εἰ δεῖ κυρίους εἶναι τοὺς νόμους.

ιέ. Καὶ περὶ μὲν τούτων, ὃν τρόπον ὑμᾶς ἀπαγαγὼν ἀπὸ τοῦ νόμου, παρακρούεσθαι ζητήσει, καὶ ἃ πρὸς ταῦτα ὑμᾶς μνημονεύοντας μὴ ἐπιτρέπειν προσήκει, πολλὰ λέγειν ἔχων ἔτι, καὶ ταῦθ' ἱκανὰ εἶναι νομίζων, ἐάσω· βούλομαι δὲ καὶ τὰ πολιτεύματα ἐξετάσαι τοῦ καλοῦ κἀγαθοῦ τούτου, δι' ὧν οὐδέν ἐσθ' ὅ, τι τῶν δεινοτάτων [2] ἐλλείπων φανήσεται. καὶ γὰρ ἀναιδῆ, καὶ θρασὺν, καὶ κλέπτην, καὶ ὑπερήφανον, καὶ πάντα μᾶλλον, ἢ ἐν δημοκρατίᾳ πολιτεύεσθαι ἐπιτήδειον ὄντ' αὐτὸν ἐπιδείξω. καὶ πρῶτον μὲν ἐφ' ᾧ μέγιστον φρονεῖ, τὴν τῶν χρημάτων εἴσπραξιν ἐξετάσομεν αὐτοῦ· μὴ τῇ τούτου προσέχοντες ἀλαζονείᾳ τὸν νοῦν, ἀλλὰ τὸ πρᾶγμα οἷον γέγονε τῇ ἀληθείᾳ σκοποῦντες. οὗτος Εὐκτήμονα φήσας τὰς ὑμετέρας ἔχειν εἰσφορὰς, καὶ τοῦτο ἐξελέγξειν, ἢ παρ' ἑαυτοῦ καταθήσειν ὑποσχόμενος, καταλύσας ψηφίσματι κληρωτὴν ἀρχὴν, ἐπὶ τῇ προφάσει ταύτῃ ἐπὶ τὴν εἴσπραξιν παρέδυ. [3] δημηγορίαν δ' ἐπὶ τούτοις ποιούμενος, ὡς ἔστι τριῶν αἵρεσις ὑμῖν, ἢ τὰ πομπεῖα κατακόπτειν, ἢ πάλιν εἰσφέρειν, ἢ τοὺς ὀφείλοντας εἰσπράττειν, αἱρουμένων εἰκότως ὑμῶν, τοὺς ὀφείλοντας εἰσπράττειν, ταῖς ὑποσχέσεσι κατέχων, καὶ διὰ τὸν καιρὸν ὃς ἦν τότε ἔχων ἐξουσίαν, τοῖς μὲν κειμένοις νόμοις περὶ τούτων οὐκ ᾤετο δεῖν χρῆσθαι, οὐδ', εἰ

608

[1] γε ἐφ' ᾧ ἑτέρους [2] ἐλλιπὼν [3] δημηγορίας

Παρ' ἑαυτοῦ] Thom. Magister ait dativum esse proprium huic præpositioni cum ἐμψύχοις, accusativum cum ἀψύχοις. Sed vid. D'Orville ad Charit. Aphrod. Lib. VI. cap. I. p. 501.

Ἐφ'] Puto legendum ἐφ' ᾧ, vel ἐπὶ τῷ. Jurin.

Πράξεως] Ἀντὶ τοῦ, εἰσπράξεως. Ut in Nicocle Isocratis: ταῖς δὲ πράξεσιν ἀκριβῶς. Wolf. Legendum videtur, ut ubique alias, περὶ τῆς εἰσπράξεως. Jurin.

ιέ. Ἀλαζονείᾳ] *Arrogantia*, Wolfius. Potius: *Jactantia*. Idem.

Καταλύσας ψηφίσματι κληρωτὴν ἀρχὴν] In exordio dixit: οὗτος μέν γε εἰς χρήματα, καὶ τὸ παρ' ὑμῶν ἀδίκως ἐκπεσεῖν, ἐπεβουλεύθη. Wolf.

Δημηγορίαν δ' ἐπὶ τούτοις ποιούμενος] *Et concione post habita.* Potius: *Et concione super hac re habita.* Jurin.

Ὅσην] Legendum ὃς ἦν, ut est in Timocratea, ubi hæc eadem ad verbum repetuntur. Wolf. Ὅσην Editi. ὃς ἦν Cod. Aug. θαυμασίαν marg. Benenati. Unde Wolfius in alio loco arripuit, legitque θαυμασίην ὅσην. Et rursus in alio: διὰ τὸν καιρὸν, ὃς ἦν τότε, θαυμασίαν ἔχων ἐξουσίαν. Taylor.

μὴ τούτους ἐνόμιζεν ἱκανοὺς, ἑτέρους τιθέναι, ψηφίσματα δ' εἶπεν ἐν ὑμῖν δεινὰ καὶ παράνομα, δι' ὧν ἠργολάβει, καὶ πολλὰ τῶν ὑμετέρων κέκλοφε, τοὺς ἕνδεκα γράψας ἀκολουθεῖν μεθ' ἑαυτοῦ. εἶτ' ἔχων τούτους, ἦγεν ἐπὶ τὰς τῶν πολιτῶν οἰκίας, καὶ τὸν μὲν Εὐκτήμονα, ὃν εἰσπράξειν, ἢ καταθήσειν αὐτὸς ἔφη τὰς εἰσφορὰς, οὐδὲν εἶχεν ἐλέγχειν περὶ τούτων, ὑμᾶς δ' εἰσέπραττεν, ὥσπερ οὐ διὰ τὴν Εὐκτήμονος ἔχθραν ἐπὶ ταῦτα ἐλθὼν, ἀλλὰ διὰ τὴν ὑμετέραν. καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν, ὡς οὐκ ἐχρῆν εἰσπράττειν τοὺς ὀφείλοντας· χρῆν γάρ· ἀλλὰ πῶς; ὡς ὁ νόμος κελεύει, τῶν ἄλλων ἕνεκα. τοῦτο γάρ ἐστι δημοτικόν. οὐ γὰρ τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, τοσούτων χρημάτων τοῦτον τὸν τρόπον εἰσπραχθέντων ὠφέλησθε, ὅσον ἐζημίωσθε, τοιούτων ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγομένων. εἰ γὰρ [1]ἐθέλητε ἐξετάσαι, τίνος ἕνεκα μᾶλλον ἄν τις ἕλοιτο ἐν δημοκρατίᾳ ζῆν, ἢ ἐν ὀλιγαρχίᾳ, τοῦτ' ἂν εὕροιτε προχειρότατον, ὅτι πάντα πραότερά ἐστιν ἐν δημοκρατίᾳ. ὅτι μὲν τοίνυν τῆς ὅπου βούλεσθε ὀλιγαρχίας οὗτος ἀσελγέστερος 609
γέγονε, παραλείψω· ἀλλὰ παρ' ὑμῖν, πότε, πώποτε δεινότατα ἐν τῇ πόλει γέγονεν; ἐπὶ τῶν τριάκοντα πάντες ἂν εἴποιτε. τότε τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐδείς ἐστιν ὅστις ἀπεστερεῖτο τοῦ σωθῆναι, ὃς ἑαυτὸν οἴκοι κρύψειεν· ἀλλὰ τοῦτο κατηγοροῦμεν τῶν τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον. οὗτοσὶ τοίνυν τοσαύτην ὑπερβολὴν ἐποιήσατο ἐκείνων τῆς [2]αὐτοῦ βδελυρίας, ὥστε ἐν δημοκρατίᾳ πολιτευόμενος τὴν ἰδίαν οἰκίαν ἑκάστῳ δεσμωτήριον καθίστη, τοὺς ἕνδεκα ἄγων ἐπὶ τὰς οἰκίας.

[1] ἐθέλοιτε [2] αὐτοῦ

Ἔχων τούτους, ἦγεν] S. αὐτούς. Wolf.

Τῶν ἄλλων ἕνεκα] Ulpianus exponit: ἤτοι τῶν ἀδυνάτων καὶ πενήτων. Ut legisse videatur τῶν ἀπόρων ἕνεκα, propter inopes. Sed nec ista lectio mihi satisfacit. Exigebantur enim Reip. causa tributa etiam a pauperibus. Landus: *nempe ut lex jubet, aliorum causa, non propter alicujus inimicitias.* Videtur habuisse additamentum, οὐ κατ' ἔχθραν τινός. Quod nostri Codd. non habent. Wolf. Hæc ego, si liceat, hunc in modum transposuerim: χρῆν γὰρ τῶν ἄλλων ἕνεκα. ἀλλὰ πῶς; ὡς ὁ νόμος κελεύει. τοῦτο γάρ ἐστι δημοτικόν. Jurin. Versio Italica: *Ma come? Come la legge comanda, havendo cura de gli altri, percioche questo e cosa popolare.* Taylor.

Ἀσελγέστερος] Vid. D'Orville ad Charit. Aphrod. Lib. V. cap. VI. p. 464.

Πότε] Deest in Reg. *a.* Taylor. Ego malim, τὸ πώποτε, quam τὸ πότε, prætermitti. Wolf. Recte. Taylor.

Τοσαύτην ὑπερβολὴν ἐποιήσατο κ. τ. λ.] Τοσοῦτον ὑπερεβάλετο τῇ αὐτοῦ βδελυρίᾳ τὴν ἐκείνων. Wolf.

ις'. Καί τοι, ὦ ἄνδρες Ἀθηναῖοι, τί οἴεσθε, ὁπόταν ἄνθρωπος, πένης ἢ καὶ πλούσιος, [1] πολλ' ἀνηλωκὼς, καί τινα ἴσως τρόπον εἰκότως οὐκ εὐπορῶν ἀργυρίου, ἢ τέγος ὡς τοὺς γείτονας ὑπερβαίνοι, ἢ ὑποδύοιτο ὑπὸ κλίνην, ὑπὲρ τοῦ μὴ, τὸ σῶμα ἁλοὺς, εἰς τὸ δεσμωτήριον ἕλκεσθαι, ἢ ἄλλα ἀσχημονοίη, ἃ δούλων οὐκ ἐλευθέρων ἐστὶν ἔργα, καὶ ταῦθ' ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς ὁρῷτο ποιῶν, ἣν ὡς ἐλεύθερος ἐγγυήσατο, καὶ τῆς πόλεως πολίτης· ὁ δὲ τούτων αἴτιος Ἀνδροτίων εἴη, ὃν οὐδ' ὑπὲρ ἑαυτοῦ δίκην λαμβάνειν ἐᾷ τὰ πεπραγμένα καὶ βεβιωμένα, μή τι γε ὑπὲρ τῆς πόλεως; [2] καί τοι εἴ τις ἔροιτο αὐτὸν, τὰς εἰσφορὰς, πότερον τὰ κτήματα, ἢ τὰ σώματα ὀφείλει; τὰ κτήματα φήσειεν ἂν, εἴπερ ἀληθῆ λέγειν βούλοιτο. ἀπὸ γὰρ τούτων εἰσφέρομεν. τίνος οὖν ἕνεκα ἀφεὶς τὸ τὰ χωρία δημεύειν, καὶ τὰς οἰκίας, καὶ ταῦτ' ἀπογράφειν, ἔδεις, καὶ ὕβριζες πολίτας [3] ἀνθρώπους, καὶ τοὺς ταλαιπώρους [4] μετοίκους; οἷς ὑβρι-
610 στικώτερον, ἢ τοῖς οἰκέταις τοῖς [5] αὐτοῦ κέχρηται. καὶ μὴν εἰ [6] θέλητε σκέψασθαι τί δοῦλον, ἢ ἐλεύθερον εἶναι διαφέρει, τοῦτο μέγιστον ἂν εὕροιτε· ὅτι τοῖς μὲν δούλοις, τὸ σῶμα τῶν ἀδικημάτων ἁπάντων ὑπεύθυνόν ἐστι, τοῖς δὲ ἐλευθέροις, κἂν τὰ μέγιστα τύχωσιν ἀδικοῦντες, τοῦτό γ' ἔνεστι σῶσαι. εἰς χρήματα γὰρ [7] τὴν δίκην περὶ τῶν πλείστων παρὰ τούτων προσήκει λαμβάνειν. ὁ δὲ, τοὐναντίον εἰς τὰ σώματα, ὥσπερ ἀνδραποδοδοῖς ἐποιήσατο τὰς τιμωρίας, οὕτω δ' αἰσχρῶς καὶ πλεονεκτικῶς ἔσχε πρὸς ὑμᾶς, ὥστε τὸν μὲν ἑαυτοῦ πατέρα ᾤετο δημοσίᾳ δεθέντα ἐπὶ χρήμασιν ἐν τῷ δεσμωτηρίῳ, μήτε ἀποδόντα ταῦτα, μήτε

[1] πολλὰ δ' ἀνηλωκὼς [2] καίτοι γε, εἴ [3] ἀνθρώπους πολίτας [4] μετοίκους. [5] σαυτοῦ κέχρησαι [6] θέλοιτε [7] Deest articulus.

ις'. Ὁπόταν ἄνθρωπος] Distingue ita: ὁπόταν ἄνθρωπος πένης, ἢ καὶ πλούσιος, ἀνηλωκὼς etc. TAYLOR.

Πολλ' ἀνηλωκὼς] Πολλὰ δ' ἀνηλωκὼς Aug. Recte. Quam particulam si etiam inseras versioni Florentinæ, ita erit accommodatissima: *quando un pover' huomo, o anco un ricco*, ma *il quale ha speso afrai* etc. In sequentibus non recte capio istud *consentaneum* Wolfii. Ita elegantissima Versio Italica: *e forse per qualche ragionevel cagione non ha danari.* IDEM.

Ἀπογράφειν] De *proscriptione* ædium intelligit Wolfius. Non *proscribere*, sed *describere*, Valesius, quem vide ad Harpocr. v. Ἀπογραφή. IDEM.

Τί δοῦλον κ. τ. λ.] Huc, credo, respexit Phrynichus, pag. 174. Edit. postrem. Τίνι διαφέρει τόδε καὶ τόδε, οὐ χρὴ οὕτω λέγειν κατὰ δοτικὴν πτῶσιν, ἀλλὰ τί διαφέρει· καθὰ καὶ Δημοσθένης φησί· Τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει. IDEM.

ὬΙετο δημοσίᾳ] ὬΙετο δεῖν δημοσίᾳ Editio Morelii, Codd. Ven. Lind. Aug. Ital. Atque ita Interpretes. IDEM.

κριθέντα, ἀποδράναι· τῶν δ' ἄλλων πολιτῶν, τὸν μὴ δυνάμενον τὰ ἑαυτοῦ θεῖναι [1] οἴκοθεν, εἰς δεσμωτήριον ἕλκεσθαι. εἶτ' ἐπὶ τούτοις ὡς ὁτιοῦν ἐξὸν ἑαυτῷ ποιεῖν, Σινώπην [2] προσενεχύραζε, καὶ Φανοστράτην, ἀνθρώπους πόρνας, οὐ μέν τοι γε ὀφειλούσας εἰσφοράς. [3] καί τοι εἴ τισιν ἄρα δοκοῦσιν ἐπιτήδειαι ἐκεῖναι παθεῖν, ἀλλὰ τὸ πρᾶγμά γε οὐκ ἐπιτήδειον γίγνεσθαι, τηλικοῦτόν τινας φρονεῖν διὰ καιρὸν, ὥστε βαδίζειν ἐπ' οἰκίας, καὶ σκεύη φέρειν, μηδὲν ὀφειλόντων ἀνθρώπων. πολλὰ γὰρ ἄν τις ἴδοι πολλοὺς ἐπιτηδείους ὄντας πάσχειν, καὶ πεπονθέναι, ἀλλ' οὐ ταῦτα λέγουσιν οἱ νόμοι, οὐδὲ τὰ τῆς πολιτείας ἔθη, ἃ φυλακτέον ὑμῖν· ἀλλ' ἔνεστιν ἔλεος, συγγνώμη, πάνθ' ὅσα προσήκει τοῖς ἐλευθέροις, ὧν οὗτος ἁπάντων εἰκότως οὐ μετέχει τῇ φύσει, οὐδὲ τῇ παιδείᾳ. πολλὰ γὰρ ὕβρισται καὶ προπεπηλάκισται, συνὼν οὐκ ἀγαπῶσιν αὐτὸν ἀνθρώποις, ἀλλὰ 611
δοῦναι μισθὸν δυναμένοις. ὧν προσῆκέ σοι τὴν ὀργὴν, οὐκ εἰς τῶν πολιτῶν τὸν τυχόντα ἀφιέναι, οὐδ' εἰς τὰς ὁμοτέχνους σοι πόρνας, ἀλλ' εἰς τὸν τοῦτον τὸν τρόπον θρέψαντά σε πατέρα.

ιζ'. Ταῦτα τοίνυν ὡς μὲν οὐ δεινὰ καὶ παρὰ πάντας τοὺς νόμους, οὐχ ἕξει λέγειν οὗτος, οὕτω δ' ἐστὶν ἀναιδὴς,

[1] , οἴκοθεν εἰς τὸ δεσμ. [2] περοσηνεχύραζε [3] καίτοι γε εἴ

Θεῖναι οἴκοθεν] Laborat a malo puncto. Lege θεῖναι, οἴκοθεν εἰς δεσμωτήριον ἕλκεσθαι. IDEM.

Εἶτ' ἐπὶ τούτοις, ὡς ὁτιοῦν ἐξὸν ἑαυτῷ ποιεῖν] *Deinde tanquam quidvis ei liceret facere, Sinopen et Phanostraten mulierculas quidem prostantes pignoratur, sed quæ nullam collationem deberent.* ἐνεχυράσαι et ἐνεχυράσασθαι non modo ἐνέχυρα λαβεῖν significat, hoc est, *pignora capere*, quod prætor jubere solet, sed etiam ὑποθεῖναί τι, id est, *pignori opponere.* Quod autem dixit, ὡς ὁτιοῦν ἐξὸν ἑαυτῷ ποιεῖν, *tanquam sibi ipsi quicquid libet, liceat:* ἑαυτῷ pro αὐτῷ positum est, id quod apud alios etiam scriptores reperitur: quemadmodum e diverso relativum pro reciproco. Utriusque exempla vide in Comment. Bud. *Ex edit.* HERVAG.

Προσενεχύραζε] *Manus injecit*, Wolfius. Immo *pignora cepit.* Ego pene videre videor, quid bonum Wolfium in fraudem induxerit. In Bodl. in marg. Lutet. et MSto Obsop. προσηνεχύραζε cum augmento. Budæus vertit: *pignora cepit pro collatione.* Quod verum esse arbitror. De his meretricibus nonnulla habet Athen. l. 13. TAYLOR.

Τὸ πρᾶγμά γε οὐκ ἐπιτήδειον γίγνεσθαι, τηλικοῦτόν τινας φρονεῖν] Τὸ πρᾶγμα. τὸ τί; τινὰς φρονεῖν τηλικοῦτον, ὥστε, καὶ τὰ λοιπὰ, οὐκ ἔστιν ἐπιτήδειον γίγνεσθαι. WOLF.

Ὧν οὗτος ἁπάντων] Landus: *Quorum ipse omnium, quæ fiunt in Rep. natura et disciplina merito expers est.* Fortasse legit τῶν ἐν τῇ πόλει γιγνομένων. Quod nostri Codices non habent. IDEM.

ιζ'. Οὕτω δ' ἐστὶν ἀναιδὴς, ὥστ' ἐν τῷ δόμῳ προαγῶνας ἀεὶ κατασκευάζων ἑαυτῷ τῆσδε τῆς γραφῆς] Id est, *hujus certaminis prolusiones sibi prastruens ad populum.* Apud Græcos προαγῶνες præludia pugnæ dicebantur, ut excursiones ad prælium lacessendum. προαγῶνες etiam vocabantur orationes vel altercationes quæ habebantur apud Thesmothetas, quæ erant præjudicia ad causas. Thesmothetarum enim erat, judicia constituere et actionem dare, id

ὥστ' ἐν τῷ δήμῳ [1]προαγῶνας ἀεὶ κατασκευάζων ἑαυτῷ τῆσδε τῆς γραφῆς, ἐτόλμα λέγειν, ὡς ὑπὲρ ὑμῶν, καὶ δι' ὑμᾶς ἐχθροὺς ἐφ' ἑαυτὸν εἵλκυκε, καὶ νῦν ἐν τοῖς ἐσχάτοις ἐστὶ κινδύνοις. ἐγὼ δ' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, βούλομαι δεῖξαι τοῦτον οὔτε πεπονθότα οὐδ' ὁτιοῦν κακὸν, οὔτε μέλλοντα πάσχειν οὐδὲν, δι' ὧν ὑπὲρ ὑμῶν ἔπραξε· διὰ μέν τοι τὴν αὐτοῦ βδελυρίαν καὶ θεοῖς ἐχθρὰν αἰσχροκέρδειαν, πεπονθότα μὲν μέχρι τῆσδε τῆς ἡμέρας οὐδὲν, πεισόμενον δὲ, ἂν τὰ δίκαια ποιῆτε ὑμεῖς. σκέψασθε γὰρ ὧδί· τί ποθ' ὑμῖν οὗτος ὑπέσχετο, καὶ τί ποιεῖν αὐτὸν ἐχειροτονήσατε ὑμεῖς; χρήματα εἰσπράττειν. ἄλλο δὲ πρὸς τούτῳ τί ποιεῖν; οὐδέν. φέρε δὴ καθ' ἕκαστον ὑπομνήσω τὴν εἰσπραξιν ὑμᾶς. οὗτος εἰσέπραξε Λεπτίνην τὸν ἐκ Κοίλης, τέτταρας καὶ τριάκοντα δραχμὰς, καὶ Θεόξενον τὸν Ἀλωπεκῆθεν δραχμὰς ἑβδομήκοντα, καὶ μικρόν τι πρὸς, καὶ τὸν Εὐφήμου [2]Καλλιστράτην, καὶ τὸν Τελεστοῦ νεανίσκον· οὐκ ἔχω γὰρ τοὔνομα εἰπεῖν· σχεδὸν δὲ πάντας οὓς εἰσέπραξεν, ἵνα μὴ καθ' ἕκαστον λέγω, οὐκ οἶδα εἴ τινα ὑπὲρ μνᾶν ὀφείλοντα. πότερ' οὖν οἴεσθε τούτων ἕκαστον μισεῖν
612 καὶ πολεμεῖν αὐτῷ διὰ τὴν εἰσφορὰν ταύτην, ἢ τὸν μὲν αὐτῶν, ὅτι πάντων ἀκουόντων ὑμῶν ἐν τῷ δήμῳ, δοῦλον ἔφη καὶ ἐκ δούλων εἶναι, καὶ προσήκειν αὐτῷ τὸ ἕκτον μέρος εἰσφέρειν μετὰ τῶν μετοίκων· [3]τῷ δ', ὅτι παῖδας ἐκ πόρνης εἶναι· τοῦ δὲ, τὸν πατέρα ἡταιρηκέναι· τοῦ δὲ, τὴν μητέρα πεπορνεῦσθαι· τὸν δὲ, [4]ἀπογράφειν ὅσα ὑφείλετο ἐξαρχῆς·

[1] προάγωνας [2] Καλλικράτην [3] *τῷ δὲ παῖδας
[4] *ἀπογράψειν ὅ. ὑ. ἐξ ἀρχῆς· τὸν δὲ τὸ δεῖνα, τὸν δέ, ὁμοῦ

est, τὸ εἰσάγειν τὰς δίκας, ut tradit Interpres Demosth. ἐν τῷ πρὸς Λεπτίνην. Plutarch. in Pomp. ἐγένοντο δὲ αὐτῷ τῆς δίκης προαγῶνες οὐκ ὀλίγοι πρὸς τὸν κατήγορον. Ex Annotat. posterioribus in Pandect. ubi plura. *Ex edit.* Hervag.

Καλλιστράτην] Potius, cum Reg. ε. et Ital. Καλλικράτην. Nam id alterum est mulierculæ nomen. Deinde, Τελεστοῦ videtur a Τελεστὴς fluere, et *Telestæ*, non *Telesti* reddi debet: Sed hæc leviora, non tamen negligenda. Taylor.

Ὑπὲρ μνᾶν ὀφείλοντα] *An ultra minam ab ullo exegerit*, Wolfius. Minus accurate. Non dicitur, quantum ille *exegerit*, sed quid illorum *unusquisque debuerit*. quæ tametsi eodem recidant, non tamen erat Interpreti necesse a scriptura aberrare. *non sò se ci è alcuno, che piu d' una mina dovesse.* Italus. Idem.

Τῷ δ', ὅτι παῖδας] Legendum videtur, τῷ δ' αὐτοῦ παῖδας. Jurin. τῷ δ', sub. ἔφη, hic, ut patet, mutatur orationis forma, neque hæc cohærent cum præcedentibus, quod apud oratores vulgo fit. Auger.

Τὸν δὲ ἀπογράφειν, ὅσα ὑφείλετο ἐξαρχῆς] Forte ἐκ τῆς ἀρχῆς, ut objiciat crimen peculatus, κλοπὴν δημοσίων χρημάτων. Quod si displicet, repone : *quæ ab initio surripuerit*. Sed unde? Id enim non additur. Wolf. Italus: *et a quell' altro che dia una nota di cio che ha in magi-*

τὸν δὲ, τόδ' εἶναι, τὸν δὲ, ὁμοῦ ῥητὰ καὶ ἄῤῥητα κακὰ ἑξῆς [1]ἅπαντας; ἐγὼ μὲν γὰρ οἶδ' ὅτι πάντες εἰς οὓς ἐπαρῴνησεν οὗτος, τὴν μὲν εἰσφορὰν ἕκαστος, ἀναγκαῖον ἀνάλωμα ὑπελάμβανεν εἶναι· τοιαῦτα δ' ἀτιμασθεὶς καὶ προπηλακισθεὶς, χαλεπῶς ἐνήνοχε. [2]κἀκεῖνο οἶδα, ὅτι χρήματα εἰσπράττειν τοῦτον ἐχειροτονήσατε ὑμεῖς, οὐχὶ τὰς ἰδίας συμφορὰς ὀνειδίζειν, καὶ προφέρειν ἑκάστῳ. εἴτε γὰρ ἦσαν ἀληθεῖς, οὐ σοὶ ῥητέαι, — πολλὰ γὰρ ἡμῶν ἕκαστος οὐχ ὡς βούλεται πράττει —, εἴτε μὴ προσηκούσας κατεσκεύαζες, πῶς οὐχ ὁτιοῦν ἂν πάθοις δικαίως;

ιή. Ἔτι τοίνυν ἐκ [3]τοῦδε ἀκριβέστερον γνώσεσθε, ὅτι μισεῖ τοῦτον ἕκαστος οὐ διὰ τὴν εἴσπραξιν, ἀλλ' ὑπὲρ ὧν ὑβρίσθη καὶ ἐπαρῳνήθη. Σάτυρος γὰρ ὁ τῶν νεωρίων ἐπιμελητὴς, οὐχ ἑπτὰ [4]τάλαντα εἰσέπραξεν ὑμῖν, ἀλλὰ τέτταρα καὶ τριάκοντα, τοὺς αὐτοὺς τούτους ἀνθρώπους, ἐξ ὧν παρέθηκε τὰ σκεύη ταῖς [5]ἐκπλευσάσαις ναυσί. καὶ οὔτ' ἐκεῖνος διὰ ταῦτα οὐδένα ἐχθρὸν ἑαυτῷ φησὶν εἶναι, οὔτε τῶν εἰσπραχθέντων οὐδεὶς ἐκείνῳ [6]πολεμεῖ. ὁ μὲν γὰρ τὸ προστεταγμένον, οἶμαι, διεπράττετο· σὺ δὲ τῇ σαυτοῦ προπετείᾳ καὶ θρασύτητι λαβὼν ἐξουσίαν, πολλὰ [7]ἀναλωκότας εἰς τὴν πόλιν ἀνθρώπους, καὶ σοῦ βελτίους καὶ 613
ἐκ βελτιόνων, ψευδέσι καὶ χαλεποῖς ὀνείδεσιν ὤου δεῖν περιβάλλειν. εἶτα ταῦθ' οὗτοι πεισθῶσιν ὑπὲρ αὐτῶν σε ποιεῖν, καὶ [8]τὰ τῆς σῆς ἀναισχυντίας καὶ πονηρίας ἔργα ἐφ' ἑαυτοὺς [9]ἀναδέξονται; ἀλλὰ μισεῖν δικαιότερον διὰ

[1] ἅπαντας· [2] κἀκεῖνο δὲ οἶδα [3] τῶνδε [4] τάλαντα μόνον εἰσέπρ. [5] ἐκπλεούσαις [6] πολεμεῖ. εἰκότως. ὁ [7] ἀνηλωκότας [8] Deest articulus. [9] ἀναδέξονται

strato rubbato. TAYLOR.

Ἀπογράφειν] *Recensere* Wolfius. Potius: *rescribere, ærario acceptum ferre.* JURIN. L. ἀπογράψειν, *alium vero dicebat, in tabulas se relaturum* quanta surripuerit ab initio. AUGER.

Τὸν δὲ, τόδ' εἶναι] Τὸν δὲ τὸ δεῖνα Aug. Wolfio non comprobante. TAYLOR. *In alium vero quid vis dicebat.* Deinde τὸν δὲ . . . plura puncta, quia est suspensio et reticentia. AUGER.

Τὸν δὲ] Pro τοῦτον δέ. Est ἀποσιώπησις, cui subjicit generalem clausulam. Mox [v. 5.] κἀκεῖνο δ' οἶδα. WOLF. Hoc postremum certe præter rem; quanquam ita Cod. Aug. TAYLOR.

Κατεσκεύαζες] Lege εἰ δε μὴ προσηκούσας κατεχλεύαζες, *falsa opprobria objecisti.* Locum similem emendavi in Midiana §. λή. IDEM.

ιή. Ἐξ ὧν] S. ταλάντων. WOLF. Aug. ἀφ' ὧν, et mox v. 16. pro ἐκπλευσάσαις, ἐκπλεούσαις. Utrumque melius. Vel forsan ἐκπλευσούσαις. Italica Versio: *de' quali le navi; ch'* uscirono fuori, *forni de masseritie.* TAYLOR.

Ὀνείδεσιν — περιβάλλειν] Vid. §. ιά.

Οὗτοι] Nempe, Judices. AUGER.

Πεισθῶσιν] Lege etiam [v. ult.] ἀναδέξωνται subjunctivo per ω. WOLF. Aliter marg. Benenati, ubi priore loco πεισθήσονται. TAYLOR.

ταῦτά σε ὀφείλουσιν, ἢ σώζειν. τὸν γὰρ ὑπὲρ [1]πόλεως πράττοντά τι δεῖ τὸ τῆς πόλεως ἦθος μιμεῖσθαι, καὶ σώζειν ὑμῖν τοὺς τοιούτους, ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει, καὶ μισεῖν τοὺς οἷός περ οὗτος. ὡς ἐκεῖνό γε εἰδόσι μὲν ἴσως, ὅμως δὲ ἐρῶ· ὁποίους τινὰς ἂν φαίνησθε ἀγαπῶντες, καὶ σώζοντες, τούτοις ὅμοιοι δόξετε εἶναι.

ιθ'. Ὅτι τοίνυν ὅλως, οὐδὲ τὴν εἰσπραξιν αὐτὴν ὑπὲρ ὑμῶν πεποίηται, καὶ τοῦτο αὐτίκα δὴ μάλα δῆλον ὑμῖν ποιήσω. εἰ γάρ τις ἔροιτο αὐτὸν, πότεροι αὐτῷ δοκοῦσιν ἀδικεῖν μᾶλλον τὴν πόλιν, οἱ γεωργοῦντες, καὶ φειδόμενοι, διὰ παιδοτροφίας δὲ καὶ οἰκεῖα ἀναλώματα, καὶ λειτουργίας ἑτέρας, ἐλλελοιπότες τὰς εἰσφοράς· ἢ οἱ τὰ τῶν ἐθελησάντων εἰσενεγκεῖν χρήματα, καὶ τὰ παρὰ τῶν συμμάχων κλέπτοντες καὶ [2]ἀπολλύντες· οὐκ ἂν εἰς τοῦτο τόλμης [3]δήπου, καίπερ ὢν ἀναιδὴς, ἔλθοι, ὥστε φῆσαι τοὺς τὰ ἑαυτῶν μὴ εἰσφέροντας μᾶλλον ἀδικεῖν, ἢ τοὺς τὰ κοινὰ ὑφαιρουμένους. τίνος οὖν ἕνεκα, ὦ βδελυρὲ, ἐτῶν ὄντων πλειόνων ἢ τριάκοντα, ἀφ' οὗ σὺ πολιτεύῃ, καὶ ἐν τούτῳ τῷ χρόνῳ πολλῶν μὲν στρατηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν δὲ ῥητόρων, οἳ παρὰ τουτοισὶ κέκριντο· ὧν οἱ μὲν τεθνᾶσιν ἐφ' οἷς ἠδίκουν, οἱ δ' [4]ἀποχωρήσαντες φεύ-
614 γουσιν· οὐδενὸς πώποτε ἐξητάσθης κατήγορος, οὐδ' ἀγανακτῶν ὤφθης ὑπὲρ ὧν ἡ πόλις πάσχει, οὕτως ὢν θρασὺς καὶ λέγειν δεινὸς, ἀλλ' ἐνταῦθα ἐφάνης κηδεμὼν [5]ὤν, οὗ σε πολλοὺς ἔδει κακῶς ποιῆσαι; βούλεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τούτων αἴτιον ἐγὼ ὑμῖν εἴπω; ὅτι τούτων μὲν μετέχουσιν ὧν ἀδικοῦσιν ὑμᾶς τινὲς, ἀπὸ δὲ τῶν εἰσπραττομένων ὑφαιροῦνται, δι' ἀπληστίαν δὲ τρόπων, διχόθεν καρ-

[1] τῆς πόλεως [2] ἀπολλύντες; [3] δήπου τόλμης
[4] ὑποχωρήσαντες φ., ο. πώποτε τούτων ἐξητάσθης [5] ὢν] ἡμῶν

Ὡς ἐκεῖνο] Totum hunc locum laudat Stobæus Serm. XLI. ubi melius distinguitur — οἷός περ οὗτος· ὡς (ἐκεῖνό γε εἰδόσι μὲν ἴσως, ὅμως δὲ ἐρῶ) ὁποίους τινὰς ἂν, et quæ sequuntur. *Odio habendi, qui isti homini similes fuerint:* siquidem (*quod forte scientibus vobis, dicam tamen*) *qualescunque amare et servare videbimini, talibus esse similes existimabimini.* Idem.

ιθ'. Τῶν ἐθελησάντων] Τῶν μὴ ἐθελησάντων Lambinus ex conjectura. Idem.

Οὐδενὸς πώποτε] Plenius Aug. et melius, οὐδενὸς πώποτε τούτων, *neminem unquam* horum *accusasti.* Idem.

Ὅτι τούταν μὲν μετέχουσιν κ. τ. λ.] Deest hic nominativus vel verbo μετέχουσιν, vel verbo ἀδικοῦσιν, et vox τούτων plane superflua est. At si ejus vice reponas οὗτοι, omnia expedita sunt. Jurin.

ποῦνται τὴν πόλιν. οὔτε γὰρ ῥᾷον πολλοῖς καὶ τὰ μικρὰ ἀδικοῦσιν ἀπεχθάνεσθαι, ἢ ὀλίγοις [1] καὶ μεγάλα, οὔτε δημοτικώτερον δήπου τὰ τῶν πολλῶν ἀδικήματα ὁρᾶν, ἢ τὰ τῶν ὀλίγων· ἀλλὰ τοῦτ' αἴτιον, [2] ὃ ἐγὼ λέγω. τῶν μὲν οἶδεν ἕνα αὐτὸν ὄντα τῶν ἀδικούντων, ὑμᾶς δ' οὐδενὸς ἀξίους ἡγήσατο· διὸ τοῦτον ἐχρήσατο τὸν τρόπον ὑμῖν. εἰ γὰρ ἀνδραπόδων πόλις, ἀλλὰ μὴ τῶν ἄρχειν ἑτέρων ἀξιούντων [3] ὡμολογεῖτο εἶναι, οὐκ ἂν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς ὕβρεις ἠνέσχεσθε τὰς τούτου, ἃς κατὰ τὴν ἀγορὰν ὕβριζεν, ὁμοῦ μετοίκους, Ἀθηναίους δέων, ἀπάγων, βοῶν ἐν ταῖς ἐκκλησίαις, ἐπὶ τοῦ βήματος, δούλους καὶ ἐκ δούλων καλῶν, ἑαυτοῦ βελτίους καὶ ἐκ βελτιόνων, ἐρωτῶν, εἰ μάτην τὸ δεσμωτήριον [4] ὠκοδομήθη. καταφαίην ἂν ἔγωγε, εἴγε ὁ πατὴρ ὁ σὸς ᾤχετο αὐτόθεν αὐταῖς πέδαις ἐξορχησάμενος, Διονυσίων τῇ πομπῇ. ἄλλα δὲ ὅσα ὕβρικεν, οὐδ' ἂν ἔχοι τις εἰπεῖν, τοσαῦτα τὸ πλῆθός ἐστιν. ὧν ἀθρόων ἄξιον λαβόντας δίκην τήμερον, παράδειγμα ποιῆσαι τοῖς ἄλλοις, ἵν' ὦσι μετριώτεροι.

κ'. Ἀλλὰ, νὴ Δία, ταῦτα μὲν τοιοῦτός ἐστιν ἐν οἷς πεπολίτευται, ἄλλα δ' ἐσθ' ἃ καλῶς διώκηκεν; ἀλλὰ καὶ τἄλλα οὕτω προσελήλυθεν ἅπαντα πρὸς ὑμᾶς, ὥστε ἥκι- 615
στα ἐν οἷς ἀκηκόατε, ἄξιός ἐστι μισεῖσθαι. τί γὰρ βού-

[1] *καὶ τὰ μεγάλα [2] οὗ 'γὼ [3] ὡμολογεῖτε [4] ὠκοδομήθη;

Ἀλλὰ τοῦτ' αἴτιον, ὃ ἐγὼ λέγω] Sub. τὸ καρποῦσθαι διχόθεν τὴν πόλιν. Est in Editione Feliciani annotatum: ἀλλὰ τοἰναντίον, quod et Obsopœus habet. Sub. ῥᾷόν ἐστιν ἀπεχθάνεσθαι ὀλίγοις etc. Sed recepta lectio videtur melior, si ὅτι addas, hoc modo: ἀλλὰ τοῦτ' αἴτιον, ὃ ἐγὼ λέγω, ὅτι τῶν μὲν οἶδεν ἕνα αὐτὸν ὄντα τῶν ἀδικούντων· ὑμᾶς δὲ etc. Verba τῶν ἀδικούντων videntur e scholio irrepsisse in contextum. τῶν μὲν, Sub. τῶν ὀλίγων καὶ τὰ μεγάλα ἀδικούντων. Wolf. τοἰναντίον, præter Codd. Felician. et Obsop. est etiam lectio Bodl. Lindenb. et Ital. τοὐναντίον οὗ ἐγὼ λέγω Cod. Reg. β. Sed merito eam varietatem damnat Wolfius. Atque ea crisi excepta, quot verba hic protulit, tot fere monstra protulit et portenta. Neque vel in uno commate vidit hujus loci seriem aut argumentationem. Miror sane, cum ejus interpretatio satis recte se habeat. Taylor.

Τῶν ἄρχειν ἑτέρων ἀξιούντων] Reddit Wolfius: *eorum, qui aliorum imperio digni habentur.* Potius: *eorum, qui sese dignos habent aliorum imperio.* Jurin.

Ὡμολογεῖτο εἶναι] Ἡ τῶν Ἀθηναίων πόλις. Wolf.

Καὶ ἐκ δούλων] Istud καὶ addidi ex optimo Augustano. Taylor.

Ἐξορχησάμενος] Προσπαίζων ἅμα, ait Harpocratio, διὰ τὴν τῶν Διονυσίων πομπήν. Annotat Scholiastes, morem fuisse Athenis, dum agerentur Dionysia, incarceratos libere vagari, qua occasione arrepta effugit Androtionis pater. Et credibile est, in omnibus pene feriis nexorum vincula soluta fuisse, et plenissimum dari justitium. Idem. *Aufugiens saltando.* Ita dictum quia aufugit per Bacchanalia. Auger.

Ἀθρόων] Ἀθρόον Editi, iis exceptis, qui sunt melioris notæ, Felician. et Manut. Emendaverat etiam Lambinus ad Pari-

λεσθε εἴπω, τὰ πομπεῖα ὡς ἐπεσκεύασε, καὶ τὴν τῶν στεφάνων καθαίρεσιν, ἢ τὴν τῶν φιαλῶν ποίησιν τὴν καλήν; ἀλλ' ἐπὶ τούτοις γε, εἰ καὶ μηδὲν ἄλλο ἀδικῶν ἔτυχε τὴν πόλιν, τρὶς οὐχ ἅπαξ τεθνᾶναι δίκαιος ὢν φανεῖται. καὶ γὰρ ἱεροσυλία, καὶ ἀσεβεία, καὶ κλοπῇ, καὶ πᾶσι τοῖς δεινοτάτοις ἔστ' ἔνοχος. τὰ μὲν οὖν πολλὰ, ὧν λέγων ὑμᾶς ἐφενάκιζε, παραλείψω· φήσας δ' ἀπορρεῖν τὰ φύλλα τῶν στεφάνων, καὶ σαπροὺς εἶναι διὰ τὸν χρόνον, ὥσπερ ἴων, ἢ ῥόδων ὄντας, ἀλλ' οὐ χρυσίου, συγχωνεύειν ἔπεισε. κᾆτ' ἐπὶ μὲν ταῖς εἰσφοραῖς, τὸν δημόσιον παρεῖναι προσέγραψεν, ὡς δὴ δίκαιος ὤν, ὧν ἕκαστος ἀντιγραφεὺς ἔμελλεν ἔσεσθαι τῶν εἰσενεγκόντων· ἐπὶ τοῖς στεφάνοις δὲ οὓς κατέκοπτεν, οὐχὶ προσήγαγε ταὐτὸ δίκαιον τοῦτο, ἀλλ' αὐτὸς ῥήτωρ, χρυσοχόος, ταμίας, ἀντιγραφεὺς γέγονε. καὶ μὴν, εἰ μὲν ἅπαντα ἠξίους ὅσα πράττεις [1] τῇ πόλει σαυτῷ πιστεύειν, οὐκ ἂν ὁμοίως κλέπτης ὢν ἐφῳρῶ· νῦν δ' ἐπὶ ταῖς εἰσφοραῖς ὃ δίκαιόν ἐσθ' ὁρίσας, μὴ σοὶ πιστεύειν, ἀλλὰ τοῖς [2] ἑαυτοῦ δούλοις τὴν πόλιν, ὁπότε ἄλλο τι πράττων, καὶ χρήματα κινῶν ἱερὰ, ὧν ἔνια οὐδ' ἐπὶ τῆς ἡμετέρας γενεᾶς ἀνετέθη, μὴ προσγραψάμενος τὴν αὐτὴν φυλακὴν, ἣν-

[1] τὴν πόλιν [2] αὐτῆς

siensem. TAYLOR. Lege ὧν ἀθρόων. Erratum puto. JURIN.

κ'. Ἀδικῶν ἔτυχε] Ἠδίκει. WOLF.

Καὶ ἀσεβεία] Addidi has duas voces ex optimis exemplaribus. Comparent etiam in oratione Timocratea, p. 755. 11. ed. Reisk. ubi hæc eadem causa tractatur. TAYLOR.

Ἴων καὶ ῥόδων] "Sæpissime Rosæ et Violæ junguntur: puto, quia non modo odores, verum etiam colores suavissime temperabantur." D'Orville. Cf. Animadv. in Charit. Aphrod. Lib. III. cap. II. p. 249.

Κᾆτ'] *Postea.* Potius: *Et sane.* JURIN.

Τὸν δημόσιον] S. οἰκέτην ἢ δοῦλον. WOLF.

Ὡς δὴ δίκαιος ὤν] Ὡς δὴ δίκαιον ὄν Bodl. ὡς ἂν δίκαιος ὤν Ital. Conturbata sane est oratio, nec quidquam fere Codices juvant. Ex his tamen adeo insinceris verbis hujusmodi videor expiscari sententiam: *Ministrum sibi adjungi postulavit, fas esse existimans, adesse personam publicam, quæ recenseret et in acta referret, quantum unusquisque pependerit.* TAYLOR.

Ἕκαστος ἀντιγραφεὺς ἔμελλεν ἔσεσθαι τῶν εἰσενεγκόντων] *Unusquisque futurus erat antigraphus eorum quæ in publicum conferebantur.* Observatores enim tribunorum ærariorum, quos nunc *Contrarotulatores* dicunt, ἀντιγραφεῖς dicebantur a Græcis, actaque eorum ἀντίγραφα, quasi *conscripta.* nos *antigrapharios* appellare possumus. Cicero *custodes* appellat in Oratione pro L. agraria contra Rullum, et de reditu suo, et Ulpianus lib. 3. administ. tutorum. Plura in Annotat. in Pandect. prioribus. *Ex edit.* HERVAG.

Τῇ πόλει] Melius cum Bodl. τὴν πόλιν. Quod si placuerit, versionem ad eam normam corriges. TAYLOR.

Ἐφῳρῶ] [Ita enim quædam Editiones superiores] Scribe per duo ω ἐφωρῶ. Fit enim non ab ἐφοράω, sed a φωράω. ἐφωραόμην, ἐφωρώμην. ἐφωράου, ἐφωρῶ. ἐφωράετο, ἐφωρᾶτο. WOLF.

Ἑαυτοῦ] Omnino cum Bodl. Obsop. Ital. et Lambino, ἑαυτῆς. TAYLOR.

περ [1] περὶ τῶν εἰσφορῶν φαίνῃ· οὐκ εὔδηλον δι' ὃ τοῦτ' ἐποίησας; ἐγὼ μὲν οἶμαι.

κά. Καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατὰ παντὸς τοῦ χρόνου σκέψασθε, ὡς καλὰ καὶ ζηλωτὰ ἐπιγράμματα τῆς πόλεως ἀνελών, ὡς ἀσεβῆ καὶ δεινὰ ἀντεπιγέγραφεν. [2] οἶμαι γὰρ ὑμᾶς ἅπαντας ὁρᾶν ὑπὸ τῶν στεφάνων ταῖς χοινικίσι 616
κάτωθεν γεγραμμένα, οἱ σύμμαχοι τὸν δῆμον ἀνδραγαθίας ἕνεκα καὶ δικαιοσύνης· ἢ οἱ σύμμαχοι ἀριστεῖον τῇ Ἀθηνᾷ· ἢ κατὰ πόλεις, οἱ δεῖνες τὸν δῆμον, σωθέντες ὑπὸ τοῦ δήμου· οἷον, Εὐβοεῖς ἐλευθερωθέντες ἐστεφάνωσαν τὸν δῆμον. ἐπεγέγραπτό που πάλιν, Κόνων ἀπὸ τῆς ναυμαχίας τῆς πρὸς Λακεδαιμονίους. τοιαῦτα γὰρ ἦν τὰ τῶν στεφάνων ἐπιγράμματα. ταῦτα μὲν τοίνυν ἃ ζῆλον πολὺν εἶχε καὶ φιλοτιμίαν ὑμῖν, ἠφάνισται, καθαιρεθέντων τῶν στεφάνων· ἐπὶ ταῖς φιάλαις δὲ, ἃς ἀντ' ἐκείνων ἐποιήσατο ὑμῖν ὁ πόρνος οὗτος, Ἀνδροτίωνος ἐπιμελουμένου ἐποιήθησαν ἐπιγέγραπται. καὶ οὗ τὸ σῶμα ἡταιρηκότος οὐκ ἐῶσιν οἱ νόμοι εἰς τὰ ἱερὰ εἰσιέναι, τούτου τοὔνομα ἐν τοῖς ἱεροῖς ἐπὶ τῶν φιαλῶν γεγραμμένον ἐστίν· ὅμοιόν γε — οὐ γάρ; — τοῦτο τοῖς προτέροις ἐπιγράμμασιν, ἢ φιλοτιμίαν ἴσην ἔχον ὑμῖν. τρία τοίνυν ἐκ τούτου τὰ δεινότατα ἄν τις ἴδοι πεπραγμένα αὐτοῖς. τὴν μὲν γὰρ θεὸν τοὺς στεφάνους σεσυλήκασι· τῆς πόλεως δὲ τὸν ζῆλον ἠφανίκασι τὸν ἐκ τῶν ἔργων, ὧν ὑπομνήματ' ἦσαν, ὄντες οἱ στέφανοι· τοὺς δ' ἀναθέντας δόξαν οὐ μικρὰν ἀφῄρηνται, τὸ δοκεῖν ὧν ἂν εὖ πάθωσιν ἐθέλειν μεμνῆσθαι. καὶ τοιαῦτα καὶ τοσαῦτα κακὰ [3] τὸ πλῆθος εἰρ-

[1] ἐπὶ [2] οἴομαι [3] τὸ πλῆθος κακὰ

Δι' ὃ] Ita emendavi ex Editt. Felic. et Lutet. Vulgo erat διό. IDEM.

κά. Καὶ κατὰ παντὸς etc.] Ὡς καλὰ καὶ ζηλωτὰ ἐπιγράμματα κατὰ παντὸς τοῦ χρόνου, ἀντὶ τοῦ εἰς ἅπαντα τὸν χρόνον καλὰ καὶ ζηλωτά. WOLF.

Ὁρᾷν] Pro ἑωρακέναι. AUGER.

Ἢ κατὰ πόλεις] *Vel nominando civitates.* IDEM.

Οὐ γάρ;] Τὸ οὐ γάρ, vel, οὐκ ἄρα, nisi parenthesi includatur, potest abesse. Sed subjectio est, qua ipse sibi respondet. WOLF. Hic, οὐ γάρ, ut sæpius alias, est responsio abrupta oratoris ad interrogatum. AUGER.

Πεπραγμένα αὐτοῖς] Τῷ Ἀνδροτίωνι καὶ τοῖς περὶ αὐτὸν, ut etiam aurifices complectatur, aut collegam ejus, cujus nomen dissimulat, quem Timocratem fuisse conjicio. WOLF. Nempe Androtioni et Timocrati. AUGER.

Ὄντες οἱ στέφανοι] Ἕως ἦσαν. WOLF. *Dum existerent.* AUGER.

Δόξαν — τὸ δοκεῖν ἐθέλειν μεμνῆσθαι] Ἐξηγητικῶς. WOLF. Melius hoc sane, quam quod alibi ab eodem notatum vidi, τοῦ δοκεῖν. TAYLOR.

Εἰργασμένοι] *Etsi designarunt:* Potius:

γασμένοι, εἰς τοῦτο [1] ἅμα ἀναισθησίας, καὶ τόλμης προεληλύθασιν, ὥστε μέμνηνται τούτων, ὡς καλῶς αὐτοῖς διωκημένων· ὥσθ' ὁ μὲν οἴεται δι' ἐκεῖνον ὑφ' ὑμῶν σωθήσεσθαι, ὁ δὲ παρακάθηται, καὶ οὐ καταδύεται τοῖς πεπραγμένοις. οὕτω δ' οὐ μόνον εἰς χρήματα ἀναιδὴς, ἀλλὰ καὶ σκαιός ἐστιν, ὥστε οὐκ οἶδεν ἐκεῖνο, ὅτι στέφανοι μέν εἰσιν ἀρετῆς
617 σημεῖον, φιάλαι δὲ καὶ τὰ τοιαῦτα, πλούτου· καὶ στέφανος μὲν ἅπας, κἂν μικρὸς ᾖ, τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ, ἐκπώματα δὲ ἢ θυμιατήρια, ἂν μὲν ὑπερβάλλῃ τῷ πλήθει, πλούτου τινὰ δόξαν προσετρίψατο τοῖς κεκτημένοις, ἐὰν δ' ἐπὶ μικροῖς τις σεμνύνηται, τοσοῦτ' ἀπέχει τοῦ τιμῆς τινὸς διὰ ταῦτα τυχεῖν, ὥστε ἀπειρόκαλος προσέδοξεν εἶναι.

κβ'. Οὗτος τοίνυν ἀνελὼν τὰ τῆς δόξης κτήματα, τὰ τοῦ πλούτου πεποίηται μικρὰ, καὶ οὐχ ὑμῶν ἄξια. καὶ οὐδ' ἐκεῖνο οἶδεν ὅτι πρὸς μὲν χρημάτων κτῆσιν, οὐδὲ πώποτε ὁ δῆμος ἐσπούδασε· πρὸς δὲ δόξης, ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων. τεκμήριον δέ· χρήματα μὲν γὰρ πλεῖστα τῶν Ἑλλήνων [2] ποτὲ σχὼν, τὰ πάνθ' ὑπὲρ φιλοτιμίας ἀνήλωσεν· εἰσφέρων δ' ἐκ τῶν ἰδίων, [3] οὐδένα κίνδυνον ὑπὲρ δόξης ἐξέστη. ἀφ' ὧν κτήματα ἀθάνατα αὐτῷ περίεστι, τὰ μὲν, τῶν ἔργων ἡ μνήμη, τὰ δὲ, τῶν ἀναθημάτων τῶν ἐπ' ἐκείνοις ἀνατεθέντων τὸ κάλλος· προπύλαια ταῦτα, ὁ παρθενὼν, στοαὶ, νεώσοικοι· οὐκ ἀμφορίσκοι δύο, οὐδὲ χρυσίδες τέτταρες ἢ τρεῖς, ἄγουσα ἑκάστη μνᾶν, ἃς, ὅταν σοι δοκῇ, σὺ πάλιν γράψεις καταχωνεύειν. οὐ γὰρ αὐτοὺς δεκατεύ-

[1] [ἅμα] [2] ποτ' ἔχων [3] οὐδένα πώποτε κίνδυνον

etsi perpetrarunt. JURIN.

Δι' ἐκεῖνον] *Propter istos* Wolfius. Quare ita verteret, nescio. Neque enim meminit, unquam sibi scriptum reperiri δι' ἐκείνους. Nonnunquam suspicatus fui, legendum esse δι' ἐκείνων, *earum rerum, quas gessit, gratia.* Quo ritu etiam interpretatur Ferrus: *La onde costui d'essere salvato da voi* per queste opere *estima.* TAYLOR. Immo: *propter istum.* Timocratem intelligit, Androtionis collegam. Vid. Orat. adv. Timocrat. p. 757. 7. ed. Reisk. JURIN.

Οὕτω δ' οὐ μόνον] L. οὕτω δ' οὗτος οὐ μόνον. οὗτος, nempe, Androtion. AUGER.

Τῷ πλήθει] Legendum videtur τῷ μεγέθει, vel τῷ πλήθει, ἢ μεγέθει. Aliter enim perit omnis vis argumenti. JURIN.

κβ'. Τὰ τοῦ πλούτου] Sub. κτήματα. πεποίηται, *fecit*, i. e. substituit. AUGER.

Καθέντων] Varia lectio habet ἀνατεθέντων, quod magis probo, quam στασθέντων, aut καθέντων. WOLF. V. Var. Lect.

Οὐ γὰρ αὐτοὺς δεκατεύοντες] Τὰς δεκάτας τῶν ὑπαρχόντων εἰσφέροντες. Alia est δεκάτευσις τῶν στρατιωτῶν. IDEM. Non vidit vim hujus locutionis Wolfius. Commode autem illustravit Harpocratio in v. quem consuli velim. TAYLOR.

οντες, οὐδὲ ἃ καταράσαιντο ἂν οἱ ἐχθροὶ, ποιοῦντες, διπλᾶς [1]πλάττοντες τὰς εἰσφοράς, ταῦτα ἀνέθεσαν· οὐδ', [2]οἵοις περ σὺ, χρώμενοι συμβούλοις ἐπολιτεύοντο· ἀλλὰ τοὺς ἐχθροὺς κρατοῦντες, καὶ ἃ πᾶς τις ἂν εὖ φρονῶν εὔξαιτο, τὴν πόλιν εἰς ὁμόνοιαν ἄγοντες, ἀθάνατον κλέος αὑτῶν λελοίπασι, τοὺς δ' ἐπιτηδεύοντας οἷα σοὶ βεβίωται, τῆς ἀγορᾶς εἴργοντες. ὑμεῖς δ' εἰς τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, 618
προήχθητε εὐηθείας καὶ ῥᾳθυμίας, ὥστ' οὐδὲ τοιαῦτα ἔχοντες παραδείγματα, ταῦτα μιμεῖσθε· ἀλλ' Ἀνδροτίων ὑμῖν πομπείων ἐπισκευαστής. [3]Ἀνδροτίων, ὦ γῆ καὶ θεοί! καὶ τοῦτο τὸ ἀσέβημα, [4]ἔλαττόν τινος ἡγεῖσθε; ἐγὼ μὲν γὰρ οἶμαι δεῖν τὸν εἰς ἱερὰ εἰσιόντα, καὶ χερνίβων καὶ κανῶν ἁψόμενον, καὶ τῆς πρὸς τοὺς θεοὺς ἐπιμελείας προστάτην ἐσόμενον, οὐχὶ [5]προειρημένων ἡμερῶν ἀριθμὸν ἁγνεύειν μόνον, ἀλλὰ τὸν βίον ὅλον ἡγνευκέναι τοιούτων ἐπιτηδευμάτων, οἷα τούτῳ βεβίωται.

[1] περάττοντες [2] οἷόςπερ [3] Ἀνδροτίων; [4] ἔλαττον τίνος [5] *προειρημένον

Πλάττοντες] Πράττοντες Reg. 5. Quod melius et sanius. πραττόμενος marg. Paris. πραττόμενοι Lambin. Idem.

Οἵοις περ] Imo οἷόςπερ, *qualis tu es.* F. leg. τοῖς οἷόςπερ σύ. Auger.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΚΑΤΑ

ΑΡΙΣΤΟΚΡΑΤΟΥΣ

ΛΟΓΟΣ.

I. TAYLORI

PRÆFATIO

AD

ORATIONEM DEMOSTHENIS

CONTRA ARISTOCRATEM.

Bene mehercule ab Aristocrate illo factum, quod, cum hac rogatione Charidemum ornare voluit, locum dedit illustrissimæ Quæstioni et graviter et perutiliter a Demosthene tractandæ. Perutiliter sane, cum ea causa tot leges sapientissimæ Reip. earumque luculentam tractationem nobis nostrisque usibus conservaverit, quot in pari ambitu Orationis vix alibi produci, nedum exponi aut elucidari videas. Ægre feret Lector noster eruditus, se a me admoneri, quantum ad hanc Orationem recte intelligendam conferant doctissimi Viri, et de Jure hoc nostro præclare meriti, S. Petitus LL. Attic. L. VII. Tit. 1. cum annotationibus eruditissimi, amicissimique Wesselingii, Claud. Salmasius de Modo Usurarum C. XVII. Heraldus denique Animadv. in Salmas. L. IV. C. V.

Ab hoc Criticorum pari, Salmasium intelligo et Heraldum, cum multa acriter et erudite utrinque disputantur, quæ ad causam Aristocrateam pertingunt, tum illud imprimis, quod istius causæ pene summam non mediocriter afficit: Nimirum, cum in sua rogatione scripserit Aristocrates: QUICUNQUE CHARIDEMUM INTERFECERIT, EUM EX OMNIBUS GENTIBUS, QUÆ FŒDERE ET AMICITIA CUM P. A. CONJUNCTÆ FORENT, ΑΓΩΓΙΜΟΝ ΕΙΝΑΙ, quid per illud ἀγώγιμον necessario sit intelligendum, scil. quid cuivis in eum hominem liceret, qui Charidemum leto dederit. Fuisse Ἀπαγωγὴν in Jurisprudentia Attica, istius Juris periti probe norunt: norunt etiam, quid sibi velit, et qualiter exercenda. Nimirum, *injecta manu reum in jus ducere, ut ibi* legitimum *supplicium de eo sumatur:* præterea nihil. Atque in hoc, credo, consentiunt, qui in omnibus fere aliis dissentire inter se videntur. Attamen, si Demostheni credas, ex hac Aristocratis rogatione sequeretur, inclementius omnino, et indignius tractari potuisse eum, qui Charidemum interfecerit, quam communi isto ἀπαγωγῆς ritu in quemvis alium ordinario erat statutum. Ita enim ille: ἔν γε τῷ ποιεῖν ἀγώγιμον, πάνθ', ὅσα ἀπείρηκεν ὁ νόμος, δέδωκας, χρήματα πράξασθαι,

ζῶντα λυμαίνεσθαι, κακοῦν, ἔχοντα αὐτὸν ἀποκτιννύναι. §. ζ'. ante fin. Hæc quam aliena sint, vides. Quam absonum hoc, ut aliud sc. in suasione Aristocratea exprimeret vox *ἀπάγειν*, aliud in communi istius Pop. *νομοθεσίᾳ*? Comminiscitur ergo Salmasius commentum, in quo sibi maxime placere videbatur, differre nimirum *ἄγειν* et *ἀγώγιμον* ab eo, quod dicitur *ἀπάγειν* et *ἀπαγώγιμον*: illud esse *vi domum cruciandum*, (si ita videretur) hoc *jure ad magistratum puniendum* ducere; et tulisse porro Aristocratem extrema illa et durissima. Id tamen omnino falsum est. Græci *ἄγειν* et *ἀπάγειν* promiscue et indifferenter, sicut Latini *ducere* et *abducere*, dicunt, ut pluribus ostendit Heraldus. Neque porro Aristocrates tantum cuique licere sua rogatione voluit. Non ea erat istius inclementia, quam in hac Oratione insectatur Demosthenes, verum alia omnino. Insimulabatur enim potissimum, *primum*, quod, cum Leges nihil permittant, nisi in eum, qui in jure legitime convictus fuerit, Aristocrates scripsit licere etiam in indemnatum: *secundo*, cum istud *ἀπάγειν* neque in damnatum competebat, modo ab Atheniensium ditione abstineret, id Aristocrates voluit fieri extra Atticum territorium etiam in indemnato. Quod autem addidit de contumeliis iis et injuriosa usque ad necem tractatione, id suo more exaggerat, oratorie potius, quam juridice, *ῥητορικῶς*, non *πολιτικῶς*, et est luculentissimum argumentum istius violentiæ, in qua tantum dominatur Demosthenes. Et in ea sententia video esse Ulpianum in *σχ.* ad hanc Orationem. *Ἀγώγιμον*] *οἱ μὲν εἰρήκασιν ἐπὶ κρίσει· ὁ δὲ ῥήτωρ ἐκ τῆς ἀσαφείας εἰς ὃ ἐβούλετο μετήγαγεν, ἐπὶ θανάτου λέγων.* Alibi; *ἔν γε τῷ ποιεῖν ἀγώγιμον*] *τῷ ἀγωγίμῳ πανταχοῦ σοφίζεται.* Rursus; *αὐτὸς* [Demosthenes] *ὡς ἐφ' ὁμολογουμένοις ἔλαβεν αὐτὸν ἀγώγιμον ἐπὶ θάνατον. ὁ δὲ Ἀριστοκράτης ἔφασκεν, ἀλλ' ἐπὶ κρίσει.* Similiter Scholiastes Hermogenis pag. 110. *καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους, ἐν οἷς φησὶν, ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω. ὁ μὲν γὰρ τὸ ἀγώγιμον ἐπὶ θανάτῳ λέγει εἶναι, ὁ δὲ ἐπὶ κρίσει.*

Hæc habui præfanda, seu complananda potius in aditu Orationis *luculentæ*, ut scribit vir doctissimus, *et multis antiquitatis reliquiis instructæ*. Quæ cum tanta sit commendata utilitate, non minorem habet elegantiæ et decoris laudem. Dionys. Halic. §. 45. de vi Demosth. *Ἐκ δὲ τῶν ἐναγωνίων αὐτοῦ λόγων, ὁπόσοι πρὸς δικαστήρια γεγόνασιν, ἢ πρὸς ἐκκλησίας, τεκμαίρομαι, ὅτι ταύτην τὴν γνώμην ὁ ἀνὴρ εἶχεν. ὁρῶ γὰρ αὐτὸν, εἴ ποτε λάβοι πράγματα χαριεστέρας δεόμενα κατασκευῆς, πανηγυρικὴν αὐτοῖς ἀποδιδόντα τῆς λέξεως ἁρμονίαν, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους πεποίηκε λόγῳ, πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δ' ἐν οἷς τὸν περὶ τῶν νόμων ἀποδίδωσι λόγον, καὶ τὸν περὶ τῶν φονικῶν δικαστηρίων, ἐφ' ἧς χρείας ἕκαστον τέτακται.* Item Theo Progymn. pag. 5. *Οἱ γοῦν κάλλιστοι τῶν δημοσίων λόγων εἰσὶν, ἐν οἷς περὶ νόμου τι, ἢ ψηφίσματος, ἀμφισβητεῖται. λέγω δὲ τόν τε περὶ*

Στεφάνου, καὶ τὸν κατὰ Ἀνδροτίωνος, καὶ Τιμοκράτους, καὶ Ἀριστοκράτους. ὀλίγον γὰρ διήνεγκεν, εἰ μὴ νόμον, ἀλλὰ ψήφισμα Ἀριστοκράτης ἔγραψε. Atque etiam inter τῶν δικανικῶν καλλίστους locat Hermogenes τὸν κατὰ Ἀριστοκράτους, καὶ τὸν ὑπὲρ Στεφάνου, p. 376. Edit. Crispin. Exemplar τοῦ δικανικοῦ χαρακτῆρος nominat ejus scholiastes pag. 74. Cujus item alibi sententia est, quam et sua quoque confirmavit Aristides Rhetor, in ea elucescere utramque ideam, tam quæ *deliberativo*, quam quæ competit *judiciali* sermoni. Neque eo solum ornatu orationis exaratur, verum etiam summo studio Reip. Quod olim observavit Panætius philosophus de Orationibus Ctesiphontea, Aristocratea, Leptinea et Philippicis, apud Plutarchum in vita Auctoris nostri.

Habita erat, eodem Plutarcho teste, juxta id temporis, quo illas etiam habuit, c. Androtionem unam, et alteram c. Timocratem. Τῶν δὲ δημοσίων ὁ μὲν κατ' Ἀνδροτίωνος, καὶ Τιμοκράτους, καὶ Ἀριστοκράτους ἑτέροις ἐγράφησαν, οὔπω τῇ πολιτείᾳ προσεληλυθότος. δοκεῖ γὰρ δυοῖν ἢ τριῶν δέοντα ἔτη τριάκοντα γεγονὼς ἐξενεγκεῖν τοὺς λόγους ἐκείνους. Verum hoc quidem, aut vero saltem proximum, quod ait de Leptinea et Timocratea: serius tamen aliquanto hæc contra Aristocratem, Olymp. sc. CVII. 1. cum Demosthenes ætatis ageret annum trigesimum, si Dionys. Halic. fides. Ἐν τούτῳ τῷ χρόνῳ (nempe Aristodemo Prætore, qui fuit eo anno, quem designavimus) καὶ τὸν κατὰ Ἀριστοκράτους ἔγραψε λόγον Εὐθυκλεῖ τῷ διώκοντι παρανόμων τὸ ψήφισμα. Epist. ad Ammæum, §. 4.

Quis autem fuerit iste Euthycles, cujus in gratiam hæc scripserit Demosthenes, penitus ignoratur, et juxta quis fuerit ille Aristocrates, qui hic insimulatur. Certum interea est, errasse Scholiastem Aristoph. ad Aves 126. cum ait, fuisse Aristocratem Scellii F. qui in bello Peloponnesiaco multa egregia facinora edidit. Epichares enim, qui per hæc tempora orationem habuit adv. Theocrinem, Demosthene scribente, Aristocratem istum Scellii F. vocat avunculum Avi sui, ut mirum sit, si hæc concordare possint. Neque porro profecto verisimile est, eundem fuisse impetitum ab Aristophane in Fabula, quam dedit Olymp. XCI. 2. et a Demosthene in Oratione, quam habuit Olymp. CVII. 1.

Cum nonnulla sint in hac Oratione, quæ alibi apud Demosthenem leguntur, ut olim annotavimus, præcipuum est, quod multa hinc transtulit ad Orationem, quæ inscribitur περὶ Συντάξεως: de qua re non leve aliquod in notis ad istum locum infra observavimus. TAYLOR.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΑΡΙΣΤΟΚΡΑΤΟΥΣ ΛΟΓΟΥ.

Pag. ed. Reisk.

ΧΑΡΙΔΗΜΟΝ τὸν Ὠρείτην, ἡγούμενον ξενικοῦ, καὶ στρατηγοῦντα παρὰ Κερσοβλέπτῃ τῷ 618
Θρᾴκης βασιλεῖ, πολίτην σφῶν αὐτῶν Ἀθηναῖοι ἐποιήσαντο, τὰ μὲν, γεγονότα χρήσιμον αὐτοῖς,
τὰ δὲ, προσδοκῶντες ἔτι μᾶλλον γενήσεσθαι. περὶ τούτου ψήφισμα ἔγραψεν Ἀριστοκράτης
ἐν τῇ βουλῇ τοιοῦτον· ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω ἐξ ἁπάσης
[1]τῶν Ἀθηναίων συμμαχίδος· ἐὰν δέ τις τὸν ἀγόμενον ἀφέληται ἢ [2]πολίτης ἢ ἰδιώτης, ἔκσπονδος ἔστω. τούτου κατηγορεῖ τοῦ ψηφίσματος Εὐθυκλῆς,
τῷ Δημοσθένους λόγῳ χρησάμενος. καί φησι πρῶτον μὲν εἶναι τὸ ψήφισμα παράνομον, ὅτι
κρίσιν ἀναιρεῖ, καὶ δικαστήρια, καὶ τὴν τιμωρίαν ἀπὸ τῆς αἰτίας γεγραμμένην ἔχει· δεύτερον, 619
δὲ, μὴ συμφέρειν τοῖς Ἀθηναίοις τοιαύτην Χαρίδημῳ δοῦναι δωρεάν· ἀπολοῦμεν γὰρ διὰ ταύτης Χερρόνησον, τὸ δὲ ὅπως, ὁ λόγος δείξει· ἐξετάζει δὲ καὶ τὴν τοῦ προσώπου ποιότητα,
λέγων οὐκ εἶναι δωρεῶν ἄξιον τὸν Χαρίδημον, καὶ ταῦτα τοιούτων.

[3] ΑΛΛΩΣ.

Ἡ ΕΥΒΟΙΑ μία νῆσος καταντικὺ τῆς Ἀττικῆς, διήκουσα διὰ τῆς Βοιωτίας καὶ τῆς Φωκίδος

[1] τῆς [2] πόλις [3] Ἑτέρα ὑπόθεσις.

Πολίτης ἢ ἰδιώτης] Quasi vero οἱ ἰδιῶται, πολῖται non essent! F. ἢ πολίτης, ἢ ξένος, vel σύμμαχος potius. In altero argumento mentio fit Athenodori civis, et Simonis ac Bianoris, sociorum. Sed quid, si pro πολίτης, legas πόλις? Et hoc ego in vertendo secutus sum, nec repudio conjecturam. Wolf. Bene sane, et in posteriori hac crisi officio suo probe functus est. Ita in lege hac ipsissima, quæ recitatur in Oratione §. κδ'. iterum peccatum est in libris inferioris notæ, editis scriptisque, ἐὰν δέ τις ἀφέληται, ἢ πολίτης, ἢ ἰδιώτης, ubi ex nostrorum optimis iterum rescribendum est πόλις. Nam, si hæc auctoritate indigere viderentur, quanquam probe sciam non indigere, ecce noster de hac eadem causa §. κ'. Ἐὰν δέ τις ἀνθρώπων, ἢ καὶ ὅλη ἡ πόλις τοσούτοις νομίμοις — βοηθήσῃ, καὶ τὸν ὑβριζόμενον — ἀφέληται, ἔκσπονδον ἔγραψεν εἶναι. Mendum hoc vidit et sustulit H. Stephanus T. I. Thes. Gr. Ling. col. 1642. Taylor. Manifeste legendum ἢ πόλις, ut p. 183. v. 19. Vid. §. κ'. ἐὰν δέ τις ἀνθρώπων, ἢ καὶ ὅλη ἡ πόλις — βοηθήσῃ. Jurin.

Καὶ τὴν τιμωρίαν ἀπὸ τῆς αἰτίας] Forte πρὸ τῆς αἰτίας, vel ἄνευ τῆς αἰτίας. Quam lectionem confirmare videntur verba [§. δ'. fin.] καὶ παραβὰς τὸ τί πράττοντα εἰπεῖν etc. Wolf. Male. Accusatur Aristocrates, non quod pœnam statuerit *ante* criminationem, (neque enim statuerat) verum quod pœnam *immediate* sequi voluit criminationem, quod judicium præterierit, et quæstionem: μέσον γάρ ἐστιν αἰτίας καὶ ἐλέγχου κρίσις, ut dicitur §. ζ'. fin. Et in ea causa loquitur Demosthenes (ad cujus normam sapere contendit Libanius) τὴν τιμωρίαν εὐθὺς ἀπὸ τῆς αἰτίας γεγραμμένην, *immediate, nullo judicio interposito.* Ita §. ιδ'. ἀλλ' ἀπ' αἰτίας εὐθὺς ἡ τιμωρία γέγραπται. Et §. ιζ'. fin. ἀλλ' ἀόριστον αὐτὴν εἰπὼν τὴν αἰτίαν, καὶ μετὰ ταῦτ' εὐθὺς προσγράψας ἀγώγιμον εἶναι. Et §. κ'. fin. καὶ τοῦτον εὐθὺς ἄνευ κρίσεως κολάζει. Et §. κά. πρὸ τοῦ δίκην ἀξιῶσαι λαβεῖν εὐθὺς ἔγραψεν ἀγώγιμον εἶναι. Similiter, §. νς'. ὁ πρῶτος νόμος ἄντικρυς εἴρηκεν, ἄν τις ἀποκτείνῃ τινὰ, τὴν βουλὴν δικάζειν· ὁ δὲ, ἄν τις ἀποκτείνῃ, εὐθὺς γέγραφεν ἀγώγιμον εἶναι. Taylor. Vertit Wolfius: *et vindictam ante crimen contineat scriptam.* Potius: *et pœnam sub ipsam criminationem subjungat.* Nimirum, si quis Charidemum occidisset, eum comprehendendi, abducendi, mulctandi pecunia, vel etiam interficiendi, hac lege lata cuilibet jus fiebat, nullâ judicum cognitione præmissa, jurene, an injuria, casu, an consulto, occidisset. Vide §. ς'. §. ἡ. Malim vero ἀπ' αὐτῆς αἰτίας. Jurin. πρὸ Interpres. Vide tamen §. ιδ'. et nil muta præter versionem. Markland.

Δὲ καὶ] Istud καὶ ex Edit. Felic. quod agnoscit etiam Baroc. Et recte sane. Nam hæc est *et* tertia quæstio, (Charidemi sc. *merita*) quæ in hac oratione tractatur. Initium autem sumit a §. λς'. Taylor.

ΑΛΛΩΣ] Morelius e Codd. Parisien-

μέχρι τῶν Ἀφετῶν· Ἀφεταὶ δὲ τῆς Θετταλίας τόπος. ἴσμεν δὲ ὅτι χωρία πολλὰ εἶχεν ἡ Εὔβοια, ἔστι δὲ ἐν τῇ Εὐβοίᾳ χωρίον Ὠρεός· τοῦ Ὠρεοῦ δὲ ὁ πολίτης Ὠρείτης. Ὠρείτης οὖν τις Χαρίδημος ξεναγὸς ἦν τῶν Ἀθηναίων· ξεναγὸς δέ ἐστιν, ὅτε τις στράτευμα [1] ξένων ὑπέρ τινος ἄλλου τρέφει· διὰ τοῦτο οὖν καὶ οὗτος ἐλέγετο ξεναγὸς, ἐπειδὴ στράτευμα ξένων ἔτρεφεν ὑπὲρ συμμαχίας τῶν Ἀθηναίων. ἦν οὖν τῶν μὲν Ἀθηναίων ξεναγὸς, γαμβρὸς δὲ Κότυος τοῦ τῶν Θρακῶν βασιλέως, καὶ στρατηγός. ὁ δὲ Κότυς παρέλαβέ ποτε τὴν Χερρόνησον τὴν Ἀθηναίων οὖσαν, καὶ τελευτήσας κατέλιπε τῆς βασιλείας διάδοχον Κερσοβλέπτην, εἰ μετὰ τινῶν δύο Βηρισάδου καὶ Ἀμαδόκου τὴν βασιλείαν μερίσαιτο. εἶχε δὲ στρατηγὸν ὁ μὲν Κερσοβλέπτης ὡς συγγενῆ τὸν Χαρίδημον· ὁ δὲ Βηρισάδης, τινὰ Ἀθηνόδωρον, Ἀθηναῖον φύσει, Ἀλωπεκῆθεν· ὁ δὲ Ἀμάδοκος δύο στρατηγοὺς εἶχε Σίμωνα καὶ Βιάνοχα. ἰδίᾳ τοίνυν ἕκαστος τῶν βασιλέων ἤθελε χάριν τοῖς
620 Ἀθηναίοις ποιήσασθαι, διὰ τὸ ἔχειν αὐτοὺς εἰς συμμαχίαν εὐμενεῖς· καὶ συμβουλεύσαντος τοῦ Χαριδήμου δοῦναι κοινῇ τοῖς Ἀθηναίοις τὴν Χερρόνησον, ἐπείσθησαν οἱ βασιλεῖς, καὶ δεδώκασι. τοῦτο γνόντες οἱ Ἀθηναῖοι, τὸν Χαρίδημον ἐστεφάνωσαν, ὡς εὐεργέτην [2] αὐτῶν χρυσῷ στεφάνῳ, καὶ θετὸν πολίτην αὐτὸν ἐποιήσαντο· τοῖς δὲ ὁ Χαρίδημος, ὅτι φιλοῦσιν αὐτὸν, ἐδήλωσεν αὐτοῖς διὰ τινὸς Ἀριστοδήμου, ὡς ἂν ποιήσωσιν ἀσφάλειαν αὐτῷ περὶ τῆς τοῦ σώματος φυλακῆς· καὶ ὅτι οὐκ ἐπιβουλεύεται, δίδασιν αὐτοῖς τὴν Ἀμφίπολιν, ἀφαιρούμενος αὐτὴν ἀπὸ Φιλίππου. Ἀριστοκράτης οὖν τις Ἀθηναῖος ὑπειληλημμένος ἔγραψε τοιοῦτο ψήφισμα· ὁ φονεύων Χαρίδημον ἀγώγιμος ἔστω, τοῦτ' ἔστιν ἀκτέος ἐστὶ τὸ κολασθῆναι· ἐὰν δέ τις φησὶν ἀφέληται τὸν ἀγώγιμον ἡ πόλις ἢ ἰδιώτης, καὶ, ὡς εἰπεῖν, ἀντιλάβηται αὐτοῦ, ἔκσπονδος ἔστω τῶν Ἀθηναίων. Εὐθυκλῆς δέ τις Θάσιος τὸν δῆμον ἐπεπλάβετο τοῦ ψηφίσματος ὡς κακῶς ἔχοντος, ὡς παρανόμου, καὶ ἀσυμφέρου, καὶ γεγραμμένου ἀνδρὶ ἀναξίῳ. οὗτος λαβὼν παρὰ τοῦ Δημοσθένους τὸν λόγον, χρυσίον παρασχὼν, κατηγόρει τοῦ Ἀριστοκράτους. ὁρῶν οὖν ὁ ῥήτωρ τὴν ἁπλῆν ὑπόθεσιν, ἰσχύουσαν μὲν τῷ νομίμῳ, κινδυνεύουσαν δὲ διὰ τὸ προτιμᾶσθαι τὸ συμφέρον τῆς ἀξίας ὑφ' ἑκάστου τῶν λαμβανόντων πολλάκις, καὶ μάλιστα ὅταν στρατηγοὶ τυγχάνωσιν ἐπίδοξοι, καὶ τὴν πόλιν εὐεργετῶσιν, οἷος ὁ Χαρίδημος, καὶ Κερσοβλέπτου στρατηγὸς, ὁ ἀδελφὴν αὐτοῦ ἔχων καὶ διὰ τὸ δόξαι ἐν τῷ κατὰ τὴν Χερρόνησον εὖ ποιεῖν Ἀθηναίους αἱρεθεὶς στρατηγὸς [3] αὐτῆς τῆς πόλεως, ἑτέραν ἐξεῦρεν ὑπόθεσιν * * * ἐπιπλέκων ταράττει τὸν
621 ἀκροατὴν, φάσκων γεγράφθαι τὸ ψήφισμα ἐπὶ Χερρονήσῳ τῆς πόλεως σχήματι. ὡς οὖν ἀμφοτέ-

[1] ξένων [2] αὐτῶν [3] αὐτῆς

sibus hoc argumentum edidit primus, cujus etiam apographum teneo ex optimo Vindobonensi, unde non vulgaria derivavi ad emendanda Moreliana. TAYLOR.

Στράτευμα ξένων] Modo, sc. v. 3. dixit στράτευμα ξένον, qualiter et hic quoque scribitur in Cod. Vindob. IDEM.

Καὶ τελευτήσας κ. τ. λ.] Idem præstantissimus Codex ita: καὶ τελευτήσας κατέλιπε υἱὸν Κερσοβλέπτην, ὃς μετὰ τινῶν δύο Βηρισάδου καὶ Ἀμαδόκου τὴν βασιλείαν ἐμερίσατο. IDEM.

Τοῖς δὲ] Absurde, quia sequitur αὐτοῖς. MS. noster γνοὺς δέ. Atque ita deinde scribas. IDEM.

Ἀριστοδήμου] Recte Interpres vertit: *Aristomachum*. Vide §. δ'. med. IDEM.

Καὶ ὅτι οὐκ ἐπιβουλεύεται] Delenda videntur καὶ et οὐκ. Redditur nempe ratio, quare indigeat Charidemus præsidio Atheniensium, sc. quod insidiis appetatur. JURIN.

Ὑπειληλημμένος] Cum aliquid desiderari hic vidit Wolfius, subjecit vocem ῥήτωρ. Ἀριστοκράτης τις Ἀθηναῖος, ῥήτωρ ὑπειληλημμένος. Duriuscule! Codex noster εὖ ὑπειληλημμένος. Ita in Oratione, §. γ'. κακοηθέστατον ἀνθρώπων, καὶ πολὺ τἀναντία, ἢ προσῆκεν, ὑπειληλημμένον. TAYLOR.

Θάσιος] Wolfius conjecit Θρᾴσιος, non inscite. IDEM. Θρᾴσιος. MARKLAND.

Τῆς ἀξίας] Cod. Vindob. τῆς ἀξίας ἑκάστου πολλάκις τῶν λαμβανόντων, sine ὑφ'. Quod melius. TAYLOR. Plane supervacaneum τὸ ὑφ'. JURIN.

Ἐπίδοξοι] Ἔνδοξοι præfert Wolfius. MS. ὅταν στρατηγοὶ τυγχάνωσι καὶ ἐπίδοξοι. TAYLOR.

Καὶ Κερσοβλέπτου] Forte Χαρίδημος, ὁ Κερσοβλέπτου στρατηγὸς, καὶ ἀδελφὴν αὐτοῦ ἔχων. MARKLAND.

Ὁ ἀδελφὴν] Ὡς ἀδελφὴν MS. Malim: οἷος ὁ Χαρίδημος, ὁ Κερσοβλέπτου στρατηγὸς, καὶ ἀδελφὴν αὐτοῦ ἔχων. TAYLOR.

Ἐν τῷ] Ita conjecit Wolfius, et Moreliana lectio sine dubio est mendosa, ἐν τὸ κατὰ τὴν X. Aut igitur Wolfium sequere, aut cum MSto Vindob. lege ἐν τοῖς κατὰ τὴν Χερρόνησον. IDEM.

Ὑπόθεσιν] In Cod. quo usus est Morelius, post hanc vocem parvula erat lacunula, quam Wolfius ex ingenio suo ita supplere voluit: ὑπόθεσιν. ταύτην δὲ ἐπιπλέκων κ. τ. λ. Vel hoc demum pacto: ὑπόθεσιν τὴν περὶ Χερρονήσου. ἣν ἐπιπλέκων κ. τ. λ. MS. vero Vindobonensis sic: ἑτέραν ἐξεῦρεν ὑπόθεσιν ἐκ τῆς οἰκείας δεινότητος, ἵνα ἐπιπλέκων ταράττῃ τὸν ἀκροατὴν κ. τ. λ. IDEM.

Σχήματι] Κτήματι Wolfius, ad quem ritum interpretatur. IDEM. Vertit Wolfius: *fundi reipublicæ*. Potius: *præcaetu reipublicæ*. Nisi malis τῆς πόλεως κτή-

ρων, τοῦ τε Κερσοβλέπτου καὶ τοῦ δήμου τῶν Ἀθηναίων, καὶ βουλομένου Χαριδήμου ταύτης ἐπιτυχεῖν τῆς δωρεᾶς, Δημοσθένης τὴν κατὰ τὴν Χερρόνησον ὑπόθεσιν ἐπέθηκεν, εἰς ὑποψίαν ἄγων τοὺς ἀκούοντας, καὶ φάσκων ἐξ ἐπιβουλῆς Ἀριστοκράτην γεγραφέναι τὸ ψήφισμα, ἵνα μηδενὸς τῶν βασιλέων ἀναιροῦντος αὐτὸν φόβῳ τῆς πόλεως, περιποιήσῃ Κερσοβλέπτης πάλιν Χερρόνησον. τοσαῦτα περὶ τῆς ὑποθέσεως.

ΑΛΛΩΣ.

ΔΙΠΛΟΥΣ ὁ λόγος, καθάπερ καὶ ὁ κατὰ Τιμοκράτους. ἔχει γὰρ διπλῆν ὑπόθεσιν, τὴν τῶν παρανόμων, τὴν κρινομένην, ἔχει δὲ καὶ ἑτέραν ἐπεισεννενεγμένην, τὴν κατὰ τὴν Χερρόνησον. ἔστι δέ, ὡς ἂν εἴποι τις κατὰ τὴν ὁμοιότητα, ἀνταγώνισμα ὁ παρὼν λόγος τῷ περὶ τοῦ στεφάνου λόγῳ. ἀλλ' ἐκεῖ μὲν ὅτι ἄξιός ἐστι δωρεᾶς, ἀγωνίζεται Κτησιφῶν· ἐνταῦθα δὲ Εὐδυκλῆς Ἀριστοκράτην ἐγράψατο, φάσκων παράνομον εἶναι τὸ ψήφισμα, καὶ ὅτι οὐκ ἄξιός ἐστι τῆς δωρεᾶς ὁ Χαρίδημος. δηλοῦται δὲ ἡ στάσις ὅτι πραγματική ἐστιν ἔγγραφος, εἰ δεῖ κυρωθῆναι τὸ ψήφισμα, ἢ μή. εἰσὶ δὲ τοῦ λόγου κεφάλαια τρία, τὸ δίκαιον, τὸ νόμιμον, καὶ τὸ συμφέρον. καὶ τὸ μὲν δίκαιον, καὶ νόμιμον ἐνέπεσε κυρίως ἐκ τῆς ὕλης τῶν πραγμάτων· τὸ δὲ συμφέρον, ἐκ περινοίας τοῦ ῥήτορος. καὶ κατηγορεῖ τῷ μὲν νομίμῳ κατὰ τοῦτον τὸν τρόπον, ὅτι δέκα νόμους παρέβη, ὧν οἱ μὲν ἑπτὰ, φονικοὶ, οἱ δὲ τρεῖς, πολιτικοί· τῷ δὲ δικαίῳ, ὅτι πολλάκις ὁ Χαρίδημος ἠδίκησε τὴν πόλιν, καὶ οὐ δίκαιον δοῦναι αὐτῷ τὴν τοιαύτην δωρεάν· τίθησι δὲ καὶ τὸ συμφέρον ἐκ περινοίας τοῦ ῥήτορος, οὕτως· ὅτι σκοπήσατε πείῳ τρόπῳ παρελήφθη, καὶ ποίῳ ἐδόθη ἡ Χερρόνησος. δῆλον ὅτι ἐλήφθη τοῦ Κότυος μὲν βασιλεύοντος, ἐδόθη δὲ μερισθείσης τῆς βασιλείας εἰς τρεῖς. νῦν οὖν ὑμῶν παρεχόντων τῷ Χαριδήμῳ τὴν τοιαύτην δωρεὰν, ἐὰν βουληθῇ ὁ Κερσοβλέπτης τοῖς ἄλλοις πολεμῆσαι βασιλεῦσιν, οὐχ ἕξει τὸν ἐναντιούμενον. ὁ γὰρ Ἀθηνόδωρος, Ἀθηναῖος ὤν, οὐκ ἐθελήσει φονεῦσαι τὸν Χαρίδημον διὰ τοὺς Ἀθηναίους. πάλιν ὁ Σίμων καὶ ὁ Βιάνωρ, σύμμαχοι ὄντες ἤτοι πολῖται, οὐδ' αὐτοὶ ἐθελήσουσι Χαρίδημον διαχρήσασθαι. εἰ δ' οὗτοι μὴ ἐναντιωθῶσι, τοῦ Χαριδήμου στρατηγοῦντος τῷ Κερσοβλέπτῃ, ἐρημωθέντων τῶν ἄλλων βασιλέων, καὶ φονευομένων, γενήσεται μονοκράτωρ ὁ Κερσοβλέπτης, καὶ οὐδὲν αὐτὸν κωλύσει λαβεῖν τὴν Χερρόνησον. οὐκ ἔστιν οὖν τοῦτο τὸ κεφάλαιον ἐκ τῆς ὕλης τῶν πραγμάτων κυρίως, ἀλλὰ τοῦ φεύγοντός

ματι, sicuti vocatur Halonesus in argumento Orationis de Haloneso. JURIN.

Ὡς οὖν] MS. ὡς οὖν ὄντα ἀμφοτέρων, τοῦ τε Κερσοβλέπτου, καὶ τοῦ δήμου τῶν Ἀθηναίων. Βουλόμενος τοῦτον ἀποτυχεῖν τῆς δωρεᾶς Δημοσθένης κ. τ. λ. TAYLOR.

Καὶ τοῦ δήμου] F. κατὰ τοῦ δήμου. Etsi malim inversum ordinem hoc modo: τοῦ τε Κερσοβλέπτου καὶ τοῦ Χαριδήμου βουλομένου κατὰ τοῦ δήμου τῶν Ἀθηναίων ταύτης ἐπιτυχεῖν. WOLF.

Καὶ βουλομένου Χαριδήμου ταύτης ἐπιτυχεῖν] Vix ullum sensum hinc extundas, nisi, deleto καὶ, rescribas βουλομένων Χαρίδημον ταύτης ἐπιτυχεῖν, ut referatur τὸ βουλομένων ad præcedens ἀμφοτέρων. JURIN.

ΑΛΛΩΣ] Hypothesis ista, quemadmodum earum plurimæ, quæ post Libanium leguntur, Ulpianum habet Auctorem, ut pluribus ostendere possum. In Editionibus Aldina, Feliciana, et Manutiana Argumenti vicem sustinet. In Moreliana non divellitur a scholiis, quorum portio jure censeri debet. TAYLOR. Desideratur hoc tertium Argumentum in Editione Reiskiana.

Ἔχει γὰρ τὴν τῶν παρανόμων διπλῆν ὑπόθεσιν τὴν κρινομένην] [Ita ordinantur in Editis] Verba et hic et in Enarratione Ulpiani transposita, sic collocanda sunt: ἔχει γὰρ διπλῆν ὑπόθεσιν, τὴν τῶν παρανόμων, τὴν κρινομένην· ἔχει δὲ καὶ ἑτέραν. Hæc lectio haud dubie vera est, neque necesse est τὸ διπλῆν mutari in ἰδίαν, *peculiarem*. WOLF. Vertitur: *habet enim, eamque duplicem, legum violatarum hypothesin, de qua disceptatur.* Verti oportebat: *habet enim duas hypotheses, alteram legum violatarum, de qua disceptatur.* Nec enim insunt in Oratione tres hypotheses, quarum duæ ad leges violatas, tertia ad Chersonesum pertinet; sed omnino duæ, altera violatarum legum, altera Chersonesi. JURIN.

Ἀνταγώνισμα] Siquidem personam Demosthenis spectes, utriusque Orationis auctorem: sin Æschinis et Euthyclis, συναγώνισμα erit. Uterque enim contendit, hic Charidemum, ille Demosthenem corona indignum esse. WOLF.

Δωρεᾶς] Addit Wolfius omnibus superioribus, ὅτι ἄξιός ἐστι δωρεᾶς ὁ Δημοσθένης. TAYLOR.

Ὅτι] Restitui ex Editis. IDEM.

Ἐκ περινοίας] F. ἐξ ἐπινοίας. Facile enim ΕΠΙ in ΠΕΡΙ mutatur, et e contrario. Sed et illud (τὴν περίνοιαν) τέχνασμα, μηχανὴν, τέχνην, περισσὴν νόησιν, exponunt Græca Lexica. Post, ἐκ περιεργίας τοῦ ῥήτορος eodem sensu dicit. WOLF.

Πείῳ] Ita Editi: Wolfius οἵῳ. Porro, ex iisdem accuratius et exactius, v. 18. δῆλον δὲ, ὅτι ἐλήφθη τοῦ Κότυος μὲν βασιλεύοντος, ἐδόθη δὲ μερισθείσης etc. In Wolfio istud μὲν desideratur. TAYLOR.

Τοῦ φεύγοντός ἐστι] Quomodo? Charidemi opera in potestatem Atheniensem esse redigendam Amphipolim, nunciasse

εστι, λέγοντος, ὅτι συμφέρει ὑμῖν τὸ λαθεῖν τὴν Ἀμφίπολιν, καὶ πολλὰ τοιαῦτα. ὅτι δὲ ἐκ περιεργίας τοῦ ῥήτορος ἐνέπεσε τὸ κεφάλαιον, δῆλον ἐκ τοῦ κατὰ Κτησιφῶντος Αἰσχίνου. τοιαύτης γὰρ οὔσης κἀκεῖ τῆς ὑποθέσεως, ὁ μὲν Αἰσχίνης διὰ πενίαν συνέσεως καὶ δεινότητος ἔνδειαν, οὐκ εὐπόρησε θεῖναι τὸ συμφέρον. Προοίμια δὲ τοῦ λόγου ἐστὶ τρία. τὸ μὲν πρῶτον ἐκ τοῦ πράγματος· ὅτι μεγάλα τὴν πόλιν ἀδικουμένην ὁρᾶν, τὴν ἀγῶνα τοῦτον ἐνεστησάμην. ἐν ᾧ καὶ τὴν ἔχθραν τὴν πρὸς Χαρίδημον μὲν κεῖσθαι, ἔχειν δὲ ἀηδῶς πρὸς τὸν Ἀριστοκράτην διορίζεται, ἐξ οὗ βλαβήσεσθαι ἐμέλλεν οὐδέν. ἐπειδὴ γὰρ ὁ μὲν προφανὴς ἀγὼν πρὸς Ἀριστοκράτην, ὁ δὲ κεκρυμμένος πρὸς Χαρίδημον, διὰ τοῦτο τὸ μὲν κρύπτει, ὡς ἀνύποπτον, περὶ δὲ τοῦ ἐμφανοῦς διαλέγεται. τὸ δὲ δεύτερον ἐκ προσώπου τοῦ λέγοντος εἴληπται· ἐπειδὴ περ ἰδιώτης τυγχάνων, πρᾶγμα τηλικοῦτον δείξειν ἐπαγγέλλομαι, προσήκει πάντας ὑμᾶς συναγωνίσασθαί μοι. τοῦτο δὲ φησι διὰ τὸ φοβεῖσθαι ὅτι ἰδιώτης τυγχάνων πρὸς δημαγωγοὺς καὶ στρατηγὸν ἀγωνίζεται. πόῤῥωθεν γὰρ αὐτῷ τὸ ἀνύποπτον κατασκευάζει διὰ τῆς δοκούσης ἁπλότητος. τὸ δὲ τρίτον ἀπὸ προσώπου τοῦ Χαριδήμου δι' ὅπερ ὁ λόγος. δέδοται γὰρ ἡμῖν θεώρημα λύειν τὰ ἀντιπίπτοντα πάντα ἀπὸ τῆς ἀξίας, ἐπειδὴ κατὰ ἐνδόξου προσώπου τοὺς λόγους ποιούμεθα. τοῦτο καὶ Ἀριστείδης ἐν τῷ Περικλεῖ πεποίηκεν. ἐστι δ' ἐν μέσῳ τοῦ προοιμίου τοῦ τρίτου συστροφή τις ἐνθυμηματική. εἰ μὲν δὴ τοῦτο μέγιστον Ἀριστοκράτης, καὶ τὰ ἑξῆς. ἐπειδὴ γὰρ κατ' ἀρχὰς τοῦ προοιμίου διέβαλε τὴν ὑπόληψιν τοῦ Χαριδήμου, ἐφοβήθη μὴ τὴν ἐξ ἀκολουθίας ἀπόδειξιν τῆς δυσνοίας ὁ ἀκροατὴς ζητήσῃ, ἣν ἔλυσε, νῦν μὲν σπεύδειν ἐπὶ τὰ κατὰ Χερρόνησον προσποιησάμενος, ὕστερον δ' ἐρεῖν τὴν δύσνοιαν ἐπαγγειλάμενος. ἐπειδὴ δὲ ἔμελλεν ὁ ἀκροατὴς θαυμάζειν, τί δήποτε ψηφίσματος κατηγόρων ποιούμενος παρανόμων, Χερρονήσου κατὰ τοὺς ἀγῶνας μέμνηται, ἐν καταστάσει προδιατίθησι τὸν ἀκροατήν, οἰκείαν ὑπολαμβάνειν τῷ ἀγῶνι τὴν μνήμην τῆς Χερρονήσου, ὅλον τὸν ἀγῶνα δι' αὐτῆς διαβάλλων, καὶ ὕποπτον καθιστάς. καὶ ἔστιν ὥσπερ προκατασκευὴ τοῦ συμφέροντος. ἡ κατάστασις δὲ λαμβάνεται, ποτὲ μὲν ἐκ γνώμης, ποτὲ δὲ ἐκ διηγήσεως. ἐπειδὴ δ' ἔμελλεν ἀκούσας ὁ ἀκροατὴς περὶ τῆς Χερρονήσου, ἐπιζητεῖν εὐθὺς τὰς ἐντελεστέρας ἀποδείξεις, διὰ τοῦτο φεύγων, εἶτα μὴ προσποιούμενος φεύγειν, δίδωσιν αἵρεσιν, πότερόν ποτε τὸ νόμιμον ἀκοῦσαι βούλονται πρῶτον, ἢ τὸ δίκαιον, ἢ τὸ συμφέρον. εἶτ' ἐπειδὴ ἦν αὐτῷ ἰσχυρὸν τὸ νόμιμον καὶ οἰκειότερον μᾶλλον τῇ γραφῇ, διὰ τοῦτο καὶ ἀναγκαῖον ἡγήσατο τούτῳ πρώτῳ χρήσασθαι. ἀμέλει γοῦν ὡς οὐκ ἀντεῖπόντος τοῦ ἀκροατοῦ, ἢ ἐπιζητήσαντος κατὰ τὴν ἐπαγγελίαν τῆς γραφῆς, εἶπε, περὶ τοῦ νομίμου βούλεσθε πρῶτον; τοῦτο ἐροῦμεν. καὶ ἐπειδὴ ἔμελλεν ἀντιπίπτειν ἐκ τοῦ νόμου, ὅτι ξένος

Aristomachum, infra dicit. Ergo, τὸ συμφέρον affert Aristocrates occupationem Amphipoleos: alterum συμφέρον Euthycles, Chersonesi retentionem. Wolf.

Ἐκ περιεργίας] F. ἐκ περινοίας. Idem. *Ex lascivia Oratoris.* Potius: *ex diligentia Oratoris* omnia circumspectantis et comminiscentis. Jurin.

Διὰ πενίαν συνέσεως] Atqui Æschines negat, esse e Rep. improbum oratorem et malum civem coronari, quod et dedecus susceptura sit civitas, et alii cives futuri deteriores. Jacturam alicujus provinciæ afferre qui potuit, cum fortasse nullam tum haberent Athenienses, aut, ut haberent, coronatio illa nihil ei incommodaret? Dicere autem, Macedonas ægre laturos, id ejusmodi erat, ut et Athenienses decori sibi putarent timere illos: et Demosthenes Æschinis proditione factos illos formidabiles objecturus fuerit. Quare videat iste Rhetorculus, ne homines acuti in ipso εὐπορίαν συνέσεως καὶ δεινότητος περιουσίαν requirant. Wolf.

Τὸ συμφέρον] Post has voces pergit Ulpianus iste in Enarrationibus apud Morel. et Wolfium tali oratione: οὐκ εὐπόρησε θεῖναι τὸ συμφέρον· ἀλλὰ τὴν ἀπωλῆν ἠγωνίσατο, ὡς ἁπλούστερος. ὁ δὲ Δημοσθένης καὶ ἔξωθεν προσεπενόησεν ἐκ τῆς τέχνης καὶ τῆς δεινότητος συμμαχίαν λαβεῖν. διὰ τοῦτο καὶ τρίτον κεφάλαιον ἐκίνησεν ἐν τῷ λόγῳ, τὸ συμφέρον. Προοίμια δὲ κ. τ. λ. Taylor.

Τὸ μὲν κρύπτων] [Ita Editi] Lego κρύπτει, quia sequitur δέ. Wolf.

Κατὰ τοὺς ἀγῶνας] Quidam Græci Rhetores (ut e fragmentis ab Aldo collectis apparet) fecerunt quatuor oratoriæ orationis partes, προοίμιον, διήγησιν, ἀγῶνας, ἐπίλογον. Quos in Partitionibus secutus Cicero: *Orationis,* inquit, *quatuor sunt partes, quarum duæ valent ad rem docendum, Narratio et Confirmatio, ad impellendos animos duæ, Principium et Peroratio.* Ἀγῶνες igitur τήν τε κατασκευὴν καὶ τὴν ἀνασκευὴν continent, ut in Confirmationem etiam Confutatio Ciceroni comprehenditur. Idem.

Προκατατίθησι] [Uti omnes, Ald. Felic. Manut. et Paris.] Lego: ἐν τῇ καταστάσει προδιατίθησι τὸν ἀκροατήν. Idem.

Εἶτ'] Pro εἶτ' ἐπειδὴ ἦν αὐτῷ, antiquiores editiones universæ, Ἐπειδὴ γὰρ ἦν αὐτῷ. Male autem, si quid ego judicem, aut judicare possim: quanquam contrarium statuisse Wolfium in alio loco videam. Taylor.

Ἀγγέλλει] [ut Ald. Felician. et Manut.] Hoc argumentum fere totidem verbis in Enarratione Ulpiani exstat, ubi hic locus sic legitur: ἀμέλει γοῦν cætera. Wolf.

Χαρίδημος, καὶ διὰ τοῦτο ἐγράφη τιμή τις αὐτῷ ἰδία ἐν τῷ ψηφίσματι· ὁ γὰρ κατὰ τῶν φονικῶν θεσμὸς κατὰ τῶν πολιτῶν ἐδόκει κεῖσθαι· διὰ τοῦτο ἐδεήθη πρὸς τὴν λύσιν τοῦ ἀντικειμένου περικατασκευῆς, συνεθίζων τὸν ἀκροατὴν ὅτι πολίτης, καὶ ὑπὲρ πολίτου ὁ λόγος.

Ὁ λόγος] Continuatur in Scholiis hoc pacto: τῷ μὲν δοκεῖν, χαριζόμενος αὐτῷ τὴν ἐκ τῆς μετουσίας τιμὴν, τῇ δὲ ἀληθείᾳ τὸ κεφάλαιον ποιῶν ἰσχυρότερον. ὅσῳ γὰρ ὡς ὑπὲρ πολίτου, τοσούτῳ μᾶλλον ἀγανακτήσουσιν οἱ ἀκούοντες, εἰ πολίτῃ, μετέχοντι τῆς ἐκ τῶν νόμων ἐπικουρίας, ξένην τις ἔγραψε δωρεάν. TAYLOR.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΚΑΤΑ

ΑΡΙΣΤΟΚΡΑΤΟΥΣ

ΛΟΓΟΣ.

ά. ΜΗΔΕΙΣ ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ, μήτε ἰδίας ἔχθρας ἐμὲ μηδεμιᾶς ἕνεχ' ἥκειν Ἀριστοκράτους κα- 621

Κατὰ Ἀριστοκράτους] Ex Orationis hujus argumento a Libanio scripto intelligimus, Charidemum quendam socialis exercitus ducem, de populo Atheniensi egregie meritum esse, ob idque civitate donatum. de quo etiam hujuscemodi rogatio lata est, factumque plebiscitum auctore Aristocrate, ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω ἐξ ἁπάσης τῶν Ἀθηναίων συμμαχίδος. ἐὰν δέ τις τὸν ἀγόμενον ἀφέληται ἢ πολίτης ἢ ἰδιώτης, ἔκσπονδος ἔστω: *Qui Charidemum occiderit, eum in nexum abducere jus esto, ex omni loco, urbe, agro, populo Atheniensi fœderato et socio. Qui autem hujuscemodi necis perpetratorem in nexum abducentem prohibuerit, ipsumque abductum vi exemerit, seu civis, seu privatus, fœderis jure careto.* Hoc privilegium ut iniquum et adversus leges latum Euthycles Demosthenis verbis accusavit, ob id quod Charidemum eo honore indignum esse diceret. Erat enim id psephisma velut quoddam satellitium publice Charidemo decretum. Et hoc quidem loco ἀγώγιμος (de quo etiam πρὸς Νικοστράτους) dictus est is, in quem manus injectionis et prehensionis jus est iis, ad quos injuria pertinet, etiam indicta causa, id quod ut perperam factum Demosthenes accusavit, vel Euthycles potius cui oratio scripta est ab Oratore, ἀλλ' ἀνελὼν, inquit, δίκην ὑπέχειν, ἀγώγιμον εὐθὺς ἐποίησε. καὶ παραβὰς τὸ διωρισμένον ἐκ τοῦ νόμου δικαστήριον, ἄκριτον τοῖς ἐπαιτιασμένοις παρέδωκε. Ex eo more lex addictorum, nexorumque manavit ad Romanos, cujus multa mentio apud Livium. Ex Bud. Comment. *Ex edit.* HERVAG.

ά. Ἐμὲ] Τὸ ἐμὲ notatum est signis, [in Edit. videlicet Parisina] quæ indicant, vocem ἐμὲ in quodam Codice, ut supervacaneam, esse prætermissam. Etsi autem ἐμὲ μηδεμιᾶς, κακόφωνον videtur, tamen quia constructio eam vocem requirit, et sententiæ magis serviendum est, quam auribus, retinendam esse censeo. Et quia mediocri etiam homini facilius est animadvertere, quid abundet, quam vel ingeniosissimo divinare, quid desideretur, non temere ullum verbum loco

τηγορήσοντα τουτουὶ, μήτε μικρὸν ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημα, ἑτοίμως οὕτως [1]ἐπὶ τούτῳ προάγειν ἐμαυτὸν εἰς ἀπέχθειαν· ἀλλ', εἴπερ ἄρα ὀρθῶς ἐγὼ λογίζομαι καὶ σκοπῶ, ὑπὲρ τοῦ Χερρόνησον ἔχειν ὑμᾶς ἀσφαλῶς, καὶ μὴ παρακρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς, περὶ τούτου μοι ἐστὶν ἅπασα ἡ σπουδή. δεῖ δὴ πάντας ὑμᾶς, εἰ βούλεσθε ὀρθῶς περὶ τούτων μαθεῖν, καὶ κατὰ τοὺς νόμους δικαίως κρῖναι τὴν γραφὴν, μὴ μόνον τοῖς γεγραμμένοις ἐν τῷ ψηφίσματι ῥήμασι προσέχειν τὸν νοῦν, ἀλλὰ καὶ τὰ συμβησόμενα ἐξ αὐτῶν σκοπεῖν. εἰ μὲν γὰρ ἦν ἀκούσασιν
622 εὐθὺς εἰδέναι τὰ κεκακουργημένα, τὴν ἀρχὴν ἴσως ἂν οὐκ ἐξηπάτησθε· ἐπειδὴ δὲ τοῦθ' ἕν ἐστι τῶν ἀδικημάτων, τὸ τοῦτον τὸν τρόπον καὶ λέγειν καὶ γράφειν ἐνίους, ὃν ἂν ἥκιστα ὑμεῖς [2]ὑπίδοισθέ τι καὶ φυλάξοισθε, προσήκει μὴ πάνυ θαυμάζειν, εἰ καὶ τοῦτο τὸ ψήφισμα ἡμεῖς οὕτω γεγραμμένον ἐπιδείξομεν, ὥστε δοκεῖν μὲν Χαριδήμῳ φυλακήν τινα τοῦ σώματος διδόναι, τὴν ὡς ἀληθῶς δὲ δικαίαν καὶ βεβαίαν [3]φυλακὴν, Χερρόνησον, τῆς πόλεως ἀποστερεῖν.

Ε'. Εἰκότως δ' ἂν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσέχοιτέ

[1] [ἐπὶ] [2] ὑπίδοισθ' ἔτι καὶ φυλάξαισθε [3] φυλακὴν Χερρονήσου τῆς

movi, notis illis Threiciis compunctum, nisi vel constructionem, vel sententiam, perturbare videretur. Quamvis haud me falleret, multas voculas, ad explendas elegantes ellipses, inculcatas a Grammaticis, inscitiæ rudis lectoris consulturis, e scholiis in contextum irrepsisse. Sed nec illud ignoro, facilius et sæpius a librariis omitti necessaria, quam inculcari aliena. Wolf. Codex ille, in quo prætermittitur pronomen, Lutetianus est Reg. *a*. Deficit etiam in Baroc. et Vindob. et defecisse sentio sono sequentis vocis suffocatum. Nam non posse abesse recte judicavit Wolfius. Dionys. Halicarnassensis legerat: Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με μήτε κ. τ. λ. Quem vide, si tantum tibi sit ab re tua otii, pag. 230. Edit. Upton. totum hoc exordium in pedes et metra sollicite digerentem. Adde Bircovium ad locum, et Victor. Var. Lect. XV. 5. Taylor.

Οὕτως] Addidi ex Editis et MSS. Fel. Manut. Lutet. Baroc. Bodl. Ital. Obsop. et Vindob. Vidit necessarium esse Wolfius, sive alius erat, qui Wolfii interpretationem A. 1604. ad incudem revocavit. Idem.

Κεκακουργημένα] Ita recte εἰδέναι τὰ κεκακουργημένα, non εἰδέναι τὰ κεκακουργημένα τὴν ἀρχὴν, ut male edidit Wolfius, Aldum secutus, licet in Interpretatione sua hæc recte distinxit juxta saniores Editiones, et id, quod expedit. Eodem pungendi errore, ac Wolfius, tenetur et Benenatus quoque. Nam errorem esse judico. κακουργήματα MSS. Ald. Felician. et Manut. margo denique Benenati, ubi reperitur etiam et πεπανουργημένα. Idem.

Δικαίαν] Quare δικαίαν? *Firmum* quidem præsidium Chersonesus esse potuit, quo animo *justum* dici potuit, profecto non video. Delet Baroc. et Tu quidem delebis. Infra in Timocratea p. 711. 26. ed. Reisk. ait: τίς οὖν μόνη φυλακὴ καὶ δικαία καὶ βέβαιος τῶν νόμων; ὑμεῖς οἱ πολλοί. Quod ferri potest. At hic in Aristocratea κζ'. post med. ἐκείνων πρὸς ἀλλήλους παραχὴ καὶ ὑποφία φρουρὰ Χερρονήσου μεγίστη τῶν πασῶν ἐστὶ καὶ βεβαιοτάτη. Idem.

μοι τὸν νοῦν, καὶ μετ᾽ εὐνοίας ἀκούσαιτε ἃ λέγω. ἐπειδὴ γὰρ οὐχὶ τῶν ἐνοχλούντων ὑμᾶς, οὐδὲ τῶν πολιτευομένων καὶ πιστευομένων παρ᾽ ὑμῖν ὢν, πρᾶγμα τηλικοῦτόν φημι δείξειν πεπραγμένον, ἐὰν, ὅσον ἐστὶν ἐν ὑμῖν, συναγωνίσησθέ μοι, καὶ προθύμως ἀκούσητε, τοῦτό τε σώσετε, καὶ ποιήσετε μὴ κατοκνεῖν, ἄν τις καὶ ἡμῶν οἰήται δύνασθαί τι ποιῆσαι τὴν πόλιν ἀγαθόν· οἰήσεται δὲ, ἐὰν μὴ χαλεπὸν εἶναι [1]νομίσῃ τὸ παρ᾽ ὑμῖν λόγου τυχεῖν. νῦν δὲ πολλοῖς τοῦτο φοβουμένοις, λέγειν μὲν ἴσως οὐ δεινοῖς, βελτίοσι δὲ ἀνθρώποις τῶν δεινῶν, οὐδὲ σκοπεῖν ἐπέρχεται τῶν κοινῶν οὐδέν. ἔγωγ᾽ οὖν — ὀμνύω τοὺς θεοὺς ἅπαντας — ἀπώκνησ᾽ ἂν, εὖ ἴστε, καὶ αὐτὸς τὴν [2]γραφὴν ταύτην ἐπενεγκεῖν, εἰ μὴ πάνυ τῶν αἰσχρῶν ἐνόμιζον εἶναι, νῦν μὲν ἡσυχίαν ἄγειν, καὶ σιωπῆσαι, πρᾶγμ᾽ ἀλυσιτελὲς τῇ πόλει κατασκευάζοντας ὁρῶν τινὰς ἀνθρώπους· πρότερον δ᾽, ὅτ᾽ ἔπλευσα τριηραρχῶν εἰς Ἑλλήσποντον, εἰπεῖν καὶ κατηγορῆσαί τινων οὓς ἀδικεῖν ὑμᾶς ἡγούμην.

γ΄. Οὐκ ἀγνοῶ μὲν οὖν, ὅτι τὸν Χαρίδημον εὐεργέτην εἶναί τινες τῆς πόλεως οἴονται· ἐγὼ δὲ, ἄν περ ἃ βούλομαί 623
τε καὶ οἶδα πεπραγμένα ἐκείνῳ, δυνηθῶ πρὸς ὑμᾶς εἰπεῖν, [3]οἶμαι δείξειν, οὐ μόνον οὐκ εὐεργέτην, ἀλλὰ καὶ κακονούστατον ἀνθρώπων ἁπάντων, καὶ πολὺ τἀναντία, ἢ προσῆκεν, ὑπειλημμένον. εἰ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μέγιστον Ἀριστοκράτης ἠδίκει, τὸ τοιούτου, οἷον ἐγώ φημι δείξειν τὸν Χαρίδημον ὄντα, τοσαύτην πεποιῆσθαι προνοιαν ἐν τῷ ψηφίσματι, ὥστε ἰδίαν παρὰ τοὺς νόμους, ἐάν τι πάθῃ, τιμωρίαν αὐτῷ δεδωκέναι, ταῦτ᾽ ἂν ἤδη λέγειν πρὸς ὑμᾶς ἐπεχείρουν· ἵν᾽ εἰδῆτε πολλοῦ δεῖν

[1] νομίζῃ [2] γραφὴν ἀπενεγκεῖν [3] οἴομαι

ϛ΄. Τοῦτό τε σώσετε] Nempe, Chersonesum quam vobis ereptam volunt. AUGER.

Ταύτην] Restitui, et quidem ex optimis exemplaribus, Bar. Bodl. Aug. Obsop. et Vindob. cum Editt. Felic. et Manutiana. Repudio autem, quod in nonnullis ex isto numero reperitur ἀπενεγκεῖν. TAYLOR.

γ΄. Ὑπειλημμένον] Παθητικῶς, ut in Busiride Isocratis: ὅσοι σφᾶς αὐτοὺς οὕτω κατεσχημάτισαν, ὥστ᾽ ἢ κατὰ φιλοσοφίαν, ἢ κατ᾽ ἄλλην τιν᾽ ἀρετὴν ὑπολαμβάνεσθαι μειζόνως, ἢ κατὰ τὴν ἀξίαν, οὗτοι βλάπτουσι τοὺς ἐξαπατηθέντας. WOLF.

Τοιούτον] Quia sequitur [v. 25.] τοσαύτην πεποιῆσθαι πρόνοιαν, legendum genitivo, τοιούτων vel τοιούτου, vel, quod malim, ὑπὲρ τοιούτου. IDEM. Editi præter Morel. τοιοῦτον. Male quidem. τοιούτου defendunt Bodl. Cant. Lindenb. Obsop. Ital. et Vindob. Atque ita ut excuderetur feci. TAYLOR.

Ταῦτ᾽] Mallem τοῦτ᾽ propter præcedentia τοῦτο — τό. MARKLAND.

ἄξιον ὄντα τυχεῖν τοῦ ψηφίσματος αὐτὸν τουτουί· νυνὶ δὲ ἕτερον τούτου μεῖζον διὰ τοῦ ψηφίσματος ἔστ' ἀδίκημα, ὃ δεῖ πρότερον καὶ μαθεῖν ὑμᾶς καὶ φυλάξασθαι. ἀνάγκη δ' ἐστὶ πρῶτον ἁπάντων εἰπεῖν καὶ δεῖξαι, τί ποτ' ἐστὶ τὸ Χερρόνησον ὑμᾶς ἀσφαλῶς ἔχειν πεποιηκός· διὰ γὰρ τοῦ μαθεῖν τοῦτο, καὶ τὸ ἀδίκημα ὅ φημι, ὄψεσθε σαφῶς.

δ'. Ἔστι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο, τὸ τελευτήσαντος Κότυος, Βηρισάδην καὶ Ἀμάδοκον καὶ Κερσοβλέπτην, τρεῖς ἀνθ' ἑνὸς γενέσθαι Θρᾴκης βασιλέας. συμβέβηκε γὰρ ἐκ τούτου αὐτοῖς μὲν ἀντιπάλους εἶναι τούτους, ὑμᾶς δὲ ὑπέρχεσθαι καὶ θεραπεύειν. τοῦτο τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, βουλόμενοί τινες παῦσαι, καὶ καταλῦσαι μὲν τοὺς ἑτέρους βασιλέας, παραδοῦναι δ' ἑνὶ τῷ Κερσοβλέπτῃ τὴν ἀρχὴν ἅπασαν, διαπράττονται σφίσι τοῦτο γενέσθαι τὸ προβούλευμα, τῷ μὲν ἀκοῦσαι, [1] κεχωρισμένον τοῦ τί τοιοῦτο δοκεῖν διαπράξασθαι, τῷ δ' ἔργῳ, πάντων μάλιστα τοῦτο περαίνοντες, ὡς ἐγὼ διδά-
624 ξω. ἐπειδὴ γὰρ ἑνὸς τελευτήσαντος τῶν βασιλέων Βηρισάδου, παραβὰς τοὺς ὅρκους καὶ τὰς συνθήκας ἃς μεθ' ὑμῶν ἐποιήσατο, Κερσοβλέπτης ἐξέφερε πόλεμον πρός τε τοὺς Βηρισάδου παῖδας, καὶ πρὸς Ἀμάδοκον, εὔδηλον ἦν ὅτι τοῖς μὲν Βηρισάδου παισὶν Ἀθηνόδωρος [2] βοηθήσει, τῷ δ' Ἀμαδόκῳ Σίμων καὶ Βιάνωρ· ὁ μὲν γὰρ, Βηρισάδου κηδεστής, οἱ δὲ, Ἀμαδόκου γεγόνασιν. ἐσκόπουν οὖν τίν' ἂν τρόπον ἡσυχίαν μὲν ἔχειν ἀναγκασθεῖεν οὗτοι, ἐρήμων δὲ ὄντων ἐκείνων, ὁ τῷ Κερσοβλέπτῃ πράττων τὴν ἀρχὴν Χαρίδημος ἀσφαλῶς πάντα καταστρέψαιτο. εἰ πρῶτον

[1] κεχωρισμένοι τοῦ τι τοιοῦτον

[2] βοηθήσοι

δ'. Συμβέβηκε γὰρ ἐκ τούτου αὐτοῖς μὲν ἀντιπάλους εἶναι τούτους, ὑμᾶς δὲ ὑπέρχεσθαι καὶ θεραπεύειν] *Inde contigit, ut tres illi reges inter se hostes essent, vos autem ut ipsi colerent et observarent.* Id enim significat θεραπεύειν. *Ex edit.* HERVAG.

Δὲ] Ita lege, fidejussoribus Felic. Manut. et Vindob. Vulgo ὑμᾶς καὶ ὑπέρχεσθαι. TAYLOR.

Παῦσαι — παραδοῦναι — διαπράττονται] Wolfius, quem vix loci sententiam fugisse arbitror, inconsiderate tamen verborum delectum habuit, ad eam declarandam: sc. *repellere — devolvere — extorserunt.* Verte: *hoc igitur quidam dum* tollere *volunt, et reliquis regibus abrogatis, summam totius imperii ad Cersoblepten* conferre, *callide hoc SCtum* excogitarunt, etc. IDEM.

Κεχωρισμένον] Marg. Edit. Lutet. necnon Editiones Feliciana et Manutiana κεχωρισμένοι. Fortasse melius, propter id, quod sequitur, περαίνοντες. Et Wolfium nostrum quoque in quodam loco video ita rem reputasse. IDEM. Lege κεχωρισμένοι, ut περαίνοντες. MARKLAND.

Εἰ πρῶτον] Auctius hæc aliquanto le-

μὲν, ἂν τις αὐτὸν ἀποκτείνῃ, ψήφισμα ὑμέτερον γένοιτο, ἀγώγιμον εἶναι· δεύτερον δὲ, εἰ χειροτονηθείη στρατηγὸς ὑφ' ὑμῶν Χαρίδημος. οὔτε [1] γὰρ ὑμετέρῳ στρατηγῷ προχείρως ἐναντία θήσεσθαι τὰ ὅπλα ἔμελλεν ὁ Σίμων οὐδ' ὁ Βιάνωρ, πολῖται γεγενημένοι, καὶ ἄλλως ἐσπουδακότες πρὸς ὑμᾶς· ὁ δὲ δὴ γένει πολίτης Ἀθηνόδωρος οὐδὲ [2] βουλήσεσθαι, οὐδὲ τὴν διὰ τοῦ ψηφίσματος αἰτίαν ὑποδύσεσθαι, ἢ πρόδηλος ἦν ἐπ' ἐκείνους ἥξουσα, εἴ τι πάθοι Χαρίδημος. ἐκ δὲ τούτου τοῦ τρόπου, τῶν μὲν, ἐρήμων ὄντων βοηθῶν, αὐτοῖς δὲ, ἀδείας δοθείσης, ῥαδίως ἐκβαλεῖν ἐκείνους καὶ κατασχήσειν τὴν ἀρχήν. καὶ ὅτι ταῦτα οὕτως ᾤοντο, καὶ τοῦτ' ἦν τὸ κατασκεύασμα αὐτοῖς, τὰ πραχθέντα αὐτὰ κατηγορεῖ. ἅμα γὰρ τῷ πολέμῳ τ' ἐνεχείρουν αὐτοὶ, καὶ πρὸς ὑμᾶς ἧκεν Ἀριστόμαχος πρεσβευτὴς παρ' αὐτῶν, ὁ Ἀλωπεκῆθεν οὑτοσί· ὃς ἄλλα τε ἐδημηγόρει παρ' ὑμῖν, ἐπαινῶν καὶ διεξιὼν τόν τε Κερσοβλέπτην καὶ τὸν Χαρίδημον, ὡς φιλανθρώπως ἔχουσι πρὸς ὑμᾶς, 625
καὶ μόνον ἀνθρώπων ἂν ἔφη Χαρίδημον Ἀμφίπολιν [3] χαρί-

[1] γὰρ [τῷ] ὑμετέρῳ [2] βουλεύσεσθαι [3] κομίσασθαι

guntur in Codd. Parisiensibus, uti liquet ex margine Morelii: τρόπος δὲ ἦν, εἰ πρῶτον μὲν κ. τ. λ. *Ejus porro rei ea erat ratio: primum si quis* etc. ut vertit Wolfius. In sequentibus v. 3. τῷ ὑμετέρῳ στρατηγῷ cum Bar. Vindob. et Edit. Lutet. Taylor.

Αὐτὸν] Nempe, Charidemum. Auger.

Ἐσπουδακότες πρὸς ὑμᾶς] Alias dicit σπουδάζειν περί τινα, et supra περὶ τούτου ἐστί μοι πᾶσα ἡ σπουδή. Wolf. Illud ultimum est inficetum, et prorsus ἀπροσδιόνυσον, cum alia omnino sint περί τινος σπουδάζειν, *de re aliqua sollicitam curam gerere*, et περί, vel πρός τινα σπουδάζειν, *officiose erga aliquem agere, studium et obsequium profiteri.* ἐσπουδακότε περὶ ὑμᾶς habet marg. Paris. Taylor.

Βουλήσεσθαι] Hoc nihili est, et tamen vix quicquam auxilii in MStis. βουλεύσεσθαι nonnulli, alii βουλεύεσθαι et βουλεύσασθαι. Fortasse delendum posterius οὐδέ. Ἀθηνόδωρος οὐδὲ βουλήσεσθαι τὴν διὰ τοῦ ψηφίσματος αἰτίαν ὑποδύσεσθαι. In linea proxima, pro ἐκείνους, melius ἐκεῖνον, Athenodorum scilicet. Idem.

Ἐκείνους] F. ἐκεῖνον. sc. Athenodorum, de quo jam loquitur. Markland.

Ἐκ δὲ τούτου τοῦ τρόπου] Τῶν μὲν S. παίδων τοῦ Βηρισάδου ὄντων ἐρήμων βοηθῶν, οἷς ἐχόντων βοηθούς: αὐτοῖς δὲ S. τοῖς περὶ Κερσοβλέπτην ἀδείας δοθείσης, ῥαδίως ἐκβαλεῖν (S. ἑαυτοὺς) ἐκείνους, τοὺς παῖδας τοὺς τοῦ Βηρισάδου. Wolf.

Βοηθῶν] Deest ea vox in Vindob. cujus auctoritate ducor, ut eam pro glossa ejiciam. v. antepen. p. 189. dixit ἐρήμων ὄντων ἐκείνων, quod satis per se intelligitur. Taylor. Hic genitivus regitur ab ἐρήμων. Auger.

Αὐτοῖς δὲ] Hic et alibi in tota hac narratione nonnihil est difficultatis ad quos referri debeant pronomina οὗτοι, ἐκεῖνοι, αὐτοί. — αὐτοῖς refertur ad Cersobleptem et Charidemum; ἐκβαλεῖν sub. ᾤοντο, nempe decreti auctores; nec non αὐτοὺς, nempe Cersobleptem et Charidemum. Auger.

Καὶ τοῦτ' ἦν τὸ κατασκεύασμα αὐτοῖς, τὰ πραχθέντα αὐτὰ κατηγορεῖ] *Res ipsa indicat ex composito factum esse et structum quod dico.* Est enim κατασκεύασμα *fraus, commentum, molimentum subdolum, actus commentitius et falsus.* Dicitur et κατασκευασμὸς ab eodem in Oratione κατὰ Τιμοκράτους. quanquam et in bonam partem accipitur. *Ex edit.* Hervag.

Ἐπαινῶν] F. leg. ἐπαινῶν τόν τε - - - Χαρίδημον, καὶ διεξιὼν, ὡς. Auger.

Χαρίσασθαι] Lege cum Bar. Lindenbr. Aug. Ital. Vindob. Ven. et Codd. Luteti-

σασθαι τῇ πόλει δύνασθαι, καὶ παρῄνει στρατηγὸν χειροτονῆσαι. ἡτοίμαστο δ' αὐτοῖς τοῦτο τὸ προβούλευμα, καὶ προδιώκητο· ἵνα, εἰ πεισθείητε ἐκ τῶν ὑποσχέσεων, καὶ τῶν ἐλπίδων, ἃς ὑπέτεινεν ὁ Ἀριστόμαχος, εὐθὺς ἐπικυρώσειεν ὁ δῆμος, καὶ μηδὲν ἐμποδὼν εἴη. καί τοι, πῶς ἂν τεχνικώτερον, ἢ κακουργότερον [1] συμπαρεσκεύασεν ἄνθρωπος, ὅπως οἱ μὲν ἐκπεσοῦνται τῶν βασιλέων, εἷς δ', ὃν αὐτοὶ βούλονται, πᾶσαν ὑφ' ἑαυτῷ ποιήσαιτο τὴν ἀρχήν, ἢ τοὺς μὲν τοῖν δυοῖν βοηθήσαντας ἂν εἰς φόβον, καὶ συκοφαντίας εὐλάβειαν καθιστάντες· ἢν εἰκὸς προσδοκᾶν ἐκείνους ἐφ' αὐτοὺς ἐλθεῖν ἂν διὰ τοῦ ψηφίσματος τουτουὶ, εἴ τι πάθοι Χαρίδημος· τῷ δ' ἑνὶ πράττοντι τὴν ἀρχὴν, καὶ πάντα τἀναντία τοῖς ὑμῖν συμφέρουσι κατασκευάζοντι, τοσαύτην ἐξουσίαν διδόντες τοῦ ταῦτα ἀδεῶς πράττειν; οὐ τοίνυν μόνον ἐκ τούτων δῆλον ἔσθ' ὅτι τούτων ἕνεκα ἐρρήθη τὸ προβούλευμα ὧν λέγω, [2] ἀλλὰ ἐκ τοῦ ψηφίσματος αὐτοῦ μαρτυρία τις ἐστὶν εὐμεγέθης. ἂν γὰρ ἀποκτείνῃ τις Χαρίδημον γράψας, καὶ παραβὰς

[1] συμπαρεσκεύασαν ἄνθρωποι

[2] ἀλλὰ καὶ ἐκ τοῦ ψ. αὐτοῦ

anis, κομίσασθαι, quod multum præstat. Noster π. παραπρεσβ. p. 306. v. 7. Ἀφεστηκυίας Σαλαμῖνος Ἀθηναίων, καὶ θάνατον τὴν ζημίαν ψηφισαμένων, ἄν τις εἴπῃ κομίζεσθαι, *recuperare* scilicet. Vide Indicem Lysiæ. TAYLOR.

Καίτοι κ. τ. λ.] Conjunge: πῶς ἂν τεχνικώτερον ἢ κακουργότερον, ἢ καθιστάντες (τῷ καθιστάναι) τῷ δ' ἑνὶ διδόντες (τῷ διδόναι δὲ) τῷ πράττοντι (τῷ Χαριδήμῳ) ἑνὶ (τῷ Κερσοβλέπτῃ) τὴν ἀρχὴν, τοσαύτην ἐξουσίαν. WOLF. Hunc locum intellexi olim, jam intelligo multo minus. TAYLOR.

Κακουργότερον] Πανουργότερον marg. Par. Quod toties loco prioris scribitur, ut posthac non sim annotaturus. WOLF.

Συμπαρεσκεύασεν] O. fere l. s. συμπαρεσκεύασαν ἄνθρωποι, Ven. Bar. Bodl. Lindenbr. Obsop. Aug. Ital. et Paris. Omnino. συνεσκεύασαν Vindobonensis. TAYLOR. Nisi fallor, legendum est συμπαρεσκεύασαν ἄνθρωποι. Constructio enim ita ordinatur: πῶς ἂν τεχνικώτερον — συμπαρεσκεύασαν ἄνθρωποι — ἢ τοὺς μὲν — εἰς φόβον — καθιστάντες, τῷ δὲ — τοσαύτην ἐξουσίαν διδόντες — πράττειν; *At quamnam callidiorem rationem inire possent homines — quam hos quidem — in metum injiciendo; illi vero — tantam potestatem dando — agendi?* Jam si legas συμπαρεσκεύασεν ἄνθρωπος, debes quoque legere καθιστὰς et διδοὺς, non καθιστάντες et διδόντες. MARKLAND.

Ὅπως οἱ μὲν ἐκπεσοῦνται τῶν βασιλέων] Legendum βασιλειῶν. JURIN.

Βούλονται] Restitue βούλοιντο aut βούλωνται. Deinde v. cod. ὑφ' ἑαυτὸν ποιήσεται Codd. plures et præstantiores. Et eam lectionem commendo. TAYLOR.

Ἢ — καθιστάντες] Wolfius, ut apparet ex ejus interpretatione, locum non intellexit. Verte: *Quamnam callidiorem rationem inire potuissent, ut reges cæteri pellerentur, et unus, qui eis placuisset, omne occuparet imperium,* quam eos, qui duobus regibus opitulaturi essent, in metum calumniæ injiciendo? cætera. IDEM.

Τὴν ἀρχὴν, ἢ τοὺς μὲν] *Imperium, quam ut ii.* Perperam Wolfius: *imperium? aut ut ii.* JURIN.

Πράττοντι] Marg. Paris. ταράττοντι, quod Wolfio ineptum videtur, et recte quidem. Γρ. etiam πραγματευομένῳ, quod eidem ferri posse, mihi quidem glossa sive scholion esse, videtur. TAYLOR.

Ἀλλὰ] Ἀλλὰ καὶ ἐκ τοῦ ψ. Ita lege

τὸ, τί πράττοντα, εἰπεῖν, πότερ' ἡμῖν συμφέροντα, ἢ οὔ, γέγραφεν εὐθὺς ἀγώγιμον ἐκ τῶν συμμάχων [1] εἶναι. οὐκοῦν τῶν μὲν ἐχθρῶν ὁμοίως ἡμῖν τε κἀκείνῳ, οὐδέποτ' εἰς τοὺς ἡμετέρους ἥξει συμμάχους οὐδεὶς, οὔτ' ἀποκτείνας ἐκεῖνον, οὔτε μή. ὥστ' οὐ κατὰ τούτων γέγραφε ταύτην τὴν τιμωρίαν. τῶν δὲ ἡμετέρων μὲν φίλων, ἐκείνου 626
δ', ὅταν ἐγχειρῇ τι πράττειν ἐναντίον [2] ὑμῖν, ἐχθρῶν, τούτων ἄν τις εἴη, ὁ τοῦτο τὸ ψήφισμα φοβηθεὶς, καὶ [3] φυλαξάμενος μὴ δι' ἀνάγκην [2] ὑμῖν εἰς ἔχθραν ἐλθεῖν. ἔστι τοίνυν οὗτος, Ἀθηνόδωρος, Σίμων, Βιάνωρ, οἱ Θράκης βασιλεῖς, ἄλλος, ὅς τις [4] ἂν εὐεργεσίας μέρος καταθέσθαι βούλοιτο, τὸ πράττειν ὑπεναντία ἐκεῖνον ἐγχειροῦνθ' ὑμῖν ἐπισχεῖν.

ε. Ὧν μὲν τοίνυν ἕνεκ' ἐρρήθη τὸ προβούλευμα, ἵνα κυρώσειεν ὁ δῆμος ἐξαπατηθεὶς, καὶ δι' ἃ τὴν γραφὴν ἐποιησάμεθα ἡμεῖς [5] ταύτην, βουλόμενοι κωλῦσαι, ταῦτ' ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι. δίκαιον δ' ἐστὶν ἴσως, ἐμὲ [6] ὑπεσχημένον τρία ἐπιδείξειν, ἓν μὲν, ὡς παρὰ τοὺς νόμους τὸ ψήφισμα εἴρηται· δεύτερον δὲ, ὡς ἀσύμφορόν ἐστι τῇ πόλει· τρίτον δὲ, ὡς ἀνάξιός [7] ἐστι τυχεῖν τούτων [8] ὧν γέγραπται· ἁπάντων τούτων αἵρεσιν ὑμῖν δοῦναι τοῖς ἀκουσο-

[1] εἶναι; [2] ἡμῖν [3] * φυλαξάμενος [4] ἂν εἰς εὐεργεσίας [5] ταυτηνὶ [6] ὑπεσχημένον ὑμῖν τρία [7] [ἐστι] [8] ὧ

cum Bar. Vindob. et Edit. Felic. Idem.

Οἱ Θρᾴκης βασιλεῖς] Ὁ Ἀμάδοκος καὶ οἱ τοῦ Βηρισάδου παῖδες. Wolf.

Εὐεργεσίας μέρος] Ferri utcunque possunt hæc: ὅστις ἂν βούλοιτο καταθέσθαι μέρος εὐεργεσίας, τὸ τί; ἐπισχεῖν ἐκεῖνον ἐγχειροῦντα πράττειν ὑπεναντία ὑμῖν. Sed quid si, ὅστις ἐν εὐεργεσίας μέρει? Καταθέσθαι μέρος εὐεργεσίας videtur insolentius, ἀντὶ τοῦ, εὐεργεσίαν καταθέσθαι. Wolf. Ἐν μέρει εὐεργεσίας τίθεσθαι, quod malit homo noster, aliud est omnino. Ἀλλὰ τόδε ἐθαύμασα, εἰ ἐν ἀρετῆς τιθῇς μέρει τὴν ἀδικίαν, dixit Plato de Rep. l. 1. *Id miratus sum, si injuriam in loco virtutis* (inter virtutes) *poneres.* Noster hac ipsa in Orat. §. λζ'. ὅσα μὲν δὴ στρατιώτης ὢν — ἐναντία ἐστρατεύεται τῇ πόλει, οὐ τίθημι ἐν ἀδικήματος μέρει, *non inter injurias numero*, ut recte Wolfius. Iterum c. Midiam §. μς'. οὗ δίκην ὀφείλει τῇ πόλει δοῦναι, τοῦτ' ἐν εὐεργεσίας ἀριθμήσει μέρει, *in beneficii loco numerabit.* Porro noster §. ιά. *med.* τοὺς ἐχθρὰ ποιοῦντας ἐν ἐχθροῦ μέρει κολάζειν ἀπέδωκεν. Et §. ιβ'. *fin.* τὸν ἄγοντα ἢ φέροντα βίᾳ τἀμὰ ἐν πολεμίου μοίρᾳ. Simillima est illa locutio infra §. κγ'. ἐν δωρεᾶς ἐποιήσαντο τάξει, τὸ τούτων μεταδοῦναί τινι. Verum hæc omnia quam aliena a sensu hujus loci, ubi significatur: *quicunque de vobis bene mereri studet.* Et cum εὐεργεσίαν κατατίθεσθαι, *beneficium collocare*, eleganter et summa cum proprietate dicitur, cur non etiam μέρος εὐεργεσίας, *one instance?* Ald. Ven. Bar. Vind. ἄλλος ὅστις ἂν εἰς εὐεργεσίας μέρος καταθέσθαι βούλοιτο. Proxime v. 12. istud τὸ πράττειν, etc. quod necessarium est, reduxi ex Editt. Fel. Manut. et Morel. MSS. item Bar. Ital. et Vind. Taylor.

ε. Ὧν γέγραπται] Forte cum optimis exemplaribus Aug. et Vindob. ὦ γέγραπται. Nam *persona* Charidemi hoc in loco videtur desiderari. Totum hoc comma laudat Hermog. περ. εὐκρινείας, ubi ita legit, meamque conjecturam confirmat: τρίτον δὲ, ὡς ἀνάξιός ἐστι Χαρίδημος τούτου τυχεῖν, ὅ,τι βούλεσθε τοῦτο πρῶτον διδάσκειν ὑμᾶς. Alibi autem, sc. de Invent.

μένοις, τί πρῶτον, ἢ τί δεύτερον, ἢ τί τελευταῖον βουλομένοις ὑμῖν ἐστὶν ἀκούειν. ὅ,τι δὴ βούλεσθε, ὁρᾶτε, ἵνα τοῦτο λέγω πρῶτον ὑμῖν. περὶ τοῦ παρανόμου βούλεσθε πρῶτον; τοῦτο τοίνυν ἐροῦμεν. ἃ δὴ δέομαί τε καὶ ἀξιῶ παρὰ πάντων [1]ἐμὲ τυχεῖν, δίκαι', ὡς ἐμαυτὸν πείθω, μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ διεψεῦσθαι τοῦ Χαριδήμου, καὶ νομίζειν εὐεργέτην εἶναι, φιλονεικῶν, δυσχερέστερον τοὺς περὶ τῶν νόμων λόγους ἡμῶν ἀκούσῃ· μηδ' ἀποστερήσῃ διὰ τοῦτο, μήθ' [2]αὐτὸν τοῦ θέσθαι τὴν ψῆφον εὔορκον, μήτε ἐμὲ τοῦ διδάξαι περὶ πάντων ὑμᾶς ὡς βούλομαι· ἀλλὰ ποιησάσθω τὴν ἀκρόασιν ὧδε, [3]καὶ
627 σκοπείσθω, ὡς δίκαια ἃ ἐρῶ. ὅταν μὲν λέγω περὶ τῶν νόμων, [4]ἀφελὼν τὸ, ὅτῳ τὸ ψήφισμα, καὶ ποίῳ τινὶ, σκοπεῖν, περὶ τοῦ, πότερον παρὰ τοὺς νόμους, ἢ κατὰ τοὺς νόμους εἴρηται, σκοπείσθω, καὶ μηδὲν ἄλλο. ὅταν δ' ἐλέγχω τὰ πεπραγμένα, καὶ διεξίω τὸν τρόπον, ὃν πεφενάκισθε ὑπ' αὐτοῦ, τὰς πράξεις σκοπείσθω, πότερον γεγονυίας, ἢ ψευδεῖς ἐρῶ. ὅταν δ' ἐξετάζω περὶ τοῦ συμφέρειν, ἢ μὴ, τῇ πόλει ταῦτα ψηφίσασθαι, πάντα τἄλλα ἀφεὶς, τοὺς λογισμοὺς ὁράτω τοὺς περὶ τούτων, πότερα ὀρθῶς ἔχοντας ποιοῦμαι, ἢ οὔ. ἐὰν γὰρ τοῦτον ἔχοντες τὸν τρόπον ἀκροᾶσθέ μου, αὐτοί τε ἄριστα ἃ προσήκει συνήσετε, χωρὶς ἕκαστον σκοποῦντες, καὶ οὐχ ἅμα πάντα ἀθρόα ἐξετάζοντες, κἀγὼ ῥᾷστα ἃ βούλομαι δυνήσομαι διδάξαι. ἔσονται δὲ βραχεῖς περὶ πάντων οἱ λόγοι.

[1] ὑμῶν [2] ἑαυτὸν [3] (καὶ * σκοπεῖσθε --- ἐρῶ.) ὅταν μὲν γὰρ λέγω [4] ἀφελὼν ὅτῳ τὸ ψ. εἴρηται, καὶ

Tom. III. §. 2. legit cum vulgatis. IDEM. τούτων ᾧ sub. οὗτος. AUGER.

Βουλομένοις ὑμῖν ἐστὶν ἀκούειν] "Satis tritus Græcismus. Schol. ad Thucyd. IV. 85. dicit esse σύνταξιν Θουκυδίδειαν. — Præter alios de hac forma inspici merentur Cl. Marklandus ad Max. Tyr. XIII. 5. Forsterus ad Platonem in Participium." D'Orville ad Charit. Aphrod. Lib. V. cap. II. p. 439.

Ἐμὲ] Lege ὑμῶν. παρὰ πάντων ὑμῶν τυχεῖν. Hoc necessarium est. Debes MSS. Bar. Bodl. Obsop. Vind. et Editt. Felic. et Manut. TAYLOR.

Τῷ διεψεῦσθαι] Διὰ τὸ διεψεῦσθαι. WOLF.

Ἀφελὼν κ. τ. λ.] Ἀφελὼν τὸ σκοπεῖν ὅτῳ (τινὶ) τὸ ψήφισμα (Sub. ἐγράφη) σκοπείσθω περὶ τοῦ πότερον etc. Obsop. καὶ ποίῳ τινὶ, σκοπείσθω, πότερον παρὰ τοὺς νόμους, et, ἕκαστα σκοποῦντες [v. antepen.] IDEM.

Ὅτῳ τὸ ψήφισμα] Libri plerique una voce auctiores, ὅτῳ τὸ ψήφισμα εἴρηται, Ald. Ven. Bar. Felic. Manut. Ital. Vind. et marg. Benenat. In nonnullis totus hic locus ita legitur: ἀφελὼν τὸ, ὅτῳ τὸ ψήφισμα εἴρηται, καὶ ποίῳ τινὶ, σκοπείσθω περὶ τοῦ πότερον παρὰ τοὺς νόμους ἢ κατ' αὐτοὺς εἴρηται, καὶ μηδὲν ἄλλο. TAYLOR.

Ἃ προσήκει] *Quæ deceant*, Wolfius. Potius: *quæ convenit*. JURIN.

ς'. Λάβε δὴ τοὺς νόμους αὐτοὺς, καὶ λέγε, ἵν' ἐξ αὐτῶν ἐπιδεικνύω τούτων τὸ παράνομον.

ΕΚ ΤΩΝ ΦΟΝΙΚΩΝ ΝΟΜΩΝ ΤΩΝ ΕΞ ΑΡΕΙΟΥ ΠΑΓΟΥ ΝΟΜΟΣ.

Δικάζειν δὲ τὴν βουλὴν, τὴν ἐν Ἀρείῳ πάγῳ, φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς.

ἐπίσχες. ἠκούσατε μὲν τοῦ τε νόμου, καὶ τοῦ ψηφίσματος, ὦ ἄνδρες Ἀθηναῖοι. ὡς δ' [1]ἂν μοὶ δοκῆτε τοὺς περὶ τοῦ παρανόμου λόγους αὐτοὺς ῥᾷστα μαθεῖν, τοῦθ' ὑμῖν φράσω· εἰ σκέψαισθ' ἐν τίνι τάξει [2]ποτ' ἐστὶν, ὑπὲρ οὗ τὸ ψήφισμα εἴρηται, πότερα ξένος, ἢ μέτοικος, ἢ πολίτης ἐστίν. εἰ μὲν δὴ μέτοικον φήσομεν, οὐκ ἐροῦμεν ἀληθῆ· εἰ δ' αὖ 628
ξένον, οὐχὶ δίκαια ποιήσομεν· τὴν γὰρ τοῦ δήμου δωρεὰν, ἐν ᾗ πολίτης γέγονε, κυρίαν αὐτῷ δίκαιόν ἐστιν εἶναι. ὡς ὑπὲρ πολίτου τοίνυν, ὡς ἔοικε, ποιητέον τοὺς λόγους. θεάσασθε δὴ, πρὸς Διὸς, ὡς ἁπλῶς καὶ δικαίως χρήσομαι τῷ λόγῳ· ὃς εἰς μὲν ταύτην τίθεμαι τὴν τάξιν αὐτὸν, ἐν ᾗ πλείστης ἂν τυγχάνοι τιμῆς. ἃ δ' οὐδ' ἡμῖν τοῖς γένει πολίταις ἐστὶν, οὐδ' ἐκείνῳ δεῖν [3]οἶμαι γενέσθαι παρὰ τοὺς νόμους. τί' οὖν ἐστὶ ταῦτα; ἃ νυνὶ γέγραφεν οὑτοσί. γέγραπται γὰρ ἐν μὲν τῷ νόμῳ, τὴν βουλὴν δικάζειν φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς. καὶ [4]προσειπὼν ὁ θεὶς τὸν νόμον, ἐὰν ἀποκτείνῃ, κρίσιν [5]πεποίηκεν, ὅμως οὐ πρότερον τί χρὴ πάσχειν τὸν δεδρακότα εἴρηκε· καλῶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' ὑπὲρ

[1] ἄν μοι δοκεῖτε [2] ποτ' [3] οἴομαι [4] προειπὼν [5] *πεποιηκὼς, οὐ

ς'. ΕΚ ΤΩΝ] Hic duo sunt tituli; nempe, titulus generalis ΕΚ - - - ΠΑΓΟΥ, et titulus specialis, nempe ΝΟΜΟΣ. AUGER.

Ἐπίσχες] Videtur deesse: παρανάγνωθι δὲ καὶ τὸ ψήφισμα. ΨΗΦΙΣΜΑ. ἠκούσατε μὲν κ. τ. λ. WOLF. Inconsulto hoc omne. Antequam enim Orator verba facere incepit, Scriba totam γεραφὴν, actionem, causæ summam publice recitaverat. In ea autem continebatur plebiscitum, quod jam παρανόμων γεράφεται. Æschin. c. Timarch. initio. εἰδὼς δὲ αὐτὸν ἔνοχον ὄντα, οἷς ὀλίγῳ πρότερον ἠκούσατε ἀναγινώσκοντος τοῦ γραμματέως. Vide Ulpian. ad hanc Aristocrateam, v. ὑπεσχημένον. Nihil ergo deest. TAYLOR.

Ὡς] F. ᾧ, cui respondet τοῦτο. MARKLAND.

Μὲν] F. ἐν τῷ νόμῳ sine μέν. IDEM.

Προσειπὼν] MSti Bar. Aug. Vindob. præstantiores nempe, προειπών. Ambigo tamen. Infra, §. ζ'. *ante med.* τὸν ἀνδροφόνον προσειπὼν, nullo cum discrimine legendi. Vid. §. ζ'. *fin.* TAYLOR. L. δούς· καὶ προειπὼν - - - - - πεποίηκεν, οὐδὲ πρότ. AUGER.

εὐσεβείας ὅλης τῆς πόλεως προϊδών. πῶς; οὐκ ἔνεστιν ἅπαντας ἡμᾶς εἰδέναι, τίς ποτ' ἐστὶν ὁ ἀνδροφόνος. τὸ μὲν δὴ τὰ τοιαῦτα ἄνευ κρίσεως πιστεύειν, ἄν τις ἐπαιτιάσηται, δεινὸν ἡγεῖτο· δεῖν δ' ὑπελάμβανεν, ἐπειδή περ ἡμεῖς τιμωρήσομεν τῷ πεπονθότι, πεισθῆναι, καὶ μαθεῖν [1]ὑμᾶς διδασκομένους ὡς δέδρακε. τηνικαῦτα γὰρ εὐσεβὲς ἤδη κολάζειν εἰδόσιν εἶναι· πρότερον δ' οὔ. καὶ ἔτι πρὸς τούτῳ διελογίζετο, ὅτι πάντα τὰ τοιαῦτα ὀνόματα, [2]οἷον, ἐάν τις ἱεροσυλήσῃ, ἐάν τις προδῷ, καὶ τὰ τοιαῦτα πάντα, πρὸ τοῦ μὲν τὴν κρίσιν γενέσθαι, αἰτιῶν ὀνόματά ἐστιν· [3]ἐπειδὴ δὲ κριθείς τις ἐξελεγχθῇ, τηνικαῦ-
629 τα ἀδικήματα γίγνεται. οὐ δὴ δεῖν ᾤετο τῷ τῆς αἰτίας ὀνόματι τιμωρίαν προσγράφειν, ἀλλὰ κρίσιν. καὶ διὰ ταῦτα, ἄν τις ἀποκτείνῃ τινά, τὴν βουλὴν δικάζειν ἔγραψε, καὶ οὐχ ἅπερ, ἂν ἁλῷ, [4]παθεῖν εἶπεν. ὁ μὲν δὴ τὸν νόμον τιθεὶς, οὕτως· ὁ δὲ τὸ ψήφισμα γράφων πῶς; ἐάν τις ἀποκτείνῃ, φησὶ, Χαρίδημον, τὴν μὲν δὴ προσηγορίαν τοῦ πάθους, τὴν αὐτὴν ἐποιήσατο, ἄν τις ἀποκτείνῃ γράψας, ἥνπερ ὁ τὸν νόμον τιθεὶς· μετὰ ταῦτα δὲ, οὐκ ἔτι ταὐτὰ, ἀλλ' ἀνελὼν τὸ δίκην ὑπέχειν, ἀγώγιμον εὐθὺς ἐποίησε, καὶ παραβὰς τὸ διωρισμένον ἐκ τοῦ νόμου δικαστήριον, ἄκριτον τοῖς ἐπαιτιασαμένοις παρέδωκεν, ὅ,τι ἂν βούλωνται, χρῆσθαι, τὸν οὐδ' εἰ πεποιηκέ πω φανερόν. καὶ λαβοῦσιν ἐκείνοις, ἐξέσται στρεβλοῦν, αἰκίσασθαι, χρήματα πράξασθαι· καί τοι ταῦτα πάντα ἀπείρηκεν ἄντικρυς καὶ σαφῶς ὁ κάτωθεν νόμος,

[1] ἡμᾶς [2] οἷον· ἐάν τις ἀποκτείνῃ, ἐάν τις ἱερ. [3] ἐπειδὰν [4] παθεῖν χρὴ, εἶπεν

Ὑμᾶς] F. ἡμᾶς. MARKLAND.

Οἷον κ. τ. λ.] Οἷον, ἐὰν τις ἀποκτείνῃ, ἐάν τις ἱεροσυλήσῃ κ. τ. λ. o. fere l. s. Ven. Bar. Ital. Bodl. Obsop. Vindob. Editi etiam, Fel. Manut. et Benenat. additis verbis, ut ait Obsop. haud dubie non male, aut otiosis. TAYLOR.

Παθεῖν] Καὶ οὐκ εἶπε ἅπερ παθεῖν (Sub. δεῖ) ἂν ἁλῷ. WOLF. καὶ οὐχ ἅπερ, ἂν ἁλῷ, παθεῖν χρὴ, εἶπεν. Bar. ut infra, §. ζ'. *ante med.* ἐν δὲ τούτῳ τὸν ἀνδροφόνον προσειπὼν, ἃ χρὴ πάσχειν εἴρηκεν. TAYLOR.

Ὁ κάτωθεν νόμος] De hac locutione multa, tum Veteres, tum Recentiores. Didymus in σχ. de perditis ad Demosthenem, (ut liquet ex Harpocrat. in voce Ὁ κάτωθεν νόμος, Suid. et Photio MS.) Pollux, L. VIII. C. X. §. 128. Meurs. Attic. Lect. I. 22. Petit. LL. Attic. pag. 104. Salmas. de M. U. p. 758. seq. Herald. Animadv. p. 298. *Una* est Sententia Didymo et Polluci communis, quam primam refellam. Cum Tabulæ, in quibus Leges erant descriptæ, ab Acropoli, quæ urbis erat locus editissimus, in Forum erant translatæ, (id intelligo de Legum exemplari facto) eam rem agente potissimum Ephialte quodam, ut populo publice prostarent, ibi dici incipiebat ὁ κάτωθεν νόμος, relatione scil. habita ad exemplar, quod erat in Foro asservatum. Sit ita, quando isthoc velis: factum fuisse non

μηδὲ τοὺς ἑαλωκότας καὶ δεδογμένους ἀνδροφόνους ἐξεῖναι ποιεῖν.

nego. Hoc tamen non unam legem ab alia distinguit, cum omnes similiter in Forum sint translatæ, aut omnes potius similiter in tabulis ibi descriptæ. Unde enim, aut qua constantia hæc Lex *inferior* nominari possit, potius, quam illa, quæ modo præcesserat, aut ea, quæ mox subsecutura est? Dicitur *secundo*, per has voces intelligendam esse Heliæam, Curiam, ut videtur, in loco depresso sitam, διὰ τὸ τῶν δικαστηρίων τὰ μὲν ἄνω, τὰ δὲ κάτω ὀνομάζεσθαι. Profecto id non novi, neque arbitror esse verum. Solus Areopagus quidem, utpote in altissimo colle situs, ἡ ἄνω βουλὴ dicebatur, ut ex Plutarcho et Heliodoro ostendit Meurs. in Areopag. C. 1. extrem. [εἰς Ἄρειον πάγον ἀναβεβηκέναι. Lys. ed. Lond. p. 175. ἡ ἄνω et ἡ κάτω βουλή. Plutarch. in Solone. TAYLOR in schedis.] Veruntamen si Curiæ Atticæ omnes in τὰς ἄνω hæ, illæ in τὰς κάτω distribuerentur, infeliciter sane elegisti Heliæam, quam inter inferiores numeres. Si Etymologiæ Magistrorum quidquam habeant momenti, in convalli aut loco depressiore esse non potuit. Immo erat in loco sublimiori, idque expresse ait Antipho: Φιλοκράτης οὗτοσὶ ἀναβὰς εἰς τὴν ἡλιακὴν (corrige ἡλιαίαν) et deinde, ἀναβὰς ἐγὼ εἰς τὸ δικαστήριον τοῖς αὐτοῖς δικασταῖς ἔλεξα. Edit. Steph. 143. 39. Verum his omissis, responderi potuit simpliciter, hic non de Curia agi, sed de Lege. Dicitur *tertio*, quod ex forma Legum exarandarum, quæ βουστροφηδὸν erat, τὸν ἀπὸ τῶν εὐωνύμων ἀρχόμενον νόμον Demosthenes vocaret τὸν κάτωθεν νόμον. Quæ quidem non verba sunt, sed portenta. Nam in eo scribendi ritu, qui versationem boum imitari dicitur, omnino a sinistra parte dextrorsum scribere cœperunt, uti nos hodie scribimus: qua linea exarata, sive sulco finito, necesse erat, ut, more boum in arando servato, sequentem versum, τὸν κάτωθεν, a *dextra* parte inchoantes *versus sinistram* ducerent, ut in hoc exemplo:

ΔΗΜΟΣΘΕΝΗΣ ΔΗΜΟΣΘΕΝΟΥΣ
ΠΑΝΑΙΝΕΙΣΕΙ ΤΑΥ ΕΙΠΕΙΝ.

Sed videamus tamen, quantum prosit hoc commentum. In ea scriptura lineam lineæ subjiciebant, et perpetuo isto tenore leges ita exarari potuisse non nego. Una ergo eademque Lex partim ἄνωθεν, partim κάτωθεν erat descripta: a sinistra sc. dextrorsum, quantum nempe pateret Tabula, deinde sinistrorsum a dextra. Nam isto ritu non Legem Legi, sed Lineam Lineæ supponebant: et proinde nulla Lex κάτωθεν nominari poterat, aut omnes similiter ita nominari debuerunt. *Quarta* est eorum sententia, qui contendunt, cum Leges in Axibus ordine et seriatim essent descriptæ, dici τὸν κάτωθεν νόμον eam, quæ in inferiori parte Tabulæ contineretur. Quæ sane præstaret, ni paulo meliorem adduceremus. Provocat Demosthenes non ad Tabulas, Axonasve, verum ad exemplar earum legum, quas exinde describi fecerat, ut, quotiescunque usus venisset, a Scriba ex eo periculo recitari potuissent. Atque hoc solenniter dicebatur παραγράφειν. Noster c. Androt. §. ιά. περὶ μὲν τῶν νόμων, οὓς παρεγραψάμεθα. Et c. Aristocr. §. ί. Ὁ μὲν νόμος ἐστὶν οὗτος δρᾶκοντος, καὶ οἱ ἄλλοι, ὅσους ἐκ τῶν φονικῶν νόμων παρεγραψάμην. Et §. ιδ'. Οὐ τοίνυν μόνον τούτους τοὺς νόμους παραβέβηκεν, ἀλλὰ καὶ ἄλλους πολλοὺς, οὓς οὐ παραγεγράμμεθα διὰ τὸ πλῆθος. Adde §. νζ'. Neque hæc dico, quasi credam, παραγράφειν simpliciter esse *describere*, cum novi aliud esse, et proprie dici pro eo, quod ICti Romani nominant, *exceptione uti*. Descripsit ergo Rhetor noster ex Tabulis publicis Leges hasce *exceptorias*, quas Aristocrateæ rogationi opponeret. Descripsisse saltem constat: et multa sunt in hac oratione, quæ meam sententiam adjuvant. Ita ad Scribam se accommodans sæpius ait: λέγε τὸν μετὰ ταῦτα νόμον — τὸν ἐφεξῆς νόμον — λέγε τοὺς ἐφεξῆς νόμους. Vid. §. ζ'. fin. κθ'. et κγ'. Præsertim §. κά. dubius, utrum in periculo suo adhuc restaret Lex, quam Scriba non recitarat, ait: ἆρά τις ἡμῖν ἔτι λοιπός ἐστι νόμος; Potissimum vero omnium §. κγ'. qui locus primum hodie a me est complanatus: λέγε τὸν μετὰ ταῦτα νόμον, ἢ οὗτοι πάντες εἰσίν; *Recita et sequentem legem, vel anne omnes jam sint recitatæ?* Id est, *recita sequentem legem, si qua superfuerit recitanda earum, quas descripsimus.* TAYLOR.

Ὁ κάτωθεν νόμος] *Lex inferior*, i. e. lex quæ proxime subsequitur eam quæ modo lecta fuit. AUGER.

Δεδογμένους] Nonnulli Codd. habent δεδειγμένους, Bodl. Obsop. Ital. Lindenb. cum Editt. Felician. et Manut. eamque lectionem suffragio suo tuetur Lambinus. Cui auscultabo parum. Δοκεῖν est verbum forense, et significat *reum peragi, judicio cadere*, et similia. Conjunguntur sæpissime ἁλῶναι et δοκεῖν, tanquam paria. Ita Auctor noster §. ιζ'. ἂν δ' ἁλῷ καὶ δοκῇ τοῦργον εἰργάσθαι. Et §. ιέ. *post med.* Ἐὰν δόξῃ (ὁ διώκων) τὰ δίκαια ἐγκαλεῖν,

ζ'. Λέγε δ' αὐτοῖς αὐτὸν τὸν νόμον τὸν μετὰ ταῦτα.

ΝΟΜΟΣ.

Τοὺς δ' ἀνδροφόνους ἐξεῖναι ἀποκτείνειν ἐν τῇ ἡμεδαπῇ καὶ ἀπάγειν, ὡς ἐν τῷ Ἄξονι ἀγορεύει· λυμαίνεσθαι δὲ μὴ, μηδὲ ἀποινᾶν, ἢ διπλοῦν ὀφείλειν ὅσον ἂν καταβλάψῃ· εἰσφέρειν δὲ τοὺς ἄρχοντας ὧν ἕκαστοι δικασταί εἰσι τῷ βουλομένῳ, τὴν δ' Ἡλιαίαν διαγινώσκειν.

καὶ ἕλῃ τὸν δεδρακότα. Hanc rem, uti spero, expedivi ad Lysiam pag. 136. not. 6. TAYLOR.

ζ'. ΝΟΜΟΣ] In hac Lege multa Salmasium torquent, quorum quæ potiora sunt et graviora hic delibabo. Primo: Quod nihil alienum magis a mente Demosthenis proferri potuit ea Lege, quæ juberet aliquem privata auctoritate interfici, cum eam ipsam crudelitatem in Aristocratea suasione toties exagitet iste Rhetor. Secundo: Quod Lex τοῦ ἀποκτείνειν licentiam concedat, ea, quæ minora sunt, *vexare, excruciare, pecuniam extorquere*, improbet. Tertio: Quod ea locutione ἀποκτείνειν καὶ ἀπάγειν jubeat abduci, qui jam morte multatus sit. Quarto: Quod in Lege a Dracone lata (tulit enim, ut liquet ex 636. II.) Axonum mentio facta sit, quos a Solone primo adhiberi notum est. Quinto: Quod de legitimo supplicio, neque in monumentis, neque in auctoribus, τὸ ἀποκτείνειν dictum reperiatur, sed θανάτῳ ζημιῶσαι. Alia multa, quæ prolixe de his rebus disserit in tractatu toties a me laudato. Quorum plurima, quæ præ festinatione et nimio capitis fervore ab homine excederunt, ab iis redarguuntur, qui operam isti rei impenderunt. Legis interea mentem pulcre exponit Heraldus, cujus verbis jam utor: "Lex Attica exsulem cædis causa, intra fines deprehensum, occidere permittebat, aut ad Magistratum deducere: non quod occidi eum vellet, si posset prehendi et in jus duci, sed ut eum a suis finibus omnino absterreret: item si forte resisteret, et vim opponeret, sciret licere contumaciam suam præsenti morte multare." Non jus certum ea Lege sanciri credidit, aut voluisse Legislatorem, ut ad tantam severitatem unquam procederetur, verum, ut in jure antiquo multa hujusmodi inveniuntur, comminanti similem multa permittere, quorum atrocitatem nunquam expromi speraret. Et ut in ea mente essem, suadent verba Platonis ab eodem adducta: Ἐὰν δέ τις ἐπιβῇ τούτων τῆς τοῦ φονευθέντος χώρας, ὁ προστυχὼν πρῶτος τῶν οἰκείων τοῦ ἀποθανόντος, ἢ καὶ τῶν πολιτῶν, ἀνατεὶ κτεινέτω, ἢ δήσας τοῖς ἄρχουσι τῶν τὴν δίκην κρινάντων, κτεῖναι παραδότω. Verba itaque ἀποκτείνειν καὶ, quæ Salmasius tollit, non videntur expungi debere. Ita in Lege de Furibus nocturnis, quæ producitur a Demosthene c. Timocratem, p. 736. 1. ed. Reisk. εἰ δέ τις νύκτωρ ὁ,τιοῦν κλέπτοι, τοῦτον ἐξεῖναι καὶ ἀποκτεῖναι, καὶ πρᾶσαι διώκοντα, καὶ ἀπαγαγεῖν τοῖς ἕνδεκα. TAYLOR.

Ὡς ἐν τῷ Ἄξονι ἀγορεύει] Sub. ὁ νόμος. WOLF. Nempe lex vel legislator. AUGER.

Ἀγορεύει] Ἀπαγορεύει Cod. Reg. α. διαγορεύει mavult Wolfius. Salmasius interea in libro laudato pag. 768. ὡς ἐν τῷ ἄξονι ἠγόρευται, refingit, idque ex Demosthenis interpretatione liquere ait, qua id exposuit, ὡς εἴρηται, p. 630. 12. Iterum vide Heraldum recepta tuentem, L. IV. C. V. §. 7. — 9. TAYLOR. Lege ἀγορεύεται, ut in proxima pagina εἴρηται. JURIN.

Ἢ διπλοῦν] Διπλοῦν τῶν εἰσπεπραγμένων χρημάτων. WOLF.

Εἰσφέρειν δὲ τοὺς ἄρχοντας] Ἀντὶ τοῦ, εἰσάγειν τὸν βουλόμενον. WOLF. Εἰσφέρειν perinde valere judico, ac si dixisset εἰσάγειν, neque causam subesse arbitror, quare Wolfio ausculteemus, qui in quodam loco hanc vocem pro illa substituit. Ad elucidandum ritum, de quo hic tractatur, video verba illa Ulpiani ad Midianam non longe ab initio esse perutilia: Μετὰ τὸ ἀποκληρωθῆναι τὸ δικαστήριον, ἐδίδοντο τοῖς θεσμοθέταις αἱ γραφαί. κἀκεῖνοι ἠρώτων λοιπὸν, βούλει κατηγορεῖν, ἢ μάρτυρας ἔχεις εἰς τὰς ἀποδείξεις ἑτοίμους; καὶ εἰ συνέφησεν, οὕτως ἤδη λοιπὸν εἰσήγετο — ἄρχοντες δὲ ἦσαν οἱ ἐν ἑκάστῳ δικαστηρίῳ τὰς κρίσεις εἰσάγοντες. Ita Rex, sive Archontum secundus, cædis actiones εἰσάγει, *committit*, Poll. L. VIII. C. IX. §. 90. Polemarchus, actiones hæreditatum, Idem ib. §. 91. Nautodicæ, τῆς ξενίας, Idem §. 126. Vide Suid. v. Ἡγεμονία δικαστηρίου, et quæ diximus ad Lysiam, pag. 559. Not. 9. TAYLOR. Sub. τὴν δίκην, *dare actionem*. AUGER.

Ὧν ἕκαστοι δικασταί εἰσι] Πρὸς τοὺς δικαστὰς ἑκάστων ἐγκλημάτων. Sic ego conjicio. Si erro, minus mihi succensebit is,

ἠκούσατε μὲν τοῦ νόμου· σκέψασθε δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρήσατε, ὡς καλῶς καὶ σφόδρα εὐσεβῶς ἔθηκεν ὁ τιθεὶς τὸν νόμον. τοὺς ἀνδροφόνους φησί. πρῶτον μὲν δὴ τοῦτον ἀνδροφόνον λέγει, τὸν ἑαλωκότα ἤδη τῇ ψήφῳ. οὐ γὰρ ἔστ' οὐδεὶς ὑπὸ ταύτῃ τῇ προσηγορίᾳ, πρὶν ἂν ἐξε- 630
λεγχθεὶς ἁλῷ. ποῦ τοῦτο δηλοῖ; ἔν τε τῷ προτέρῳ νόμῳ καὶ ἐν τούτῳ. ἐν μὲν γὰρ ἐκείνῳ γράψας, ἐάν τις ἀποκτείνῃ, τὴν βουλὴν δικάζειν εἶπεν· ἐν δὲ τούτῳ τὸν ἀνδροφόνον προσειπὼν, ἃ χρὴ πάσχειν εἴρηκεν. οὗ μὲν γὰρ ἦν [1] ἡ αἰτία τὸ πρᾶγμα, τὴν κρίσιν εἴρηκεν· οὗ δ' ὁ ἁλοὺς ἔνοχος τῷ προσρήματι τούτῳ καθέστηκε, τὴν τιμωρίαν ἔγραψε. περὶ μὲν δὴ τῶν ἑαλωκότων ἂν λέγοι. λέγει δὲ τί; ἐξεῖναι ἀποκτείνειν καὶ ἀπάγειν. ἆρ' ὡς αὐτὸν, ἢ ὡς ἂν βούληταί τις; πολλοῦ γε καὶ δεῖ. ἀλλὰ πῶς; ὡς ἐν τῷ Ἄξονι εἴρηταί φησι. τοῦτο δ' ἔστι τί; ὃ πάντες ἐπίστασθ' ὑμεῖς. οἱ θεσμοθέται τοὺς ἐπὶ φόνῳ φεύγοντας κύριοι θανάτῳ ζημιῶσαί εἰσι, καὶ τὸν ἐκ τῆς ἐκκλησίας πέρυσι πάντες ἑωράτε ὑπ' ἐκείνων ἀπαχθέντα. ὡς τούτους οὖν ἀπάγειν λέγει. διαφέρει δὲ τί τοῦτο τοῦ ὡς [2] αὐτὸν ἄγειν; ὅτι ὁ μὲν ἀπάγων, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς τοὺς θεσμοθέτας, τοὺς νόμους κυρίους ποιεῖ τοῦ δεδρακότος· ὁ δὲ ὡς αὐτὸν ἄγων, ἑαυτόν. ἔστι δ' ἐκείνως μὲν, ὡς ὁ νόμος τάττει, δοῦναι δίκην· οὕτω δὲ, ὡς ὁ λαβὼν βούλεται. πλεῖστον δὲ δήπου διαφέρει, τὸν νόμον κύριον τῆς τιμωρίας,

[1] Deest articulus.

[2] αὐτὸν

qui cogitabit, quantum obscuritatis et difficultatis sit in Legg. XII. Tabularum, quæ etiam Ciceroni facesserunt negotium, cum Solonis et Draconis Ἄξονες antiquiores etiam sint. Wolf.

Οὔ δ'] Male Morel. οὐδ'. Taylor.

Αὐτὸν] Αὐτὸν omnino, uti edidi. Et v. 20. Idem.

Ἢ ὡς ἂν βούληταί τις] Forte ἢ οἷ, vel ὅποι. Nam adverbium locale postulari videtur. Wolf.

Ὑπ' ἐκείνων ἀπαχθέντα] Nihil est, cur mutes in πρὸς ἐκείνους, *ad eos*, etsi mox sequitur, v. 19. ὡς τούτους οὖν ἀπάγειν λέγει. Idem. Male. Thesmothetarum non erat munus, damnatos ad mortem ducere, sed XIvirorum. Docebit Julius Pollux, L. VIII. c. IX. §. 102. alii. Verum, ut esset maxime eorum munus, hic locus non tractat de iis, quos illi *abducebant*, sed *qui ad illos ducebantur*. Agitur de notione τοῦ ἀπάγεσθαι. Ἐξεῖναι, inquit ille, ex lege ἀπάγειν. ἆρ' ὡς αὐτόν; domumne? minime, sed ut lex jubet, ad Thesmothetas, ὡς τούτους ἀπάγειν λέγει. Revoca igitur lectionem Feliciani et Manutii, eorumque MSS. ἐπ' ἐκείνους. Sexviri illi, Thesmothetæ nempe, jus habebant sententiam ferendi (id enim per θανάτῳ ζημιῶσαι intelligo) de iis, qui, ubi ob cædem solum verterint, iterum domum redeant. Id quod anno quidem superiore factum vidistis, nempe a concione quendam extractum *coram iis sisti, ad eos deductum*. Ad hos igitur jubet Lex adducere, non domum ad se ducere. Taylor.

Τὸν νόμον] Accuratius cum Edit. Lambini, τὸ τὸν νόμον κύριον — γίνεσθαι. Idem.

ἢ τὸν ἐχθρὸν γίνεσθαι. λυμαίνεσθαι δέ, φησι, μὴ, μηδὲ ἀποινᾶν. ταῦτα δέ ἐστι τί; τὸ μὲν δὴ μὴ λυμαίνεσθαι, γνώριμον [1] οἶδ' ὅτι πᾶσι· μὴ μαστιγοῦν, μὴ δεῖν, μὴ τὰ τοιαῦτα ποιεῖν λέγει. τὸ δὲ μηδ' ἀποινᾶν, μὴ χρήματα πράττεσθαι. τὰ γὰρ ἄποινα, [2] χρήματα ὠνόμαζον
631 οἱ παλαιοί. ὁ μὲν δὴ νόμος, οὕτω τὸν ἀνδροφόνον καὶ [3] τὸν ἑαλωκότα ἤδη διώρισεν ὡς κολαστέον, καὶ [4] οὗ, τὴν τοῦ πεπονθότος εἰπὼν πατρίδα, καὶ περὶ τοῦ μηδένα ἄλλον τρόπον, ἢ τοῦτον, μηδ' ἄλλοθι πλὴν ἐνταῦθα, ἄντικρυς εἴρηκεν· ὁ δὲ τὸ ψήφισμα γράφων, πολλοῦ γε καὶ δεῖ, διώρισεν, ὅς γε πάντα τούτοις τἀναντία εἴρηκε. γράψας γὰρ ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω, φησὶ, πανταχόθεν. τί λέγεις; τῶν νόμων οὐδὲ τοὺς ἑαλωκότας διδόντων ἀπάγειν, πλὴν ἐν τῇ ἡμεδαπῇ, σὺ γράφεις ἄνευ κρίσεως τινὰ ἀγώγιμον ἐκ τῆς συμμαχίδος πάσης; καὶ οὐδὲ ἐν τῇ ἡμεδαπῇ ἄγειν κελευόντων τῶν νόμων, σὺ δίδως πανταχόθεν ἄγειν; καὶ μὴν ἔν γε τῷ ποιεῖν ἀγώγιμον, πάνθ' ὅσα ἀπείρηκεν ὁ νόμος δέδωκας, χρήματα πράξασθαι, ζῶντα λυμαίνεσθαι, κακοῦν, ἔχοντα αὐτὸν ἀποκτιννύναι. πῶς οὖν ἄν τις μᾶλλον ἐλεγχθείη παράνομα εἰρηκώς; ἢ πῶς δεινότερ' ἂν γράφων [5] ἢ τοῦτον τὸν τρόπον; ὃς δυοῖν ὑποκειμένοιν ὀνομάτοιν, κατὰ μὲν τῶν ἐν [6] αἰτίᾳ, ἐάν τις ἀποκτείνῃ, κατὰ δὲ τῶν ἑαλωκότων, ἐάν τις ἀνδροφόνος ᾖ, ἐν μὲν τῇ προσηγορίᾳ, τὸ τοῦ τὴν αἰτίαν ἔχοντος ὄνομα [7] ἔλαβες,

[1] * οἶδα πᾶσιν ὅτι, [2] χρήματα ἄποινα [3] [τὸν] [4] οὗ. τὴν * γὰρ τοῦ [5] ἢ * σὺ τοῦτον [6] αἰτίᾳ ὄντων, ἐάν [7] ἔλαβες ὄνομα

Ἢ] Potius καί. Nam ea videtur esse constructio. IDEM.

Ἀποινᾶν] Quia mihi nullum hujus generis obsoletorum verborum suppetebat, verti: *habet etiam alterum legis verbum nihil obscuritatis.* Quorsum enim lucernam accendas in meridie? WOLF. ἀρχαῖα δὲ τὰ πάλαι μὲν συνήθη, νῦν δὲ ἐκλελοιπότα, ὡς λέγει Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους, περὶ τοῦ Δράκοντος νόμῳ τόδε, μηδ' ἀποινᾶν, μηδὲ (l. μὴ) χρήματα πράττεσθαι· τὰ γὰρ χρήματα, ἄποινα ὠνόμαζον οἱ παλαιοί. Theo, Progymn. p. 46. TAYLOR.

Καὶ τὸν ἑαλωκότα] Lege τὸν ἀνδροφόνον τὸν ἑαλωκότα ἤδη sine ista copula, quæ sententiam misere funestat. *Ita statuit Lex de homicida, qui jam damnatus est.* Reg. α. habet, altera vocula deleta, τὸν ἀνδροφόνον καὶ ἑαλωκότα. IDEM. Delendum puto καὶ, et distinguendum τὸν ἀνδροφόνον, τὸν ἑαλωκότα ἤδη, διώρισεν etc. ut pag. 198. v. 4. τοῦτον ἀνδροφόνον λέγει, τὸν ἑαλωκότα ἤδη τῇ ψήφῳ, et §. ιθ'. περὶ τῶν ἀνδροφόνων, τῶν ἤδη κεκριμένων. MARKLAND.

Ὁ δὲ τὸ ψήφισμα γράφων κ. τ. λ.] Potest legi interrogative. Sed tum erit mutandus ordo: ὁ δὲ τὸ ψήφισμα γράφων διώρισε; πολλοῦ γε καὶ δεῖ. Sed quid si legas: ὁ δὲ τὸ ψήφισμα γράφων πολλοῦ γε καὶ δεῖ διορίσαι, *multum abest, ut decreti auctor ista distinxerit?* WOLF. F. leg. καὶ δεῖ, οὐ ταῦτα διώρισεν. AUGER.

τὴν δὲ τιμωρίαν, ἣν οὐδὲ κατὰ τῶν ἐξελεληλεγμένων διδόασιν οἱ νόμοι, ταύτην κατὰ τῶν ἀκρίτων ἔγραψας, καὶ τὸ μέσον τούτων ἐξεῖλες. μέσον γάρ ἐστιν αἰτίας καὶ ἐλέγχου κρίσις· ἣν οὐδαμοῦ γέγραφεν οὗτος ἐν τῷ ψηφίσματι.

ή. Λέγε τοὺς ἐφέζης νόμους.

ΝΟΜΟΣ.

Ἐὰν δέ τις τὸν ἀνδροφόνον κτείνῃ ἢ αἴτιος ᾖ φόνου, ἀπεχόμενον [1] ἀγορᾶς ἐφορίας καὶ ἄθλων καὶ ἱερῶν Ἀμφικτυονικῶν, 632
[2] ὥσπερ τὸν Ἀθηναῖον κτείναντα, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι· διαγιγνώσκειν δὲ τοὺς [3] ἐφέτας.

τουτονὶ δεῖ μαθεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν νόμον, τί ποτ' ἐβούλετο ὁ θείς· ὄψεσθε γὰρ ὡς ἅπαντ' εὐλαβῶς διώρισε καὶ νομίμως. ἐάν τις ἀποκτείνῃ τὸν ἀνδροφόνον, φησὶν, ἢ αἴτιος ᾖ φόνου, ἀπεχόμενον ἀγορᾶς [4] ἐφορίας, καὶ

[1] ἀγορᾶς, ἐφορίας, [2] ὅσπερ [3] ἐφετὰς [4], καὶ ἐφορίας

Ἦν οὐ κατὰ τῶν ἐξελεληλεγμένων] Malim οὐδέ. Wolf. Recte. atque ita dedi, motus auctoritate Ven. Bar. Lind. Aug. Ital. Vind. et Edit. Morelianæ. Taylor.

ή. Ἐὰν δέ τις κ. τ. λ.] Wolfius vertit: *Si quis autem homicidam ceciderit,* — is abstineat *foro* etc. plane contra mentem Legislatoris, qui voluit, prout ex sequentibus clare patet: *Si quis autem ceciderit* homicidam — abstinentem *foro* etc. Nam istud ἀπεχόμενον pertinet ad ipsum *homicidam,* non, ut Wolfius, ad *occisorem homicidæ.* Markland.

Ἀπεχόμενον] Non facile memini locum inscitius verti. *Si quis homicidam ceciderit, is abstineat foro collimitio.* Iterumque v. ult. et p. 201. v. 13. Miror sane, et dubito, an isto errore irretitus quidquam intelligere possit eorum, quæ hic dicantur. Lex enim his verbis declarat, quibus locis abstinere debet, qui salvus esse velit: *Si quis homicidam ceciderit abstinentem foro collimitio, ludis et sacris Amphictyonicis, eodem crimine teneatur, perinde ac si Atheniensem (insontem) occidisset, ejusque rei cognitio Ephetis reservetur.* Infra, p. 202. v. 4. Ἂν τις ἀποκτείνῃ τὸν ἀνδροφόνον, εἶτ' εἰπὼν, ἂν εἰργόμενον. Tayl. Mirum in modum in sensu hujus legis cœcutit Wolfius, cum putaret, hanc vocem ad interfectorem homicidæ, non homicidam ipsum respicere, quod tamen evidentissimum est ex sequenti Oratoris argumentatione. Itaque de novo traducenda est tota Lex: *Si quis autem homicidam ceciderit, aut cædis ei causa fuerit, abstinenti foro collimitio, et ludis et sacris Amphictyonicis, eodem crimine teneatur, ac si Atheniensem occidisset, sed judicium relinquatur causarum capitalium judicibus.* Jurin.

Ἀγορᾶς ἐφορίας] *Forum collimitium* verti a conjunctis limitibus, ut ipsa vox antiquitatis aliquam speciem præ se ferens interpretationem admitteret, quod in verbo ἀποινᾶν haud item licuit. Nam mulctare frequens est apud Ciceronem. Wolf. Editio Lutetiana, ἀγορᾶς, ἐφορίας (marg. ἐφορείας, et similiter ubique Baroc.) aliquando ἀγορᾶς καὶ ἐφορίας, ut v. ult. ὅθεν ὠνόμακεν ἀγορὰν καὶ ἐφορίαν. p. 201. v. 17. Utrumque male. Annotatur in Bodl. ἴσως ἀγορᾶς ἐφορίας, ἄνευ ὑποστιγμῆς, ὅτι ἐν τοῖς ὁρίοις ἀγοραὶ συνηθροίζοντο. Noster p. 201. v. 21. τὴν ἐφορίαν ἀγορὰν, ὅρον προσγράψας, ὃς εἴργεσθαί φησιν. Ubi absurdissime Edit. Ald. τὴν ἀγορὰν καὶ ἐφορίαν, ὅρον προσγράψας. Taylor.

Ὥσπερ] F. οἷσπερ. Sic p. 201. v. ult. τὴν αὐτὴν — δίκην δέδωκεν, ἥνπερ, ἂν τὸν Ἀθηναῖον κτείνῃ. Vide et p. 202. v. 7. ibid. §. ϛ'. et ιζ'. ad fin. Orationis: τιμωρίας — τὰς αὐτὰς, ἅσπερ ἂν τὸν Ἀθηναῖον ἀποκτείνῃ. Vide Notas ad Lysiæ Orat. I. p. 36. not. 85. Markland.

Ἀπεχόμενον] Eundem hic errorem erravit Wolfius, quem in v. 7. cum pro *abstinenti,* vel *abstinentem,* reponat, *is abstineat.* Sed adhuc manifestius ad v. 13. p. 201. ἐάν τις τὸν ἀνδροφόνον κτείνῃ ἀπεχόμενον ἀγορᾶς ἐφορίας, *si quis homicidam interfecerit abstinentem* (non, *is abstineat*) *foro collimitio.* Jurin.

ἄθλων, καὶ ἱερῶν Ἀμφικτυονικῶν, ὥσπερ τὸν Ἀθηναῖον κτείναντα, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι· διαγινώσκειν δὲ τοὺς ἐφέτας. τί δὴ ταῦτά ἐστιν; ἐκεῖνος ᾤετο, τὸν πεφευγότα ἐπ' αἰτίᾳ φόνου καὶ ἑαλωκότα, ἐάν περ ἅπαξ ἐκφύγῃ καὶ σωθῇ, εἴργειν μὲν τῆς τοῦ παθόντος πατρίδος δίκαιον εἶναι, κτείνειν δὲ οὐχ ὅσιον ἁπανταχοῦ. τί σκοπῶν; ὅτι καὶ τοὺς δεῦρο πεφευγότας, ἐὰν ἡμεῖς τοὺς ἑτέρωσε ἀποκτιννύωμεν, ἀποκτενοῦσιν ἕτεροι. εἰ δὲ τοῦτ' ἔσται, ἡ [1]μόνη λοιπὴ τοῖς ἀτυχοῦσιν ἅπασι σωτηρία διαφθαρήσεται. ἔστι δ' αὕτη τίς; ἐκ τῆς τῶν πεπονθότων [2]μεταστάντα, εἰς τὴν τῶν μηδὲν ἠδικημένων ἀδεῶς μετοικεῖν. ἵνα δὴ μὴ τοῦτο ᾖ, μηδ' ἀπέραντοι τῶν [3]ἀτυχημάτων αἱ τιμωρίαι γίγνωνται, ἔγραψεν, ἐάν τις τὸν ἀνδροφόνον κτείνῃ ἀπεχόμενόν, φησιν, [4]ἀγορᾶς ἐφορίας. τί τοῦτο λέγων; τῶν ὁρίων τῆς χώρας. ἐνταῦθα γάρ, ὥς γέ μοι δοκεῖ, τἀρχαῖα συνῆεσαν οἱ πρόσχωροι παρά τε ἡμῶν καὶ τῶν ἀστυγειτόνων· ὅθεν ὠνόμακεν [5]ἀγορὰν ἐφορίαν. καὶ πάλιν ἱερῶν Ἀμφικτυονικῶν. τί δήποτε καὶ τούτων ἀπέκλεισε τὸν ἀνδροφόνον; ὅσων τῷ παθόντι ζῶντι μετῆν, τού-
633 των εἴργει τὸν δεδρακότα. πρῶτον μὲν τῆς πατρίδος, καὶ τῶν ἐν ταύτῃ πάντων καὶ ὁσίων καὶ ἱερῶν, τὴν ἐφορίαν ἀγορὰν, ὅρον [6]προσγράψας ἧς εἴργεσθαί φησιν. εἶτα τῶν ἱερῶν τῶν ἐν Ἀμφικτύοσι. καὶ γὰρ τούτων, εἴ περ ἦν Ἕλλην ὁ παθὼν, μετῆν αὐτῷ. καὶ ἄθλων. διὰ τί; ὅτι κοινοὶ πᾶσίν εἰσιν οἱ κατὰ τὴν Ἑλλάδα ἀγῶνες. κατὰ δὲ τὴν πάντων μετουσίαν, μετῆν καὶ τούτων τῷ παθόντι. καὶ τούτων οὖν ἀπεχέσθω. τούτων μὲν δὴ τὸν εἰργασμένον εἴργει· ἐὰν δ' ἔξω τούτων κτείνῃ τις αὐτὸν, [7]ἢ ἄλλοθί που, τὴν αὐτὴν ὑπὲρ αὐτοῦ δίκην δέδωκεν, ἤνπερ, ἂν τὸν

[1] μόνη [καὶ] λοιπὴ [2] μεταστάντας [3] ἀδικημάτων [4] ἀγορᾶς, ἐφορίας [5] ἀγορὰν καὶ ἐφορίαν [6] * προγράψας, [ἧς] [7] [ἢ ἄλλοθί]

Λοιπὴ] Ἡ μόνη καὶ λοιπὴ Codd. Bar. Parisienses et Vindob. Proxime, v. 10. cum Bodl. melius μεταστάντας. TAYLOR.

Ἀτυχημάτων] Baroc. ἀδικημάτων. Quid si ἀτυχησάντων? IDEM. ἀτυχημάτων pro φόνων. AUGER.

Τί τοῦτο λέγων;] Salmas. de M. U. pag. 770. ita legit et distinguit: ἀπεχόμενον, φησὶν, ἀγορᾶς ἐφορίας. τί τοῦτο; λέγει, τῶν ὁρίων τῆς χώρας. TAYLOR.

Εἴπερ ἦν Ἕλλην, ὁ παθὼν] Mudo Græcus esset occisus. Wolfius. Non accurate versa, si vera sint ea quæ habet Ulpianus ad illa Demosthenis π. παραπρεσβ. εἴπερ ἐστὶν ἀληθὴς ἡ φήμη, ξθ'. fin. sc. Οὐ διστάζων εἶπεν, ἀλλ' ἔστιν ἀντὶ τοῦ ἐπείπερ, ὡς καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους, εἴπερ ἦν Ἕλλην ὁ παθών. IDEM.

Ἐὰν δ' ἔξω τούτων] S. τῶν εἰρημένων τόπων. WOLF.

Ἀθηναῖον κτείνῃ. τὸν γὰρ [1]φυγάδα, τὸ τῆς πόλεως οὐ προσεῖπεν ὄνομα, ἧς οὐκ ἔστι μετουσία αὐτῷ, ἀλλὰ τὸ τοῦ πράγματος ᾧ κατέστησεν αὐτὸν ἐκεῖνος ἔνοχον. καὶ διὰ τοῦτο, ἄν τις ἀποκτείνῃ, φησὶ, τὸν ἀνδροφόνον. εἶτ' εἰπὼν ὧν εἰργόμενον, ἐπὶ τῷ τὴν τιμωρίαν νομίμως ἐπιθεῖναι, τὸ τῆς πόλεως ὄνομα ὠνόμασε, τοῖς αὐτοῖς ἐνεχέσθω καθάπερ ἂν τὸν Ἀθηναῖον ἀποκτείνῃ [2]γράψας. ἀνόμοιος ὤν, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ τουτὶ τὸ ψήφισμα εἰρηκότι. καί τοι πῶς οὐχὶ δεινὸν, εἰ, οἷς ὁ νόμος δέδωκεν, ἐὰν ὧν εἴπεν εἴργωνται, μετ' ἀσφαλείας ζῆν φυγοῦσι, τούτους ἐκδότους τις εἶναι γράφει, καὶ ἀφαιρεῖται τὸ τῆς συγγνώμης ὠφέλιμον, ὃ τοῖς ἀτυχοῦσιν ὑπάρχειν εἰκὸς παρὰ τῶν ἔξω τῶν ἐγκλημάτων ὄντων· ὅτῳ ποτὲ τῶν ἁπάντων ἀπόκειται, ἄδηλον ὄν, μὴ προδήλου τῆς ἐπιούσης τύχης οὔσης ἑκάστῳ; καὶ νυνὶ τὸν ἀποκτείναντα Χαρίδημον, ὄντως ἂν ἄρα τοῦτο γένηται, ἐὰν ἀνταποκτείνωσί τινες, λαβόντες ἔκδοτον, πεφευγότα, καὶ τῶν νο- 634
μίμων εἰργόμενον, ἔνοχοι μὲν αὐτοὶ ταῖς φονικαῖς δίκαις ἔσονται· ἔνοχος [3]δὲ σύ. καὶ γὰρ, ἄν τις αἴτιος ᾖ, γέγραπται· ἔσῃ δ' αἴτιος, τὴν διὰ τοῦ ψηφίσματος [4]αἰτίαν δεδωκώς. οὐκοῦν εἰ μὲν [5]ἐάσωμεν ὑμᾶς, τούτων συμβάντων, οὐ καθαροῖς οὖσιν ὁμοῦ [6]διατρίψομεν· εἰ δ' ἐπέξιμεν, οἷς ἐγνώκαμεν, αὐτοὶ τἀναντία πράττειν ἀναγκασθησόμεθα. ἆρά γε μικρὸν, [7]ἢ τυχόν ἐστιν, ὑπὲρ οὗ δεῖ λῦσαι τὸ ψήφισμα ὑμᾶς;

Θ'. Λέγε δὴ τὸν μετὰ ταῦτα νόμον.

ΝΟΜΟΣ.

Ἐάν τις τινὰ τῶν ἀνδροφόνων τῶν ἐξεληλυθότων, ὧν τὰ χρή-

[1] φυγάδα οὐ τὸ τῆς πόλεως προσεῖπεν
[2] γράψας ἀνομοίως, ὦ ἄνδρες
[3] * δὲ καὶ σύ.
[4] ἐξουσίαν
[5] ἐάσομεν
[6] συνδιατρίψομεν
[7] ἢ τὸ τυχόν

Τὸν γὰρ φυγάδα] i. e. κατὰ τὸν φυγάδα. *nam quod ad exsulem attinet.* MARKLAND. Hic γὰρ, ut sexcenties alibi, indicat tantum transitionem ad aliquid novi. *Nam exulem non appellavit nomine civitatis.* ὄνομα in accusativo, sub. κατά. AUGER.

Ἐπιούσης] Ita Editi et MSti. Wolfius, errore, credo, typographico, ἐμποιούσης. Scil. in Edit. Basil. 1572. ἐποιούσης, primo errore, quem Bibliopolæ Francofurtenses A. 1604. cum tollere velle videretur, duplici menda ἐμποιούσης fecerunt. TAYLOR.

Αἰτίαν] Mallem cum Lind. Ital. Reg. α. et Vind. ἐξουσίαν. IDEM.

Τἀναντία πράττειν] *Rescindere* Wolfius. Incaute. Nam qui legem violat aut negligit, non utique rescindit. IDEM.

Θ'. Ἐάν τις τινὰ τῶν ἀνδροφόνων τῶν ἐξεληλυθότων, ὧν τὰ χρήματα ἐπίτιμα, etc.] *Si quis quempiam eorum qui propter cædem in exilium abierunt, duntaxat quorum bona lege non notata sunt, ultra fines Atticos persequatur, aut fert, aut agit, æqua mul-*

ματα ἐπίτιμα, πέρα [1] *ὅρων ἐλαύνῃ ἢ φέρῃ ἢ ἄγῃ, τὰ ἴσα ὀφείλειν, ὅσα περ ἂν καὶ ἐν τῇ ἡμεδαπῇ δράσῃ.*

ἄλλος οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, νόμος, ἀνθρωπίνως καὶ καλῶς κείμενος, ὃν παραβὰς οὗτος ὁμοίως φανήσεται. ἐάν τις τινὰ τῶν ἀνδροφόνων, φησὶ, τῶν ἐξεληλυθότων ὧν τὰ χρήματα ἐπίτιμα. τῶν ἐπ' ἀκουσίῳ φόνῳ λέγει μεθεστηκότων. [2] τῳ τοῦτο δῆλον; τῷ τε ἐξεληλυθότων εἰπεῖν, ἀλλὰ μὴ πεφευγότων, καὶ τῷ διορίζειν, ὧν τὰ χρήματα ἐπίτιμα. τῶν γὰρ ἐκ προνοίας, δεδήμευται τὰ ὄντα. περὶ μὲν δὴ τῶν ἀκουσίων ἂν λέγοι. λέγει δὲ τί; ἐὰν πέρα ὅρου, φησὶν, ἐλαύνῃ ἢ φέρῃ ἢ ἄγῃ. τοῦτο δέ ἐστι τί τὸ πέρα ὅρου; ἔστι πᾶσιν ὅρος τοῖς ἀνδροφόνοις, τῆς τοῦ παθόντος εἴργεσθαι πατρίδος. ἐκ μὲν δὴ ταύτης
635 δίδωσιν ἐλαύνειν καὶ ἄγειν, πέρα δὲ οὐκ ἐᾷ τούτων οὐδέτερον ποιεῖν· ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, τὴν αὐτὴν ἔδωκεν ὑπὲρ αὐτοῦ δίκην, ἥν περ ἂν εἰ μένοντα ἠδίκει οἴκοι, γράψας ταὐτὰ ὀφείλειν, ἅπερ ἂν οἴκοι δράσῃ. εἰ δή τις ἔροιτο Ἀριστοκράτην τουτονὶ — καὶ μὴ νομίσητε εὐήθες τὸ ἐρώτημα — πρῶτον [3] μὲν, πότερον εὖ οἶδεν εἴ τις ἀποκτενεῖ Χαρίδημον [4] ἢ καὶ ἄλλως πῶς τελευτήσει, οὐκ ἂν, οἶμαι, [5] φαίη. θήσομεν τοίνυν ἀποκτενεῖν. πάλιν οἶσθ' ἑκὼν ἢ ἄκων, καὶ ξένος ἢ πολίτης ὁ τοῦτο ποιήσων ἔσται; οὐκ ἔνεστ' εἰπεῖν ὡς οἶσθα. οὐκοῦν ταῦτά γε δήπου προσῆκε

[1] ὅρου [2] τῷ [3] μὲν εἰ οἶδεν [4] ἢ εἰ καὶ [5] φαίη

cta plectitur, atque si infra fines nostros id patraverit. ἐπίτιμα χρήματα vocat *lege non notata*, hoc est, quæ in juris legumque præsidio sunt, sicut contra ἄτιμα dicuntur, in quæ cuivis volenti invadere licitum est, eaque diripere, ut etiam alibi dictum est. Sicut ἐπίτιμος ἀνὴρ, *vir integræ conditionis ac famæ.* Porro ἄγειν καὶ φέρειν idem est quod *populari et expilare*, quod Livius de bello Maced. Latine sic transtulit: "Tum demum fracta pertinacia est, ut ferri agique res suas viderunt." Idem Demosthenes explanans illa legis verba supra citata, ἐάν τις τινὰ τῶν ἀνδροφόνων, &c. lex, inquit, ad eos pertinet, qui ob cædem non voluntariam solum verterunt. τῷ τοῦτο δῆλον; τῷ τε ἐξεληλυθότων εἰπεῖν ἀλλὰ μὴ πεφευγότων, καὶ τῷ διορίζειν ὧν τὰ χρήματα ἐπίτιμα, τῶν γὰρ ἐκ προνοίας δεδήμευται τὰ ὄντα. *Qui tandem id planum fit? nempe tum ex eo quod eorum quempiam dixit, qui finibus egressi sunt, tum quia definiunt quorum quidem bona integra conditione manserunt, ac sine legis nota. Nam qui ob consultum homicidium urbe excesserunt, eorum utique bona publicata sunt*, id est, lege publicari jussa sunt. *Ex edit.* Hervag.

Ὀφείλειν] Cum hæc transtulit Wolfius, *eandem mulctam debet*, Exemplarium suorum fidem secutus est, ubi scribitur ὀφείλει, a MSS. non edoctus ὀφείλειν legere. Taylor.

Ἀκουσίῳ] *Fortuitis cædibus*, Wolfius, cum tamen in Græcis dedit ἑκουσίῳ, et similiter Editiones Aldina et Lutetiana. Quid? parumne referre arbitraris, Wolfi, utro modo dederis? MSti nostri cum Feliciano et Manutio recte, ut solent, et debent, et uti nos repræsentari fecimus. Idem.

Προσῆκε γράφαι — γράφοντα] Construi-

[1] γράψαι, ἐάν τις ἀποκτείνῃ γράφοντα, ἄκων ἢ ἑκὼν, ἀδίκως ἢ δικαίως, ξένος ἢ πολίτης· ἵν' ὅτῳ ποτὲ τοῦργον ἐπράχθη, τούτῳ τὰ ἐκ τῶν νόμων ὑπῆρχε δίκαια· μὴ, μὰ Δί', αὐτὸ τὸ τῆς αἰτίας ὄνομα εἰπόντα, ἀγώγιμος ἔστω προσγράψαι. τίνα γὰρ σὺ λέλοιπας ὅρον τῷ [2] γράμματι τούτῳ, τοῦ νόμου σαφῶς οὕτωσὶ λέγοντος, μὴ πέρα ὅρων ἐλαύνειν, ὃς πανταχόθεν δίδως ἄγειν; ὁ νόμος δὲ, οὐ μόνον οὐκ ἐλαύνειν τῶν ὅρων πέρα, ἀλλ' οὐδ' ἄγειν ἐᾷ. ἐκ δὲ τοῦ σοῦ ψηφίσματος, ὁ βουλόμενος ἄξει τὸν ἄκοντα ἀπεκτονότα, ἔκδοτον λαβὼν, εἰς τὴν τοῦ παθόντος βίᾳ πατρίδα. ἆρ' οὐ πάντα συγχεῖς τὰ ἀνθρώπινα, καὶ ἀφαιρῇ τὴν πρόφασιν, μεθ' ἧς ἢ καλόν ἐστι τῶν ἔργων ἕκαστον, ἢ αἰσχρόν; ὁρᾶτε γὰρ ὡς ἐπὶ πάντων, οὐκ ἐπὶ τῶν φονικῶν μόνον, οὕτω τοῦτ' ἔχει. ἄν τις τύπτῃ τινά, φησιν, ἄρχων χειρῶν ἀδίκων· ὡς, εἴ γε ἠμύνατο, οὐκ ἀδικεῖ. ἄν τις κακῶς ἀγορεύῃ, τὰ ψευδῆ προσέθηκεν· ὡς, εἴ γε τἀληθῆ, [3] προσῆκεν. ἄν τις ἀποκτείνῃ, ἐκ προνοίας· ὡς, εἴ γε ἄκων, οὐ ταὐτόν. 636
ἄν τις καταβλάψῃ τινὰ, ἑκὼν, ἀδίκως· πανταχοῦ τὴν πρόφασιν βεβαιοῦσαν τὸ πρᾶγμα εὑρήσομεν. ἀλλ' οὐ παρὰ σοὶ, ἀλλ' ἁπλῶς, ἄν τις ἀποκτείνῃ Χαρίδημον, ἀγέσθω, κἂν ἄκων, κἂν δικαίως, κἂν ἀμυνόμενος, κἂν ἐφ' οἷς διδόασιν οἱ νόμοι, κἂν ὁτῳσοῦν.

ί. Λέγε τὸν μετὰ ταῦτα νόμον.

ΝΟΜΟΣ.

Φόνου δὲ δίκας μὴ εἶναι [4] οὐδαμοῦ κατὰ τῶν τοὺς φεύγοντας ἐνδεικνύντων, ἐάν τις κατίῃ ὅποι μὴ ἔξεστιν.

[1] προσγράψαι [2] πράγματι [3] προσῆκον [4] μηδαμοῦ

ctio est hæc: οὐκοῦν προσῆκέ (σε) γράφοντα ἐάν τις ἀποκτείνῃ, γράψαι, ἄκων, ἢ ἑκὼν, ἀδίκως, ἢ δικαίως etc. Quod noto, ut appareat, pro γράψαι legendum esse προσγράψαι, adscripsisse, adjecisse: ex sensu et loco simili, §. κά. πρῶτον μὲν γὰρ, ἐάν τις ἀποκτείνῃ γράφων, οὐ προσέγραψεν, ἀδίκως, οὐδὲ βιαίως, οὐδ' ὅλως οὐδέν. Verti autem debuit: *itaque oportuit* te, *cum scribebas*, SI QUIS OCCIDERIT, *adscripsisse*, utrum *invitus, an volens, jure, an injuria* etc. Vide et §. ιζ'. fin. MARKLAND.

Γράφοντα] *Proinde sic scribere conveniebat, si quidem omnino scribere decreveras.* Wolfius hæc non intellexit, ut liquet ex versione. Sensus est: *Proinde qui scripsit ἐάν τις ἀποκτείνῃ, illud etiam scribere et adjicere debuit, utrum occiderit volens, an invitus, jure, aut injuria*, et quæ sequuntur. Bodl. non inscite προσῆκε προσγράψαι. TAYLOR.

Ὑπῆρχε] Silent Codices. Rescribo tamen ὑπάρχῃ. ἵνα — τούτῳ — ὑπάρχῃ δίκαια. IDEM. Notandum ἵνα cum Imperfecto, ut apud Lysiam, Orat. I. p. 43. ult. ἵνα ἐτιμωρεῖτο. ubi plura attuli. MARKLAND.

Διδόασιν] *Jubentur*, Wolfius. Male. Potius: *conceduntur*. Ut recte idem §. ιά. init. et med. et alibi. TAYLOR.

ί. ΝΟΜΟΣ] Salmas. de M. U. p. 783. emendat: Τοὺς φεύγοντας ἐνδεικνύντων, ἐάν τις κατίῃ, ὅποι μὴ ἔξεστι· φόνου δὲ δίκας μὴ

ὁ μὲν νόμος ἐστὶν οὗτος Δράκοντος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ οἱ [1] ἄλλοι, ὅσους ἐκ τῶν φονικῶν νόμων παρεγραψάμην. δεῖ

[1] ἄλλοι δὲ, ὅσους

εἶναι. Cujus hæc est Sententia: *Si quis cædis causa exsul domum redierit, aut ea loca, quibus interdicitur, hominem deferunto,* ἐνδεικνύντων· *non opus est cædis actionem rursus intendere.* Nam Ἔνδειξις erat ea species Actionis, quæ in criminibus judicatis locum habet, et in iis, quæ pœnam, non disceptationem, exspectant. Ingeniosius hoc multo, quam verius: et, si audaciam et temeritatem hominis spectes in verbis transponendis, ne ingeniosum quidem. Alia multa opponenda habeo, quæ nunc premam. Interea, si ab Editis stemus, quid respondendum erit viris multis et doctissimis, qui de hujus Legis obscuritate diu sunt conquesti? Mihi semper fuit animus, hanc fuisse Legis alicujus prolixioris partem: immo connectiva ista particula ab initio declarat, rem ita se habere. Subjungatur itaque hæc Lex, verbi gratia, legi illi, quæ occurrit pag. 631. pen. ed. R. Earum ergo ita annexarum Tenor et Sententia hoc modo procedet:

Homicidam exsulantem, dum ab iis locis abstineat, ubi accedere non licet, si quis vel occiderit, vel quocunque modo causa exstiterit, ut occidatur, contra interficientem, vel eum, qui internecionis causa fuerit, Actiones cædis sunto, perinde uti si quis interfecerit civem Atheniensem.

Verum si non abstinuerit, sed rediérit, ubi non oportet, ad Judicem deferunto: contra eum vero, qui detulerit, et internecionis causa fuerit, actiones cædis ne sunto.

Reclamabit nemo, ubi τῆς Ἐνδείξεως naturam et rationem paucis exposuero. Actio erat periculosa admodum, neque temere instituenda: Nam ὁ ἐνδεικνύμενος ad rationes reddendas tenebatur, et omnino contraria actione postulari poterat, si quando constaret, eum detulisse hominem non deferendum. Hæc et plura de ista causa docebit Pollux, quem exscribo, L. VIII. C. VI. §. 49. Ἔνδειξις δὲ ἦν πρὸς τὸν Ἄρχοντα, ὁμολογουμένου ἀδικήματος, οὐ κρίσεως, ἀλλὰ τιμωρίας δεομένου· ὁ δὲ ἐνδεικνύμενος ἐν γραμματείῳ πρὸς τὸν Ἄρχοντα τὴν ἔνδειξιν ἀποφέρει, ἵνα ὑπεύθυνος ᾖ τῆς ψεύδους ἐνδείξεως — μάλιστα δὲ τοὺς ὀφείλοντας τῷ δημοσίῳ ἐνεδείκνυσαν, ἢ τοὺς κατιόντας, ὅποι μὴ ἔξεστιν, ἢ τοὺς ἀνδροφόνους. Ita Agoratus apud Lysiam, qui insontes quosdam detulerat per τὴν ἔνδειξιν, et eapropter cædis causa exstiterat, cædis et ipse postulatur, ut ex tota ista oratione liquet. Nam in causa Ἐνδείξεως, quia supplicium statim sequitur sine judicio et quæstione, merito haberi poterat Delator istius internecionis auctor. δεῖ αὐτὸν ἀποδεῖξαι, ὡς οὐ κατεμήνυσε τῶν ἀνδρῶν τούτων, οὐδ' αἴτιος αὐτοῖς ἐστὶ τοῦ θανάτου, ut ait Lysias in Oratione laudata, p. 473. 6. Verum enimvero statutum est hac Lege, eam *recriminationem* hic *saltem* cessare, neque cædis postulari posse, ut generaliter potuit fieri, qui exsulem redeuntem ad loca interdicta delatione sua oppresserit. Cavebat maxime sibi ea Resp. ab iis, qui propter cædem aut crimina istiusmodi solum verterunt: Jurabat enim, quicunque in collegium Heliastarum cooptaretur, οὐδὲ τοὺς φεύγοντας κατάξω, οὐδὲ ὧν θάνατος κατέγνωσται. Immo ita cavebat, ut, quotiescunque Lex illa, quam OBLIVIONIS vocant, apud illos sanciretur, nominatim eos exciperent, et adhuc delationis periculo subjicerent, qui hujusmodi reatu tenerentur: Jurabat Senator quilibet, adjecta hac clausula tum primum post liberatam Remp. a Thrasybulo, et excussam XXXvirorum tyrannidem, οὐ δέξομαι ἔνδειξιν, οὐδὲ ἀπαγωγὴν, ἕνεκα τῶν πρότερον γεγενημένων, πλὴν τῶν φευγόντων. Ejusdem pariter severitatis est ea Lex Draconis, quam exponimus, perinde ac si dixisset: Κατὰ τῶν ἐνδεικνύντων, φόνου δίκας εἶναι, πλὴν τῶν ἐνδεικνύντων τοὺς φεύγοντας. In Themide Attica, ubi Legislator, quid cuivis licere et patere voluit, id potissimum sancivit hac ratione, primum permittendo, deinde, omni excluso aditu ad litem ineundam ei, qui contra venire vellet. Ita in causa Adulterii, sancitum est, ἐάν τις μοιχὸν λάβῃ, ὅ,τι ἂν βούληται, χρῆσθαι. Interea tamen, licet sapientissimus Legislator ea potestate armaverat doliturum maritum, quasi in ea parum esset præsidii, tulit etiam *alteram* Legem, prout in Lect. Lysiac. olim exposui, τοῦτον μὴ καταγινώσκειν φόνου, ὃς ἂν ἐπὶ δάμαρτι τῇ ἑαυτοῦ μοιχὸν λαβὼν, ταύτην τὴν τιμωρίαν ποιήσηται. Id est, contra eum, qui adulterum in uxore interfecerit, φόνου δίκην μὴ εἶναι εἰσαγώγιμον, cædis reus ne postulator. Hæc autem vel ideo quoque adduxi, ut intelligeres, qua fide istam legem proxime, nam proxime occurret, sc. pag. sequente, v. 16. interpretatur Wollius, ἐάν τις ἀποκτείνῃ — ἐπὶ δάμαρτι — μὴ φεύγειν κτείνοντα. *Qui cæ-*

δὲ ἃ λέγει σκέψασθαι· κατὰ τῶν ἐνδεικνύντων, φησί, τοὺς κατιόντας ἀνδροφόνους [1] ὅπου μὴ ἔξεστι, δίκας φόνου μὴ εἶναι. [2] ἐνταυθοῖ δύο δηλοῖ δίκαια, ἃ παρ' ἀμφότερα οὗτος εἴρηκε τὸ ψήφισμα· ὅτι τε ἐνδεικνύναι δίδωσι τὸν ἀνδροφόνον, καὶ οὐκ αὐτὸν ἀγώγιμον οἴχεσθαι λαβόντα, καὶ, ὅτι, ἐὰν κατίῃ τις ὅποι μὴ ἔξεστι, καὶ αὐτὸ τοῦτο δίδωσιν, οὐχ ὅπῃ βούλεταί τις. οὐκ ἔξεστι δὲ ποῖ; ἐξ ἧς ἂν φεύγῃ τις [3] πόλεώς που. καὶ σφόδρα σαφῶς τοῦτο [4] δηλοῖ, ἐάν τις κατίῃ, φησί. τοῦτο δ' οὐκ ἔσται ἐπενεγκεῖν ἄλλῃ πόλει, πλὴν ἧν ἂν φεύγοι τις. ὅθεν γὰρ μηδὲ ἐξέπεσέ τις τὴν ἀρχήν, οὐκ ἔνι δήπου κατελθεῖν εἰς ταύτην. ὁ μὲν τοίνυν νόμος ἔνδειξιν δέδωκε, καὶ ταύτην ἂν κατίῃ ὅπῃ μὴ ἔξεστιν· ὁ δὲ, ἀγώγιμος ἔστω γέγραφε, κἀντεῦθεν, ὅπῃ φεύγειν οὐδεὶς [5] ἄλλος κωλύει νόμος.

ιά. Λέγε [6] τὸν νόμον.

ΝΟΜΟΣ. 637

Ἐάν τις ἀποκτείνῃ ἐν ἄθλοις ἄκων, ἢ ἐν ὁδῷ καθελὼν, ἢ ἐν πολέμῳ ἀγνοήσας, ἢ ἐπὶ δάμαρτι, ἢ ἐπὶ μητρὶ, ἢ ἐπ' ἀδελφῇ, ἢ ἐπὶ θυγατρὶ, ἢ ἐπὶ παλλακῇ, [7] ἢ ἧν ἂν ἐπ' ἐλευθέροις παισὶν ἔχῃ, τούτων ἕνεκα μὴ φεύγειν [8] κτείνοντα.

[1] ὅποι [2] ἐνταυθὶ [3] πόλεως. ποῦ, [4] δηλοῖ; [5] Deest ἄλλος. [6] ἄλλον [7] Deest ἤ. [8] κτείναντα

dem fecerit, ne EXSULATO: Immo: *ne cædis reus sistatur.* TAYLOR.

Οὐδαμοῦ] Potius μηδαμοῦ, ut Ven. Bar. Lind. Ital. et Vind. μηδαμᾶς Reg. *a.* IDEM.

Οὐχ ὅπῃ] Rescribo: καὶ, ὅτι, ἐὰν κατίῃ τις, ὅποι μὴ ἔξεστι, αὐτὸ τοῦτο δίδασι, καὶ οὐχ ὅπῃ βούλεταί τις. IDEM.

Ἄλλος] Vides hanc vocem in loco plane alieno. Lege ὅπῃ φεύγειν οὐδεὶς κωλύει νόμος. Ut Linden. Ital. Vindob. aliique. Deinde, λέγε ἄλλον νόμον, cum Bodl. Aug. Vindob. Bar. Obsop. Ital. IDEM.

ιά. Λέγε τὸν νόμον] Omnino legendum puto, vel, τὸν ἐφεξῆς νόμον, vel, τὸν μετὰ ταῦτα νόμον, ut in superioribus sæpe, et infra. Tale aliquid postulat sensus, et mos scribendi. MARKLAND.

Ἢ ἐν ὁδῷ καθελὼν] Laudant hæc ex Aristocratea Demosthenis et Harpocratio v. Ἢ ἐν ὁδῷ, et Καθελὼν, et Ὁδὸς, et Eustathius ad Iliad. A. 151.

Ἢ ὁδὸν ἐλθέμεναι, ἢ ἀνδράσιν ἶφι μάχεσθαι.

Sc. Ἔστι δὲ ὁδὸν μὲν ἐλθεῖν, τὸ τοὺς ἀριστεῖς εἰς λόχον ἀπελθεῖν, ὡς δοκεῖ τοῖς παλαιοῖς, οἳ καὶ ἀπὸ Δημοσθένους φέρουσι χρῆσιν, εἰπόντος ἐν τῷ κατὰ Ἀριστοκράτους, ἢ ἐν ὁδῷ καθελὼν, ἀντὶ τοῦ ἐν λόχῳ. Ex quibus locis constabit, quam insulse Wolfius hic interpretatur *in itinere.* Miror, hæc a Demosthene in lege inferius explicanda esse prætermissa, cum satis constet ex auctoritate, quam dedi, ea verba in lege non defuisse. TAYLOR. *Aut in itinere prostraverit:* Wolfius. Ergo secundum hanc legem (vel saltem, hanc versionem) Sicarii et Grassatores, qui aliquem in via *prostraverint* et *occiderint*, non *exsulabunt*, sed tuti in patria *manebunt.* Fieri non potest, ut ita sanxerit Draco. Pro καθελὼν rectius scribi videretur, οὐκ ἐθέλων, *nolens, invitus*, ut ἄκων, et ἀγνοήσας. Et ita Homerus Iliad. Ψ. 87.

παῖδα κατέκτανον Ἀμφιδάμαντος
Νήπιος, οὐκ ἐθέλων.

Si nihil mutandum sit, verba ita ordinanda sunt: ἐάν τις ἀποκτείνῃ (τινὰ) ἄκων καθελὼν (αὐτὸν) ἐν ἄθλοις, ἢ ἐν ὁδῷ, etc. Cæterum Demosthenes, qui in sequentibus commentatur in singulos hujus Legis articulos, de hac pericope, ἢ ἐν ὁδῷ καθελὼν, quod mirum est, prorsus silet. Utrum Memoriæ, an Exemplarium vitio? MARKLAND.

Ἢ ἧν ἂν ἐπ' ἐλευθέροις] Deest ἢ ante ἧν in

πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νόμων ὄντων παρ' οὓς εἴρηται τὸ ψήφισμα, παρ' οὐδένα μᾶλλον, ἢ παρὰ τουτονὶ τὸν ἀνεγνωσμένον νῦν εἴρηται. διδόντος γὰρ τοῦ νόμου σαφῶς οὑτωσὶ, καὶ λέγοντος ἐφ' οἷς ἐξεῖναι κτεῖναι, οὗτος ἅπαντα παρεῖδε ταῦτα, καὶ γέγραφεν, οὐδὲν ὑπειπὼν ὅπως ἄν τις ἀποκτείνῃ, τὴν τιμωρίαν. καί τοι σκέψασθε ὡς ὁσίως καὶ καλῶς ἕκαστα διεῖλεν ὁ ταῦτα ἐξαρχῆς [1] διελθών. ἄν τις ἐν ἄθλοις ἀποκτείνῃ τινὰ, τοῦτον ὥρισεν οὐκ ἀδικεῖν. διὰ τί; οὐ τὸ συμβὰν ἐσκέψατο, ἀλλὰ τὴν τοῦ δεδρακότος διάνοιαν. ἔστι δὲ αὕτη τίς; ζῶντα νικῆσαι, [2] οὐκ ἀποκτεῖναι. εἰ δὲ ἐκεῖνος ἀσθενέστερος ἦν τὸν ὑπὲρ τῆς νίκης ἐνεγκεῖν πόνον, αὐτὸν ἑαυτῷ τοῦ πάθους αἴτιον ἡγήσατο· διὸ τιμωρίαν οὐκ ἔδωκεν ὑπὲρ αὐτοῦ. πάλιν, ἂν ἐν πολέμῳ, φησὶν, ἀγνοήσας, καὶ τοῦτον εἶναι καθαρόν. καλῶς. εἰ γὰρ ἐγώ τινα τῶν ἐναντίων οἰηθεὶς εἶναι διέφθειρα, οὐ δίκην ὑπέχειν, ἀλλὰ συγγνώμης τυχεῖν δίκαιός εἰμι. ἢ ἐπὶ δάμαρτι, [3] φησὶν, ἢ ἐπὶ ἀδελφῇ, ἢ ἐπὶ θυγατρὶ, ἢ ἐπὶ παλλακῇ, [4] ἢ ἣν ἂν ἐπ' ἐλευθέροις παισὶν ἔχῃ, καὶ τὸν ἐπὶ τούτων [5] τινὰ κτείναντα ἀθῷον ποιεῖ. πάντων γε ὀρθότατα, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον ἀφιείς. τί δήποτε; ὅτι ὑπὲρ ὧν τοῖς πολεμίοις μαχόμεθα, ἵνα μὴ πάσχωσιν ὑβριστικὸν μηδὲ
638 ἀσελγὲς μηδὲν, ὑπὲρ τούτων καὶ τοὺς φίλους, ἐὰν παρὰ

[1] διελών. [2] [καὶ] οὐκ [3] φησὶν, ἢ ἐπὶ μητρὶ, ἢ [4] Deest ἤ. [5] τινὶ

MStis Bar. Lind. Ital. et Vindob. Iterumque v. 18. p. 207. ubi verba Legis repetuntur. Non diversæ igitur, ut videtur, pellex, et *ea, quam liberis ingenuis suscipiendis habet*. Innuit enim non Ἑταίραν, sed Concubinam, quam suboli suscipiendæ, et quasi uxorem, domi habere solebant. TAYLOR.

Φεύγειν] *Exsulato*. Incaute hoc a Wolfio redditum. Μὴ φεύγειν κτείνοντα, *ne reus cædis sistatur*. Post hæc verba Bar. subjicit ἐπίσχες, ut nonnunquam alibi post legis particulam recitatam reperiri solet. IDEM.

Ἐξεῖναι] Ἔξεστι marg. Benen. forte ἐξείη Wolfius. Vide infra §. ιζ'. In proximis v. 5. πῶς (non ὅπως) cum MStis Bar. et Vind. IDEM.

Διελθὼν] Corrige διελών. Ita Ven. Bar. Ital. Linden. et Reg. α. quod Wolfio rectius esse videtur. Vide §. ιθ'. IDEM. Cf. D'Orville ad Charit. Aphrod. Lib. VII. cap. VI. p. 645.

Ἀσθενέστερος ἦν — ἐνεγκεῖν] Ἀσθενέστερος, ἢ ὥστε ἐνεγκεῖν. WOLF. Exponendi, credo, animo, non emendandi. Alibi legit, et quidem, ut ait, ex Codd. Lutetianis, cujus tamen lectionis vestigium non deprehendo: εἰ δ' ἐκεῖνος ἀσθενέστερος ἦν τοῦ τὸν ὑπὲρ τῆς νίκης ἐνεγκεῖν πόνον. TAYLOR. Num εἰ δὲ ἐκεῖνος ἀσθενέστερος ἦν, ἢ — ἐνεγκεῖν πόνον? JURIN.

Φησὶν] Addunt Bar. Lind. Ital. Vind. cum Benenato, ἢ ἐπὶ μητρὶ pariter uti in Lege scribitur. In Veneto deficiebat ἢ ἐπὶ δάμαρτι. TAYLOR.

Τινὰ] Omnino τινί. κτείναντι ἐπί τινι τούτων, ut in lege: ἐάν τις ἀποκτείνῃ ἐπὶ δάμαρτι, ἢ ἐπὶ μητρὶ etc. τινὶ ἴσως Bodl. atque ita marg. Benehati. τῷ Lind. et Ital. IDEM.

τὸν νόμον εἰς αὐτοὺς ὑβρίζωσι, καὶ διαφθείρωσιν, ἔδωκεν ἀποκτεῖναι. ἐπειδὴ γὰρ οὐ γένος ἐστὶ [1] φίλων καὶ πολεμίων, ἀλλὰ τὰ πραττόμενα ἐξεργάζεται τοῦθ' ἑκάτερον, τοὺς ἐχθρὰ ποιοῦντας ἐν ἐχθροῦ μέρει κολάζειν ἀπέδωκεν ὁ νόμος. οὐκοῦν δεινὸν, εἰ τοσούτων ὄντων, ἐφ' οἷς τοὺς ἄλλους ἔξεστιν ἀποκτιννύναι, μόνον ἀνθρώπων ἐκεῖνον μηδ' ἐπὶ τούτοις ἐξέσται ἀποκτεῖναι. φέρε, ἂν δέ τι συμβῇ τοιοῦτον, οἷον ἴσως ἤδη τῳ καὶ ἄλλῳ, ἀπαλλαγῇ μὲν ἐκ Θράκης, ἐλθὼν δὲ εἰς [2] τὴν πόλιν οἰκῇ που, τῆς μὲν ἐξουσίας μηκέτι κύριος ὢν, δι' ἧς πολλὰ ποιεῖ τῶν ἀπειρημένων ὑπὸ τῶν νόμων, τοῖς δ' ἔθεσι καὶ ταῖς ἐπιθυμίαις ταῦτ' [3] ἐπιχειρῇ πράττειν· ἄλλο [4] τί, ἢ σιγῶντα δεήσει Χαρίδημον [5] ἐᾶν ὑβρίζειν; οὐ γὰρ αὐτὸν ἀποκτεῖναί γε ἀσφαλὲς, οὐδὲ τιμωρίαν λαβεῖν, ἣν δίδωσιν ὁ νόμος, διὰ τὸ ψήφισμα [6] τουτουί. καὶ μὴν, εἴ τις ἐκεῖνο ὑπολαμβάνει, ποῦ δὲ γένοιτο ἂν ταῦτα; τί κωλύει κἀμὲ λέγειν, τίς δ' ἂν ἀποκτείναι Χαρίδημον; ἀλλὰ μὴ τοῦτο σκοπῶμεν· ἀλλ' ἐπειδή περ ἐστὶ τὸ φεῦγον ψήφισμα οὐκ ἐπὶ ἤδη γεγενημένῳ τινὶ πράγματι, ἀλλ' ἐπὶ τοιούτῳ, ὃ μηδ' εἰ γενήσεται μηδεὶς οἶδε, τὸ μὲν τοῦ μέλλοντος ἔσεσθαι, κοινὸν ἀμφοῖν ὑπαρχέτω· πρὸς δὲ [7] τούτῳ ὑποθέντες ἀνθρωπίνως τὰς ἐλπίδας, οὕτωσὶ σκοπῶμεν, ὡς τάχ' ἄν, εἰ τύχοι, καὶ τούτων κἀκείνων συμβάντων. λύσασι μὲν τοίνυν τὸ ψήφισμα, ἂν ἄρα συμβῇ τι παθεῖν ἐκείνῳ, εἰσὶν αἱ κατὰ τοὺς νόμους ὑπὲρ αὐτοῦ τιμωρίαι· ἐῶσι δὲ, ἂν ἄρα ἐκεῖνος ζῶν ἀδικῇ τινὰ, ἀνῄρηται τοῖς ὑβριζομένοις ἡ μετὰ τῶν νόμων δίκη. ὥστε 639
πανταχῇ καὶ ἐναντίον ἐστὶ τοῖς νόμοις τὸ ψήφισμα, καὶ λῦσαι συμφέρει.

[1] φιλίων [2] Deest articulus. [3] ἐπιχειρῶν [4] τι
[5] ἐᾶν αὐτὸν ὑβρίζειν; οὐ γὰρ ἀποκτεῖναί [6] τουτί. [7] τοῦτο

Ἐχθροῦ] Lege ἐχθρῶν, propter τοὺς ποιοῦντας. MARKLAND.

Οὐκοῦν δεινὸν κ. τ. λ.] Melius cum Interrogatione: οὐκ οὖν δεινὸν — ἀποκτεῖναι; ut solet Noster. TAYLOR.

Ἐκεῖνον] Nempe, Charidemum. AUGER.

Ἀπαλλαγῇ] F. ὡς ἀπαλλαγῇ. MAREL.

Τοῖς δ' ἔθεσι κ. τ. λ.] Vim hujus loci non vidit Wolfius, quantum ex istius interpretatione judico. Verto liberius: *Finge Charidemum huc ad nos commigraturum, et uxoribus nostris aut liberis stuprum inferre, non armis et militari imperio munitum, (cui ægre resisti potuit) verum moribus et consuetudine ductum. quid? sineremus libidini indulgere, necne?* TAYLOR.

Ἐᾷν] Lege ἐᾷν αὐτὸν ὑβρίζειν. Habent impressi omnes et MSS. fere. Et recte quidem. In proximis cum Codd. Paris. et Vind. æque recte abesse potest. ἄλλο τι ἢ σιγῶντα δεήσει Χαρίδημον ἐᾷν αὐτὸν ὑβρίζειν; οὐ γὰρ ἀποκτεῖναί γε ἀσφαλές. IDEM.

Ποῦ δὲ γένοιτο ἂν ταῦτα;] Scribendum puto, πῶς δὲ γένοιτο ἂν ταῦτα; JURIN.

ιβ'. Λέγε τὸν μετὰ ταῦτα νόμον.

ΝΟΜΟΣ.

Καὶ ἐὰν φέροντα ἢ ἄγοντα βίᾳ ἀδίκως εὐθὺς ἀμυνόμενος κτείνῃ, νηποινεὶ τεθνᾶναι [1] *κελεύει.*

ἄλλα ταῦτα, ἐφ' οἷς ἔξεστι κτεῖναι· ἐὰν ἄγοντα ἢ φέροντα βίᾳ ἀδίκως εὐθὺς ἀμυνόμενος κτείνῃ, νηποινεὶ τεθνᾶναι κελεύει. θεάσασθε, πρὸς Διός, ὡς εὖ. τῷ [2] μὲν ὑπειπὼν ἐφ' οἷς ἐξεῖναι κτείνειν, προσγράψαι τὸ εὐθύς, [3] ἀφεῖλε τὸν τοῦ βουλεύσασθαί τι κακὸν χρόνον· τῷ δὲ ἀμυνόμενος γράψαι, δηλοῖ, τῷ πάσχοντι διδοὺς τὴν ἐξουσίαν, οὐκ ἄλλῳ τινί. ὁ μὲν δὴ νόμος, διὰ ταῦτα εὐθὺς ἀμυνομένῳ δέδωκεν [4] εὐθὺς ἀποκτιννύναι· ὁ δ' οὐδὲν εἴρηκεν, ἀλλ' ἁπλῶς, ἄν τις ἀποκτείνῃ, κἂν δικαίως, κἂν ὡς οἱ νόμοι διδόασιν. ἀλλὰ, νὴ Δία, συκοφαντοῦμεν τὸ πρᾶγμα. τίνα γὰρ οἴσει, ἢ ἄξει βίᾳ ἀδίκως Χαρίδημος; πάντας ἀνθρώπους. ἴστε [5] γὰρ τοῦθ' ὅτι πάντες οἱ [6] στράτευμα ἔχοντες, οὗτοι ὧν ἂν [7] οἴωνται κρείττους ἔσεσθαι, ἄγουσι καὶ φέρουσι, χρήματ' αἰτοῦντες. εἶτ' οὐ δεινὸν, ὦ γῆ καὶ θεοὶ, καὶ φανερῶς παράνομον οὐ μόνον παρὰ τὸν γεγραμμένον νόμον, ἀλλὰ καὶ παρὰ τὸν κοινὸν ἁπάντων ἀνθρώπων νόμον, τὸν ἄγοντα, ἢ φέροντα βίᾳ τἀμὰ ἐν πολεμίου μοίρᾳ, μὴ ἐξεῖναί μοι ἀμύνασθαι; εἴ γε μηδὲ τοῦτον τὸν τρόπον ἐξέσται Χαρίδημον ἀποκτεῖναι,

[1] Deest κελεύει. [2] μὲν * γὰρ ὑπειπὼν [3] ἀφείλετο [4] Deest εὐθύς. [5] γὰρ δήπου τοῦθ' [6] στρατεύματ' [7] οἴονται

ιβ'. ΝΟΜΟΣ] Legem habes omnium absurdissimam, si cum Wolfio legas et interpreteris: Καὶ ἐὰν φέροντα etc. ἀλλὰ ταῦτα — *sed hoc ob ea, propter quæ occidere licet.* Quo nihil excogitari potest futilius. Desinit Lex in κελεύει v. 4. Quam ad explicandam deinde pergit Orator. Ecce, inquit ille, ἄλλα ταῦτα, ἐφ' οἷς ἔξεστι κτεῖναι, *si quis* sc. *per vim et injuriam abduxerit.* TAYLOR.

Ἐὰν ἄγοντα — κελεύει] Oratoris hæc sunt verba partem legis recitantis, ideoque minore charactere imprimenda. JURIN.

Κελεύει] Nempe, lex vel legislator. AUGER.

Εὐθὺς ἀποκτιννύναι] Dele εὐθὺς, namque hic locum nullum habere potest, et repetitur solummodo ex superioribus. Deest in Reg. α. et Vindob. TAYLOR.

Ὁ δ' οὐδὲν εἴρηκεν] Nonne ὁ δ' οὐδὲν τοιοῦτον εἴρηκεν? JURIN.

Κἂν δικαίως] Iterumque ita §. ιζ'. (ubi vide, quæ annotabuntur) ἐάν τις ἀποκτείνῃ, φησὶ, Χαρίδημον, κἂν δικαίως, κἂν ὡς οἱ νόμοι διδόασιν, *sive id jure, sive ut leges permittunt,* ut Wolfius noster vertit. Præclare quidem! Putassem hæc fere esse eadem; et quæcunque jure fiunt, eadem juxta leges fieri. Ubi igitur est distinctio? Tu legas utrobique κἂν ἀδίκως, κἂν ὡς οἱ νόμοι διδόασιν. Absolute, ait Orator, ἁπλῶς, scripsit, si quis Charidemum interfecerit, quocunque demum modo id fiat, sive jure, sive injuria, nam de ea re nihil distinxit. TAYLOR.

ἀλλ' ἐὰν [1] ἀδικῶν ἄγῃ καὶ φέρῃ βίᾳ, τὰ τινὸς ληϊζόμενος, ἀγώγιμος ὁ κτείνας ἔσται· τοῦ νόμου διδόντος, ἐὰν ἐπὶ τούτοις, ἀθῷον εἶναι.

ιγ'. Λέγε τὸν μετὰ ταῦτα νόμον.

ΝΟΜΟΣ. 640

Ὃς ἂν ἄρχων ἢ ἰδιώτης αἴτιος ᾖ [2] τοῦ τὸν θεσμὸν συγχυθῆναι τόνδε, ἢ [3] μεταποιήσοι αὐτὸν, ἄτιμον εἶναι, καὶ παῖδας ἀτίμους, καὶ τὰ ἐκείνου.

ἠκούσατε μὲν τοῦ νόμου ἄντικρυς, ὦ ἄνδρες Ἀθηναῖοι, λέγοντος, [4] ὃς ἄρχων, ἢ ἰδιώτης αἴτιος ᾖ [5] τοῦ τὸν θεσμὸν συγχυθῆναι τόνδε, ἢ μεταποιήσῃ αὐτὸν, ἄτιμος ἔστω, καὶ οἱ παῖδες, καὶ τὰ ἐκείνου. ἆρ' οὖν μικρὰν, ἢ φαύλην πρόνοιαν [6] ἡμῖν ἔχειν ὁ θεὶς τὸν νόμον δοκεῖ, ὅπως κύριος ἔσται, καὶ μήτε συγχυθήσεται, μήτ' αὖ μεταποιηθήσεται; ἀλλ' Ἀριστοκράτης οὑτοσὶ, μικρὸν φροντίσας αὐτοῦ, μεταποιεῖ καὶ συγχεῖ. τί γὰρ ἄλλο ἔσται τὸ μεταποιεῖν, ἢ ὅταν ἔξω τῶν τεταγμένων δικαστηρίων καὶ ὅρων, ὧν εἰργεσθαι δεῖ, διδῷ τις τὰς τιμωρίας, καὶ τὸ [7] τοῦ λόγου τυχεῖν ἀναιρῶν, ἐκδότους ποιῇ; τί δ' ἄλλο τὸ συγχεῖν, ἢ ὅταν ἑξῆς οὑτωσὶ πάντα τἀναντία τῶν ἐν τοῖς νόμοις τις γεγραμμένων γράφῃ;

ιδ'. Οὐ τοίνυν μόνον [8] τούτους τοὺς νόμους, ὦ ἄνδρες Ἀθηναῖοι, παραβέβηκεν, ἀλλὰ καὶ ἄλλους πολλοὺς, οὓς οὐ παραγεγράμμεθα διὰ τὸ πλῆθος· ἀλλ' ἐν κεφαλαίῳ λέγω, ὁπόσοι νόμοι περὶ τῶν φονικῶν δικαστηρίων εἰσὶ, καλεῖσθαι λέγοντες, ἢ μαρτυρεῖν, ἢ διόμνυσθαι τοὺς ἀγωνιζομένους, ἢ ἄλλ' ὁτιοῦν προστάσσοντες, [9] πάντας ὑπερβέβηκε τούτους, καὶ πᾶσιν ἐναντίον εἴρηκε τὸ ψήφισμα

[1] ἀδίκως [2] [τοῦ] [3] μεταποιήσῃ [4] ὃς ἂν ἄρχων [5] [τοῦ] [6] ὑμῖν
[7] Deest articulus. [8] τούτους μόνον [9] ἅπαντας

Ἀδικῶν] Ἀδίκως marg. Benenati. Recte. Uti in lege ἐὰν φέροντα ἢ ἄγοντα βίᾳ ἀδίκως, et supra v. 15. p. 209. τίνα γὰρ οἴσει ἢ ἄξει βίᾳ ἀδίκως Χαρίδημος. Idem.

Ἐπὶ τούτοις] Sub. κτείνῃ. Auger.

ιγ'. Τοῦ] Addidi ex Edit. Lutetiana, et postea v. 10. Proxime v. 7. melius μεταποιήσῃ cum Bar. Bodl. Lind. Aug. et Editis præter Aldum, et deinde ibid. expunge istud ἀτίμους, ut recte Codd. Lind. et Ital. Taylor.

Ὃς ἄρχων] Scribe ὃς ἂν ἄρχων, ut prius, lingua Græca ita postulante. Markland. Vid. Var. Lect.

Ἔσται] Lege ἐστί. Ita legitur in Ven. Bar. Vind. Taylor.

Ἐκδότους] Sub. τοὺς ἀνθρώπους, vel aliud quid. Auger.

τουτί. οὔ γὰρ οὐ κλῆσις, [1] οὐ κρίσις, οὐ μαρτυρία συνειδότος, οὐ διωμοσία, ἀλλ' ἀπ' αἰτίας εὐθὺς ἡ τιμωρία γέγραπται, καὶ [2] αὐτὴ ἣν ἀπαγορεύουσιν οἱ νόμοι, τί ἂν ἄλλο τις εἴποι; καί τοι ταῦτα πάντα ἐωὶ πέντε δικαστη-
641 ρίοις γίγνεται, ωροστεταγμένα τοῖς νόμοις. νὴ Δί', ἴσως εἴποι τις ἂν, ἀλλὰ ταῦτα μὲν οὐδενὸς ἔστ' ἄξια, οὐδὲ δικαίως εὑρημένα· ἃ δ' ἔγραψεν οὗτος δίκαια καὶ [3] καλά. ἀλλὰ τοὐναντίον. τούτου μὲν τοῦ ψηφίσματος, οὐκ οἶδ' εἴ τι δεινότερον γέγονε πώποτε ἐν ὑμῖν· τούτων δὲ τῶν πάντων, ὁπόσα ἐστὶ δικαστήρια ἐν ἀνθρώποις, οὐδὲν οὔτε σεμνότερον, οὔτε δικαιότερον φανήσεται. βούλομαι δ' εἰπεῖν διὰ βραχέων, ἃ καὶ ζῆλόν τινα, καὶ τιμὴν φέρει τῇ πόλει ῥηθέντα, καὶ ἡδίους ἔσεσθε ἀκούσαντες· ἄρξομαι δὲ ἐντεῦθεν, ὅθεν μάλιστα μαθήσεσθε, ἐωὶ τὴν δωρεὰν ἐωανελθὼν [4] ἢ τῷ Χαριδήμῳ δέδοται.

ιέ. Ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Χαρίδημον ἐωοιησάμεθα πολίτην, καὶ διὰ τῆς δωρεᾶς ταύτης, μετεδώκαμεν αὐτῷ καὶ ἱερῶν καὶ ὁσίων καὶ νομίμων, καὶ πάντων ὅσων περ αὐτοῖς μέτεστιν ἡμῖν. ωολλὰ μὲν δὴ ωαρ' ἡμῖν ἐστὶ τοιαῦτα, οἷα οὐχ ἑτέρωθι· ἓν δ' οὖν ἰδιαίτατον πάντων καὶ σεμνότατον, τὸ ἐν Ἀρείῳ πάγῳ δικαστήριον, ὑπὲρ οὗ τοσαῦτά ἐστιν εἰπεῖν καλὰ παραδεδομένα καὶ μυθώδη, καὶ ὧν αὐτοὶ μάρτυρες ἐσμὲν, ὅσα περὶ οὐδενὸς ἄλλου δικαστηρίου· ὧν ὡσωερεὶ δείγματος ἕνεκεν, ἄξιόν ἐστιν ἓν ἢ δύο ἀκοῦσαι. τοῦτο μὲν τοίνυν τὰ ωαλαιὰ, ὡς ἡμῖν ἀκοῦσαι παραδέδο-

[1] [οὐ κρίσις,] [2] αὕτη [3] καλά; [4] ἢ

ιδ'. Αὐτὴ] Corrigendum cum Aug. Cod. αὕτη. *Ea*, non *ipsa*. TAYLOR.

Ἃ δ' ἔγραψεν οὗτος δίκαια καὶ καλὰ] Inscite Wolfius hæc in versione sua interrogative enunciavit. IDEM.

Τούτων] Non cohæret cum τῶν πάντων: hoc est hujus phraseos constructio: οὐδὲν (δικαστήριον) τῶν πάντων ο. ε. δ. ε. ἀνθρώποις, οὔτε σεμνότερον - - - φανήσεται τούτων — *augustius videbitur his*, nempe, his quæ sunt Athenarum. AUGER.

Ὅθεν] Ita pro ὅταν vulgatorum, ex Ven. Bar. Bodl. Cant. et Vindob. TAYLOR.

Δωρεὰν] Δωρεὰ intelligatur donatio civitatis, quam ante digressionem exponit. WOLF.

ιέ. Ἰδιαίτατον] Ἰδιώτατον habent MSS. Ven. Bar. Bodl. Lind. Obsop. Vind. Ita etiam legit Dionys. Halic. περὶ τῆς Δ. δεινότητος. §. 14. atque etiam modo, v. 21. rectius editis, περὶ οὗ τοσαῦτα. TAYLOR.

Καλὰ] Lege παλαιά: quod patet ex sensu, et sequentibus, et ex oppositione καὶ ὧν αὐτοὶ μάρτυρες ἐσμέν. v. 22. Vide v. 5. p. 212. καὶ τὰ μὲν δὴ παλαιὰ, τοιαῦτα etc. MARKLAND.

Καὶ μυθώδη] Τὰ μυθώδη καὶ τὰ μεμαρτυρημένα inter se opponuntur. Τὰ καλὰ παραδεδομένα pertinent ad hæc utraque. WOLF.

Ὡς ἡμῖν κ. τ. λ.] *Ut traditum est nobis audire*, i. e. audienda: ut nostræ audi-

ται, ἐν μόνῳ τούτῳ τῷ δικαστηρίῳ θεοὶ δίκας φόνου, καὶ δοῦναι καὶ λαβεῖν ἠξίωσαν, καὶ δικασταὶ γενέσθαι διενεχθεῖσιν ἀλλήλοις, ὡς λόγος· λαβεῖν μὲν Ποσειδῶν ὑπὲρ Ἁλιῤῥοθίου τοῦ υἱοῦ παρὰ [1]Ἄρεος, δικάσασθαι δὲ Εὐμενίσι καὶ Ὀρέστῃ οἱ δώδεκα θεοί. καὶ τὰ μὲν δὴ παλαιά, τοιαῦτα· τὰ δ' ὕστερον, τοῦτο μόνον τὸ δικαστήριον, οὐχὶ τύραννος, οὐκ ὀλιγαρχία, οὐ δημοκρατία τὰς φονικὰς δίκας 642
ἀφελέσθαι τετόλμηκεν, ἀλλὰ πάντες ἀσθενέστερον ἂν τὸ δίκαιον εὑρεῖν [2]ἡγοῦντο περὶ τούτων αὐτοί, τοῦ παρὰ τούτοις εὑρημένου δικαίου. πρὸς δὲ τούτοις, τοιούτοις οὖσιν, ἐνταυθοῖ μόνον οὐδεὶς πώποτε οὔτε φεύγων ἁλοὺς, οὔτε διώκων ἡττηθεὶς ἐξήλεγξεν ὡς ἀδίκως ἐδικάσθη τὰ κριθέντα. ταύτην τοίνυν τὴν φυλακὴν, καὶ τὰς ἐν ταύτῃ νομίμους τιμωρίας παραβὰς ὁ γράφων τὸ ψήφισμα τουτὶ, ζῶντι μὲν ἐξουσίαν γέγραφε τῷ Χαριδήμῳ ποιεῖν, ὅ,τι ἂν βούληται· παθόντος δέ τι, τοῖς οἰκείοις συκοφαντίαν δέδωκε. σκέψασθε γὰρ οὕτωσί. ἴστε δήπου τοῦθ' ἅπαντες, ὅτι ἐν Ἀρείῳ πάγῳ, οὗ δίδωσιν ὁ νόμος καὶ κελεύει φόνου δικάζεσθαι, πρῶτον μὲν [3]διεξομεῖται κατ' ἐξωλείας αὐτοῦ, καὶ γένους, καὶ οἰκίας, ὁ τινὰ αἰτιώμενος εἰργάσθαι τι τοιοῦτον. εἶτ' οὐδὲ [4]κατὰ τυχόντα τιν' ὅρκον [5]τοῦτο ποιήσει, ἀλλ' ὃν οὐδεὶς ὄμνυσιν ὑπὲρ οὐδενὸς ἄλλου, στὰς ἐπὶ τῶν τομίων κάπρου, καὶ κριοῦ, καὶ ταύρου, καὶ τούτων ἐσφαγμένων ὑφ' ὧν δεῖ, καὶ ἐν αἷς ἡμέραις προσήκει. ὥστε καὶ ἐκ τοῦ χρόνου, καὶ ἐκ τῶν μεταχειριζομένων ἅπαν ὅσον ἔσθ' ὅσιον,

[1] Ἄρεως, δικάσαι [2] ἡγοῦνται [3] διομεῖται [4] τὸν [5] τοῦτον

tioni traditum est. AUGER.

Ὡς λόγος] [Vel cum Bar. ὡς ὁ λόγος] Isocrates audacius: ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι. WOLF. Sub. ἐστί. AUGER.

Λαβεῖν] Sub. δίκας φόνου ἠξίωσε. versu seq. pro δικάσασθαι f. leg. δοῦναι subaudiendo δίκας φόνου ἠξίωσαν. IDEM.

Διεξομεῖται κ. τ. λ.] De hac inhumanitate pœnas extendendi in insontes reorum uxores liberosque et familiam, cf. D'Orville ad Charit. Aphrod. Lib. III. cap. IX. p. 339.

Ὁ τινὰ αἰτιώμενος] Ita dedi, pro vulgato εἴ τινα, ex auctoritate Fel. Man. Paris. Bodl. Cant. Ital. et MSS. Ald. ὅντινα Bar. et Vind. corrupte. Paulo ante v. 19. restitue διομεῖται, quomodo eam vocem exhibent MSS. fere omnes. Verbum enim legitimum est διωμοσία, non διεξωμοσία. TAYLOR.

Εἶτ' οὐδὲ τὸν τυχόντα τιν' ὅρκον τοῦτο ποιήσει] Satis esset εἶτ' οὐδὲ τὸν τυχόνθ' ὅρκον ποιήσει. WOLF. Editi et MSti εἶτ' οὐδὲ τὸν τυχόντα τιν' ὅρκον τοῦτο ποιήσει. Nescio, unde irrepserit istud κατὰ, quod in Wolfii vulgatis habemus. οὐδὲ τὸν τυχόντα τρόπον solus Bodl. TAYLOR.

Κάπρου, καὶ κριοῦ, καὶ ταύρου] A Græcis igitur Romani acceperunt sua Suovetaurilia, ut et plerosque Deos suos. PALMER.

Προσήκει] Καθήκει MSti omnes, præter eos, quos versarunt Manutius et Felicianus. TAYLOR.

Μεταχειριζομένων] Hic par pari respondet: ἐν αἷς ἡμέραις — ἐκ τοῦ χρόνου. Et

[1] πεπρᾶχθαι. καὶ μετὰ ταῦτα ὁ τὸν τοιοῦτον ὅρκον ὀμωμοκὼς, οὔπω πεπίστευται, ἀλλ' ἐὰν ἐξελεγχθῇ μὴ λέγων ἀληθῆ, τὴν ἐπιορκίαν ἐπενεγκάμενος τοῖς ἑαυτοῦ παισὶ καὶ τῷ γένει, πλέον οὐδ' ὁτιοῦν ἕξει· ἐὰν δὲ δόξῃ τὰ δίκαια ἐγκαλεῖν, καὶ ἕλῃ τὸν δεδρακότα τοῦ φόνου, οὐδ' οὕτω κύριος γίγνεται τοῦ ἁλόντος. ἀλλ' ἐκείνου μὲν οἱ νόμοι κύριοι [2] κολάζειν, καὶ οἷς προστέτακται ταῦτα· τῷ δὲ, ἐπιδεῖν διδόντα
643 δίκην ἔξεστιν, ἣν ἔταξεν ὁ νόμος, τὸν ἁλόντα· πέρα δ' οὐδὲν τούτων. καὶ τῷ μὲν διώκοντι, ὑπάρχει ταῦτα· τῷ δὲ φεύγοντι, τὰ μὲν τῆς διωμοσίας, [3] τοιαῦτα, τὸν πρότερον δὲ ἔξεστιν εἰπόντα λόγον, μεταστῆναι. καὶ οὔθ' ὁ διώκων, οὔθ' οἱ δικάζοντες, οὔτ' ἄλλων ἀνθρώπων οὐδεὶς κύριος κωλύσαι. τί δήποτ', ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' οὕτως ἔχει; ὅτι οἱ ταῦτ' ἐξαρχῆς τὰ νόμιμα διαθέντες, οἵ τινές ποτ' ἦσαν, εἴθ' ἥρωες, εἴτε θεοὶ, οὐκ ἐπέθεντο τοῖς ἀτυχήμασιν· ἀλλ' ἀνθρωπίνως ἐπεκούφισαν εἰς ὅσον εἶχε καλῶς τὰς συμφοράς. ταῦτα μέν τοι πάντα, οὕτω καλῶς καὶ νομίμως ἔχοντα, ὁ γράφων τὸ ψήφισμα τουτὶ παραβεβηκὼς φαίνεται· ἐν γὰρ οὐδ' ὁτιοῦν ἑνὶ τούτων ἐν τῷ ψηφίσματι [4] τούτου.

ις'. Καὶ πρῶτον μὲν παρ' ἓν τοῦτο τὸ δικαστήριον, καὶ παρὰ τοὺς [5] γεγραμμένους νόμους, καὶ ἄγραφα νόμιμα, τὸ

[1] πεπράχθαι [2] κολάσειν [3] ταὐτὰ [4] τῷ τούτου
[5] γεγραμμένους * τούτου νόμους, καὶ ἄγραφα

rursus, ὑφ' ὧν δεῖ — τῶν μεταχειριζομένων. Hæc dixi, ut caveres tibi a mala Wolfii interpretatione, nempe, *rerum, quæ adhibentur, solennitate.* Idem. *Ex iis qui rem tractant*, i. e. ex Ministris. Auger.

Ἐπενεγκάμενος] Lege ἀπενεγκαμένος ex fide Bar. Reg. *a.* Vindob. et Ital. Taylor.

Πλέον οὐδ' ὁτιοῦν ἕξει] Intellige eleganti euphemismo, *funditus interibit.* Abstinebat sedulo Lingua Attica a verbis male ominatis. Ita Noster π. παραπρεσβ. §. ιέ. εἰ μὲν γὰρ ἐνταῦθ' ἦν ἤδη τὰ πράγματα, ὥστε μηδ' αἰσθομένοις τοῖς Θηβαίοις πλέον εἶναι μηδὲν, τί οὐ γέγονεν; Ubi σχ. τί οὖν μὴ διεφθάρησαν; et recte. Nugatur hic Interpres, neque vim aut solennitatem vocis vidit. Idem.

Τὰ μὲν τῆς διωμοσίας, τοιαῦτα] Nisi intelligas οἷα τῷ διώκοντι, videtur cerimonia deesse. Sed Felicianus rectius habet ταὐτά. Eadem ratio est jurisjurandi. Ac dubitari potest, an pro διωμοσία sit legendum ἀντωμοσία, quam ego vocem interpretando sum secutus. Wolf. Forte ταὐτὰ, ut animadvertit Wolfius. Ita etiam Edit. Paris. et Cod. Ital. Taylor. Pone τοιαῦτα post ὑπάρχει et ταὐτὰ post διωμοσίας. Auger.

Τῷ δὲ φεύγοντι, τὸν πρότερον ἔξεστιν εἰπόντα λόγον μεταστῆναι] *Reo autem licet cum primam orationem habuerit, solum vertere, id quod vetare nec accusatoris, nec judicum potestas est.* Licebat enim reis post primam actionem exilium sibi consciscere ante judicium peractum, idque appellabant exilii causa *solum vertere*, μεταναστεύειν, μετοικίζεσθαι. Livius de Decemviris loquens, " Bona Claudii Oppiique, qui ante diem judicii vitam in vinculis finierant, tribuni publicavere. Collegæ eorum exilii causa solum verterunt, bona publicata sunt." Unde liquet hoc etiam Romanis, ut cætera, ex Græcorum legibus translatum esse. Ex Annotationibus in Pandect. Ex edit. Hervag.

ψήφισμα εἴρηται. δεύτερον δ' ἕτερον δικαστήριον, τὸ τῶν ἀκουσίων φόνων, φανήσεται συγχέων, τὸ ἐπὶ Παλλαδίῳ, καὶ τοὺς παρὰ τούτῳ νόμους παραβαίνων. καὶ γὰρ ἐνταῦθ' ὑπόκειται πρῶτον μὲν, διωμοσία, δεύτερον δὲ, λόγος, τρίτον δὲ, γνῶσις τοῦ δικαστηρίου· ὧν οὐδέν ἐστιν ἐν τῷ τούτου ψηφίσματι. ἂν δ' ἁλῷ καὶ δοκῇ τοὔργον εἰργάσθαι, οὔθ' ὁ διώκων τοῦ δεδρακότος κύριος, οὔτ' ἄλλος οὐδεὶς πλὴν ὁ νόμος. τί οὖν ὁ νόμος κελεύει; τὸν ἁλόντα ἐπ' ἀκουσίῳ φόνῳ, ἔν τισιν ὡρισμένοις χρόνοις ἀπελθεῖν τακτὴν ὁδὸν, καὶ φεύγειν, ἕως ἂν αἰδέσηταί [1] τις τῶν ἐν γένει τοῦ 644
πεπονθότος· τηνικαῦτα δ' ἥκειν δέδωκεν, ἔστιν ὃν τρόπον οὐχ ὃν ἂν τύχῃ. ἀλλὰ καὶ θῦσαι, καὶ καθαρθῆναι, καὶ ἄλλ' ἄττα [2] δὴ εἴρηκεν ἃ χρὴ ποιῆσαι, ὀρθῶς, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα πάντα λέγων ὁ νόμος. καὶ γὰρ τὸ τῶν ἀκουσίων ἐλάττω τὴν τιμωρίαν, ἢ τῶν ἑκουσίων τάξαι, δίκαιον· καὶ τὸ παρασχόντ' ἀσφάλειαν ἀπελθεῖν, [3] καὶ τὸ προστάττειν φεύγειν, ὀρθῶς ἔχον ἐστί· καὶ τὸ τὸν κατιόνθ' [4] ὁσιοῦν καὶ καθαίρεσθαι νομίμοις τισί· καὶ τὸ τοὺς νόμους κυρίους ἁπάντων εἶναι, καὶ ταῦτα πάντα ἔχει καλῶς. ταῦτα τοίνυν ἅπαντα δικαίως οὕτω διορισθέντα ὑπὸ τῶν ἐξαρχῆς νομοθετησάντων, παρέβη γράφων τὸ ψήφισμα οὗτοσί.

ιζ'. Ταῦτα μὲν δὴ δύο τηλικαῦτα καὶ τοιαῦτα δικαστήρια, καὶ νόμιμα, ἐκ πάντος τοῦ χρόνου παραδεδομένα, οὕτως ἀναιδῶς ὑπερπεπήδηκε. τρίτον δὲ ἕτερον πρὸς τούτοις δικαστήριον, ὃ πάντων ἁγιώτατα τούτων ἔχει καὶ φρικωδέστατα, ἄν τις ὁμολογῇ μὲν κτεῖναι, ἐννόμως δὲ φῇ δεδρακέναι. τοῦτο δέ ἐστι τὸ ἐπὶ Δελφινίῳ. δοκοῦσι γὰρ

[1] τινα [2] διείρηκεν [3] καὶ τὸ] οὕτω [4] ὁσιοῦσθαι

ιζ'. Ἂν δ' ἁλῷ] Sub. ὁ φεύγων. AUGER.

Τί οὖν ὁ νόμος κελεύει;] Desunt in Bar. Reg. α. et Vindob. ὁ νόμος. Recte. οὔτ' ἄλλος οὐδεὶς, πλὴν ὁ νόμος. τί οὖν κελεύει; et Wolfio quoque videtur esse scholion. TAYLOR.

Καὶ φεύγειν ἕως ἂν αἰδέσηταί τινα τῶν ἐν γένει τοῦ πεπονθότος] *Extorrem esse quoad usque aliquem exorarit gentilium mortui.* dictum est alibi, tam exorantem quam exoratum αἰδεῖσθαι Græcis dici. *Ex edit.* HERVAG.

Αἰδέσηταί τινα] Alii αἰδέσηταί τις, τουτέστι, συγγνώμην σχήσῃ τις αὐτῷ. WOLF. τινα habent Editt. Ald. et Morel. cum MSS. Aug. et Vind. Αἰδέσασθαι — Δημοσθένης — ἐν τῷ κατ' Ἀριστοκράτους, ἀντὶ τοῦ, ἐξιλάσασθαι καὶ πεῖσαι. Harpocr. TAYLOR.

Ἀλλὰ καὶ θῦσαι] De ritu expiandi homicidas agit Ovidius 2. Fastorum; eumque concludit hoc epiphonemate:

Ah nimium faciles, qui tristia crimina cædis
Fluminea tolli posse putetis aqua.

WOLF.

μοι, ὦ ἄνδρες Ἀθηναῖοι, ζητῆσαι τοῦτο πρῶτον ἁπάντων οἱ περὶ τούτων ἐν ἀρχῇ τὰ δίκαια ὁρίσαντες, πότερ᾽ οὐδένα χρὴ φόνον ὅσιον εἶναι νομίζειν, ἤ τινά γ᾽ ἔσθ᾽ ὅσιον νομιστέον. λογιζόμενοι δ᾽, ὅτι μητέρα Ὀρέστης ἀπεκτονὼς, ὁμολογῶν, θεῶν δικαστῶν τυχὼν, ἀποφυγγάνει, νομίσαι δίκαιόν τινα εἶναι φόνον· οὐ γὰρ ἂν τά γε μὴ δίκαια θεοὺς ψηφίσασθαι. ὡς δὲ τοῦτο ἐνόμισαν, γράφουσιν ἤδη καὶ διορίζουσι σαφῶς, ἐφ᾽ οἷς ἐξεῖναι ἀποκτιννύναι. ἀλλ᾽ οὐχ [1] οὗτος οὐδὲν ἀφεῖλεν· ἀλλ᾽ ἁπλῶς, ἐάν τις ἀποκτείνῃ, [2] φησὶ, Χαρίδημον, κἂν δικαίως, κἂν ὡς οἱ νόμοι διδόασιν, ἕκδοτον ποιεῖ. καί τοι πᾶσίν εἰσι πράγμασι καὶ λόγοις δύο προσθῆναι, ἥ τε τοῦ δικαίου καὶ ἀδίκου, ἃς ἅμα μὲν τὸ αὐτὸ πρᾶγμα οὐδὲν ἂν δύναιτο σχεῖν, οὐδὲ λόγος οὐδείς. πῶς γὰρ ἂν δίκαια ἅμα ταὐτὰ καὶ μὴ γένοιτο; τὴν ἑτέραν δ᾽ ἕκαστον αἰτίαν ἔχον δοκιμάζεται. κἂν μὲν τὴν ἄδικον φανῇ, πονηρὸν κρίνεται· ἐὰν δὲ τὴν δικαίαν, χρηστὸν καὶ καλόν. σὺ τοίνυν [3] οὐδετέραν προσέθηκας, τοῦτον ἄν τις ἀποκτείνῃ, γράφων, ἀλλ᾽ ἀόριστον αὐτὴν εἰπὼν τὴν αἰτίαν, καὶ μετὰ ταῦτ᾽ εὐθὺς προσγράψας, ἀγώγιμον εἶναι. τρίτον τουτὶ δικαστήριον, καὶ τὰ τούτου νόμιμα παραβεβηκὼς φαίνῃ.

ιή. Τέταρτον τοίνυν ἄλλο πρὸς τούτοις, τὸ ἐπὶ Πρυτανείῳ. τοῦτο δέ ἐστι τί; ἐὰν λίθος, ἢ ξύλον, ἢ σίδηρος, ἤ τι τοιοῦτον ἐμπεσὸν πατάξῃ, καὶ τὸν μὲν βαλόντα ἀγνοῇ τις, αὐτὸ δὲ εἰδῇ καὶ ἔχῃ τὸ τὸν φόνον εἰργασμένον· τούτοις ἐνταῦθα λαγχάνεται. εἰ τοίνυν τῶν ἀψύχων καὶ μὴ μετε-

645

[1] οὗτος. οὐδὲν ἀφεῖλεν, [2] [φησὶ,] [3] οὐδ᾽ ἑτέραν προσέθηκας τούτων, ἄν

ιζ᾽. Νομίσαι] Refertur ad δοκοῦσι, quod est paulo superius. AUGER.

Ἐξεῖναι] Γρ. ἐξεῖη et ἔξεστι marg. Benenati. Proxime autem, cum eodem Benenato distinguas, ἀλλ᾽ οὐχ οὗτος, οὐδὲν ἀφεῖλεν. TAYLOR.

Φησὶ] Dele, cum sit otiosum. Non reperitur in melioribus exemplaribus, Ven. Bar. Vindob. et Reg. α. ἀλλ᾽ ἁπλῶς, ἐάν τις ἀποκτείνῃ Χαρίδημον — ἔκδοτον ποιεῖ. IDEM.

Κἂν ὡς οἱ νόμοι διδόασι] Κἂν ὡς οὐχ οἱ νόμοι διδόασι Ven. et Ital. Vid. §. ιβ᾽. IDEM.

Οὐδὲν ἂν] Ἃς ἅμα μὲν τὸ αὐτὸ πρᾶγμα οὐ δύναιτο σχεῖν Vindob. Mallem οὐκ ἂν δύναιτο. IDEM.

Αἰτίαν] Deest in Bar. et Vindob. Recte fortasse. Et referas ἑτέραν ad προσθήκην vel πρόφασιν, *the circumstance*. Nam aliud est αἰτία. IDEM. Hic αἰτία idem est ac προσθήκη. AUGER.

Τοῦτον] Lege σὺ τοίνυν οὐδετέραν προσέθηκας τούτων, (sc. τῶν προσθηκῶν) Ita plurimi Editi et MSti. TAYLOR.

Ἀγώγιμον εἶναι] Distingue melius: σὺ τοίνυν οὐδετέραν προσέθηκας τούτων· — ἀλλ᾽ ἀόριστον αὐτὴν εἰπὼν τὴν αἰτίαν, καὶ μετὰ ταῦτα εὐθὺς προσγράψας, ἀγώγιμον εἶναι, τρίτον τουτὶ δικαστήριον — παραβεβηκὼς φαίνῃ. Et corrige pariter versionem. IDEM.

ιή. Εἰ τοίνυν τῶν ἀψύχων καὶ μὴ μετεχόντων τοῦ φρονεῖν, etc.] *Quod si vel lapidem, vel*

χόντων τοῦ φρονεῖν οὐδὲν ἔσθ' ὅσιον, τοιαύτην ἔχον αἰτίαν, ἐὰν ἄκριτον, [1] ἤπου τόν γε ἀδικοῦντα μὲν οὐδὲν, ἐὰν τύχῃ, θήσω δὲ ἀδικοῦντα, ἀλλ' ἄνθρωπόν γε ὄντα, καὶ μετειληφότα τῇ τύχῃ τῆς αὐτῆς ἡμῖν φύσεως, ἀνόσιον καὶ δεινὸν ἄνευ λόγου καὶ ψήφου ποιεῖν ἔκδοτον ἐπ' αἰτίᾳ τοιαύτῃ.

ιθ'. Ἔτι τοίνυν, πέμπτον δικαστήριον [2] ἄλλο θεάσασθε, οἷον ὑπερβέβηκε, τὸ ἐν Φρεαττοῖ. ἐνταῦθα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, κελεύει δίκας ὑπέχειν ὁ νόμος, ἐάν τις ἐπ' ἀκουσίῳ φόνῳ πεφευγὼς, μή πω τῶν ἐκβαλόντων αὐτὸν ἠδεσμένων, αἰτίαν [3] ἔχει ἑτέρου φόνου ἑκουσίου. καὶ οὐχ ὅτι 646
δεῦρο οὐχ οἷόν τε ἐλθεῖν αὐτῷ, παρεῖδεν αὐτὸν ὁ ταῦτα ἕκαστα [4] δήπου τάξας, οὐδ' ὅτι καὶ πρότερόν τι τοιοῦτον ἐποίησε, καὶ δὴ τὴν ὁμοίαν ἐποιήσατο πιστὴν αἰτίαν κατ' αὐτοῦ· ἀλλὰ τό τε εὐσεβὲς εὗρεν ὅπως ἔσται, κἀκεῖνον οὐκ ἀπεστέρησε λόγου καὶ κρίσεως. τί οὖν ἐποίησεν; ἤγαγε τοὺς [5] δικάζοντας ἐκεῖσε, οἳ προσελθεῖν οἷόν τε ἦν ἐκείνῳ, τῆς χώρας ἀποδείξας τόπον τινὰ, ἐν Φρεαττοῖ καλούμενον, [6] ἐπιθαλάττιον. εἶθ' ὁ μὲν ἐν πλοίῳ προσπλεύσας, λέγει, τῆς γῆς οὐχ ἁπτόμενος· [7] οἵδ' ἀκροῶνται καὶ δικάζουσιν ἐν τῇ γῇ. κἂν μὲν ἁλῷ, τὴν ἐπὶ τοῖς ἑκουσίοις φόνοις δίκην ἔδωκε. δικαίως. ἐὰν δὲ ἀποφύγῃ, ταύτης μὲν ἀθῴος ἀφίεται, τὴν δ' ἐπὶ τῷ προτέρῳ φόνῳ φυγὴν ὑπέχει.

[1] ἤπου [2] ἄλλο, θεάσασθε οἷον, [3] ἔχῃ [4] [δήπου] [5] δικάσοντας [ἐκεῖσε] [6] ἐπὶ θαλάττῃ [7] οἱ δ'

fustem, vel quidvis aliud inanimatum, quod cædis causam præbuisse dicatur, scelestum est causa a domino indicta damnare atque auferre: profecto longe scelestius est, hominem insontem quidem illum, si casus ita tulerit, sed tamen (ut sontem nunc esse faciamus) hominem, eandem forte nobiscum humanitatis conditionem sortitum, sine judicio atque indefensum temere ob hujuscemodi causam dedititium facere. ἤπου γε pro *multo magis* dixit, quemadmodum et alibi ἤπου sine γε. Lys. *καί τοι εἰ ἀγόρατος ἀπέθανεν, ἤπου ἀγόρατός γε δικαίως ἀποθανεῖται.* Idem Demosthenes in eadem inferius, εἰ περὶ τῶν ἀνδροφόνων τῶν ἤδη κεκριμένων τοσαύτη σπουδὴ γίνεται, ὅπως λόγου καὶ κρίσεως τεύξονται περὶ τῶν ὕστερον αἰτίων, ἤπου περί γε τοῦ ἑαλωκότος, μήτε ἐγνωσμένου πότερον δέδρακεν ἢ οὔ, πάνδεινον γράφειν ὡς ἐκδοτέον τοῖς ἐγκαλοῦσιν πρὸ δίκης. (Hic nimirum, *utique*, et *profecto* significat, hoc est, ὄντως που) *et longe utique gravissimum est de homine nec damnato, nec convicto, hujuscemodi legem ferre.* Quæ significatio proxime ad superiorem accedit, hoc sensu: *Si enim tantopere cautum est de manifestis cædis, atque etiam damnatis, ut pro futuris criminibus judicio legitime constituto causæ dictione non careant: profecto causa est hæc, quamobrem per quam iniquum esse censeatur, id de hominibus integræ famæ sancire, ut indicta causa accusatoribus tanquam dedititii tradantur ad supplicium. Ex edit.* Hervag.

Τῇ τύχῃ] Dele has inconcinnas voculas, quas nihil aliud esse judico, præter marginalem glossam istius locutionis, quæ paulo ante occurrit, v. 2. τόν γε ἀδικοῦντα μὲν οὐδὲν, ἐὰν τύχῃ. Taylor.

ιθ'. Ἐπ' ἀκουσίῳ φόνῳ πεφευγὼς] Sequitur v. 10. αἰτίαν ἔχων ἑτέρου φόνου ἑκουσίου. Nihil vetat ἀκούσιον καὶ ἑκούσιον conjungi: vel ἀκούσιον καὶ ἀκούσιον: vel ἑκούσιον καὶ ἑκούσιον. Wolf.

Ἔχει] Lege ἔχῃ, propter ἐάν. Markland. Ita Bar. et Paris. Taylor.

τίνος οὖν ποτὲ ἕνεκα ταῦθ' οὕτω διεσπούδασται; ἴσον ἡγεῖτο ἀσέβημα ὁ ταῦτα διαιρῶν, τόν τε ἀδικοῦντα ἐᾶν, καὶ τὸν ἀναίτιον ἐκδιδόναι πρὸ δίκης. καί τοι εἰ περὶ τῶν ἀνδροφόνων, [1] τῶν ἤδη κεκριμένων, τοσαύτη σπουδὴ γίνεται, ὅπως λόγου, καὶ κρίσεως, καὶ πάντων, ὁπόσα ἐστὶ δίκαια, τεύξωνται περὶ τῶν ὕστερον αἰτιῶν· [2] ἤπου περί γε τοῦ μήθ' ἑαλωκότος, μήτ' ἐγνωσμένου, πότερον δέδρακεν, ἢ οὔ, καὶ πότερ' ἄκων, ἢ ἑκών, πάνδεινον γράφειν, ὡς ἐκδοτέον τοῖς ἐγκαλοῦσιν [3] αὐτοῖς πρὸ δίκης.

κ'. Ἔτι [4] τοίνυν ἕκτη τιμωρία πρὸς ἁπάσαις ταύταις, ἣν ὁμοίως παραβάς, γέγραφε τὸ ψήφισμα οὑτοσί. εἰ πάντα ταῦτά τις ἠγνόηκεν, ἢ παρεληλύθασιν οἱ χρόνοι, ἐν οἷς ἔδει τούτων ἕκαστα ποιεῖν, ἢ δι' ἄλλο τι οὐχὶ βού-
647 λεται τούτους τοὺς τρόπους ἐπεξιέναι, τὸν ἀνδροφόνον δ' ὁρᾷ περιιόντα ἐν τοῖς ἱεροῖς, καὶ κατὰ τὴν ἀγοράν, ἀπάγειν ἔξεστιν εἰς τὸ δεσμωτήριον, οὐκ οἰκάδε, οὐδ' ὅποι βούλεταί [5] τις, ὥσπερ σὺ δέδωκας. κἀνταῦθα ἀπαχθεὶς, οὐδ' ὁτιοῦν, πρὶν ἂν κριθῇ, πείσεται· ἀλλ' ἐὰν μὲν ἁλῷ, θανάτῳ ζημιωθήσεται, ἐὰν δὲ μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων ὁ ἀπαγαγὼν, χιλίας προσοφλήσει. ἀλλ' οὐχ οὗτος ἔγραψε ταῦτα· ἀλλὰ τὸν μὲν ἀθῷον αἰτιάσασθαι, τὸν δὲ ἄκριτον, παραχρῆμα ἐκδίδοσθαι. ἐὰν δέ τις ἀνθρώπων, ἢ καὶ ὅλη [6] ἡ πόλις τοσούτοις νομίμοις ἀναιρουμένοις ὅσοις ἐγὼ διεξελήλυθα, καὶ τοσούτοις δικαστηρίοις καταλυομένοις ὅσοις εἴρηκα, ἃ θεοὶ κατέδειξαν, καὶ μετὰ ταῦτα ἄνθρωποι χρῶνται πάντα τὸν χρόνον, βοηθήσῃ, καὶ τὸν ὑβριζόμενον καὶ παρανομούμενον ἀφέληται, ἔκσπονδον ἔγραψεν εἶναι, καὶ οὐδὲ τούτῳ λόγον, οὐδὲ κρίσιν πεποίηκεν, ἀλλὰ καὶ τοῦτον εὐθὺς ἄνευ κρίσεως κολάζει.

[1] Deest articulus. [2] ἤπου [3] * εὐθὺς [4] τοίνυν ἐστὶν ἕκτη [τις] [6] Deest articulus.

Ἀναίτιον] *Insontem* Wolfius. Perperam. Significat, si sincera sit lectio, τὸν ἐν αἰτίᾳ ὄντα, *insimulatum*. Sæpe explicat in hac oratione Demosthenes. Cod. Venetus legit αἴτιον. Forte ἐναίτιον. Verte igitur: *paris impietatis — esse censuit, vel ad facinora connivere, vel insimulatum ante judicium proscribere.* Idem.

Τῶν ἤδη κεκριμένων] *Ut hi, qui jam homicidæ judicati sunt*, vel, *ut homicidæ ii, de quibus jam factum est judicium.* Wolf.

κ'. Ἔτι τοίνυν] Vel lege cum MSS. Ven. Bar. Lind. Aug. Ital. et Vindob. Ἔτι τοίνυν ἐστὶν ἕκτη τιμωρία, vel, ἐστὶ τοίνυν ἕκτη τιμωρία cum marg. Benenati. Taylor.

Ἔτι] Forte ἔστι — ut §. μή. ἔστι τοίνυν τις etc. Markland.

Ἢ] Restitui ex Editis et MStis. Aberat Wolfii incuria. Taylor.

πῶς ἂν, ἢ δεινότερον γένοιτο, ἢ παρανομώτερον τούτου ψήφισμα;

κά. Ἆρα τις ἡμῖν ἔτι λοιπός ἐστι νόμος; [1] δεῖξον οὗτοσί. λέγε τουτονί.

ΝΟΜΟΣ.

Ἐάν τις βιαίῳ θανάτῳ ἀποθάνῃ, ὑπὲρ τούτου τοῖς προσήκουσιν εἶναι τὰς ἀνδροληψίας, ἕως ἂν ἢ δίκας τοῦ φόνου ὑπόσχωσιν ἢ τοὺς ἀποκτείναντας ἐκδῶσι· τὴν δὲ ἀνδροληψίαν εἶναι μέχρι τριῶν, πλέον δὲ μή.

πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καλῶς ἐχόντων νόμων, οὐκ οἶδ' εἴ τινος ἧττον καλῶς [2] οὗτος ἔχει καὶ δικαίως ὁ νόμος. σκέψασθε γὰρ ὡς νομίμως καὶ σφόδρα ἀνθρωπίνως κεῖται. 648
ἐάν τις βιαίῳ θανάτῳ ἀποθάνῃ, φησί. πρῶτον μὲν δὴ [3] τούτῳ προσγράψας τὸ βιαίῳ, σύμβολον πεποίηκεν, ᾧ γινώσκομεν ὅτι, ἂν ἀδίκως, λέγῃ. ὑπὲρ τούτου φησὶ, τοῖς προσήκουσιν εἶναι τὰς ἀνδροληψίας, ἕως ἂν ἢ δίκας τοῦ φόνου ὑπόσχωσιν ἢ τοὺς ἀποκτείναντας ἐκδῶσι. σκοπεῖσθε ὡς καλῶς. πρότερον μὲν ὑποσχεῖν δίκας ἀξιοῖ, μετὰ ταῦτα δὲ, ἂν τοῦτο μὴ βούλωνται, προσέταξεν ἐκδοῦναι, ἐὰν δὲ μηδέτερον τούτων ἐθέλωσι, τὸ ἀνδροληψιόν φησιν εἶναι μέχρι τριῶν, πλέον δὲ μή. παρὰ τοίνυν ὅλον τοῦτον τὸν νόμον εἴρηται τὸ ψήφισμα. πρῶτον μὲν γὰρ, ἐάν τις ἀποκτείνῃ, γράφων, οὐ προσέγραψεν, ἀδίκως, οὐδὲ βιαίως, οὐδ' ὅλως οὐδέν· εἶτα πρὸ τοῦ δίκην ἀξιῶσαι λαβεῖν, εὐθὺς ἔγραψεν ἀγώγιμον εἶναι· πρὸς δὲ τούτοις, ὁ μὲν νόμος, ἂν μήτε δίκας ὑπόσχωσι, παρ' οἷς ἂν τὸ πάθος γένηται, μήτε τοὺς δεδρακότας [4] ἐκδίδωσι, κελεύει κατὰ τούτων εἶναι [5] ἀνδροληψιον μέχρι τριῶν· ὁ δὲ, τούτους μὲν ἀθῴους παρῆκε, καὶ οὐδὲ λόγον πεποίηται περὶ αὐτῶν οὐδένα. [6] οὗτος δὲ τὸν ἤδη πεφευγότα· [7] φύσει γὰρ οὕτω κατὰ τὸν κοινὸν ἁπάντων ἀνθρώπων

[1] δεῖξον. * οὗτοι. λέγε [2] οὗτος ἔχει καλῶς [3] τοῦτο [4] ἐκδιδῶσι [5] τὸ ἀνδροληψιον [6] * αὐτοὺς [7] (θήσω γὰρ οὕτω.)

κά. Δεῖξον οὗτοσὶ] Lege et distingue: δεῖξον. οὗτοι. Est responsio scribæ monstrantis quæ supersint leges: deinde monstrat orator, quæ sit primum recitanda. AUGER.

Τούτῳ] Melius τοῦτο. Ita Editt. Manut. et Felic. cum optimis exemplaribus, Linden. Aug. et Vind. τοῦτο τὸ βιαίῳ, signanter, *istam vocem* βιαίῳ. TAYLOR. Lego τοῦτο — *hoc* vocabulum, nempe VIOLENTA. MARKLAND.

Φήσω γὰρ] Lego φύσει γάρ. WOLF. Temeraria nimis Annotatio. φήσω Ald. Fel. Man. Par. Lind. θήσω Ven. Bar. Reg. α. Aug. λέξω Vind. Solus utique ex

[1] νόμον κεῖται, τὸν φεύγοντα δέχεσθαι· τοὺς ὑποδεξαμένους ἐκσπόνδους εἶναι γράφει, ἐὰν μὴ τὸν ἱκέτην ἔκδοτον διδῶσιν. οὐκοῦν καὶ τῷ μὴ προσθεῖναι, πῶς ἂν ἀποκτείνῃ, καὶ τῷ μηδεμίαν κρίσιν εἰπεῖν, καὶ τῷ μὴ δίκας αἰτεῖν, καὶ τῷ πανταχόθεν διδόναι λαβεῖν, καὶ τῷ τοὺς ὑποδεξαμένους, ἀλλὰ μὴ παρ' οἷς ἂν τὸ πάθος γένηται, κολάζειν,
649 καὶ πᾶσιν οὕτωσὶ φανερῶς καὶ παρὰ τοῦτον εἴρηκε τὸν νόμον.

κβ'. Λέγε δὴ τὸν ἐφεξῆς.

ΝΟΜΟΣ.

Μηδὲ νόμον ἐπ' ἀνδρὶ ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐφ' ἅπασιν Ἀθηναίοις.

ἔστι μὲν οὐκέτι τῶν φονικῶν ὅδε ὁ νῦν ἀνεγνωσμένος νόμος, ὦ ἄνδρες δικασταί, οὐδ' ὁτιοῦν δ' ἧττον ἔχει καλῶς, ἤπερ καὶ ἄλλος τις. ὥσπερ γὰρ τῆς ἄλλης πολιτείας ἴσον μέτεστιν ἑκάστῳ, οὕτως ᾤετο δεῖν καὶ τῶν νόμων ἴσον μετέχειν πάντας ὁ θεὶς αὐτόν· καὶ διὰ ταῦτ' ἔγραψεν, [2] οὐδὲ

[1] νόμον, ὃς κεῖται τὸν φ. δέχεσθαι, [2] μηδὲ

suo ingenio Wolfius φύσει. Sed toto cœlo errat. Locus hic valde lacer ita restituendus est ex aliis atque aliis Codd. ὁ δὲ τούτους μὲν ἀθῴους παρῆκε, καὶ οὐδὲ λόγον πεποίηται περὶ αὐτῶν οὐδένα, τοὺς δὲ τὸν ἤδη πεφευγότα· φήσω γὰρ οὕτω· κατὰ τὸν κοινὸν ἁπάντων ἀνθρώπων νόμον, ὃς κεῖται τὸν φεύγοντα δέχεσθαι, ὑποδεξαμένους, ἐκσπόνδους εἶναι γράφει. Verte: *Iste vero hos omni crimine liberavit, nulla prorsus eorum facta mentione, verum eos, qui jam exsulantem (ita enim supponam) juxta communia omnium jura de exsulibus recipiendis, receperint, eos, inquam, omni fœderum societate excludit.* Quidnam singuli Codd. ad hanc optimam sententiam contulerint, vide in Variis Lectionibus. Hunc locum similiter legit Ill. H. Grotius de Jure B. et P. Lib. III. C. II. §. 3. atque ita vertit: *At eos, qui jam fuga elapsum (ita enim rem ponam) susceperunt secundum jus omnium hominum, quod fugientes vult posse suscipi, hos vult esse hostium loco, ut* [ni] *supplicem dedant.* Taylor. Nullo prorsus modo hic consistere potest τὸ οὗτος [v. pen.], cum jam opposita fuerint ὁ μὲν νόμος, et ὁ δὲ, sc. Aristocrates. Rescribendum itaque puto: οὐδένα· αὐτὸν δὲ ἤδη πεφευγότα. Quo modo perspicua fit sententia. Magis quidem arrideret Benenati lectio, τοὺς δὲ τὸν ἤδη πεφευγότα, nisi paulo post v. 1. p. 219. haberent Codices τοὺς ὑποδεξαμένους. Jurin.

Ὃς κεῖται] Alii ὃν κεῖται. Τὸ ὃς καὶ τὸ ὃν delendum. Wolf.

Ἱκέτην ἔκδοτον διδῶσιν] Mira locutio videri possit ἔκδοτον διδόναι, quasi Latine diceres *supplicem deditum dare*, pro *supplicem dedere*. Passim in hac Oratione vocat hoc simpliciter ἐκδιδόναι et ἔκδοτον ποιεῖν. Cum tamen infra §. νς'. hæc eadem phrasis occurrat, δίδωσιν ἔκδοτον τὸν ἀθῷον, nihil in hac parte mutandum. Markland.

Καὶ τὸ μηδεμίαν] Pro tribus τὸ lego τῷ, quod idem valet quod διὰ τοῦ, vel διὰ τὸ, quia sequitur v. 7. καὶ πᾶσιν οὕτω, id est, διὰ πάντων. Wolf. Editiones omnes et MSti plerique non *tribus* solummodo in locis, sed, si quid ego dinumerare possim, *quinque*, τὸ μὴ προσθεῖναι v. 3. καὶ τὸ μηδεμίαν v. 4. καὶ τὸ μὴ δίκας ibid. καὶ τὸ πανταχόθεν v. 5. καὶ τὸ τοὺς v. 6. malam eam lectionem tuentur. Bene hic Wolfius, neque certior emendatio esse potest. τῷ Bodl. Cant. Aug. Vind. Taylor.

Καὶ τῷ μὴ δίκας αἰτεῖν] Wolfius: *tum quia pœnas exigi non jubet.* Immo: *tum quia causam dici non postularit.* Jurin.

νόμου ἐπ' ἀνδρὶ ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐφ' ἅπασιν Ἀθηναίοις. ὁπότε τοίνυν τὰ ψηφίσματα δεῖν κατὰ τοὺς νόμους ὁμολογεῖται γράφειν, ὁ γράφων ἰδίᾳ τι Χαριδήμῳ τοιοῦτον, ὃ μὴ πᾶσι καὶ ὑμῖν ἔσται, [1]σαφῶς παρὰ τοῦτον ἂν εἰρηκὼς εἴη τὸν νόμον. οὐ γὰρ δήπου ἃ μηδὲ νομοθετεῖν ἔξεστι, ταῦτα ἐν ψηφίσματι γράψας τις, ἔννομα ἂν εἰρηκὼς εἴη.

κγ'. Λέγε τὸν μετὰ ταῦτα νόμον, [2]ἢ οὗτοι πάντες εἰσίν.

ΝΟΜΟΣ.

Ψήφισμα δὲ μηδὲν μήτε βουλῆς μήτε δήμου νόμου κυριώτερον εἶναι.

κατάθου. πάνυ μικρὸν ὑπείληφά μοι τὸν λόγον, ὦ ἄνδρες δικασταί, καὶ ῥᾴδιον εἶναι, περὶ τοῦ καὶ παρὰ τοῦτον εἰρῆσθαι τὸν νόμον τὸ ψήφισμα. ὃς γάρ, ὑπαρχόντων τοσούτων νόμων, πάντας ὑπερβὰς τούτους, γέγραφέ τι καὶ κατέκλεισεν ἴδιον πρᾶγμα ψηφίσματι, τοῦτον τί τίς ἄλλο ποιεῖν [3]φήσειε, πλὴν ψήφισμα νόμου κυριώτερον ἀξιοῦν εἶναι; βούλομαι τοίνυν ὑμῖν καὶ ἓν, ἢ δύο ψηφίσματα δεῖξαι, 650
τῶν γεγραμμένων τοῖς ὡς ἀληθῶς εὐεργέταις τῆς πόλεως, ἵν' εἰδῆτε ὅτι ῥᾴδιόν ἐστι γράφειν τὰ δίκαια, ὅταν αὐτοῦ

[1] σαφῶς καὶ παρὰ [2] ἢ --- εἰσίν; [3] φήσει

Σαφῶς παρὰ τοῦτον] Adde ex Bar. Vind. et Parisiensibus, σαφῶς καὶ παρὰ τοῦτον. Uti supra v. 7. 219. οὕτωσὶ φανερῶς καὶ παρὰ τοῦτον εἴρηκε τὸν νόμον, et infra v. 14. hujusce paginæ: Περὶ τοῦ καὶ παρὰ τοῦτον εἰρῆσθαι τὸν νόμον τὸ ψήφισμα. TAYLOR.

κγ'. Ἢ οὗτοι πάντες εἰσὶν] Locus haud dubie depravatus. Ego verti: *Recita sequentem legem, qua istæ omnes continentur;* non quod probarem, sed ne nihil dicerem. WOLF. Inscitissime omnium, quæcunque me aut vidisse aut legisse memini. Quali constructione non dubitasti istud ἢ ad τὸν νόμον applicare? quo ore, qua constantia dici potest, hanc postremam legem istas omnes continere? Corrigas, oro, hoc pacto: λέγε τὸν μετὰ ταῦτα νόμον· ἢ οὗτοι πάντες εἰσί; *Recita sequentem legem,* vel *anne hæ jam recitatæ omnes sint?* Id est, recita sequentem, si qua superfuerit recitanda. Hæc ait Orator, ad Scribam se accommodans. *Read the next. Or are these all?* Nihil simplicius. Nihil etiam verius. TAYLOR.

Μήτε δήμου κυριώτερον εἶναι] E tractatione hujus legis apparet legendum: μήτε δήμου, νόμου κυριώτερον εἶναι. WOLF. Codices hoc in loco vario errore tenentur. In quibusdam deficit vox νόμου, ut in Aldinis, in iis, quibus usus est Felic. et Manut. in Aug. et Ital. Vicissim Parisienses non supplent νόμου solummodo, sed μήτε νόμου, et in ea sententia aliquando fuisse Wolfium video, et Petitum quoque, qui LL. Attic. pag. 124. ita vertit et pariter explicat: *Nullius Psephismatis major, quam Senatus, aut Populi, aut Legum auctoritas esto.* Sed utrinque erratum est. Lectio est ea, quam prætulimus, ψήφισμα μηδὲν, μήτε βουλῆς, μήτε δήμου, νόμου κυριώτερον εἶναι. Verte autem (nam Wolfius veram lectionem odoratus est, antiquam vertit): *Decretum nullum, neque Senatus, neque Populi, leges latas auctoritate superato.* TAYLOR.

τις ἕνεκα τούτου γράφῃ τοῦ τιμῆσαί τινα, καὶ μεταδοῦναι τῶν ὑμῖν ὑπαρχόντων, καὶ μὴ διὰ τοῦ ταῦτα δοκεῖν ποιεῖν, βούληται κακουργεῖν καὶ παρακρούεσθαι. λέγε τὰ ψηφίσματα ταυτί. ἀλλ' ἵνα μὴ μακρὸν ἀκούειν ὑμῖν ᾖ, ἐξ ἑκάστου τῶν ψηφισμάτων αὐτὸ τοῦτο ἐξείλεκται, περὶ οὗ τούτου κατηγορῶ. λέγε.

ΕΚ ΤΩΝ ΨΗΦΙΣΜΑΤΩΝ.

ὁρᾶτε ὅτι πάντες, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν αὐτὸν τρόπον γεγράφασιν. ἔστω, φησὶν, ὑπὲρ αὐτοῦ ἡ αὐτὴ τιμωρία, καθάπερ ἂν τὸν Ἀθηναῖον ἀποκτείνῃ, κυρίους μὲν ἐῶντες τοὺς περὶ τούτων ὑπάρχοντας ὑμῖν νόμους, σεμνοὺς δὲ ἀποφαίνοντες, οἵ γε ἐν δωρεᾶς ἐποιήσαντο τάξει τὸ τούτων μεταδοῦναι τινί. ἀλλ' οὐκ Ἀριστοκράτης· ἀλλὰ προπηλακίζει μὲν καθ' [1]ὃν δύναιτο τρόπον τούτους. ὡς γοῦν οὐδενὸς ὄντων ἀξίων, ἴδιόν τι γράφειν ἐπεχείρησε· μικρὰν δ' ἀποφαίνει κἀκείνην τὴν δωρεὰν, ἐν ᾗ τὴν πολιτείαν δεδώκατε τῷ Χαριδήμῳ. ὃς γὰρ, ὡς ἀγαπώντων τοῦθ' ὑμῶν, καὶ προσοφειλόντων χάριν αὐτῷ, γέγραφε καὶ προσέτι φυλάττειν ὑμᾶς [2]ἐκεῖνο, ὅπως ἀδεῶς ὅ,τι ἂν βούληται ποιῇ, πῶς οὐ τοῦθ' ὃ λέγω διαπράττεται;

κδ'. Οὐκ ἀγνοῶ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι, ὡς μὲν οὐ παρὰ τοὺς νόμους φανερῶς γέγραφε τὸ ψήφισμα Ἀρι-

[1] ὃν * ἂν δύναιτο

[2] ἐκεῖνον

Ἔστω, φησὶν] Lege: ἔστω, φασὶν, nempe οἱ τὰ ψηφίσματα γεγραφότες. JURIN. φησὶν pro φασίν. Eodem modo *inquit* apud Latinos usitatissimum est. AUGER.

Οἵ γε ἐν δωρεᾶς ἐποιήσαντο τάξει τὸ τούτων μεταδοῦναί τινι] Id est, *muneris vice et loco*: id enim τάξις significat Græcis. Sic τάξιν ἐπέχειν τινὸς, *loco ejus haberi*, in Pandect. Et pro eodem, ἐν μέρει, dixit in hac eadem, οὐ τίθημι ἐν ἀδικήματος μέρει, i. e. *non sceleris loco duco*. *Ex edit.* HERVAG.

Καθ' ὃν] Melius fortasse cum Bar. Aug. Vind. et marg. Morel. καθ' ὅσον δύναται τρόπον τούτους. TAYLOR. Deesse videtur ἂν post ὅν. MARKLAND.

Ὡς ἀγαπώντων] Lego: ὡς οὐκ ἀγαπώντων τοῦθ' ὑμῶν, vel, κατ' Ἀττικισμὸν, ὡς οὐκ ἀγαπῶντας τοῦθ' ὑμᾶς καὶ προσοφείλοντας etc. WOLF. Illud extremum addidit, credo, Wolfius, quia in nonnullis Codd. exaratur ὑμᾶς, non ὑμῶν, veluti in Ald. Venet. et Morel. quod Lambinus, ut debuit, in ὑμῶν divinando emendavit. μὴ ἀγαπώντων habet Cant. aliis omnibus silentibus, sed præter id, quod rectum est, silentibus. Nam Wolfii divinatio probe se habet. TAYLOR. Plane legendum: ὃς γὰρ, ὡς οὐκ ἀγαπώντων τοῦθ' ὑμῶν. et in istum sensum transtulit Wolfius. JURIN. Opinor, ὡς οὐκ ἀγαπώντων. MARKLAND.

Τοῦθ'] Nempe, τὴν πολιτείαν. Deinde φυλάττειν regitur a γέγραφε. AUGER.

Καὶ προσέτι] Laudo id, quod in aliquibus exemplaribus scribi deprehendi, καὶ προσφυλάττειν ὑμᾶς ἐκεῖνο, ὅπως κ. τ. λ. Minus placet ἐκεῖνον Codicum, Veneti, Ital. Bar. Vindob. quanquam et tolerari possit. TAYLOR.

στοκράτης, οὐχ ἕξει δεῖξαι· ὁ δὲ δεινότατον πάντων ἐστὶ, 651
τὸ μηδεμίαν κρίσιν ἐν παντὶ ποιῆσαι τῷ ψηφίσματι τοιαύτης αἰτίας, τοῦθ' ὑφαιρεῖσθαι πειράσεται. ἐγὼ δὲ περὶ αὐτοῦ τούτου πολλὰ μὲν λέγειν οὐκ οἴομαι δεῖν· ἐκ δὲ τοῦ ψηφίσματος αὐτοῦ δείξω σαφῶς [1] οὐδὲ τοῦτον ἡγούμενον εἶναι κρίσιν οὐδεμίαν τῷ τὴν αἰτίαν ἔχοντι. γέγραφε γάρ, ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω· ἐὰν δέ τις ἀφέληται, ἢ [2] πολίτης ἢ ἰδιώτης, ἔκσπονδος ἔστω· οὐκ ἐὰν μὴ παράσχῃ εἰς κρίσιν τὸν ἀφαιρεθέντα, ἀλλ' ὅλως εὐθύς. καί τοι, εἴ γε ἐδίδου κρίσιν, [3] ἢ καὶ μὴ ἀφῃρεῖτο, τότ' ἂν προσέγραψε κατὰ τῶν ἀφελομένων τὴν τιμωρίαν, ὁπότε εἰς τὴν κρίσιν μὴ παρέσχον ὃν ἀφείλοντο.

κέ. [4] Οἶμαι τοίνυν αὐτὸν κἀκεῖνον ἐρεῖν τὸν λόγον, καὶ σφόδρα [5] ταυτὶ ζητήσειν ἐξαπατᾶν ὑμᾶς, ὡς ἄκυρόν ἐστι τὸ ψήφισμα. προβούλευμα γάρ ἐστιν· ὁ νόμος δ' ἐπέτεια κελεύει τὰ τῆς βουλῆς εἶναι ψηφίσματα. ὥστε κἂν αὐτοῦ νῦν ἀποψηφίσησθε, ἤ γε πόλις φλαῦρον οὐδὲν πείσεται κατὰ τὸ ψήφισμα τοῦτο. ἐγὼ δὲ πρὸς ταῦτα [4] οἶμαι δεῖν ὑμᾶς ἐκεῖνο ὑπολαμβάνειν, ὅτι τὸ ψήφισμα τοῦθ' οὗτος ἔγραψεν, οὐχ ἵνα ὄντος ἀκύρου μηδὲν ἀηδὲς ὑμῖν συμβῇ· ἐξῆν γὰρ αὐτῷ τὴν ἀρχὴν μὴ γράφειν, εἴ γε τὸ βέλτιστον τῇ πόλει σκοπεῖν ἐβούλετο· ἀλλ' ἵν', ἐξαπατηθέντων ὑμῶν, διαπράξαιντό τινες τἀναντία τοῖς ὑμῖν συμφέρουσιν. οἱ δὲ γραψάμενοι, καὶ χρόνους ἐμποιήσαντες, καὶ δι' οὓς ἄκυρόν ἐστι τὸ ψήφισμα, ἡμεῖς ἐσμέν. ἄτοπον δὴ γένοιτ' ἄν, εἰ ὧν ἡμῖν χάριν εἰκὸς ὑπάρχειν, ταῦτα τούτοις εἰς σωτηρίαν [6] ὑπάρξειεν. ἔτι τοίνυν, οὐδὲ ἁπλοῦν τοῦθ' οὕτως 652
ἐστὶν ὥς τις οἴεται. εἰ μὲν γὰρ μηδεὶς ἄλλος ἦν, ὅστις

[1] οὐδὲ αὐτὸν τοῦτον [2] πόλις [3] Deest ἤ. [4] οἴομαι [5] ταύτῃ [6] ὑπάξει

κδ'. Οὐδὲ τοῦτον] Lege οὐδὲ αὐτὸν τοῦτον, ut Manut. cum MSS. Ald. οὐδὲ αὐτὸν ἡγούμενον τοῦτον Vindob. Idem.

Ἢ πολίτης] Supra in Argum. pr. notavi legendum videri ἢ πόλις. Wolf. πόλις Bar. Vind. et marg. Lutet. Taylor. Lege ἢ πόλις, ἢ ἰδιώτης. Jurin.

Ἢ καὶ μὴ ἀφῃρεῖτο] Sub. κρίσιν. Τὸ διδόναι ad verba perspicue posita: τὸ μὴ ἀφαιρεῖσθαι, cum aperte causæ dictio non tollitur. Wolf. Deest ἢ B r. et Vindob. Taylor.

κέ. Ταυτὶ] Lege ταύτῃ. Ita Ven. Bodl. Lindenb. Bar. Ital. Vindob. et marg. Morel. ς. κζ'. ὡς δὲ συμφέρον θ' ἡμῖν γέγραφε, λέγειν ἐπιχειροῦντα, καὶ ταύτῃ βιαζόμενον. Idem. F. ταύτῃ, *hac via, hoc pacto*, ut §. κζ'. Markland.

Καὶ δι' οὓς] F. del. καί. Auger.

Ἡμῖν] Restitui ex Editorum et MStorum melioribus. Vulgo ὑμῖν. Taylor.

[1]ἔμελλεν ὁμοίως τούτῳ τῶν συμφερόντων ὑμῖν ὀλιγωρήσας γράφειν, ἴσως ἂν ἧττον ἦν δεινόν· νῦν δὲ ὄντων οὐκ ὀλίγων, [2]οὐ καλῶς ἔχει μὴ λῦσαι τὸ ψήφισμα ὑμῖν. τίς γὰρ οὐ γράψει γε θαρρῶν πάλιν, ἡνίκα ἂν ᾖ τοῦτο ἀποπεφευγός; τίς δὲ οὐκ ἐπιψηφιεῖ; τίς δὲ γράψεται; οὐ τοίνυν τοῦτο σκεπτέον, εἰ τοῦτ' ἔστιν ἄκυρον τοῖς χρόνοις, ἀλλ' ἐκεῖνο [3]ὁρᾶν, ὅτι τῇ περὶ τούτου ψήφῳ, νῦν ἐὰν ἀποψηφίσησθε, τοῖς ἀδικεῖν [4]βουλομένοις αὖθις ὑμᾶς ἄδειαν δώσετε.

κς'. Οὐ τοίνυν οὐδὲ ἐκεῖνό με λέληθεν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἁπλῆν μὲν οὐδὲ δικαίαν, οὐδ' ἡντινοῦν ἀπολογίαν Ἀριστοκράτης ἕξει λέγειν, παραγωγὰς δέ τινας τοιαύτας ἐρεῖ, ὡς ἄρα πολλὰ τοιαῦτα ἤδη γέγονε ψηφίσματα πολλοῖς. ἔστι δέ, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν τοῦτο σημεῖον, τοῦ τοῦτον ἔννομα εἰρηκέναι· πολλαὶ γὰρ προφάσεις εἰσί, δι' ἃς πολλάκις ὑμεῖς ἐξηπάτησθε. οἷον εἴ τι τῶν ἑαλωκότων ψηφισμάτων παρ' ὑμῖν μὴ ἐγράφη, κύριον ἂν ἦν δήπουθεν· καὶ μὴν παρὰ τοὺς νόμους γ' ἂν εἴρητο. καὶ εἴ τι [5]γέγραφεν, ἢ καθυφέντων τῶν κατηγόρων, ἢ μὴ δυνηθέντων οὐδὲν διδάξαι, ἀπέφυγε· καὶ τοῦτο οὐδὲν κωλύει παράνομον εἶναι. οὐκ ἄρα εὐορκοῦσιν οἱ δικάσαντες [6]αὐτῷ; ναί. πῶς; ἐγὼ διδάξω. γνώμῃ τῇ δικαιοτάτῃ δικάσειν ὀμωμόκασιν· ἡ δὲ τῆς γνώμης δόξα ἀφ' ὧν ἂν ἀκούσωσι παρίσταται. ὅτε τοίνυν κατὰ ταύτην ἔθεντο τὴν ψῆφον, εὐσεβοῦσι. πᾶς γὰρ ὁ μήτε δι' ἔχθραν, μήτε δι' εὔνοιαν, μήτε δι' ἄλλην
653 ἄδικον πρόφασιν μηδεμίαν παρ' ἃ γιγνώσκει θέμενος τὴν ψῆφον, εὐσεβεῖ. εἰ γὰρ ἠγνόησέ τι διδασκόμενος, τοῦ μὴ συνεῖναι δίκην οὐκ ὀφείλει δοῦναι· ἀλλ' εἴ τις εἰδὼς ἐκεῖνο

[1] ἤμελλεν [2] οὐχὶ [3] [ὁρᾶν,] [4] βουλησομένοις [5] γε γραφὲν [6] αὐτό;

Ἴσως ἂν ἧττον] Vel ἴσως ἂν ἧττον ἦν δεινὸν τοῦτο, cum Editione Manutiana, vel ἴσως ἂν ἧττον ἦν τοῦτο δεινὸν cum MStis Obsop. et Ital. Idem.

Ἀποπεφευγός;] Editt. Aldina et Lutetiana male ἀποπεφευγώς. Recte Wolfius interpretatur, et secundum ea, quæ annotavi ad Æschinem pag. 22. l. 10. Idem.

Ὁρᾶν] Hæret Constructio. Aut igitur dele h. v. quæ est auctoritas Codd. præstantiorum, Bar. Reg. α. et Vind. vel cum Bodl. δεῖ ὁρᾶν. Idem.

κς'. Καὶ εἴ τι γέγραφεν] Rescribe καὶ εἴ τι γε γραφέν. Ita Bodl. Cant. Felic. Lindenb. Ital. et Lambinus. Idem. Plane legendum, καὶ εἴ τι γε γραφέν. Jurin. Lego γραφέν. Markland.

Αὐτῷ] F. αὐτὸ, τὸ ψήφισμα, τουτέστι, περὶ τοῦ ψηφίσματος. Wolf. Acute. Ita plane Ven. Bar. Aug. Ital. Vind. Taylor.

Ἠγνόησέ τι] Annon desideratur Negatio? εἰ γὰρ ἠγνόησέ τι μὴ διδασκόμενος. Credo sane. Taylor. F. μὴ διδασκόμενος. Markland. Addo οὐ ante διδασκόμενος, et pro τι leg. vid. τὸ δίκαιον vel τὸ ἀληθές. Auger.

Ἐκεῖνο] Variant Codices, ἐκείνοις Ven.

προὔδωκεν, ἢ ἐξαπατᾷ, ἔνοχος οὗτός ἐστι τῇ ἀρᾷ. διόπερ καταρᾶται καθ' ἑκάστην ἐκκλησίαν ὁ κήρυξ, οὐκ εἴ τινες ἐξηπατήθησαν, ἀλλ' εἴ τις ἐξαπατᾷ λέγων, ἢ βουλὴν, ἢ δῆμον, ἢ τὴν Ἡλιαίαν. μὴ δὴ τοῦθ' [1]ἡμῖν ἐᾶτε λέγειν ὡς γέγονεν, ἀλλ' ὡς ἔστι δίκαιον γενέσθαι· μηδ' ὡς ἕτεροι δικάσαντες ἐκύρωσαν ἐκεῖνα, ἀλλ' ὑμᾶς αὐτοὺς ἀξιοῦτε διδάσκειν, ὡς δικαιότερ' ἡμῶν περὶ τοῦδε λέγουσιν. εἰ δὲ τοῦτο μὴ δυνήσονται, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι, τὴν ἑτέρων ἀπάτην κυριωτέραν ποιήσασθαι τῆς ὑμετέρας αὐτῶν γνώμης. ἔτι τοίνυν ἔμοιγε δοκεῖ καὶ σφόδρα ἀναιδὴς εἶναι [2]ὁ τοιοῦτος λόγος, ὡς γέγονε καὶ πρότερον τισὶν ἄλλοις τοιαῦτα ψηφίσματα. οὐ γὰρ, εἴ τι πώποτε μὴ κατὰ [3]νόμους ἐπράχθη, σὺ δὲ τοῦτ' ἐμιμήσω, διὰ τοῦτ' ἀποφεύγειν σοι προσήκει, ἀλλὰ τοὐναντίον πολὺ μᾶλλον ἁλίσκεσθαι διὰ ταῦτα. ὥσπερ γὰρ, εἴ τις ἐκείνων ἑάλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει.

κζ'. Ὡς μὲν τοίνυν οὐ παρὰ πάντας τοὺς νόμους φανερῶς γέγραφε τὸ ψήφισμα Ἀριστοκράτης, οὐκ [4]οἶμαι λέγειν αὐτὸν ἔξειν· ἤδη δέ τινα εἶδον, ὦ ἄνδρες Ἀθηναῖοι, γραφὴν ἀγωνιζόμενον παρανόμων, τοῖς νόμοις μὲν ἁλισκόμενον, ὡς δὲ συμφέρον θ' [5]ἡμῖν γέγραφε, λέγειν ἐπιχειροῦντα, καὶ ταύτῃ διαζόμενον, εὐήθη μὲν [6]τοῖς ἅπασιν, οἶμαι, μᾶλλον δὲ ἀναιδῆ λόγον. εἰ γὰρ καὶ κατὰ τἆλλα πάντα συμφέρει 654

[1] ὑμῖν [2] ὁ τοιοῦτος εἶναι [3] τοὺς νόμους [4] οἴομαι [5] ὑμῖν [6] [τοῖς ἅπασιν,]

ἐκείνους Bodl. Obsop. et Ital. Infeliciter omnia. Corrige ἐκεῖνος omnino, εἴ τις εἰδὼς, ἐκεῖνος προὔδωκεν, cum vehementia et δεινότητι. Paria fere habes in notis ad Æschinem p. 12. v. 7. et Midianam §. μγ'. TAYLOR. ἐκεῖνο, nempe, τὸ δίκαιον vel τὸ ἀληθές. AUGER.

Ἡμῖν] Lege ὑμῖν. Ita Bar. Lindenbr. Vindob. cum Editt. Felic. et Man. μὴ δὴ τοῦθ' ὑμῖν ἐᾶτε λέγειν — ἀλλ' ὑμᾶς αὐτοὺς ἀξιοῦτε διδάσκειν. TAYLOR. Puto ὑμῖν. Certe modestius. JURIN.

Οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ νόμους ἐπράχθη, σὺ δὲ τοῦτ' ἐμιμήσω] *Non enim si quid unquam contra leges factum est, idque tu es imitatus, iccirco te convenit pœna liberari. Nam ut si quis eorum damnatus esset, tu hæc non scripsisses: ita damnatus si tu fueris, non scribet alius.* Citat hunc locum Quintilianus lib. 5. cap. 14. ubi optimum esse enthymematis genus dicit, cum proposito dissimili, vel contrario, ratio subjungitur, quale etiam hoc Demosthenis est. Citatur etiam sæpe hic locus adversus eos, qui se vitiosa consuetudine defendi putant. Philippus Melanchthon Dialect. lib. 3. *Ex edit.* HERVAG.

κζ'. Τοῖς ἅπασιν] Τουτέστι, παντάπασιν, ἢ παντελῶς λόγον. WOLF. Mecum ambigo, utrum plus sit obscuritatis in loco Auctoris, an in explicatione Interpretis. Expungunt has voces optimi Codd. Ven. Bar. Lind. Reg. α. Ital. et Vind. Tu ergo delebis. Erat fortasse scholion eorum, quæ mox sequuntur, κατὰ τἆλλα πάντα. TAYLOR.

τὰ εἰρημένα, εἴ γε ὀμωμοκότας κατὰ τοὺς νόμους [1] δικάζειν ὑμᾶς ἀξιοῖ κυροῦν, ἃ μηδ' αὐτὸς [2] ἔχῃ δεῖξαι δικαίως γεγραμμένα, ἀσύμφορα ἂν εἴη, εἴπερ τὸ εὐορκεῖν περὶ πλείστου πᾶσίν ἐστι ποιητέον. οὐ μὴν ἀλλ' ἔχει τινὰ ὅμως ἡ ἀναίδεια αὕτη λόγον. τούτῳ τοίνυν οὐδ' οὗτος ἐνέσται πρὸς ὑμᾶς ὁ λόγος. οὕτω γὰρ σφόδρα ἐναντίον ὂν τοῖς νόμοις τὸ ψήφισμα, μᾶλλον ἀσύμφορόν ἐστιν ἢ παράνομον. βούλομαι δ' ὑμῖν καὶ τοῦτ' ἐπιδεικνύναι. ἵνα δὲ ὡς διὰ βραχυτάτου λόγου δῆλον ὃ βούλομαι ποιήσω, παράδειγμά τι γνώριμον [3] πᾶσιν ὑμῖν ἐρῶ. ἴστε ὅτι συμφέρει τῇ πόλει, μήτε Θηβαίους, μήτε Λακεδαιμονίους ἰσχύειν· ἀλλὰ τοῖς μὲν, Φωκέας ἀντιπάλους, [4] τοῖς δέ, τινας ἄλλους εἶναι. ἐκ γὰρ τοῦ ταῦθ' οὕτως ἔχειν, ὑμῖν ὑπάρξει μεγίστοις οὖσιν ἀσφαλῶς οἰκεῖν. ταὐτὸ τοίνυν νομίζετε τοῦτο, καὶ τοῖς Χερρονησον οἰκοῦσι τῶν πολιτῶν συμφέρειν, μηδένα εἶναι τῶν Θρακῶν ἰσχυρόν. ἡ γὰρ ἐκείνων πρὸς ἀλλήλους ταραχὴ καὶ ὑποψία, φρουρὰ Χερρονήσου μεγίστη τῶν πασῶν ἐστὶ καὶ βεβαιοτάτη. τὸ τοίνυν ψήφισμα τουτὶ, τῷ μὲν ἡγουμένῳ τῶν Κερσοβλέπτου πραγμάτων ἀσφάλειαν [5] διδοῦν, τοῖς δὲ τῶν ἑτέρων βασιλέων στρατηγοῖς, φόβον καὶ δέος, μή τινα αἰτίαν ἔχωσι, παριστὰν, τοὺς μὲν ἀσθενεῖς, τὸν δ' ἕνα ὄντα ἰσχυρὸν καθίστησιν. ἵνα δὲ μὴ πάνυ θαυμάζητε, εἰ τὰ παρ' ὑμῖν ψηφίσματα τηλικαύτην ἔχει δύναμιν, γεγονὸς ὃ καὶ πάντες ἐπίστασθε πρᾶγμα, ὑμᾶς
655 ὑπομνήσω. ὅτε Μιλτοκύθης ἀπέστη Κότυος, συχνὸν ἤδη χρόνον ὄντος τοῦ πολέμου, καὶ ἀπηλλαγμένου μὲν Ἐργοφίλου, μέλλοντος δὲ Αὐτοκλέους ἐκπλεῖν στρατηγοῦ, ἐγράφη τι παρ' ὑμῖν ψήφισμα τοιοῦτον, δι' [6] ὃ Μιλτοκύθης μὲν, ἀπῆλθε φοβηθεὶς, καὶ νομίσας ὑμᾶς οὐ προσέχειν αὐτῷ, Κότυς δὲ, ἐγκρατὴς τοῦ τε ὄρους τοῦ ἱεροῦ, καὶ τῶν θησαυρῶν ἐγένετο. καὶ γάρ τοι μετὰ ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, Αὐτοκλῆς μὲν ἐκρίνετο ὡς ἀπολωλεκὼς Μιλτοκύθην· οἱ δὲ χρόνοι κατὰ τοῦ τὸ ψήφισμα εἰπόντος τῆς γραφῆς

[1] δικάσειν [2] ἔχει [3] πᾶσι γνώριμον [4] τοῖς δ' ἄλλους τινὰς [5] διδὸν [6] οὗ

Δικάζειν] Δικάσειν potius cum marg. Paris. et Bodl. Ea enim est Formula jurisjurandi: ψηφιοῦμαι κατὰ τοὺς νόμους. IDEM.

Δι' ὃ] Nescio, an casu, an consilio, ita dederit Wolfius. Editi certe ac MSti δ.'

ἐξεληλύθεσαν· τὰ δὲ πράγματα ἀπολώλει τῇ πόλει. εὖ τοινυν ἴστε, ὅτι καὶ νῦν, εἰ μὴ λύσετε τὸ ψήφισμα τοδί, καὶ τοῖς βασιλεῦσι θαυμαστὴ γενήσεται δι' αὐτὸ ἀθυμία, καὶ τοῖς στρατηγοῖς αὐτῶν. ὅλως γὰρ ἡγήσονται παρεωράσθαι μὲν αὐτοί, πρὸς Κερσοβλέπτην δὲ ἀποκλίνειν ὑμᾶς. εἰ δ' ἐκ τοῦ ταῦτα γνῶναι παραχωρήσονται τῆς ἀρχῆς, ἐπὶ καιροῦ τινὸς αὐτοῖς ἐπιθεμένου τοῦ Κερσοβλέπτου, πάλιν ὁρᾶτε τί συμβήσεται.

κή. Φέρε γὰρ, πρὸς θεῶν, ἂν [1]ὑμᾶς ἀδικῇ Κερσοβλέπτης, — [2]ὃ μᾶλλον εἰκὸς ἐλπίσαντα, ἢ δυνηθέντα μὴ ποιῆσαι —, οὐκ ἐπ' ἐκείνους ἴμεν, καὶ δι' ἐκείνων πάλιν ἀσθενῆ ποιεῖν αὐτὸν ἐπιχειρήσομεν; ἂν οὖν εἴπωσιν [3]ἡμῖν πρὸς ταῦτα ἐκεῖνοι· [4]ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ μόνον ἡμῖν ἀδικουμένοις οὐκ ἐβοηθήσατε, ἀλλὰ καὶ φόβον, ἂν ὑπὲρ [5]ἡμῶν αὐτῶν ἀμυνώμεθα, θαυμαστὸν παρεστήσατε, ψήφισμα ποιησάμενοι, τὸν ἐναντία τοῖς ὑμῖν συμφέρουσι, καὶ πράττοντα [6]ἡμῖν, ἄν τις ἀποκτείνῃ, ἀγώγιμον εἶναι. οὔκουν ἐστὲ δίκαιοι βοηθοὺς καλεῖν ἡμᾶς, ἐφ' οἷς καὶ περὶ 656
ὑμᾶς αὐτοὺς καὶ περὶ ἡμᾶς κακῶς ἐβουλεύσασθε. εἰπέ μοι ταῦτ' ἐὰν λέγωσιν, οὐ δικαιότερα ἡμῶν ἐροῦσιν; ἔγωγ' οἶμαι. καὶ μὴν οὐδ' ἐκεῖνό γ' ἔνεστιν εἰπεῖν, ὅτι, νὴ Δία, εἰκότως ἐφενακίσθητε, καὶ παρεκρούσθητε. εἰ γὰρ μηδὲν

[1] ἡμᾶς [2] ὁ μ. εἰκ. αὐτὸν *ἐλπίσαι, ἢ μὴ, δυνηθέντα, ποιῆσαι [3] ὑμῖν [4] ὑμεῖς δὲ, ὦ [5] ὑμῶν [6] ἡμῖν, πράττοντα ἄν

οὖ. Idem.

κή. Ὃ μᾶλλον εἰκὸς κ. τ. λ.] Sententia satis perspicua est, nec varia lectio scrupulum tollit. Legi fortasse possit: ὃ μᾶλλον εἰκὸς ἐλπίσαντα ποιῆσαι, ἢ δυνηθέντα, μή. sc. ποιῆσαι. Wolf. ποιῆσαι, i. e. ποιήσειν, *facturum*: si recte habet. Nam suspicio est, Demosthenem scripsisse ἐλπίσαντ' ἂν — ποιῆσαι, pro ποιήσειν, more suo. licet sciam, vulgatam defendi posse. Markland. Wolfius: *id quod si sperarit duntaxat, facturum potius, quam, si potuerit, esse omissurum, est probabilius.* Quasi vero e re esset Cersobleptæ, Athenienses injuria provocare, dum eorum ope et amicitia indigeret ad opprimendos æmulos, eamque sibi affuturam speraret. Melius vertas: *id quod eum non facturum magis probabile est, dum adhuc non nisi sperat posse, quam ubi reipsa potuerit.* Jurin. F. ὃ μᾶλλον εἰκὸς αὐτὸν ἐλπίζειν, ἢ δυνηθέντα ἂν μὴ ποιῆσαι. Auger. V. Var. Lect.

Ἂν ὑπὲρ ἡμῶν αὐτῶν ἀμυνώμεθα] Desunt hæc verba in quibusdam Codd. sed non recte desunt. Meliores et saniores hic addunt, non detrahunt: ἀλλὰ καὶ φόβον ἀνυπέρβλητον καὶ θαυμαστὸν παρεστήσατε ἂν ὑπὲρ ὑμῶν αὐτῶν ἀμυνώμεθα. Bar. Vind. marg. Par. Aug. ὑμῶν etiam repræsentatur a pluribus. Taylor.

Καὶ πράττοντα ἡμῖν] Vel cum Lindenbr. Ital. et Bar. aliisque, καὶ ἡμῖν πράττοντα: vel cum Lambino, τὸν ἐναντία τοῖς ὑμῖν συμφέρουσι πράττοντα καὶ ἡμῖν. Nam perinde sunt, et pariter id, quod alicubi annotavit Wolfius, τὸν ἐναντία πράττοντα τοῖς ὑμῖν συμφέρουσι καὶ ἡμῖν. Idem. Lege καὶ ἡμῖν πράττοντα. Jurin. Auger. Potior videtur (saltem usitatior) hic ordo verborum — τοῖς ὑμῖν συμφέρουσι πράττοντα καὶ ἡμῖν, ἄν τις etc. Alibi tamen in hac Oratione observare licet similem fere verborum et compositionis synchysin. Markland.

εἴχετε τῶν ἄλλων λογίσασθαι, μηδ' ἐφ' ὑμῶν αὐτῶν οἷοί τε ἦτε ταῦτα συνεῖναι, ἣν ἰδεῖν παράδειγμα Ὀλυνθίους τουτουσὶ, οἳ, τί πεποιηκότος αὐτοῖς Φιλίππου, πῶς αὐτῷ κέχρηνται; ἐκεῖνος ἐκείνοις Ποτίδαιαν οὐχὶ τηνικαῦτα ἀπέδωκεν, ἡνίκα ἀποστερεῖν οὐκ ἔθ' οἷός τ' ἦν, ὥσπερ ὑμῖν ὁ Κερσοβλέπτης Χερρόνησον· ἀλλὰ πρὸς ὑμᾶς πολεμῶν, χρήματα πολλὰ ἀναλώσας, ἑλὼν, καὶ δυνηθεὶς ἂν αὐτὸς ἔχειν, εἴπερ ἐβουλήθη, παρέδωκε, καὶ οὐδ' ἐπεχείρησεν ἄλλο ποιεῖν οὐδέν. ἀλλ' ὅμως ἐκεῖνοι, ἕως μὲν ἑώρων τηλικοῦτον αὐτὸν, ἡλίκος [1]ὢν πιστὸς ὑπῆρχε, σύμμαχοί τε ἦσαν, καὶ δι' ἐκεῖνον ἡμῖν ἐπολέμουν· ἐπειδὴ δὲ εἶδον μείζω τῆς πρὸς αὐτοὺς πίστεως γινόμενον, τοσοῦτ' ἀπέχουσι τοῦ ψηφίσασθαι, ἄν τις ἀποκτείνῃ τινὰ τῶν ἐκείνῳ συγκατεσκευακότων τὴν ἀρχὴν, ἐκ τῶν ἑαυτῶν συμμάχων ἀγώγιμον εἶναι, ὥσθ' [2]ἡμᾶς, οὓς ἴσασιν ἁπάντων ἀνθρώπων ἥδιστ' ἂν καὶ τοὺς ἐκείνου φίλους, καὶ αὐτὸν [3]Φίλιππον ἀποκτείναντας, φίλους πεποίηνται, φασὶ δὲ καὶ συμμάχους ποιήσεσθαι. εἶτ' Ὀλύνθιοι μὲν ἴσασι τὸ μέλλον προορᾶν· ὑμεῖς δὲ ὄντες Ἀθηναῖοι ταὐτὸ τοῦτ' [4]οὐ ποιήσετε; ἀλλ' [5]οὐκ αἰσχρὸν τοὺς τῷ περὶ πραγμάτων ἐπίστασθαι βου-
657 λεύσασθαι δοκοῦντας προέχειν, ἧττον Ὀλυνθίων τὸ συμφέρον εἰδότας ὀφθῆναι;

κθ'. Ἀκούω τοίνυν αὐτὸν καὶ τοιοῦτόν τινα ἐρεῖν λόγον, οἷον καὶ πρότερόν ποτε Ἀριστόμαχος παρ' ὑμῖν ἐδημηγόρει, ὡς οὐκ ἔστιν ὅπως ποτὲ Κερσοβλέπτης αἱρήσεται, Χερρόνησον ἀποστερεῖν ἐπιχειρῶν, ἐχθρὸς ὑμῖν εἶναι· οὐδὲ γὰρ εἰ λάβοι καὶ κατάσχοι, λυσιτελήσειν αὐτῷ. ἐκ μέν γε ἐκείνης οὐκ ἔστιν ὑπὲρ τριάκοντα τάλαντα ἡ πρόσοδος, μὴ πολεμουμένης· εἰ [6]πολεμήσετε δὲ, οὐδέν. ἐκ δὲ τῶν ἐμπορίων, ἃ τότ' ἂν κλεισθείη, πλέον ἢ [7]διακόσια τάλαντα ἔσθ'

[1] ὢν, καὶ πιστὸς [2] ὑμᾶς [3] τὸν Φίλιππον [4] οὐχὶ [5] [οὐκ] [6] πολεμήσεται [7] πριακόσια

Συνεῖναι] De hoc vocabulo vid. D'Orville ad Charit. Aphrod. Lib. V. cap. VI. p. 467.

Καὶ οὐδ' ἐπεχείρησαν] [Aldus ita cum Veneto et Paris.] Sub. οἱ Ὀλύνθιοι. Alii, ἐπεχείρησεν. Sub. ὁ Φίλιππος. Utroque modo obscura sententia. WOLF.

Ἀλλ' οὐκ αἰσχρὸν τοὺς περὶ etc.] Lego: τοὺς τῷ περὶ πραγμάτων etc. WOLF. Vulgo enim abest. TAYLOR.

κθ'. Κατάσχοι] Ita Editi et MSS. Wolfius inscienter, ut opinor, κατάγοι. In sequentibus potius, ἐκ μὲν γάρ. TAYLOR. Mallem γάρ: ut hæc sit ratio præcedentis sententiæ. MARKLAND.

Πολεμήσετε] Melior est lectio, quam præferunt Bar. et Bodl. πολεμήσεται. TAYLOR.

ἡ προσόδος. ὥστ' [1]εἰ βουλόμενος μικρὰ [2]λαμβάνειν, καὶ πολεμεῖν ἂν ἕλοιτο, ἐξὸν τὰ πλείω [3]καὶ φίλος εἶναι, θαυμάζειν φήσουσιν. ἐγὼ δὲ οὐκ ἀπορῶ μὲν εἰπεῖν πολλὰ, ἅ μοι δοκεῖ μᾶλλον ἄν τις ἰδὼν, ἀπιστεῖν εἰκότως, ἢ τούτοις πιστεύων, ἐκεῖνον ἐᾶν μέγαν γίγνεσθαι. οὐ μὴν ἀλλ' ὃ μάλιστα πρόχειρον ἔχω, τοῦτο ἐρῶ. ἴστε δήπου Φίλιππον, ὦ ἄνδρες Ἀθηναῖοι, τουτονὶ τὸν Μακεδόνα, ᾧ πολὺ δήπου μᾶλλον ἐλυσιτέλει, τὰς ἐξ ἁπάσης Μακεδονίας προσόδους ἀδεῶς λαμβάνειν, ἢ μετὰ κινδύνων τὰς ἐξ Ἀμφιπόλεως· καὶ χρῆσθαι φίλοις αἱρετώτερον ἦν αὐτῷ τοῖς πατρικοῖς ὑμῖν, ἢ Θετταλοῖς, οἳ τὸν πατέρα [4]αὐτοῦ ἐξέβαλον. ἄνευ γὰρ τούτου, κἀκεῖνό ἐστιν ἰδεῖν· ὑμεῖς μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδένα προὐδώκατε πώποτε τῶν φίλων, Θετταλοὶ δὲ, οὐδένα πώποθ' ὅν τινα οὔ. ἀλλ' ὅμως τούτων οὕτως ἐχόντων, μικρὰ λαμβάνειν, καὶ τοὺς ἀπίστους φίλους, καὶ [5]τὸ κινδυνεύειν, ἀντὶ τοῦ μετὰ ἀσφαλείας ζῆν ὁρᾶτε προῃρημένον αὐτόν. τί δήποτε τὸ αἴτιον; οὐ γὰρ δὴ λόγον γε τὸ πρᾶγμα οὑτωσὶ πρόχειρον 658
ἔχει. ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, δυοῖν ἀγαθοῖν ὄντοιν πᾶσιν ἀνθρώποις, τοῦ μὲν ἡγουμένου καὶ μεγίστου πάντων τοῦ εὐτυχεῖν, τοῦ δὲ ἐλάττονος μὲν τούτου, τῶν δὲ ἄλλων μεγίστου, τοῦ καλῶς βουλεύεσθαι, οὐχ ἅμα ἡ κτῆσις [6]ἀμφοῖν παραγίνεται τοῖς ἀνθρώποις· οὐδ' ἔχει τῶν εὖ πρατ-

[1] τὶ [2] λαμβάνων πολεμεῖν [3] Deest καὶ. [4] αὐτοῦ ποτ' ἐξέβαλον [5] [τὸ] [6] Deest ἀμφοῖν.

Ὥστ' εἰ βουλόμενος] Recta hæc et satis sana. Neque video necesse anteferre cum Wolfio scripturam Bar. Aug. Vind. et marg. Morel. ὥστε τι βουλόμενος. Quorum quidem Codicum hic est sensus: ὥστε θαυμάζειν φήσουσιν, τί βουλόμενος ἕλοιτο ἂν μικρὰ λαμβάνειν καὶ πολεμεῖν, ἐξὸν κ. τ. λ. *Quare admirari se dicent, quo consilio parvum lucrum simul cum bello præferre velit, cum plura possit obtinere et vestrum etiam amicitiam.* In quo sensu, quem non reprehendo, non recte abest καὶ ante πολεμεῖν, uti abest a Ven. Reg. *a.* et Vind. Idem.

Τούτοις] *His quæ dicuntur pro Cersobleptæ.* Auger.

Ἐξέβαλον] MSti una voce auctiores οἳ τὸν πατέρα αὐτοῦ ποτ' ἐξέβαλον. Bar. Ven. Ital. Lind. Aug. Vindob. cum Parisiensibus. Taylor.

Οὐδένα—] *Nullum unquam habuerunt amicum quem non prodiderint.* Auger.

Οὐ γὰρ δὴ λόγον — ἔχει] *Neque enim hujus facti ratio ita est in promtu.* Immo satis obvia est et bene nota observatio, *Res secundas et Bonam Mentem* raro eidem Personæ competere. Et ita, opinor, voluit Demosthenes. Itaque pono notam Interrogationis: οὐ γὰρ δὴ λόγον — ἔχει; *Nonne utique hujus rei ratio ita est in promtu?* Markland.

Δυοῖν ἀγαθοῖν ὄντοιν] Si hic sit locus Demosthenis, quem allegat Longinus §. 2. vide, quam alieno sensu alleget. Ὅπερ γὰρ ὁ Δημοσθένης ἐπὶ τοῦ κοινοῦ τῶν ἀνθρώπων ἀποφαίνεται βίου, "μέγιστον μὲν εἶναι τῶν ἀγαθῶν τὸ εὐτυχεῖν· δεύτερον δὲ, καὶ οὐκ ἔλαττον, τὸ εὖ βουλεύεσθαι, ὅπερ οἷς ἂν μὴ παρῇ, συναναιρεῖ πάντως καὶ θάτερον," τοῦτ' ἂν κ. τ. λ. Taylor.

τόντων οὐδεὶς ὅρον, οὐδὲ τελευτὴν τῆς τοῦ πλεονεκτεῖν ἐπιθυμίας. δι' ὅπερ πολλοὶ πολλάκις μειζόνων ἐπιθυμοῦντες, τὰ παρόντα ἀπώλεσαν. καὶ τί δεῖ Φίλιππον λέγειν, ἤ τιν' ἄλλον; ἀλλ' ὁ πατὴρ αὐτὸς ὁ Κερσοβλέπτου Κότυς, ἡνίκα μὲν στασιάζοι πρός τινας, πρέσβεις πέμπων πρὸς ἡμᾶς, ἅπαντα ποιεῖν ἕτοιμος ἦν· καὶ τότε ἡσθάνετο, ὡς ἀλυσιτελὲς [1] τῇ πόλει πολεμεῖν. ἐπειδὴ δ' ὑφ' ἑαυτῷ τὴν Θρᾴκην [2] εἶχε, κατελάμβανε τὰς πόλεις, [3] ἠδίκει μεθύων, ἐπαρῴνει, μάλιστα μὲν εἰς ἑαυτόν, ἔπειτα δὲ καὶ εἰς ἡμᾶς, τὴν χώραν ἐποιεῖθ' ὑφ' ἑαυτῷ, τὸ πρᾶγμα ἀμήχανον ἦν· τῶν γὰρ ὑπὲρ τοῦ πλεονεκτεῖν ἐπιχειρούντων οἷς οὐ χρὴ, οὐκ εἴωθε τὰ δυσχερέστατα ἕκαστος λογίζεσθαι, ἀλλ' ἃ κατορθώσας διαπράξεται. ἐγὼ δὲ δεῖν ὑμᾶς [4] οἶμαι τοῦτον τὸν τρόπον βεβουλεῦσθαι, ὅπως ἂν μὲν ἃ χρὴ περὶ ὑμῶν γινώσκῃ Κερσοβλέπτης, μηδὲν ὑφ' ὑμῶν ἀδικηθήσεται· ἐὰν δὲ ἀλόγως ἀδικεῖν ἐπιχειρῇ, μὴ μείζων ἔσται τοῦ δοῦναι δίκην. ἀναγνώσομαι δ' ὑμῖν τὴν ἐπιστολὴν, ἣν, ὅτε ἀφειστήκει Μιλτοκύθης, Κότυς ἔπεμψε, καὶ [5] ἣν, ὅτε πᾶσαν τὴν ἀρχὴν ἔχων, πέμψας Τιμομάχῳ, τὰ χωρία ὑμῶν ἐξεῖλεν.

659 ΕΠΙΣΤΟΛΗ.

τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ παράδειγμα ἑωρακότες, ἂν ἐμοὶ πεισθῆτε, κἀκεῖνο εἰδότες, ὅτι Φίλιππος, ὅτε μὲν ἐπολιόρκει Ἀμφίπολιν, ἵν' ὑμῖν παραδῷ πολιορκεῖν ἔφη, ἐπειδὴ δὲ ἔλαβε, καὶ Ποτίδαιαν προσαφείλετο, ἐκείνην τὴν πίστιν βουλήσεσθε ἔχειν, ἥν περ φασὶ πρὸς Λακεδαιμονίους ποτὲ εἰπεῖν Ἰφικράτην [6] Ἐφιάλτου. καὶ γὰρ ἐκεῖνόν φασιν, ἐξαπατώντων [7] τί τῶν Λακεδαιμονίων, καὶ προτεινόντων

[1] τὸ τῇ [2] ἔχοι [3] ἠδίκει, μεθύων ἐπαρῴνει, [4] οἶομαι
[5] ἣν, *πᾶσαν ἔχων τὴν ἀρχὴν [6] τὸν Ἐφιάλτου [7] τι

Τῇ πόλει πολεμεῖν] MSti fere omnes, præter Aldinos, τὸ τῇ πόλει πολεμεῖν, non otioso articulo addito, ut recte Obsopœus. IDEM.

Ἰφικράτην Ἐφιάλτου] Dubito de fide hujus loci. Iphicrates, dux ille celebratus, coriarii filius audiebat. Ideo raro invenitur nomen ejus patris. Pausanias tamen in Bœoticis Timothei filium facit. In margine autem mei Codicis scriptum inveni Φιλοκράτην Ἐφιάλτου, manu alicujus non inerruditi viri, cujus olim fuit. Unde habuerit nescio. PALMER. Φιλοκράτην Ven. Bodl. Obsop. Ital. et Lind. Sed parum interest, utro modo scribatur, neque necesse est, ut de Iphicrate, celeberrimo Imperatore, hæc intelligerentur. TAYLOR.

πίστιν ἥν τινα [1] βούλεται λαμβάνειν, εἰπεῖν, ὅτι πίστιν ἂν οἴεται γενέσθαι μόνην, εἰ [2] δείξαιεν, ὅπως, ἂν ἀδικεῖν βούλωνται, μὴ δυνήσονται, ἐπεὶ, ὅτι [3] γε βουλήσονται, εὖ εἰδέναι, ἕως ἂν οὖν δύνωνται, πίστιν οὐκ εἶναι. ταύτην, ἂν ἐμοὶ χρῆσθε συμβούλῳ, φυλάξετε τὴν πίστιν πρὸς τουτονὶ τὸν Θρᾷκα, καὶ μὴ βουλήσεσθε εἰδέναι, τίνα ἂν, εἰ πάσης ἄρξειε τῆς Θρᾴκης, πρὸς ὑμᾶς σχοίη γνώμην.

λ'. Ὅτι τοίνυν ὅλως οὐδὲ ὑγιαινόντων ἀνθρώπων [4] ἐστὶ τοιαῦτα γράφειν ψηφίσματα, καὶ διδόναι τισὶ τοιαύτας δωρεὰς, καὶ τοῦτ' ἐκ πολλῶν ῥᾴδιον γνῶναι. ἴστε γὰρ δήπου τοῦτο πάντες, ὦ ἄνδρες Ἀθηναῖοι, ὁμοίως ἐμοὶ, ὅτι τὸν Κότυν πότ' ἐκεῖνον ἐποιήσασθε πολίτην· δῆλον ὡς κατ' ἐκεῖνον τὸν χρόνον εὔνουν ἡγούμενοι καὶ φίλον. καὶ μὴν καὶ χρυσοῖς στεφάνοις ἐστεφανοῦτε· οὐκ ἂν, εἴ γε ἐχθρὸν ἡγεῖσθε. ἀλλ' ὅμως ἐπειδὴ πονηρὸς καὶ θεοῖς ἐχθρὸς ἦν, καὶ μεγάλα ὑμᾶς ἠδίκει, τοὺς ἀποκτείναντας ἐκεῖνον, Πύθωνα καὶ Ἡρακλείδην, τοὺς [5] Αἰνείους, πολίτας [6] ἐποιήσατε, ὡς εὐεργέτας, καὶ χρυσοῖς στεφάνοις ἐστεφανώσατε. εἰ δὴ τότε, ὅθ' ὑμῖν οἰκείως ἔχειν ὁ Κότυς ἐδόκει, ἔγραψέ τις, ἐάν τις ἀποκτείνῃ Κότυν, [7] ἔκδοτον εἶναι, πότερον ἐξέδοτε ἂν τὸν Πύθωνα, καὶ τὸν ἀδελφὸν, ἢ παρὰ τὸ ψήφισμα τοῦτο πολίτας ἐποιεῖσθε, καὶ ὡς εὐεργέτας ἐτιμᾶτε; [8] τί δ' Ἀλέξανδρον ἐκεῖνον τὸν Θετταλὸν, ἡνίκ' εἶχε μὲν αἰχμάλωτον δήσας Πελοπίδαν, ἐχθρὸς δ' ὡς οὐδεὶς Θηβαίοις ἦν, ὑμῖν δ' οἰκείως διέκειτο οὕτως, ὥστε παρ' ὑμῶν στρατηγὸν αἰτεῖν, ἐβοηθεῖτε δὲ αὐτῷ, καὶ πάντα ἦν Ἀλέ- 660

[1] βούλνται [2] δείξειαν [3] γ' ἀεὶ βουλήσονται [4] ἐστὶν ἀνθρώπων [5] αἰνίους [6] ἐποιήσασθ' [7] ἔκδοτον αὐτὸν εἶναι [8] τί δ';

Ὅτι γε βουλήσονται] Melius multo cum Bar. Ven. Bodl. Lind. Obsop. Aug. Ital. Vindob. ὅτι γ' ἀεὶ βουλήσονται. TAYLOR.

λ'. Οὐκ ἂν] S. στεφανώσαντες. WOLF.

Πύθωνα καὶ Ἡρακλείδην] De his Diogenes Laertius in Platone, quos discipulis Platonis accenset, sed Πίθωνα vocat, non Πύθωνα. Aristoles vero V. Polit. 10. sic habet: Πάρων δὲ καὶ Ἡρακλείδης οἱ Αἴνιοι Κότυν διέφθειραν, τῷ πατρὶ τιμωροῦντες. In tanta diversitate præfero hujus loci lectionem. Nam et repetitur v. 21. Πύθωνα, et rursus §. λβ'. Πύθων nominatur. De his jam diximus ad Diogenem Laertium. PALMER.

Αἰνείους] Αἰνίους marg. Benenati et Ital. Recte. Τὸ ἐθνικὸν Αἴνιος, ὡς Τήνιος· οὕτω γὰρ ἀναγράφεται ἐν τοῖς πίναξι. Steph. Byzant. in Αἶνος. Porro autem, quod hic de Pythone facinus narratur, id a Diogene Laertio IX. 65. Pyrrhoni Eleo attribuitur. Utrum vero nominum similitudine deceptus fuerit eruditus ille et utilissimus Scriptor, quæ est sententia P. Leopardi XI. Emendatt. 21. an errorem illum debeamus importuno alicui annotatori, de qua re multa probabiliter admodum cultissimus ille Menagius ad locum Laertii, judicent, quibus est otium. TAYLOR.

Πάντα ἦν] De hac locutione vid. Bergler. ad Alciphr. Ep. Lib. 11. ep. 3.

ξανδρος· πρὸς Διός, εἴ τις ἔγραψεν, [1]ἐάν τις ἀποκτείνῃ Ἀλέξανδρον, ἀγώγιμον εἶναι, [2]ἆρ' ὧν μετὰ ταῦθ' ὕβρισε καὶ προὐπηλάκισεν, [3]ἀσφαλὲς ἂν ἦν τὸ παρ' αὐτοῦ δίκην πειρᾶσθαι λαβεῖν; τί δὲ τἄλλα λέγοι τις ἄν; ἀλλ' ὁ μάλιστα δοκῶν νῦν ὑμῖν ἐχθρὸς εἶναι Φίλιππος οὑτοσί, εἰ τόθ', ὅτ' Ἀργαῖον κατάγοντας λαβὼν τῶν ἡμετέρων τινὰς πολιτῶν, ἀφῆκε μὲν αὐτοὺς, ἀπέδωκε δὲ πάντα ὅσα ἀπώλεσαν αὐτοῖς, πέμψας δὲ γράμματα, ἐπηγγείλατο ἕτοιμος εἶναι συμμαχίαν ποιεῖσθαι, καὶ τὴν πατρικὴν φιλίαν ἀνανεοῦσθαι· εἰ τότε ἠξίωσε τυχεῖν τούτων, καί τις ἔγραψε τῶν ἀφεθέντων ὑπ' αὐτοῦ, ἐάν τις ἀποκτείνῃ Φίλιππον, ἀγώγιμον εἶναι, καλήν γε ὕβριν ἦμεν ἂν ὑβρισμένοι. ἆρά γε ὁρᾶτε καὶ καταμανθάνετε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐφ' ἑκάστου τούτων, ἡλίκην ἂν ὠφληκότες παράνοιαν ἦτε, εἴ τι [4]τοιοῦτο ἐτυγχάνετε ἐψηφισμένοι; ἔστι γὰρ οὐχ ὑγιαινόντων ἀνδρῶν, οἶμαι, οὔθ', ὅταν τινὰ ὑπειλήφωσι φίλον, οὕτω πιστεύειν, ὥστε, ἂν ἀδικεῖν ἐπιχειρῇ, τὸ ἀμύνεσθαι σφῶν αὐτῶν ἀφελέσθαι, οὔθ', ὅταν ἐχθρόν τινα ἡγῶνται, οὕτως αὖ μισεῖν, ὥστε, ἂν παυσάμενος βούληται φίλος εἶναι, τὸ ποιεῖν ἐξεῖναι ταῦτα κωλύσαι· ἀλλ' ἄχρι [5]τούτου, καὶ φιλεῖν, οἶμαι, χρὴ καὶ μισεῖν, [6]μηδ' ἑτέρου τῶν
31 καιρῶν ὑπερβαλόντας.

λά. Οὐ τοίνυν ἔγωγε οὐδὲ ἐκεῖνο ἰδεῖν δύναμαι, ὡς οὐχὶ πάντες ἄνθρωποι τούτων ἀξιώσουσι τυχεῖν, ὁπόσοις πέρ ἐστι καὶ ἡτισοῦν εὐεργεσίας πρόφασις πρὸς ὑμᾶς, εἰ Χαριδήμῳ δώσετε· οἷον, εἰ βούλεσθε, Σίμων, Βιάνωρ, Ἀθηνόδωρος, ἄλλοι μυρίοι. εἰ μὲν τοίνυν πᾶσι ψηφιούμεθα ταὐτὰ, λήσομεν, ὡς ἔοικε, μισθοφόρων ἔργον ἀνθρώπων ποιοῦντες, τὴν ἑκάστου σωτηρίαν τούτων δορυφοροῦντες· εἰ δὲ τοῖς μὲν, τοῖς δ' οὔ, δικαίως ἐγκαλέσουσιν οἱ μὴ [7]μετέχοντες. φέρ',

[1] ἄν [2] ἆρ' ἂν ὧν [3] ἀσφαλὲς ἦν τῳ παρ' [4] τοιοῦτον [5] * τοῦ
[6] μηδετέρου τὸν καιρὸν ὑπερβάλλοντας [7] τυχόντες. φέρ', ἐὰν δὲ δὴ

Τυχεῖν τούτων] *Hæc consequi*, i. e. ea quæ postulat Aristocrates pro Charidemo. AUGER.

Ταῦτα] F. τοῦτο, scil. φίλος εἶναι. MARKLAND.

λά. Εἰ δὲ τοῖς μὲν] Plerique Codices, εἰ δὲ τῷ μὲν (Charidemo sc.) τοῖς δ' οὔ. Sed recepta lectio bene se tueri potest. TAYLOR.

Οἱ μὴ μετέχοντες] MSti fere omnes, sc. Ven. Bar. Lind. marg. Benen. Aug. Ital. et MSS. Ald. οἱ μὴ τυχόντες. Quod melius est, et fere video, quo errore orta sit exinde lectio vulgata. IDEM.

ἐὰν δὴ καὶ Μενέστρατος ἡμᾶς ὁ Ἐρετριεὺς ἀξιοῖ ταῦτα καὶ αὐτῷ ψηφίσασθαι, ἢ [1]Φαύλος ὁ Φωκεύς, ἤ τις ἄλλος δυνάστης, — πολλοῖς δὲ δήπου διὰ καιρούς τινας πολλάκις φίλοι γινόμεθα —, [2]πότερον ψηφιούμεθα πᾶσιν, ἢ οὔ; ψηφιούμεθα νὴ Δία. καὶ τί δήπου φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι, καλὸν, εἰ τῶν Ἑλλήνων ἐπ' ἐλευθερίᾳ προεστάναι φάσκοντες, τοὺς ἰδίᾳ δυνάμεις ἐπὶ τοῖς πλήθεσι κεκτημένους δορυφοροῦντες φανούμεθα; ἐγὼ μὲν οὐχ ὁρῶ. εἰ γάρ ἐστί τῳ δοτέον [3]τί τοιοῦτον, ὡς ἔγωγε οὐ φημι, πρῶτον μὲν τῷ μηδὲν ἠδικηκότι πώποτε· δεύτερον δὲ τῷ, μηδ', ἂν ἀδικεῖν βούληται, δυνησομένῳ· ἔπειθ' ὡς ἀληθῶς, [4]ὅστις ἅπασιν ἀνθρώποις ἔσται φανερὸς ὑπὲρ τοῦ [5]μὴ παθεῖν ταῦτα εὑρισκόμενος, καὶ οὐκ ἐπὶ τῷ ποιεῖν μετ' ἀδείας ἑτέρους κακῶς, τούτῳ δοτέον.

λβ'. Ὅτι μὲν τοίνυν ὁ Χαρίδημος, οὔτε τῶν ἀναμαρτήτων ἐστὶ πρὸς ὑμᾶς, οὔτε τῶν, ἵνα μή τι [6]πάθῃ, ταῦτα εὑρισκομένων, ἐάσω· ἀλλ' ὡς οὐδὲ πιστὸς εἰς τὸν ἔπειτα χρόνον, ἀκούσατέ μου, καὶ σκοπεῖτε, ἂν ὀρθῶς ὑμῖν ἐξετάζειν δοκῶ. ἐγὼ νομίζω, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσοι μὲν τῶν ἡμετέρων ἐθῶν καὶ νόμων ἐπιθυμηταὶ γενόμενοι, πολῖται γενέσθαι ἐσπούδασαν, ἅμα τ' αὐτοὺς ἂν τυγχάνειν τούτων, καὶ παρ' ἡμῖν οἰκεῖν, καὶ μετέχειν ὧν ἐπεθύμησαν· ὅσοις δὲ τούτων μὲν μηδενὸς μήτ' ἐπιθυμία μήτε ζῆλος εἰσέρχεται, τὴν πλεονεξίαν δ' ἀγαπῶσιν, ἣν διὰ τοῦ δοκεῖν ὑφ' ἡμῶν τιμᾶσθαι καρποῦνται, τούτους [7]οἶμαι, μᾶλλον δὲ οἶδα σαφῶς, ὅταν ποτὲ μείζονος πλεονεξίας ἐλπίδα ἑτέρωθεν ἴδωσιν, οὐδ' ὁτιοῦν ὑμῶν φροντίσαντας, ἐκείνην [8]θεραπεύειν. οἷον — ἵν' εἰδῆτε καὶ ὑμεῖς πρὸς ἃ βλέπων ἐγὼ ταῦτα λέγω — Πύθων οὑτοσὶ, ὅτε μὲν Κότυν 662

[1] Φαῦλλος [2] πότερα [3] τι [4] ὅστις * ὡς ἀληθῶς [5] μή τι παθεῖν
[6] * πάθωσι [7] οἶομαι [8] θεραπεύσειν

Δορυφοροῦντες] "Notum, qui dicti proprie principum δορυφόροι: — cum dativo et cum accusativo propria et minus propria notione; sed hic casus longe usitatior." D'Orville ad Charit. Aphrod. Lib. I. cap. VI. p. 71. cf.

Ὑπὲρ τοῦ μὴ παθεῖν] Inserendum puto τι. μή τι παθεῖν, ut mox v. 16. ἵνα μή τι πάθῃ, et passim. MARKLAND.

λβ'. Τούτους οἶμαι, μᾶλλον δὲ οἶδα σαφῶς] Οἶομαι Lind. et Ital. Hic fortasse locum habere potest, quod reliquit T. Magister: φασὶν οἱ ἀκριβεῖς τεχνικοὶ, τὸ μὲν οἶμαι ἐπὶ ὁμολογούμενον (rescribe ὁμολογουμένου, aut saltem ὁμολογουμένων) τίθεται· τὸ δὲ οἶομαι ἐπὶ ἀμφιβόλου. TAYLOR.

Θεραπεύειν] Melius θεραπεύσειν. Ita MSS. Ven. Bar. Aug. Ital. Vind. IDEM.

Οὑτοσὶ] Ita reponendum curavi ex Edi-

εὐθὺς ἀπεκτονὼς, οὐκ ἀσφαλὲς ἡγεῖτο ἀπελθεῖν ὅποι τύχοι, ἦλθεν ὡς ὑμᾶς, καὶ πολιτείαν ἤτησε, καὶ πάντων ἐποιήσατο πρώτους ὑμᾶς· ἐπειδὴ δὲ οἴεται τὰ Φιλίππου πράγματα συμφέρειν [1]ἑαυτῷ μᾶλλον, [2]οὐδοτιοῦν ὑμῶν φροντίσας [3]τὰ ἐκείνου φρονεῖ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, παρὰ τούτοις, τοῖς ἐπὶ τῇ τοῦ πλεονεκτεῖν προαιρέσει ζῶσιν, οὐδὲν οὔτε βέβαιον, οὐδ' ὅσιον· ἀλλὰ δεῖ τούτων, ὅστις εὖ φρονεῖ, φυλαττόμενον περιεῖναι, μὴ προπιστεύσαντα κατηγορεῖν. εἰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὐναντίον ἢ [4]τὸ ἀληθὲς ἔχει, θείημεν τὸν Χαρίδημον αὐτὸν καὶ γεγενῆσθαι περὶ [5]ὑμᾶς σπουδαῖον, καὶ εἶναι, καὶ ἔσεσθαι, καὶ μηδέποτε ἄλλην γνώμην ἢ ταύτην σχήσειν, οὐδὲν μᾶλλον ἔχει καλῶς ταῦτ' αὐτῷ ψηφίσασθαι. εἰ μὲν γὰρ ἐπ' ἄλλο τι ταύτην τὴν ἄδειαν ἐλάμβανε τὴν ἐκ τοῦ ψηφίσματος, ἢ τὰ Κερσοβλέπτου πράγματα, ἧττον ἂν ἦν δεινόν· νῦν δ' ὑπὲρ οὗ καταχρήσεται τῇ διὰ τοῦ ψηφί-
663 σματος πλεονεξίᾳ, οὐκ ἀξιόπιστον οὐδ' ὑμῖν οὔτ' ἐκείνῳ λογιζόμενος αὐτὸν εὑρίσκω. σκέψασθε δὲ ὡς δικαίως ἕκαστα ἐξετάζω, καὶ σφόδρα γε εἰκότως δεδιώς.

λγ'. Ἐγὼ σκοπῶ Κότυν, ὅτι κηδεστὴς ἦν Ἰφικράτει, τὸν αὐτὸν τρόπον, ὃν περ Χαρίδημος Κερσοβλέπτῃ· καὶ τὰ πεπραγμένα ὁρῶ πολλῷ μείζονα, καὶ χάριτος πλείονος ἄξια, ὑπὲρ Κότυος Ἰφικράτει, ἢ ὑπὲρ Κερσοβλέπτου Χαριδήμῳ. σκεψώμεθα δ' οὑτωσί. ἴστε δήπου τοῦτ', ἄνδρες Ἀθηναῖοι, ὅτι χαλκῆς εἰκόνος οὔσης παρ' [6]ἡμῖν Ἰφικράτει, καὶ σιτήσεως ἐν Πρυτανείῳ, καὶ δωρεῶν, καὶ τιμῶν ἄλλων, δι' ἃς εὐδαίμων ἐκεῖνος ἦν, ὅμως ἐτόλμησεν ὑπὲρ τῶν Κότυος πραγμάτων ἐναντία τοῖς ὑμετέροις στρατηγοῖς ναυμαχεῖν, καὶ περὶ πλείονος ἐποιήσατο τὴν ἐκείνου σωτηρίαν,

[1] αὐτῷ [2] οὐδ' ὁτιοῦν [3] τἀκείνου [4] τἀληθὲς [5] ἡμᾶς [6] ὑμῖν

tis melioribus et MStis. Vulgo οὑτωσί. Idem.

Ἑαυτῷ] Corrige αὐτῷ cum Ven. Lind. Ital. Modo v. 5. τὰ ἐκείνου μᾶλλον φρονεῖ. Vindob. Idem.

Λογιζόμενος κ. τ. λ.] Λογιζόμενος εὑρίσκω αὐτὸν (τὸν Χαρίδημον) ἀξιόπιστον (Sub. ὄντα) οὐδ' ὑμῖν, οὔτ' ἐκείνῳ (τῷ Κερσοβλέπτῃ.) Wolf. Immo, si quid ego judicare possim, contraria prorsus omnia, non Charidemum Cersobleptæ, sed vice versa Cersobleptem Charidemo. Postulat hujus loci syntaxis, argumentandi ratio. In Vind. deest αὐτὸν ante εὑρίσκω, quod impune abesse potest. Taylor. ἐκείνῳ refertur ad Charidemum, αὐτὸν ad Cersobleptem. Auger.

λγ'. Κηδεστὴς] Duxerat enim Iphicrates Tarsen, filiam Cotyis, Thracum dynastæ vel regis, ut narrat Æmilius Probus, vel Cornelius Nepos, in Iphicrate. Palmer.

ἢ τὰς ὑπαρχούσας ἑαυτῷ παρ' ὑμῖν τιμάς. καὶ εἰ μὴ μετριωτέραν ἔσχετε τὴν ὀργὴν ὑμεῖς τῆς ἐκείνου προπετείας, οὐδὲν ἂν αὐτὸν ἐκώλυσεν ἀθλιώτατον [1] ἀνθρώπων ἁπάντων εἶναι. ἀλλ' ὅμως ὁ Κότυς ὑπ' ἐκείνου τότε σωθεὶς, καὶ λαβὼν ἔργῳ τῆς ἐκείνου φιλίας πεῖραν, ἐπειδὴ βεβαίως ἡγήσατο σῶς εἶναι, οὐχ ὅπως ἀποδώσει χάριν ἐσπούδασεν αὐτῷ, καὶ πρὸς ὑμᾶς δι' [2] ἐκείνου τί φιλάνθρωπον ἔπραξεν, ἵνα συγγνώμης ἐπὶ τοῖς πεπραγμένοις τύχῃ· ἀλλὰ πᾶν τοὐναντίον, ἠξίου μὲν αὐτὸν συμπολιορκεῖν τὰ λοιπὰ τῶν ὑμετέρων χωρίων. οὐκ ἐθέλοντος δ' ἐκείνου, [3] λαβὼν τήν τε βαρβαρικὴν δύναμιν, καὶ τὴν ὑπ' ἐκείνου συνειλεγμένην, καὶ τὸν Χαρίδημον τοῦτον προσμισθωσάμενος, προσέβαλε τοῖς ὑμετέροις χωρίοις, καὶ εἰς τοῦτο κατέστησε 664
τὸν Ἰφικράτην ἀπορίας, ὥστε [4] ἐπελθόντα εἰς Ἄντισσαν οἰκεῖν, καὶ πάλιν εἰς Δρῦν· ἡγούμενον ὡς μὲν ὑμᾶς οὐχὶ καλῶς ἔχειν ἐλθεῖν, οὓς ὑστέρους ἐποιήσατο τοῦ Θρᾳκὸς καὶ τοῦ βαρβάρου, παρ' ἐκείνῳ δ' οὐκ ἀσφαλὲς εἶναι μένειν, ὃν οὕτως ὀλιγωροῦντα ἑώρα τῆς ἑαυτοῦ σωτηρίας. [5] ἐὰν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ [6] ὁ Κερσοβλέπτης ἐκ τῆς τῷ Χαριδήμῳ νῦν ἀδείας κατασκευαζομένης αὐξηθεὶς, ὀλιγωρῇ μὲν ἐκείνου, νεωτερίζῃ δέ τι καὶ κινῇ πρὸς [7] ἡμᾶς, ἐξαρκεῖ τοῦθ' ὑμῖν, ἐὰν Χαρίδημος ἐξαπατηθῇ, τὸν Θρᾷκα ἰσχυρὸν ἐφ' ὑμᾶς αὐτοὺς κατεσκευακέναι; ἐγὼ μὲν οὐκ ἀξιῶ. καὶ γὰρ ἐκεῖνο νομίζω δίκαιον, εἰ μὲν αἰσθάνεται ταῦτα καὶ προορᾷ Χαρίδημος, εἶθ' ὅπως τοιούτων ψηφισμάτων τεύξεται διαπράττεται, ὡς ἐπιβουλεύοντι μὴ ἐπιτρέπειν αὐτῷ· εἰ δὲ λέληθεν αὐτὸν, ὅσῳ μᾶλλον εὔνουν τις αὐτὸν ὑπείληφεν εἶναι, τοσούτῳ μᾶλλον προϊδέσθαι καὶ ὑπὲρ [8] αὐτοῦ καὶ ὑπὲρ ἐκείνου. ἔστι γὰρ φίλων ἀγαθῶν, οὐ τὰ τοιαῦτα χα-

[1] ἀνθρώπων ἁπάντων ἀθλιώτατον [2] ἐκεῖνον τι [3] λαβὼν αὐτὸς τήν [4] ἀπελθόντα [5] ἂν [6] Deest articulus. [7] ὑμᾶς [8] αὐτοῦ

Δι' ἐκείνου] F. δι' ἐκεῖνον, *propter illum*, illius gratia, ut §. λέ. MARKLAND.

Λαβὼν] Habeo fere pro necessario, quod addunt Bar. Felic. Linden. Manut. Aug. Obsop. Ital. et Vindob. οὐκ ἐθέλοντος δ' ἐκείνου, λαβὼν αὐτὸς τήν τε βαρβαρικὴν δύναμιν cætera. TAYLOR.

Ἑαυτοῦ] Αὐτοῦ Vind. Lege autem αὐτοῦ. Et intellige salutem Iphicratis, non Cotyos. IDEM.

Ἐξαρκεῖ κ. τ. λ.] Ἐξαρκεῖ τοῦθ' ὑμῖν, (κατεσκευακέναι) ὅτι Χαρίδημος ἐξαπατηθεὶς κατεσκεύακε τὸν Θρᾷκα ἰσχυρὸν ἐφ' ὑμᾶς αὐτούς; WOLF. Non intelligo. TAYLOR.

Αὐτοῦ] Corrige αὐτοῦ. IDEM. Legendum videtur, καὶ ὑπὲρ αὐτοῦ, vel ἑαυτοῦ. JURIN. αὐτοῦ etiam Cl. Marklandus.

ρίζεσθαι τοῖς εὔνοις, ἐξ ὧν κἀκείνοις καὶ σφίσιν αὐτοῖς ἔσται τις βλάβη, ἀλλ' ὃ μὲν ἂν μέλλῃ συνοίσειν ἀμφοῖν, συμπράττειν, ὃ δ' ἂν αὐτὸς ἄμεινον ἐκείνου προορᾷ, πρὸς τὸ καλῶς ἔχον τίθεσθαι, καὶ μὴ τὴν ἤδη χάριν τοῦ μετὰ ταῦτα χρόνου παντὸς περὶ πλείονος ἡγεῖσθαι. οὐ τοίνυν οὐδὲ ἐκεῖνο λογιζόμενος δύναμαι κατιδεῖν, ὡς εἰ καὶ βάρβαρος καὶ ἄπιστος ὁ Κερσοβλέπτης, ὅμως προνοηθείη γ' ἂν μὴ τὰ τηλικαῦτα ἀδικῆσαι Χαρίδημον. ὅταν γὰρ πάλιν ἐξετάσω ἡλίκων Κότυς Ἰφικράτην ἀποστερήσειν μέλ-
665 λων οὐδὲν ἐφρόντισε, παντελῶς τούτῳ γε οὐδὲν ἡγοῦμαι [1] ἂν μελῆσαι τῶν ἀπολουμένων Χαριδήμῳ. ὁ μὲν γὰρ ἐκεῖνον τιμᾶς, σίτησιν, εἰκόνας, πατρίδα, ἣ ζηλωτὸν αὐτὸν ἐποίησεν, ὀλίγου δέω λέγειν πάνθ' ὧν ἄνευ ζῆν οὐκ ἄξιον ἦν Ἰφικράτει, νομίζων ἀποστερήσειν, οὐκ ἐπεστράφη· οὗτος δ' ὡς ἀληθῶς τίνος ἂν καὶ λόγον σχοίη μή [2] τινος Χαρίδημον ἀποστερήσῃ; οὐδ' [3] ὁτιοῦν. ἔστι γὰρ παρ' ὑμῖν αὐτῷ οὐ παῖδες, οὐκ εἰκών, οὐ συγγενεῖς, οὐκ ἄλλο οὐδέν. καὶ μήν, εἰ μήτε φύσει πιστὸς ὁ Κερσοβλέπτης, ἐκ τε τῶν γεγενημένων πρότερον δικαίως ἄπιστος, μηδέν τε τοιοῦτον ὑπάρχει τοῖς πράγμασι, δι' ὃ κἂν παρὰ γνώμην καὶ φύσιν προνοηθείη [4] τί τοῦ Χαριδήμου, τίνος ἕνεκα ἁπλῶς καὶ κομιδῇ τετυφωμένως οὕτως ἃ βούλεται διαπράξασθαι συλλάβωμεν αὐτῷ· καὶ ταῦτα ἐφ' ἡμῖν ὄντα; ἐγὼ [5] μὲν οὐχ ὁρῶ.

λδ'. Ὅτι τοίνυν ἄνευ τοῦ τοῖς πράγμασι μὴ συμφέρειν τὸ ψήφισμα, οὐδὲ πρὸς δόξαν συμφέρει τῇ πόλει τοιοῦτον οὐδὲν ἐψηφισμένῃ φαίνεσθαι, καὶ τοῦτο δεῖ μαθεῖν ὑμᾶς. εἰ

[1] ἂν ἡγοῦμαι [2] [τινος] [3] ὁτιοῦν γάρ ἐστι [4] τι [5] μὲν γὰρ οὐχ

Ἐξετάσω] Ἐξετάζω. MARKLAND.

Τίνος ἂν] Certe alterum τινὸς est inutile: posterius credo. Lege itaque: τίνος ἂν καὶ λόγον σχοίη μὴ Χαρίδημον ἀποστερήσῃ; TAYLOR. Pro posteriori τινος f. leg. τούτου. AUGER.

Δικαίως ἄπιστος] Sub νομίζεται, ut supra v. 18. εἰ μήτε φύσει πιστὸς, Sub. ἐστί. et, [v. 22.] διὰ τί συλλάβωμεν αὐτῷ οὕτως ἁπλῶς. καὶ κομιδῇ τετυφωμένως διαπράξασθαι (ὅπως ἂν διαπράξηται), ἃ βούλεται; WOLF.

Καὶ ταῦτα ἐφ' ἡμῖν ὄντα] Ἐν τῇ ἐξουσίᾳ ἡμῶν, cum ea penes nos sint. Sed legendum ἐφ' ἡμᾶς, τὸ καθ' ἡμῶν, sicut supra: ἰσχυρὸν ἐφ' ἡμᾶς. IDEM. Vertendum: *cum tota res in nostra potestate sit.* Sic §. ν'. ἐφ' ὑμῖν ἔσται τὸ πράττειν, *vestro arbitratu agere poteritis.* Nota sunt Stoicorum τὰ ἐφ' ἡμῖν, *res nostri arbitrii.* MARKLAND. Cant. cæteris omnibus silentibus cum Wolfio legit. Quidni autem Wolfianam interpretationem amplecteremur et lectionem vulgatam? Ita Noster c. Timocrat. 723. 2. ed. Reisk. Ἔστι γὰρ οὐ τὸ μὲν αὐτοῦ καλῶς κείμενον, τὸ δὲ ἡμαρτημένον, ἀλλ' ὅλος ἐξ ἀρχῆς ἀπὸ τῆς πράξης συλλαβῆς μέχρι τῆς τελευταίας ἐφ' ὑμῖν κεῖται. MOX v. 23. ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ Aug. et Vindob. TAYLOR.

μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, πόλιν [1] οἰκοῦντι καὶ νόμοις πολιτευομένῳ τὸ ψήφισμα ἐγέγραπτο, δεινὸν ὂν, ἧττον ἂν ἦν αἰσχρόν· νῦν δὲ γέγραπται Χαριδήμῳ, τῷ πόλιν μὲν οὐδ' ἡντινοῦν οἰκοῦντι, Θρᾳκὶ δὲ ἀνθρώπῳ βασιλεῖ στρατηγοῦντι, καὶ διὰ τῆς ἐκείνου βασιλείας πολλοὺς ἀδικοῦντι. ἴστε γὰρ δήπου τοῦθ', ὅτι πάντες οἱ ξεναγοῦντες οὗτοι, πόλεις καταλαμβάνοντες Ἑλληνίδας, ἄρχειν ζητοῦσι, καὶ πάντων, ὅσοι περ νόμοις οἰκεῖν βούλονται τὴν αὐτῶν ὄντες ἐλεύθεροι, κοινοὶ περιέρχονται κατὰ πᾶσαν χώραν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐχθροί. ἆρ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καλὸν 666
ἢ πρέπον ὑμῖν, τοῦ μὲν ἕνεκα τῆς ἑαυτοῦ πλεονεξίας [2] ἐπιβουλεύσοντος οἷς ἂν τύχοι, τοιαύτην φυλακὴν ἐψηφισμένους φαίνεσθαι, τοῖς δ' ὑπὲρ τῆς ἑαυτῶν ἐλευθερίας ἀμυνομένοις εἴργεσθαι τῆς ὑμετέρας συμμαχίας προειρηκέναι; ἐγὼ μὲν οὐχ ὑπολαμβάνω τοῦτο οὔτε καλῶς ἔχειν, οὔθ' ὑμῶν ἀξίως. πῶς γὰρ οὐκ αἰσχρὸν Λακεδαιμονίοις μὲν ἐγκαλεῖν, ὅτι τοὺς [3] μὲν τὴν Ἀσίαν οἰκοῦντας Ἕλληνας ἔγραψαν ἐξεῖναι δρᾶσαι πᾶν ὅ,τι ἂν ἐθέλῃ βασιλεύς· αὐτοὺς δ' ἐκδοῦναι καὶ τοὺς τὴν Εὐρώπην οἰκοῦντας Κερσοβλέπτῃ, καὶ πάντας ὅσων περ ἂν οἴηται κρείττων Χαρίδημος [4] ἔσεσθαι; οὐ γὰρ ἄλλο τι ποιεῖ τὸ ψήφισμα, ἢ τουτί, ὅτι τῷ μὲν ἐκείνου στρατηγῷ οὐ διείρηται τί πρακτέον, ἢ μή, πᾶσι δ', ἄν τις ἀμύνηται, τοσοῦτος ἐπήρτηται φόβος.

λέ. Καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ γεγονός τι πρᾶγμα φράσαι πρὸς ὑμᾶς βούλομαι, δι' οὗ μᾶλλον ἐθ' ὑμῖν γενήσεται δῆλον, ὡς σφόδρα δεῖ λῦσαι τὸ ψήφισμα τουτί. ὑμεῖς ἐποιήσασθε ἔν τισι καιροῖς [5] καὶ χρόνοις Ἀριοβαρζάνην πολίτην, καὶ δι' ἐκεῖνον, Φιλίσκον, ὥσπερ νῦν διὰ

[1] οἰκοῦντί τῳ, καὶ [2] ἐπιβουλεύσαντος [3] Deest μέν. [4] ἔσεσθαι Χαρίδημος
[5] Desunt καὶ χρόνοις.

λθ'. Διὰ τῆς ἐκείνου βασιλείας] *Cujus regno fretus*, vel, *per cujus regnum*. Wolf.

Αὐτῶν] Scribe αὐτῶν, ut §. λέ. fin. ubi plene τῆς αὐτῶν πατρίδος. Markland.

Ἐψηφισμένους] Corrige ὑμῖν — ἐψηφισμένοις. Ita supra p. 235. v. pen. οὐδὲ πρὸς δόξαν συμφέρει τῇ πόλει τοιοῦτον οὐδὲν ἐψηφισμένῃ φαίνεσθαι. Taylor.

λέ. Ἔν τισι καιροῖς καὶ χρόνοις] Ἔν τισι καιροῖς, propter tempora, quia res ita vestræ postulabant: ἔν τισι χρόνοις ad præteritum tempus refertur, quod certum non exprimitur. Wolf.

Ἀριοβαρζάνην] De hoc nihil me legere memini. Apparet, Thraciæ aut Ponti regem fuisse. Ulpianus satrapam Persicum facit. Alius est aliquot sæculis posterior ille Cappadox Ἀριοβαρζάνης, εὐσεβὴς καὶ φιλορωμαῖος βασιλεύς. Wolf. Itane? Annon ergo legisti Scriptoris nostri Orationem, quæ inscribitur de Rhodiorum liber-

Κερσοβλέπτην, Χαρίδημον. ὧν δ' ὅμοιος ἐκεῖνος τούτῳ τῇ προαιρέσει τοῦ βίου, διὰ τῆς Ἀριοβαρζάνου δυνάμεως, πόλεις κατελάμβανεν Ἑλληνίδας· εἰς ἃς εἰσιὼν, πολλὰ καὶ δεινὰ ἔργα ἐποίει, παῖδας ἐλευθέρους [1] ἀδικῶν, καὶ γυναῖκας ὑβρίζων, καὶ πάντα ποιῶν, ὅσα ἂν ἄνθρωπος ποιήσειεν, ἄνευ νόμων, καὶ τῶν ἐν πολιτείᾳ καλῶν τεθραμμένος, εἰς ἐξουσίαν ἐλθών. ἐν δὴ Λαμψάκῳ τινὲς ἄνθρωποι γίγνονται δύο—Θερσαγόρας ὄνομα αὐτῶν θατέρῳ, τῷ δ' Ἐξήκεστος—, οἳ παραπλήσια τοῖς παρ' ὑμῖν γνόντες περὶ
667 [2] τὸν τύραννον, ἀποκτιννύουσι τὸν Φιλίσκον. δικαίως, τὴν αὐτῶν πατρίδα οἰόμενοι δεῖν ἐλευθεροῦν. εἰ δὴ τῶν τότε ὑπὲρ Φιλίσκου λεγόντων, ὅτε ἐμισθοδότει μὲν τοῖς ἐν Περίνθῳ ξένοις, εἶχε δ' ὅλον τὸν Ἑλλήσποντον, μέγιστος δ' ἦν τῶν ὑπάρχων, ἔγραψέ τις, ὥσπερ οὗτος νυνὶ, ἐάν τις ἀποκτείνῃ Φιλίσκον, ἀγώγιμον αὐτὸν ἐκ τῶν συμμάχων εἶναι· πρὸς Διὸς, θεάσασθε, εἰς ὅσην ἂν αἰσχύνην ἡ πόλις ἡμῶν ἐληλύθει. ἧκε μὲν γὰρ ὁ Θερσαγόρας καὶ ὁ Ἐξήκεστος εἰς Λέσβον, καὶ ᾤκουν ἐκεῖ. εἰ δὲ ἐφήφιστετό τις τῶν [3] τοῦ Φιλίσκου παίδων ἢ φίλων, ἐξεδίδοτ' ἂν ὑπὸ τοῦ [4] ὑμετέρου ψηφίσματος. πῶς οὖν οὐκ αἰσχρὸν καὶ δεινὸν ἂν ἦτε πεποιηκότες, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τοὺς μὲν παρ' ὑμῖν τοιοῦτό τι πράξαντας, χαλκοῦς ἱστάντες, καὶ ταῖς μεγίσταις δωρεαῖς τιμῶντες ἐφαίνεσθε· τοὺς δὲ ἑτέρωθί που τὴν αὐτὴν τούτοις διάνοιαν ὑπὲρ τῆς αὐτῶν πατρίδος ἔχοντας, ἐκδότους εἶναι κατεψηφίζεσθε; τοῦτο τοίνυν ἐπ'

[1] [ἀδικῶν] [2] τὸν τυράννων, ἀποκτιννύουσι Φιλίσκον δικαίως, [3] Deest articulus.
[4] * ὑμετέρου

tate? Ὑμεῖς ἐξεπέμψατε Τιμόθεόν ποτε ξυνθήσοντα Ἀριοβαρζάνῃ — ἰδὲν δ' ἐκεῖνος τὸν μὲν Ἀριοβαρζάνην φανερῶς ἀφεστῶτα τοῦ βασιλέως et quæ sequuntur. §. é. Annon tempora quadrant? Annon eundem memorat quoque Nepos in Timotheo? Annon is erat, quem idem Auctor in Datame *præfectum Lydiæ et Ioniæ totiusque Phrygiæ* fuisse prædicat? Consentit Harpocratio. Ἀριοβαρζάνης, σατράπης Φρυγίας ἀποδειχθεὶς οὗτος παρὰ Ξέρξου ἀπέστη· ὃς καὶ ἀποστείλας λαὶν τοὺς πολεμήσαντας αὐτῷ καὶ χειρωσάμενος ἐσταύρωσεν. Adde Diod. Sic. L. XV. §. 90. TAYLOR.

Τῇ προαιρέσει τοῦ βίου] *Vitæ instituto.* Bergler. ad Alciphr. Ep. lib. I. ep. 38. cf.

Τοῖς παρ' ὑμῖν] Harmodius et Aristogito, qui Hipparchum occiderunt, quos etiam mox innuit, v. 21. τοὺς μὲν παρ' ὑμῖν etc. MARKLAND.

Περὶ τὸν τύραννον] Malim περὶ τῶν τυράννων. Bar. et Ital. ita legunt. Et res ipsa satis per se loquitur. TAYLOR. Imo περὶ τῶν τυράννων. AUGER.

Ἧκε] M. ἧκον. IDEM. Sed de hac constructione cf. D'Orville ad Charit. Aphrod. Lib. V. cap. IX. p. 487.

Ὑπὸ] M. διά. AUGER.

Κατεψηφίζεσθε] Laudo potius, quod scribitur in Ven. Lindenb. Ital. et MSS. Ald. Felician. et Mannt. κατεψηφισμένοι. Ut supra, v. antepen. τιμῶντες

ἐκείνου μὲν εὖ ποιοῦν οὐ συνέβη φενακισθεῖσιν ὑμῖν αἰσχύνην ὄφλειν, ἐπὶ τούτου δὲ, ἐὰν ἐμοὶ πεισθῆτε, [1] φυλάξασθε. μὴ γὰρ ὡρισμένου μηδενὸς, ἀλλ' ἁπλῶς, ἄν τις ἀποκτείνῃ Χαρίδημον, γεγραμμένου, τάχ' ἂν εἰ τύχοι καὶ τοιοῦτό τι συμβαίη.

λς'. Βούλομαι τοίνυν ἤδη καὶ τὰ πεπραγμένα ἐξετάσαι τῷ Χαριδήμῳ διὰ βραχέων, καὶ δεῖξαι τὴν ὑπερβολὴν τῆς ἀναιδείας τῶν ἐπαινούντων αὐτόν. ἐν δ' ὑμῖν ἐκεῖνο ὑπισχνοῦμαι, καί μου μηδεὶς ἀχθεσθῇ τῇ ὑποσχέσει. οὐ μόνον γὰρ ὑμῖν ἐπιδείξω τῆς φυλακῆς οὐκ ἄξιον αὐτὸν ἣν γέγραφεν οὗτος, ἀλλὰ καὶ δίκην [2] δόντ' ἂν δικαίως τὴν μεγίστην, εἴπερ οἱ κακόνοι, καὶ φενακίζοντες ὑμᾶς, καὶ διὰ παντὸς ἐναντία πράττοντες, κολάζοιντ' ἂν δικαίως. 668
ἴσως δέ τισι λογιζομένοις ὑμῶν, ὅτι πρῶτον μὲν πολίτης γέγονεν ἄνθρωπος, εἶτα πάλιν χρυσοῖς στεφάνοις ὡς εὐεργέτης ἐστεφάνωται, θαυμάζειν ἐπελήλυθεν· [3] εἶτα τηλικαῦτα οὕτως ἐξηπατήσθε [4] ῥᾳδίως. εὖ τοίνυν ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐξηπάτησθε. καὶ δι' ἅ γε εἰκότως τοῦτο πεπόνθατε, ἐγὼ φράσω πρὸς ὑμᾶς. ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, πολλὰ γιγνώσκοντες ὀρθῶς ὑμεῖς, οὐ διὰ τέλους χρῆσθε αὐτοῖς. οἷον τί λέγω; εἴ τις ὑμᾶς ἔροιτο, τί πονηρότατον νομίζετε τῶν ἐν τῇ πόλει πάντων [5] ἐθνῶν, οὔτε τοὺς γεωργοὺς, οὔτε τοὺς ἐμπόρους, οὔτε τοὺς ἐκ τῶν ἀργυρείων, οὔτε τῶν τοιούτων οὐδὲν ἂν εἴποιτε· ἀλλ' εἰ τοὺς ἐπὶ μισθῷ λέγειν καὶ γράφειν εἰωθότας εἴποι τις, εὖ οἶδ' ὅτι συμφήσαιτ'

[1] φυλάξεσθε [2] διδόντ' [3] εἰ τὰ [4] ῥᾳδίως; [5] ἐθνῶν; ο. τ. γεωργοῦντας

ἐφαίνεσθε, ita hic, κατεψηφισμένοι, sc. ἐφαίνεσθε. Sed hoc potius ad decorem et ornatum orationis, quam ad necessitatem. TAYLOR.

Τοῦτο τοίνυν κ. τ. λ.] Τοῦτο εὖ ποιοῦν (εὐτυχῶς καὶ ἀπροσδοκήτως ἀξίως) τὸ τί; ὅτι τὸ μὴ ὄφλειν αἰσχύνην οὐ συνέβη ὑμῖν φενακισθεῖσιν, ὥστε φενακισθῆναι. WOLF.

Ἐπ' ἐκείνου μὲν εὖ ποιοῦν] Lego ἐπ' ἐκείνων, *in illis*, scil. Harmodio et Aristogitone, de quibus in sententia præcedente locutus fuerat. Opponuntur ἐπ' ἐκείνων, *in illis*, et ἐπὶ τούτου, *in hoc*, scil. Charidemo. MARKLAND.

Εὖ ποιοῦν] *Bene faciens*, sub. γέγονε, *fuit*, i. e. hoc feliciter contigit. AUGER.

Φυλάξασθε] Lege φυλάξεσθε cum Bodl. Cant. et marg. Morel. φυλάξησθε Vindob. TAYLOR.

Μὴ γὰρ ὡρισμένου μηδενὸς] Wolfius: *nemine enim excepto*. Immo: *nulla enim re excepta*. JURIN.

λς'. Εἶτα τηλικαῦτα] F. εἰ τηλικαῦτα. Bodl. εἰ τά. Pro τηλικαῦτα Vindob. ταῦτα. Credo, pro τοιαῦτα. TAYLOR. Forte, ἐπελήλυθεν, εἰ τὰ τηλικαῦτα etc. nisi hæc sint verba ipsa τῶν θαυμαζόντων. Quo casu ponenda est Interrogationis nota post ῥᾳδίως. Sed prius puto verius. Θαυμάζειν, εἰ, ut §. ά. et ubique. MARKLAND.

Οὐδὲν] Rectius omnino οὐδένα, cum marg. Benenati. TAYLOR. M. οὐδένα. AUGER.

ἂν ἅπαντες. μέχρι μὲν δὴ τούτου, καλῶς ἐγνώκατε· ἔπειτα δὲ, οὐκ ἔτ' ὀρθῶς τὸ λοιπόν. οὓς γὰρ αὐτοὶ πονηροτάτους νομίζετε πάντων, τούτοις περὶ τοῦ ὁποῖόν τιν' ἕκαστον χρὴ νομίζειν πεπιστεύκατε· [1] οἷδ', ὃν ἂν αὐτοῖς λυσιτελῇ, καὶ χρηστὸν καὶ πονηρὸν εἶναί φασιν, οὐχ ὃν ἂν ᾖ δίκαιον καὶ ἀληθές. [2] ὅπερ πεποιήκασι τὸν Χαρίδημον τοῦτον οἱ ῥήτορες πάντα τὸν χρόνον. ὡς καὶ ὑμεῖς ὁμολογήσετε, ἐπειδὰν ἀκούσητέ μου τὰ πεπραγμένα αὐτῷ.

λζ'. Ὅσα μὲν δὴ στρατιώτης ὤν, ἐν σφενδονήτου καὶ ψιλοῦ μέρει τὸ [3] ἀπαρχῆς ἐναντία ἐστράτευται τῇ πόλει, οὐ τίθημι ἐν ἀδικήματος μέρει· οὐδ' ὅτι λῃστρικόν ποτε πλοῖον ἔχων, ἐληΐζετο τοὺς ὑμετέρους συμμάχους. ἀλλ' ἐῶ ταῦτα. διὰ τί; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, αἱ ἀναγκαῖαι
669 χρεῖαι, τοὺς τοῦ [4] τι πρακτέον ἢ μὴ λογισμοὺς ἀναιροῦσιν ἅπαντας. ὥστ' οὐ πάνυ ταῦτα ἀκριβολογεῖσθαι δεῖ τὸν δικαίως ἐξετάζοντα. ἀλλ' ὅθεν ἀρξάμενος, ξεναγῶν ἤδη, καί τινων ἄρχων στρατιωτῶν, κακῶς ὑμᾶς ἐποίει, ταῦτα ἀκούσατέ μου. οὗτος ἐν μὲν ἁπάντων πρῶτον, μισθωθεὶς ὑπὸ Ἰφικράτους, καὶ πλεῖον ἢ τρία ἔτη μισθοφορήσας παρ' ἐκείνῳ, ἐπειδὴ τὸν μὲν Ἰφικράτην ἀποστράτηγον ἐποιήσατε, Τιμόθεον δ' ἐπ' Ἀμφίπολιν καὶ Χερρόνησον ἐξεπέμψατε στρατηγὸν, πρῶτον μὲν τοὺς Ἀμφιπολιτῶν ὁμήρους, οὓς παρ' Ἁρπάλου λαβὼν Ἰφικράτης ἔδωκε φυλάττειν αὐτῷ, ψηφισαμένων ὑμῶν ὡς ὑμᾶς κομίσαι, παρέδωκεν Ἀμφιπολίταις· καὶ τοῦ μὴ λαβεῖν Ἀμφίπολιν, τοῦτ' ἐμπόδιον κατέστη. δεύτερον δὲ, μισθουμένου Τιμοθέου πάλιν αὐτὸν καὶ τὸ στράτευμα, τούτῳ μὲν οὐ μισθοῖ, πρὸς δὲ Κότυν πλέων ᾤχετο, ἔχων τὰς ὑμετέρας τριακοντόρους, ὃν ἀκριβῶς ἤδει τῶν ὄντων ἁπάντων ἀνθρώπων, ἐχθρόταται ὑμῖν διακείμενον, καὶ μετὰ ταῦτά γ', ἐπειδὴ τὸν πρὸς Ἀμφίπολιν πόλεμον πρότερον πολεμεῖν [5] εἵλετο Τιμόθεος τοῦ πρὸς Χερρόνησον, καὶ οὐδὲν εἶχε ποιεῖν ὑμᾶς ἐκεῖ κακὸν,

[1] οἷ δ', ὃν ἂν αὐτοῖς [2] ὅπερ καὶ πεποιήκασι [3] ἀπ' ἀρχῆς [4] τί [5] προείλετο

λζ'. Ἀλλ' ὅθεν ἀρξάμενος] Mirum in modum hæc a Wolfio vertuntur, qui tamen alicubi scripsit, quæ sequuntur, sc. Conjunge: ἀλλ' ὅθεν ἀρξάμενος κακῶς ἐποίει ὑμᾶς ξεναγῶν ἤδη etc. Recte. TAYLOR.

Ἐμπόδιον] Sane sicce hanc vocem substantive sumtam instruxit H. Stephanus: quum ubique obvia hoc sit habitu. Lu-

μισθοῖ πάλιν αὐτὸν Ὀλυνθίοις, τοῖς ὑμετέροις ἐχθροῖς, καὶ τοῖς ἔχουσιν Ἀμφίπολιν κατ' ἐκεῖνον τὸν χρόνον· καὶ πλέων ἐκεῖσε, ἐκ Καρδίας ἀναχθεὶς, ἵνα τἀναντία τῇ πόλει πολεμῇ, ὑπὸ τῶν [1]ὑμετέρων τριήρων ἑάλω. διὰ τὸν παρόντα δὲ καιρὸν, καὶ τὸ δεῖσθαι ξένων ἐπὶ τὸν πόλεμον, τὸν ἐπ' Ἀμφίπολιν, ἀντὶ τοῦ δίκην δοῦναι, [2]ὅτι οὐκ ἀποδεδώκει τοὺς ὁμήρους, καὶ διότι πρὸς Κότυν ἐχθρὸν ὄνθ' ὑμῖν ηὐτομόλησεν, ἔχων τὰς τριακοντόρους, πίστεις δοὺς καὶ λαβὼν, ἐστράτευσε μεθ' ὑμῶν. ὧν δ' ἐκεῖνον δίκαιον ἦν χάριν ὑμῖν 670
ἔχειν, οὐκ ἀπολωλότα, τοῦτο παθόντ' ἂν δικαίως, ἀντὶ τούτων, ὡς ὀφείλουσα ἡ πόλις αὐτῷ, στεφάνους, καὶ πολιτείαν, καὶ ἃ πάντες ἐπίστασθε, δέδωκε. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, τό τε ψήφισμα ἀνάγνωθί μοι τὸ περὶ τῶν ὁμήρων, καὶ τὴν Ἰφικράτους ἐπιστολὴν, καὶ τὴν Τιμοθέου, καὶ μετὰ ταῦτα τὴν μαρτυρίαν ταυτηνί. ὄψεσθε γὰρ οὐ λόγους, οὐδὲ αἰτίας, ἀλλὰ ἀλήθειαν οὖσαν ὧν λέγω. λέγε [3]τὴν ἐπιστολήν.

ΕΠΙΣΤΟΛΗ. [4]ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑ.

λή. Ὅτι μὲν τοίνυν καὶ τὸ πρῶτον, οὗ [5]πολεμεῖν ὑμῖν ᾤετο, ἐκεῖσε ἐμίσθωσεν αὐτὸν, πολλαχόσε ἄλλοσε μισθῶσαι παρὸν, καὶ μετὰ ταῦτα, ὡς οὐδὲν ἐκεῖ κακὸν εἶχε ποιεῖν ὑμᾶς, ἔπλει δεῦρο πάλιν, οὗ τἀναντία ἔμελλε πράξειν τῇ πόλει, καὶ τοῦ μὴ λαβεῖν Ἀμφίπολιν πάντων οὗτος αἰτιώτατός ἐστιν, ἀκηκόατε ἐκ τῆς ἐπιστολῆς, καὶ τοῦ ψηφίσματος, καὶ τῆς μαρτυρίας. καὶ τὰ μὲν πρῶτα, τοιαῦτ' ἐστὶ τῶν ἔργων τῶν Χαριδήμου. μετὰ ταῦτα [6]δὲ

[1] ἡμετέρων [2] διότι [3] [τὴν ἐπιστολήν] [4] Ψήφισμα. * Ἐπιστολαί. Μαρ. [5] πολεμήσειν [6] δὲ ταῦτα

cian. de Non Tem. cred. 111. 141. conjungit τί κώλυμα καὶ ἐμπόδιον. Demosth. Aristocr. Revera natura sua esto adjectivum, at quodvis substantivorum, non solum κώλυμα reticetor. D'Orville.

Τοῖς ἔχουσιν Ἀμφίπολιν] Τοῖς δυναστεύουσιν ἐν Ἀμφιπόλει αὐτονομουμένῃ. Utrum Olynthii tum Amphipolim habuerint, ignoro. Brasidas quidem Lacedæmonius eam aliquando occupavit. Wolf.

Ὅτι οὐκ ἀποδεδώκει] In nonnullis Codd. videtur deesse negativum. Unde istud Wolfii: ὅτι οὐκ ἀποδεδώκει, sc. ὑμῖν. Sin ὅτι ἀποδεδώκει, sc. τοῖς Ἀμφιπολίταις. Bar. et Vind. legunt, διότι οὐκ ἀπέδωκε τοὺς ὁμήρους. Taylor.

Ἀντὶ τούτων] Desunt hæc verba in Bar. et Vind. Modo v. 12. lege καὶ ἅπαν θ' ὅσα ἐπίστασθε ex tribus optimis exemplaribus Bar. Aug. Vind. Idem.

Ταυτηνί] *Hanc*, i. e. eam quam scribæ monstrat orator. Auger.

λή. Πολεμεῖν] Rectius πολεμήσειν, uti Bar. Reg. α. Aug. Vind. Taylor.

ἄλλα θεάσασθε. χρόνου γὰρ διεληλυθότος βραχέος, καὶ τοῦ πολέμου πρὸς Κότυν ὄντος ἤδη, πέμπει πρὸς ὑμᾶς ἐπιστολὴν, [1] μᾶλλον δ' οὐχὶ πρὸς ὑμᾶς, ἀλλὰ πρὸς Κηφισόδοτον· οὕτω σφόδρα ὑπ' αὐτοῦ γε οὐδ' ἂν ἐξαπατηθῆναι τὴν πόλιν ἡγεῖτο, συνειδὼς ἃ πεποίηκεν· ἐν ᾗ Χερρόνησον ὑπέσχετο τῇ πόλει κομιεῖσθαι, πάντα τούτοις τἀναντία διεγνωκὼς ποιεῖν. δεῖ δ' ὑμᾶς τὸ πρᾶγμα οἷον ἦν, τὸ περὶ τὴν ἐπιστολὴν, ἀκοῦσαι, — καὶ γάρ ἐστι βραχὺ —, καὶ
671 θεωρῆσαι τὸν τρόπον τἀνθρώπου, ὡς ὑμῖν ἀπ' ἀρχῆς κέχρηται. ἐκεῖνος ὡς ἀπόμισθος γίγνεται παρὰ τοῦ Τιμοθέου, τότε ἀπ' Ἀμφιπόλεως ἀναχωρῶν, διαβὰς εἰς τὴν Ἀσίαν, διὰ τὴν σύλληψιν τὴν Ἀρταβάζῳ συμβᾶσαν τότε ὑπ' Αὐτοφραδάτου, μισθοῖ [2] τὸ στράτευμα καὶ ἑαυτὸν τοῖς Ἀρταβάζου κηδεσταῖς. λαβὼν δὲ πίστεις καὶ δοὺς, ὀλιγωρήσας τῶν ὅρκων, καὶ παραβὰς αὐτοὺς, ἀφυλάκτων ὄντων, ὡς ἂν πρὸς φίλον τῶν ἐν τῇ χώρᾳ, καταλαμβάνει Σκῆψιν, καὶ Κέβρηνα, καὶ Ἴλιον αὐτῶν. ἐγκρατὴς δὲ γενόμενος τούτων τῶν χωρίων, πρᾶγμα ἔπαθε τοιοῦτον, οἷον οὐχ ὅτι στρατηγὸς ἂν ἠγνόησέ τις εἶναι φάσκων, ἀλλ' οὐδ' ὁ τυχὼν ἄνθρωπος. οὐδ' ὁτιοῦν γὰρ χωρίον ἔχων ἐπὶ θαλάττῃ, οὐδ' ὅθεν ἂν σιτοπομπίας εὐπορήσῃ τοῖς στρατιώταις, οὐδ' αὖ σῖτον ἔχων ἐν τοῖς χωρίοις, ὑπέμεινεν ἐν τοῖς τείχεσι, καὶ οὐ διαρπάσας ᾤχετο, ἐπειδή γε ἀδικεῖν ἔγνω. ὡς δὲ συλλέξας δύναμιν παρῆν ὁ Ἀρτάβαζος, ἀφειμένος παρὰ τοῦ Αὐτοφραδάτου, τῷ μὲν ὑπῆρχεν ἐπισιτισμὸς ἐκ τῆς [3] ἄνωθεν Φρυγίας, καὶ Λυδίας, καὶ Παφλαγονίας, οἰκείας οὔσης· τῷ δ' οὐδ' ὁτιοῦν ἄλλο, πλὴν πολιορκία περιειστήκει. αἰσθόμενος δ' οὗ ἦν κακοῦ, καὶ λογισμὸν λαβὼν ὅτι ληφθήσεται, κἂν μηδενὶ τῶν ἄλλων, τῷ γε λιμῷ, οἶδεν, [4] εἴτε

[1] (μᾶλλον - - - - - πεποίηκεν·) [2] τό τε στράτευμα [3] ἄνω [4] εἴτε δή τινες

Διαβὰς] Καὶ διαβὰς Cod. Vindob. Deinde v. 13. pro μισθοῖ, μισθοῦται Ven. Bodl. Lind. Ital. μισθῆται Obsop. Fortasse melius cum Bar. et Aug. μισθοῖ τό τε στράτευμα. IDEM.

Σκῆψιν etc.] Vide de his Valesium ad Harpocrat. v. Κέβρηνα. IDEM.

Ἄνωθεν] Non ita loqui solent Auctores castigati, sed ἄνω, ut Vind. τῆς ἄνω Φρυγίας. Ita Herodot. Cl. 95. Ἀσσυρίων ἀρχόντων τῆς ἄνω Ἀσίης ἐπ' ἔτεα εἴκοσι καὶ πεντακόσια. Id. 177. Τὰ μὲν νῦν κάτω τῆς Ἀσίης Ἅρπαγος ἀνάστατα ἐποίεε· τὰ δὲ ἄνω αὐτῆς Κῦρος. IDEM.

Τῷ δ' ὁτιοῦν ἄλλο] [Ita Editi, et τοῦθ' ὁτιοῦν ἄλλο] Lego τῷ δ' οὐδοτιοῦν ἄλλο. WOLF. Ita MSS. Modo v. ult. εἴτε δὴ τινὸς εἰπόντος, cum Aug. Vind. et Benenato. δὲ Baroc. TAYLOR.

Αἰσθόμενος οὗ ἦν κακοῦ] De hac formula cf. D'Orville ad Charit. Aphrod. Lib. III. cap. IX. p. 340.

τινὸς εἰπόντος, εἴτ' αὐτὸς συνεὶς, ὅτι σωτηρία μόνη γένοιτ' ἂν αὐτῷ, ἥπερ ἅπαντας ἀνθρώπους σώζει. ἔστι δ' αὕτη τίς; ἡ [1]ἡμετέρα, ὦ ἄνδρες Ἀθηναῖοι, εἴτε χρὴ φιλανθρωπίαν λέγειν, εἴθ' ὅ,τι δήποτε. γνοὺς δὲ τοῦτο, πέμψει τὴν ἐπιστολὴν ὑμῖν, ἧς ἄξιόν ἐστιν ἀκοῦσαι, βουλόμενος διὰ τῆς ὑποσχέσεως τοῦ κομιεῖσθαι Χερρόνησον ὑμῖν, καὶ διὰ τοῦ, τὸν Κηφισόδοτον δοκεῖν ἐχθρὸν ὄντα τοῦ Κότυος 672
καὶ τοῦ Ἰφικράτους, ταῦτα [2]βουλεύεσθαι, τριήρων εὐπορήσας παρ' [3]ἡμῶν, ἀσφαλῶς ἐκ τῆς Ἀσίας ἀποδρᾶναι.

λθ'. Τί δὴ συμβαίνει παρὰ ταῦτα, ὅθεν ἐξηλέγχθη τὸ πρᾶγμα ἐπαυτοφώρῳ; ὁ Μέμνων καὶ ὁ Μέντωρ, οἱ κηδεσταὶ τοῦ Ἀρταβάζου, ἄνθρωποι νέοι, καὶ κεχρημένοι ἀπροσδοκήτῳ εὐτυχίᾳ, τῇ τοῦ Ἀρταβάζου κηδείᾳ, βουλόμενοι τῆς χώρας ἄρχειν εὐθὺς ἐν εἰρήνῃ, καὶ τιμᾶσθαι, καὶ μὴ πολεμεῖν, μηδὲ κινδυνεύειν, πείθουσιν Ἀρτάβαζον, τοῦ μὲν τιμωρεῖσθαι Χαρίδημον ἀφεῖσθαι, [4]καὶ μὴ πολεμεῖν, ἀποστεῖλαι δ' ὑπόσπονδον· διδάσκοντες, ὡς ὑμεῖς, κἂν ἐκεῖνος μὴ θέλῃ, διαβιβᾶτε, καὶ οὐ δυνήσεται κωλύειν. ὡς δὲ τυγχάνει ταύτης τῆς ἀλόγου καὶ ἀπροσδοκήτου σωτηρίας ὁ Χαρίδημος, διαβὰς εἰς τὴν Χερρόνησον ἐφ' αὐτοῦ, διὰ τὰς σπονδὰς, τοσούτου ἐδέησεν ἐπελθεῖν τῷ Κότυϊ, γεγραφὼς ὅτι οὐχ ὑπομενεῖ Κότυς αὐτὸν ἐπιόντα, ἢ τὴν Χερρόνησον ὅπως κομιεῖσθε ὑμεῖς, συμπρᾶξαι, ὡς τε πάλιν μισθώσας αὐτὸν τῷ Κότυϊ, τὰ ὑπόλοιπα τῶν ὑμετέρων χωρίων, Κριθωτὴν, καὶ Ἐλεοῦντα ἐπολιόρκει. καὶ ὅτι ταῦτα, καὶ ἡνίκα ἔτ' ἦν ἐν τῇ Ἀσίᾳ, καὶ τὴν ἐπιστολὴν ἔπεμπε πρὸς ὑμᾶς, τἀναντία ἐγνωκὼς ποιεῖν, ἐφενάκιζεν

[1] ὑμετέρα [2] βούλεσθαι [3] ὑμῶν [4] Desunt καὶ μὴ πολεμεῖν.

Βουλεύεσθαι] Λογίζεσθαι Vindob. Quod pro scholio habeo. Legendum autem, ut præstantes nonnulli Codd. exhibent, βούλεσθαι, Ven. Bar. Bodl. Lind. Obsop. Aug. et Edit. Felician. βούλεσθε Ital. Sensus est: *quia hæc velle videbatur Cephisodotus:* et satis bene vertit Wolfius. TAYLOR. Imo ταὐτὰ βούλεσθαι. AUGER.

Τριήρων εὐπορήσας] Ὑποθετικῶς, ἐὰν εὐπορήσειε. Narrat consilium, non rem gestam. WOLF. Recte Wolfius. Distingue autem: τριήρων εὐπορήσας παρ' ἡμῶν, vel ὑμῶν, ut scribitur in quibusdam. Quod leve est. Nescio interea, quo sensu nonnulli ex optimis habent ἡμῖν, vel ὑμῖν, in tertio casu: Ald. Bar. Reg. α. Aug. Vind. TAYLOR. Lege et distingue: τριήρων εὐπορήσας παρ' ὑμῶν, ἀσφαλῶς etc. MARKLAND.

Παρ' ἡμῶν] Παρ' ὑμῶν. JURIN.

λθ'. Ἀφεῖσθαι] F. ἀφίεσθαι. WOLF.

Καὶ μὴ πολεμεῖν] Recte hæc desunt in optimis Bar. et Vind. Repetuntur enim post vocem similiter exeuntem ab incauto librario ex v. 14. TAYLOR.

Διαβιβᾶτε] Ἀντὶ τοῦ διαβιβάσετε. WOLF.

Τἀναντία] Deest hæc vox in Ven. in

ὑμᾶς, ἀπὸ τῆς διαβάσεως γνώσεσθε, ἣν ἐποιήσατο. ἐκ γὰρ Ἀβύδου, τῆς τὸν ἅπαντα χρόνον ὑμῖν ἐχθρᾶς, καὶ ὅθεν ἦσαν οἱ Σηστὸν καταλαβόντες, εἰς Σηστὸν διέβαινεν, ἣν εἶχε Κότυς. καί τοι μὴ νομίζετε μήτ' ἂν τοὺς Ἀβυδηνοὺς αὐτὸν ὑποδέχεσθαι, μήτ' αὖ τοὺς ἐν τῇ Σηστῷ, τῆς ἐπι-
673 στολῆς ὑμῖν ἐκείνης πεμφθείσης, εἰ μὴ συνῄδεσαν φενακίζοντι αὐτῷ τότε, καὶ συνεξηπάτων αὐτοὶ, βουλόμενοι τοῦ μὲν διαβῆναι τὸ στράτευμα ὑμᾶς παρέχειν τὴν ἀσφάλειαν, διαβάντος δ', — ὅπερ συνέβη, δόντος Ἀρταβάζου τὴν ἄδειαν —, αὐτοῖς ὑπάρξαι τὴν χρείαν. ὅτι τοίνυν ταῦθ' οὕτως ἔχει, λέγε τὰς ἐπιστολὰς, ἥν τ' ἔπεμψεν ἐκεῖνος, καὶ τὰς παρὰ τῶν ἀρχόντων τῶν ἐκ Χερρονήσου. γνώσεσθε γὰρ ἐκ τούτων, ὅτι ταῦθ' οὕτως ἔχει. λέγε.

ΕΠΙΣΤΟΛΑΙ.

ἐνθυμεῖσθε [1]ὅθεν διέβη ἐξ Ἀβύδου εἰς Σηστόν. ἆρ' οὖν οἴεσθ' ἂν ὑποδέξασθαι τοὺς Ἀβυδηνοὺς αὐτὸν, ἢ τοὺς Σηστίους, εἰ μὴ συνεξηπάτων, ὅτε τὴν πρὸς ὑμᾶς ἔπεμπεν ἐπιστολήν; λέγε δ' αὐτοῖς τὴν ἐπιστολὴν αὐτήν. καὶ θεωρεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς ὑπερβολὰς, ὧν αὐτὸς περὶ [2]αὐτοῦ πρὸς ὑμᾶς ἔγραψεν [3]ἐπαινῶν, καὶ τὰ μὲν ὡς πεποίηκε λέγων, τὰ δ' ὑπισχνούμενος ποιήσειν. λέγε.

ΕΠΙΣΤΟΛΗ.

καλά γε, — οὐ γάρ; — ὦ ἄνδρες Ἀθηναῖοι, τὰ γεγραμμένα, καὶ χάριτος πολλῆς ἄξια, εἴγ' ἦν ἀληθῆ. νῦν δ' ὅτε

[1] ὅθεν οἷ διέβη [2] αὐτοῦ [3] ἐπαίνων, [καὶ]

Lindenb. et Ital. Quæ cur non abesset, vix video. Nam hujus loci hæc est constructio: Ὅτι ἐφενάκιζεν ὑμᾶς, ταῦτα ἐγνωκὼς ποιεῖν, ἡνίκα ἔτ' ἦν ἐν τῇ Ἀσίᾳ καὶ τὴν ἐπιστολὴν ἔπεμπε, γνώσεσθε κ. τ. λ. TAYLOR.

Ὅθεν διέβη] Non sat habent Codd. qui sequuntur: MSS. Ald. Ven. Bar. Reg. α. Aug. et Vind. quorum quidem optima semper fuit fides. In illis servatur, quem Scholæ vocant *Terminum ad quem*, ὅθεν οἷ διέβη. Nempe Abydo Sestum. Nam utrumque necessarium est. IDEM. Plane legendum: ἐνθυμεῖσθε, ὅθεν οἷ διέβη· ἐξ Ἀβύδου εἰς Σηστόν, ut ad marginem Benenati. JURIN. Adde, post ὅθεν, οἷ — *unde quo*, ex quo loco in quem locum transiit. AUGER.

Καλά γε etc.] Καλά γε (οὐ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι;) τὰ γεγραμμένα. WOLF. Ad quam normam edidimus. Ita p. 244. v. 19. εὔνους γε· οὐ γάρ; ἁπλῶς ὑμῖν, κ. τ. λ. Ita π. παραπρεσβ. §. οβ'. ἄξιόν γε· οὐ γὰρ ἦν; Σόλωνος αὐτῷ μεμνῆσθαι. et alibi sæpissime. Ubi voces istæ οὐ γάρ; οὐ γὰρ ἦν; in parenthesi includi concipiuntur. Idem Wolfius neglexit suam interpretationem reformare, in qua pristina lectio continetur. In MSS. Ald. Felician. et Manut. deest οὐ γάρ. TAYLOR.

μὲν τῶν σπονδῶν οὐκ ᾤετο τεύξεσθαι, ταῦτα ἔγραφεν, ἐξαπατῶν ὑμᾶς· ἐπειδὴ δὲ ἔτυχε, λέγε οἷα ἐποίησε.

ΜΑΡΤΥΡΙΑ ΕΡΓΩΝ.

οὐκοῦν τοῦ κομιεῖσθαι τὰ ἀπολωλότα χωρία ὑποσχομένου Χαριδήμου, διαβάντος φησὶν ὁ ἄρχων Κριθωτῆς, περὶ τῶν ὑπαρχόντων γεγενῆσθαι μείζους τῶν πρότερον τοὺς κινδύνους. λέγε δ' ἐξ ἑτέρας ἐπιδείξας [1] ἐπιστολῆς.

ΕΠΙΣΤΟΛΗ. 674

ὁρᾶτε ὅτι πανταχόθεν τὸ πρᾶγμα μαρτυρεῖται, ὅτι διαβὰς οὐκ ἐπὶ τὸν Κότυν, ἀλλ' ἐφ' ὑμᾶς μετ' ἐκείνου ἐπορεύετο. ἔτι τοίνυν ταύτην μόνην ἀνάγνωθί μοι τὴν ἐπιστολήν, τὰς δ' ἄλλας ἔα. δῆλον [2] γάρ που ὑμῖν γέγονεν ὡς πεφενάκικεν ὑμᾶς. λέγε.

ΕΠΙΣΤΟΛΗ.

ἐπίσχες. ἐνθυμεῖσθε, ὅτι γράψας μὲν, ὡς ἀποδώσει Χερρόνησον, τὰ λοιπὰ ἀφελέσθαι, μισθώσας αὐτὸν τοῖς ὑμετέροις ἐχθροῖς, ἐπεχείρει· γράψας δὲ, ὡς Ἀλεξάνδρου πρεσβευσαμένου πρὸς αὐτὸν, οὐχ ὑπεδέξατο, τοῖς λῃσταῖς φαίνεται τοῖς παρ' ἐκείνου ταὐτὰ πράττων. εὔνους γε — οὐ γάρ; — ἁπλῶς ὑμῖν, καὶ οὐδὲν ἂν ἐπιστείλας ψεῦδος, οὐδ' ἐξαπατήσας.

μ'. Οὐ τοίνυν ἐκ τούτων πω δῆλον ἔσθ', οὕτω σαφῶς

[1] ἐπιστολῆς ἐπιδείξας. [2] γὰρ δήπου

ΜΑΡΤΥΡΙΑ ΕΡΓΩΝ] Pro μαρτυρία ἔργων est in multis codicibus ἐπιστολὴ, quod malim. Nempe Epistola Præfecti Crithotæ. Hæc Epistola, ut aliæ, aliorum scilicet urbium Præfectorum, testantur id quod arguit orator fecisse Charidemum. AUGER.

Τοῦ κομιεῖσθαι] Scribendum opinor τό. MARKLAND.

Κριθωτῆς] Nomen urbis in Chersoneso. AUGER.

Ἐπιδείξας] Demonstrata judicibus epistola, ne adulterinam putent. F. ἐπιλέξας, *delecto quodam loco.* WOLF. Idem alibi: "Fortasse jussit scribam fidei faciendæ ergo literas ostendere. Sed dubito de lectione. F. ἐκλέξας." Hæc quam sint otiosa vides. TAYLOR.

Δῆλον γὰρ κ. τ. λ.] Melius certe δῆλον γὰρ δήπου, ut habent nonnulli, et sine ὑμῖν. IDEM.

Ἀλεξάνδρου] Τοῦ Φεραίου forte. WOLF.

Ὑπεδέξατο] Sub. τοὺς πρέσβεις, μᾶλλον δ' ἴσως τοὺς λῃστὰς τοὺς παρ' ἐκείνου. IDEM. Proba est prior Wolfii sententia: eamque in Interpretatione secutus est. Verum ne prætereatur, meliores Codd. Ven. Bar. Aug. Ital. Vind. hic legere προσεδέξατο. Quod sane præstat. TAYLOR.

Εὔνους γε· οὐ γάρ;] Ironica Interrogatio. WOLF.

μ'. Οὐ τοίνυν] Solenne est his Scriptori-

δῆλον ὂν, ὡς οὐδὲν πιστὸν ἔσθ' ὧν ἐκεῖνός φησι καὶ προσποιεῖται τῇ πόλει [1] προσέχειν, ἀλλὰ καὶ ἐκ τῶν μετὰ ταῦτα συμβάντων ἔσται φανερώτερον. τὸν μὲν γὰρ Κότυν, εὖ ποιῶν, ὄντα γ' ἐχθρὸν ὑμῖν καὶ πονηρὸν, ἀποκτίννυσιν ὁ Πύθων, ὁ δὲ Κερσοβλέπτης, ὁ νυνὶ βασιλεύων, μειρακύλλιον ἦν, καὶ πάντες οἱ τοῦ Κότυος παῖδες, τῶν δὲ πραγμάτων κύριος, διὰ τὴν παρουσίαν, καὶ τὸ δύναμιν ἔχειν, ὁ Χαρίδημος ἐγεγόνει, ἧκε δὲ Κηφισόδοτος στρατηγῶν, πρὸς ὃν αὐτὸς ἔπεμψε τὴν ἐπιστολὴν ἐκείνην, καὶ αἱ τριήρεις, αἳ, ὅτε ἦν ἄδηλα τὰ τῆς σωτηρίας αὐτῷ, καὶ μὴ συγχωροῦντος Ἀρταβάζου, σώζειν ἔμελλον αὐτόν. τί δὴ προσῆκον ἦν,
675 ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ὡς ἀληθῶς ἁπλοῦν καὶ φίλον ποιῆσαι, παρόντος μὲν στρατηγοῦ, οὐχ [2] ὃν ἐκεῖνος ἔφησεν αὐτῷ φθονεῖν οὐδενὸς, ἀλλ' ὃν αὐτὸς ἑαυτοῦ φίλον προείλετο τῶν παρ' ὑμῖν, καὶ πρὸς ὃν τὴν ἐπιστολὴν ἐπεπόμφει, τετελευτηκότος [3] δὲ Κότυος, κύριον δ' ὄντα τῶν πραγμάτων; οὐκ ἀποδοῦναι μὲν τὴν χώραν εὐθέως ὑμῖν, κοινῇ δὲ μεθ' ὑμῶν καθιστάναι τὸν βασιλέα τῆς Θρᾴκης, δηλῶσαι δ' ὡς εἶχεν εὐνοϊκῶς ὑμῖν, καιροῦ τοιούτου λαβόμενον; ἔγωγ' ἂν φαίην. ἆρ' οὖν ἐποίησέ τι τούτων; πολλοῦ γε καὶ δεῖ. ἀλλὰ τὸν μὲν ἄλλον ἅπαντα χρόνον μῆνας ἑπτὰ διήγαγεν ἡμᾶς πολεμῶν, ἐκ προφανοῦς ἐχθρὸς ὤν, καὶ οὐδὲ λόγον φιλάνθρωπον διδούς. καὶ καταρχὰς μὲν ἡμῶν δέκα ναυσὶ μόναις εἰς Πέρινθον [4] ὁρμησαμένων, ἀκηκόστων ὅτι πλησίον ἐστὶν ἐκεῖνος, ὅπως συμμίξαιμεν αὐτῷ, καὶ περὶ τούτων εἰς λόγους ἔλθοιμεν, ἀφιστοποιουμένους φυλάξας τοὺς στρατιώτας, ἐπεχείρησε μὲν ἡμῶν τὰ σκάφη λαβεῖν· πολλοὺς

[1] πρὸσέχειν; [2] ὧν ἔ. ἔφησεν ἂν αὐτῷ [3] δὲ τοῦ Κότυος [4] ὁρμισαμένων

bus hanc sententiam ita efferre : Οὐ τοίνυν ἐκ τούτων μόνων δῆλον ἔσθ' κ. τ. λ. Modo, v. 1. p. 245. addidi ὡς ante οὐδὲν ex fide optimorum exemplarium. TAYLOR.

Δῆλον ὂν] F. δήλων. Modo, v. 2. πρὸσέχειν; interrogative, nisi desit vel subintelligatur μόνον vel μόνων, propter istud ἀλλὰ καί. MARKLAND.

Καὶ προσποιεῖται] Ita Editt. Felic. Manut. et Paris. ἢ προσποιεῖται Bar. marg. Benenat. et Vindob. Vulgo deerat. TAYLOR.

Καὶ μὴ συγχωροῦντος Ἀρταβάζου] Ἐως οὗ συνεχώρει Ἀρτάβαζος διαβαίνειν αὐτόν. Queat et ὑποθετικῶς exponi, κἂν μὴ συγχωρεῖν, *tametsi non permitteret, etiam invito Artabazo.* WOLF.

Οὐδενὸς] Sub. ἕνεκα, *nullius rei causa.* AUGER.

Ὁρμησαμένων] Usitatius est et rectius ὁρμισαμένων, quod habent Felic. Manut. Lind. Aug. marg. Paris. TAYLOR. "Ap. Demosth. in Aristocr. male εἰς Πέρινθον ὁρμησαμένων pro ὁρμισαμένων." D'Orville ad Charit. Aphrod. Lib. I. cap. XI. p. 119. cf.

δ' ἀπέκτεινε τῶν [1] αὐτῶν, κατέῤῥαξε δ' εἰς τὴν θάλατταν ἅπαντας, ἱππέας ἔχων καὶ ψιλούς τινας.

μά. Μετὰ ταῦτα δὲ πλευσάντων ἡμῶν οὐκ ἐπὶ τῆς Θράκης τόπον οὐδένα, οὐδὲ χωρίον, — [2] οὐδὲ γὰρ [3] τοῦτ' ἂν εἴποι τις, νὴ Δία, ἀμυνόμενος γὰρ ὑπὲρ τοῦ μὴ παθεῖν ἐποίει τι κακὸν —, οὐκ ἔστι τοῦτο, οὐ γὰρ ἤλθομεν οὐδαμῇ τῆς Θράκης, ἀλλ' ἐπ' Ἀλωπεκόννησον, [4] ἣ Χερῤῥονήσου μέν ἐστι, καὶ ἦν [5] ἡμετέρα, ἀκρωτήριον [6] δ' ἀνέχον πρὸς τὴν Ἴμβρον ἀπωτάτω τῆς Θράκης· λῃστῶν δ' ἦν μεστὴ καὶ καταποντιστῶν. ἐνταῦθα ἐλθόντων ἡμῶν καὶ πολιορκούν- 676
των [7] τούτους, πορευθεὶς διὰ Χερῤῥονήσου πάσης τῆς ὑμετέρας, ἡμῖν μὲν προσέβαλλεν, ἐβοήθει δὲ τοῖς λῃσταῖς, καὶ καταποντισταῖς. καὶ πρότερον προσκαθήμενος τὸν ὑμέτερον στρατηγὸν ἔπεισε, καὶ ἠνάγκασε, μὴ τὰ βέλτισθ' ὑπὲρ ὑμῶν πράττειν, ἢ αὐτὸς ὑπὸ τούτου ἐπείσθη, ὧν ὡμολογήκει καὶ ὑπέσχετό τι [8] πράξειν. καὶ γράφει δὴ τὰς συνθήκας πρὸς Κηφισόδοτον, ἐφ' αἷς ὑμεῖς οὕτως ἠγανακτήσατε, καὶ χαλεπῶς ἠνέγκατε, ὥστε ἀπεχειροτονήσατε μὲν τὸν στρατηγόν, πέντε ταλάντοις [9] δ' ἐζημιώσατε, τρεῖς δὲ μόνοι ψῆφοι διηνέγκαντο, μὴ θανάτου τιμῆσαι. καί τοι πηλίκην τινὰ χρὴ νομίζειν, ὦ ἄνδρες Ἀθηναῖοι, ταύτην τὴν ἀλογίαν, ὅταν τις ἴδῃ διὰ τὰς αὐτὰς πράξεις, τὸν μέν, ὡς ἀδικοῦντα, κολασθέντα πικρῶς οὕτω, τὸν δ', ὡς εὐεργέτην, ἔτι καὶ νῦν τιμώμενον; ὅτι τοίνυν ταῦτα ἀληθῆ λέγω, τῶν μὲν τῷ στρατηγῷ συμβάντων δήπου μάρτυρες ὑμεῖς ἐστέ

[1] ναυτῶν [2] (οὐδὲ ---- Θράκης·) [3] τοῦτό γ' ἂν [4] (ἣ ---- καταποντιστῶν) [5] ὑμετέρα [6] δ' * ἐστὶν ἀνέχον [7] τούτους, λαθὼν πορευθεὶς [8] πράξαι, καὶ γράφει δ. τ. σ. ταύτας πρὸς [9] * ζημιώσαντες, τ. δὲ μόναι ψ. διήνεγκαν τὸ μὴ

Τῶν αὐτῶν] Lege τῶν ναυτῶν, *nautarum*. MARKLAND.

Κατέῤῥαξε δ' εἰς τὴν θάλασσαν, ἅπαντας ἱππέας ἔχων καὶ ψιλούς τινας] Hoc loco et active et passive accipi potest verbum κατέῤῥαξε, prout distinxeris, vel ante ἅπαντας accusativum, vel post eum. Sic *erumpo agmen*. Livius: "Occursantes per obliqua montani, erupto medio agmine viam insedere." Hinc καταράκτης, *locus abruptus, et præceps in flumine*, unde aqua ruit potius quam fluit, ut cataractes Nili apud Strabonem lib. ult. *Ex edit.* HERVAG.

Κατέῤῥαξε] Lege κατήῤῥαξε, uti invenitur in Reg. *a.* et propemodum in Bar. κατήραξε. TAYLOR.

Ἢ αὐτὸς] Ἢ cohæret cum πρότερον quod est in capite phraseos, *prius quam*. AUGER.

Συνθήκας] Addunt ταύτας τὰς Bodl. Felician. Manut. Lind. Aug. Ital. Vind. Obsop. haud dubie perfectius et emendatius, ut scribit idem Obsopœus. TAYLOR.

Μόνοι ψῆφοι] De hac masculina terminatione in voce μόνοι, vide D'Orville ad Charit. Aphrod. Lib. III. cap. X. p. 352.

Διηνέγκαντο] Fortasse melius, cum Ven. Bar. Lind. Aug. Ital. διήνεγκαν τὸ μὴ θανάτου τιμῆσαι. TAYLOR.

μοι· καὶ γὰρ ἐκρίνεθ' ὑμεῖς, καὶ ἀπεχειροτονεῖτε, καὶ ὠργίζεσθε, καὶ ταῦτα πάντα συνίσθ' ὑμεῖς· τῶν δ' ἐν Περίνθῳ, καὶ τῶν ἐν Ἀλωπεκοννήσῳ κάλει μοι τοὺς τριηράρχους μάρτυρας.

ΤΡΙΗΡΑΡΧΟΙ ΜΑΡΤΥΡΕΣ.

μβ'. Μετὰ ταῦτα τοίνυν ἐπειδὴ Κηφισόδοτος μὲν ἀπηλλάγη τοῦ στρατηγεῖν, ὑμῖν δ' οὐκ ἐδόκουν καλῶς ἔχειν οὐδὲ δικαίως αἱ πρὸς ἐκεῖνον γραφεῖσαι συνθῆκαι, τὸν μὲν Μιλτοκύθην, τὸν διὰ παντὸς εὔνουν ὑμῖν τοῦ χρόνου, προδοθέντα λαβὼν ὑπὸ τοῦ Σμικυθίωνος ὁ χρηστὸς οὗτος Χα-
677 ρίδημος, οὐκ ὄντος νομίμου τοῖς Θρᾷξιν ἀλλήλους ἀποκτιννύναι, γνοὺς ὅτι σωθήσεται, πρὸς Κερσοβλέπτην ἂν [1] ἀχθῇ, παραδίδωσι Καρδιανοῖς, τοῖς ὑμετέροις ἐχθροῖς· κἀκεῖνοι λαβόντες αὐτὸν καὶ τὸν υἱὸν, καὶ ἀναγαγόντες εἰς τὸ πέλαγος ἐν πλοίῳ, τὸν μὲν υἱὸν ἀπέσφαξαν, ἐκεῖνον δ' ἐπιδόντα τὸν υἱὸν ἀποσφαττόμενον κατεπόντισαν. τῶν δὲ Θρᾳκῶν ἁπάντων χαλεπῶς ἐνεγκόντων ἐπὶ τούτοις, καὶ συστραφέντων τοῦ τε Βηρισάδου, καὶ τοῦ Ἀμαδόκου, ἰδὼν τὸν καιρὸν τοῦτον Ἀθηνόδωρος, συμμαχίαν ποιησάμενος πρὸς τούτους, οἵος τ' ἦν πολεμεῖν. ἐν φόβῳ δὲ καταστάντος τοῦ Κερσοβλέπτου, γράφει ὁ Ἀθηνόδωρος συνθήκας, καθ' ἃς ἀναγκάζει τὸν Κερσοβλέπτην ὀμόσαι, πρός τε ὑμᾶς [2] καὶ τοὺς βασιλέας, εἶναι μὲν τὴν ἀρχὴν κοινὴν τῆς Θρᾴκης, εἰς τρεῖς διηρημένην, πάντας δ' ὑμῖν ἀποδοῦναι τὴν χώραν. ὡς δ' ἐν ἀρχαιρεσίαις ὑμεῖς Χαβρίαν ἐπὶ τὸν πόλεμον τοῦτον κατεστήσατε, καὶ τῷ μὲν Ἀθηνοδώρῳ συνέβη διαφεῖναι τὴν δύναμιν, χρήματα οὐκ ἔχοντι παρ' ὑμῶν, οὐδ' ἀφορμὴν. οὐδεμίαν τῷ πολέμῳ, τῷ Χαβρίᾳ δὲ μίαν ναῦν ἔχοντι μόνην ἐκπλεῖν, τί ποιεῖ πάλιν οὗτος ὁ Χαρίδημος; ἃς μὲν ὤμοσε πρὸς τὸν Ἀθηνόδωρον συνθήκας, ἔξαρνος γίγνεται, καὶ τὸν Κερσοβλέπτην ἀρνεῖσθαι πείθει· γράφει δ' ἑτέρας πρὸς [3] τὸν Χαβρίαν, ἔτι τῶν πρὸς

[1] ἀναχθῇ [2] καὶ πρὸς τοὺς [3] Deest articulus.

μβ'. Κατεπόντισαν] Plenius Plutarch. de Nobilit. §. 11. καταποντίζειν εἰς θάλατταν. V. D'Orville ad Charit. Aphrod. Lib. I. cap. V. p. 64.

Κηφισόδοτον δεινοτέρας. οὐκ ἔχων δ' ἐκεῖνος, οἶμαι, δύναμιν, στέργειν ἠναγκάζετο τούτοις.

μγ'. Ἀκούσαντες δ' ὑμεῖς [1] ταῦτ' ἐν τῷ δήμῳ, λόγων ῥηθέντων πολλῶν, καὶ τῶν συνθηκῶν παραναγνωσθεισῶν, οὔτε τὴν Χαβρίου δόξαν αἰσχυνθέντες, οὔτε τῶν συναγορευόντων οὐδένα, ἀπεχειροτονήσατε καὶ ταύτας πάλιν τὰς 678
συνθήκας, καὶ [2] ἐψηφίσασθε ψήφισμα, Γλαύκωνος εἰπόντος, ἑλέσθαι πρέσβεις δέκα ἄνδρας ἐξ ὑμῶν αὐτῶν· τούτους δ', [3] ἂν ἐμμένῃ ταῖς πρὸς Ἀθηνόδωρον συνθήκαις ὁ Κερσοβλέπτης, ὁρκίσαι πάλιν αὐτόν, εἰ δὲ μή, παρὰ μὲν τοῖν δυοῖν βασιλέοιν ἀπολαβεῖν τοὺς ὅρκους, πρὸς δὲ ἐκεῖνον ὅπως πολεμήσετε βουλεύσασθαι. ἐκπεπλευκότων δὲ τῶν πρέσβεων, συμβαίνει τοῖς χρόνοις εἰς τοῦθ' ὑπωγμένα τὰ [4] πράγματα, ἤδη τρυφώντων τούτων, καὶ οὐδὲν ἁπλοῦν, οὐδὲ δίκαιον ὑμῖν ἐθελόντων πρᾶξαι, [5] ὥς τε βοηθοῦμεν εἰς Εὔβοιαν, καὶ Χάρης ἧκεν ἔχων τοὺς ξένους, καὶ στρατηγὸς ὑφ' ὑμῶν αὐτοκράτωρ εἰς Χερρόνησον ἐξέπλει. οὕτω γράφει [6] πάλιν συνθήκας πρὸς τὸν Χάρητα, παραγενομένου Ἀθηνοδώρου καὶ τῶν βασιλέων, ταύτας, αἵπερ εἰσὶν ἄρισται καὶ δικαιόταται, καὶ ἔργῳ ἑαυτὸν ἐξήλεγξεν, ὅτι καιροφυλακεῖ τὴν πόλιν ἡμῶν, καὶ οὐδὲν ἁπλοῦν ἔγνωκε ποιεῖν, οὐδ' ἴσον. εἶθ' ὃν ὁρᾶτε ἐκ [7] προσαγωγῆς ὄνθ' ὑμῖν φίλον, καὶ ὅπως ἂν ὑμᾶς δύνασθαι νομίσῃ, οὕτω πρὸς ὑμᾶς εὐνοίας ἔχοντα, τοῦτον οἴεσθε δεῖν ἰσχυρόν ποτ' ἐάσαι γενέσθαι, καὶ ταῦτα δι' ὑμῶν; οὐκ ἄρ' ὀρθῶς ἐγνώκατε. ἵνα τοίνυν εἰδῆτε, ὅτι ταῦτ' ἀληθῆ λέγω, λάβε μοι τὴν ἐπιστολήν,

[1] ταῦτ', ἐν τῷ δήμῳ λόγων
[2] ἐψηφίσασθε, ψήφισμα Γλαύκωνος εἰπόντος,
[3] ἂν μὲν ἐμμένῃ
[4] πράγματα ἤδη, τριβόντων
[5] ὥστ' ἐβοηθοῦμεν
[6] πάλιν γράφει
[7] προαγωγῆς

μγ'. Τριβόντων] Sub. τοὺς χρόνους, καὶ ἀναβαλλομένων τὰ πράγματα. Sed quid si τρυφώντων, παρὰ τὸ τρυφάω, *cum fastidirent, delicias facerent, et fastum præ se ferrent.* Wolf. Cave auscultes. Tametsi enim exemplar Wolfianum sequar, laudo tamen lectionem priorem Editorum omnium et MStorum, quam ille immerito inculpat. τριβόντων, *moras nectentibus.* Quo quid planius. Taylor.

Ὥστε βοηθοῦμεν] F. ὅτε ἐβοηθοῦμεν Bodl. Dubito. At ἐβοηθοῦμεν interea retinerem fide Manutiana. Idem. Scribendum forte ὥστ' ἐβοηθοῦμεν — ut ἧκεν, et ἐξέπλει. Markland.

Ἔχαν] Ita Editi omnes sine litura. In Wolfianis exemplaribus, operarum, credo, incuria, omittitur. MSS. interea quamplurimi, Bar. Vindob. Aug. et marg. Benenati ἄγων. Quorum auctoritate me duci facile patior. Taylor.

Εἶθ' ὃν ὁρᾶτε ἐκ προσαγωγῆς ὑμῖν φίλον, καὶ ὅπως ἂν, etc.] *Itane vero quem videtis vobis amicum sensim fieri, et prout increscere opes vestras arbitratur, ita vos benevolentia complectentem,* et reliqua. ἐκ προσαγωγῆς ergo aliquid fieri dicitur, cum accessione fit sensim crescente. *Ex edit.*

ἢ μετὰ τὰς πρώτας συνθήκας ἦλθεν, εἶτα τὴν παρὰ Βηρισάδου. μάλιστα γὰρ οὕτω γνώσεσθε διδασκόμενοι.

ΕΠΙΣΤΟΛΗ.

λέγε καὶ τὴν ἐπιστολὴν, τὴν παρὰ τοῦ Βηρισάδου.

379 ΕΠΙΣΤΟΛΗ.

μδ'. Ἡ μὲν τοίνυν συμμαχία τοῖν δυοῖν βασιλέοιν, τοῦτον τὸν τρόπον μετὰ τὴν παράκρουσιν τὴν διὰ τῶν πρὸς Κηφισόδοτον συνθηκῶν, συνεστάθη, ἤδη Μιλτοκύθου μὲν ἀνῃρημένου, Χαριδήμου δ' ἔργῳ φανεροῦ γεγενημένου, ὅτι τῆς πόλεως ἐχθρός ἐστιν. ὃς γὰρ, ὃν ἤδει διὰ παντὸς τοῦ χρόνου πάντων τῶν Θρᾳκῶν εὐνούστατον ὄνθ' ὑμῖν, τοῦτον ὑποχείριον [1]ἠξίωσε λαβὼν τοῖς ὑμετέροις ἐχθροῖς Καρδιανοῖς ἐγχειρίσαι, πῶς οὐ μεγάλης ἔχθρας δεῖγμα πρὸς ὑμᾶς ἐξέφερεν; ἃς [2]δὴ δεδιὼς τὸν πρὸς τοὺς Θρᾳκας [3]πόλεμον, καὶ πρὸς Ἀθηνόδωρον, ἐποιήσατο [4]συνθήκας, καὶ μετὰ ταῦτα ὁ Κερσοβλέπτης, λέγε.

ΣΥΝΘΗΚΑΙ.

ὁ ταῦτα τοίνυν γράψας καὶ συνθέμενος, καὶ τὸν ὅρκον, ὃν ὑμεῖς ἠκούσατε, ὀμόσας, ἐπειδὴ τὴν μὲν Ἀθηνοδώρου δύναμιν διαφειμένην εἶδε, μιᾷ δὲ μόνῃ τριήρει Χαβρίαν ἥκοντα, οὔτε τὸν Ἰφιάδου παρέδωκεν υἱὸν ὑμῖν, οὔτε ἄλλο οὐδὲν ὧν ὤμοσεν ἐποίησεν, ἀλλὰ καὶ περὶ τῶν ἄλλων τῶν γεγραμμένων ἐν ταῖς συνθήκαις ἔξαρνος γίγνεται, καὶ γράφει [5]ταύτας τὰς συνθήκας. λάβε μοι καὶ λέγε ταυτασί.

ΣΥΝΘΗΚΑΙ.

ἐνθυμεῖσθε ὅτι καὶ τέλη καὶ δεκάτας ἠξίου λαμβάνειν, καὶ

[1] ἠξίωσεν ὑποχείριον [2] δὲ, τὸν πόλεμον δεδιὼς [3] Deest πόλεμον. [4] συνθήκας μετὰ [5] ταυτασὶ

HERVAG.

μδ'. Ἐγχειρίσαι] Ex Editis plurimi ἐγχειρῆσαι. Nos sequimur Ven. Bar. Bodl. Aug. Vindob. et Lambinum. ἐγχειρίσθαι malunt alii. TAYLOR. "Male Benenati Editio in Demosth. Aristocr. ἐγχειρῆσαι." D'Orville ad Charit. Aphrod. Lib. VI. cap. II. p. 520. cf.

πάλιν ὡς [1] αὐτοῦ τῆς χώρας οὔσης τοὺς λόγους ἐποιεῖτο, τοὺς δεκατηλόγους ἀξιῶν τοὺς αὐτοῦ τῶν τελῶν κυρίους εἶναι, καὶ τὸν ὅμηρον τὸν υἱὸν [2] τοῦ Ἰφιάδου, ὃν ὑπὲρ Σηστοῦ ἔχων ὤμοσε πρὸς τὸν Ἀθηνόδωρον παραδώσειν, οὐδ' ὑπισχνεῖται παραδώσειν ἔτι. λάβε μοι τὸ ψήφισμα, ὃ 680
πρὸς ταῦθ' ὑμεῖς ἐψηφίσασθε. λέγε.

ΨΗΦΙΣΜΑ.

ἐλθόντων τοίνυν μετὰ ταῦτα τῶν πρέσβεων εἰς Θράκην, ὁ μὲν Κερσοβλέπτης [3] ἡμῖν ἐπιστέλλει ταυτὶ, καὶ οὐδ' ὁτιοῦν ὡμολόγει δίκαιον· οἱ δ' ἕτεροι ταυτί. λέγε αὐτοῖς.

ΕΠΙΣΤΟΛΗ.

λέγε δὴ τὴν παρὰ τῶν βασιλέων [4] ἐπιστολὴν, καὶ σκοπεῖτε εἰ ἄρα ὑμῖν δοκοῦσι μηδὲν ἐγκαλεῖν.

ΕΠΙΣΤΟΛΗ.

μέ. Ἆρά γε ὁρᾶτε καὶ συνίετε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν [illegible]ρίαν καὶ τὴν ἀπιστίαν, ὡς ἄνω καὶ [5] κάτω τὸ πρῶτον ἠδίκει Κηφισόδοτον, καὶ πάλιν φοβηθεὶς Ἀθηνόδωρον ἐπαύσατο, καὶ αὖθις ἠδίκει Χαβρίαν, πάλιν ὡμολόγει Χάρητι· πάντ' ἄνω καὶ κάτω πεποίηκε, καὶ οὐδὲν ἁπλῶς οὐδὲ δικαίως ἔπραξε. μετὰ ταῦτα τοίνυν, ὅσον μὲν χρόνον ἡ ὑμετέρα δύναμις παρῆν ἐν Ἑλλησπόντῳ, κολακεύων καὶ φενακίζων ὑμᾶς διαγέγονεν· [6] ἐπεὶ δὲ εἶδε τάχιστα τὸν Ἑλλήσποντον ἔρημον δυνάμεως, εὐθὺς ἐνεχείρει [7] καταλύειν καὶ ἀπαλλάξαι τοὺς δύο τῆς ἀρχῆς, [8] καὶ πᾶσαν ὑφ' ἑαυ-

[1] αὐτοῦ [2] τὸν [3] ὑμῖν [4] [ἐπιστολήν.]
[5] κάτω· τ. πρ. ἡ. Κηφισόδοτον. πάλιν, φ. Ἀ. ἐπαύσατο. αὖθις ἡ. Χαβρίαν. πάλιν ὡ. Χάρητι.
[6] ἐπειδὴ δὲ τάχιστα εἶδε [7] καταλύσας καὶ ἀπαλλάξας [8] Deest καί.

Ὑπὲρ Σηστοῦ] *Nomine civitatis Sesti.* AUGER.

Σκοπεῖτε, εἰ ἄρα ὑμῖν δοκοῦσι μηδὲν ἐγκαλεῖν] Wolfius: *considerate, an nihil de vobis conqueri videantur.* Perperam. Recitantur enim hæ literæ in eum finem, ut Charidemi perfidia comprobetur. De Charidemo itaque conqueruntur Reges, non de Atheniensibus. Vertendum ergo: *considerate, an vobis videantur nihil de eo conqueri.* JURIN.

Ἄνω καὶ κάτω] Hæ tres voces mihi videntur eliminandæ. AUGER.

Ἔπραξε] Lege: Ἆρά γε ὁρᾶτε — ὡς — ἔπραξε; cum interrogatione, ut §. ἡ. fin. ἆρά γε μικὲν etc. et §. λ'. post med. ἆρά γε ὁρᾶτε etc. MARKLAND.

μέ. Ἐπεὶ δὲ εἶδε] Lege cum præstantissimis Bar. et Vindob. ἐ π ε ι δ ὴ δὲ τ ά χ ι σ τ α ἔ ρ η μ ο ν τ ὸ ν Ἑ λ λ ή σ π ο ν τ ο ν ε ἶ δ ε δ υ ν ά μ ε ω ς. Deinde v. pen. εὐθὺς ἐ ν ε χ ε ί ρ ε ι κ α τ α λ ύ σ α ς καὶ ἀ π α λ λ ά ξ α ς τοὺς δύο τῆς ἀ ρ χῆς, π ᾶ σ α ν ὑ. ἐ. ποιήσασθαι τὴν ἀ ρ χ ή ν. Ita Bar. Cant. Aug. Vindob. et marg. Benenati. TAYLOR.

τῷ ποιήσασθαι τὴν ἀρχήν, ἔργῳ πεῖραν ἔχων, ὅτι τῶν πρὸς ὑμᾶς οὐδὲν μὴ δυνηθῇ πρότερον λῦσαι, πρὶν ἂν ἐκβάλῃ τούτους. ἵνα δ' ὡς ῥᾷστα τοῦτο περάνειε, ψήφισμα τοιοῦτόν τι παρ' ὑμῶν εὕρετο, ἐξ οὗ κυρωθέντος ἂν, εἰ μὴ δι' ἡμᾶς καὶ ταύτην τὴν γραφήν, ἠδίκηντο μὲν φανερῶς οἱ δύο τῶν βασιλέων, ἡσυχίαν δ' ἂν ἦγον οἱ στρατηγοῦντες
381 αὐτοῖς, ὁ Βιάνωρ, ὁ Σίμων, ὁ Ἀθηνόδωρος, φοβούμενοι τὴν διὰ τοῦ ψηφίσματος συκοφαντίαν, ὁ δὲ, ταύτης τῆς ἐξουσίας ἀπολαύσας, καὶ πᾶσαν ὑφ' ἑαυτῷ λαβὼν τὴν ἀρχήν, ἰσχυρὸς ἂν ἐχθρὸς ὑπῆρχεν ὑμῖν. [1]ἔχει δ' ὁρμητήριον παρὰ πάντα τὸν χρόνον αὐτῷ τετηρημένον, τὴν Καρδιανῶν πόλιν, ἣν ἐν ἁπάσαις μὲν ταῖς συνθήκαις ἐξαίρετον αὐτῷ γέγραφε, τὸ τελευταῖον δὲ καὶ φανερῶς [2]αὐτὴν ἀφείλετο παρ' ὑμῶν. καί τοι τοῖς ἀπηλλαγμένοις μὲν τοῦ περὶ ἡμῶν τι φρονεῖν ἄδικον, μετὰ πάσης δ' ἀληθείας ἁπλῶς εὐνοεῖν [3]ὑμῖν προῃρημένοις, τί [4]προσῆκον αὐτοῖς ὁρμητήριον καταλιπεῖν χρήσιμον τοῦ πρὸς ἡμᾶς πολέμου; ἴστε γὰρ δήπου τοῦτο, οἱ μὲν ἀφιγμένοι, σαφῶς, οἱ δ' ἄλλοι, τούτων ἀκούοντες, ὅτι τῆς Καρδιανῶν πόλεως ἐχούσης ὡς ἔχει, εἰ γενήσεται τὰ πρὸς τοὺς Θρᾶκας εὐτρεπῆ τῷ Κερσοβλέπτῃ παρ' ἡμέραν ἔξεστιν αὐτῷ βαδίζειν ἐπὶ Χερρόνησον ἀσφαλῶς. ὥσπερ γὰρ Χαλκὶς τῷ τόπῳ τῆς Εὐβοίας πρὸ τῆς Βοιωτίας κεῖται, οὕτω Χερρονήσου κεῖται πρὸ τῆς Θρᾴκης ἡ Καρδιανῶν πόλις. ἣν ὃν ἔχει τόπον, ὅς τις οἶδεν ὑμῶν, οὐδ' ἐκεῖν' ἀγνοεῖ, τίνος εἵνεκα καιροῦ περιποιεῖται, καὶ διεσπούδασται, μὴ λαβεῖν ὑμᾶς. ὃν ὑμεῖς οὐ συμπαρασκευάσαι καθ' ὑμῶν αὐτῶν ὀφείλετε, ἀλλὰ [5]κωλῦσαι καθ' ὅσον δυνατὸν, καὶ σκοπεῖν ὅπως μὴ γενήσεται· ἐπεὶ ὅτι

[1] εἶχε [2] [αὐτὴν] [3] ἡμῖν [4] προσῆκεν αὐτοῖς [5] καλύσαι

Τῆς Καρδιανῶν πόλεως ἐχούσης ὡς ἔχει] Wolfius: *cum ita sit in nos animata Cardianorum civitas, ut est.* Fallitur: nec enim agitur de animo aut studio Cardianorum, sed de urbis ipsius situ, *noto*, inquit, *vobis, qui illic fuistis, cæteris a vobis edoctis.* Et paulo post, qui enim Chalcidis in Eubœa situs est versus Bœotiam, idem in Chersoneso Cardianæ urbis situs est versus Thraciam. Vertendum itaque: *cum eum situm obtineat Cardianorum urbs, quem reipsa obtinet.* Jurin.

Ἣν etc.] Ἣν τίνος ἕνεκα καιροῦ περιποιεῖται. Wolf. De syntaxi nimirum sollicitus, et veritus, ne dubitaremus, quo referre oporteret accusativum istum. Et credo, eum perperam retulisse: nam verba hæc, ἣν, ὃν ἔχει τόπον, ὅστις οἶδεν ὑμῶν, eadem constructione scribi video, qua illud Lysiæ, p. 311. 5. ὑμᾶς εἰσόμενοι, ἥντινα γνώμην περὶ τῶν ἀδικούντων ἔξετε. Vid. Lysiæ Ind. Attic. v. accusativus. Taylor.

Ὃν ὑμεῖς] Ὃν καιρόν. Wolf.

γε οὐδ' ἂν ὀντινοῦν καιρὸν [1]παρίῃ, δεδήλωκε. Φιλίππου γὰρ εἰς Μαρώνειαν ἐλθόντος, ἔπεμψε πρὸς αὐτὸν Ἀπολλωνίδην, πίστεις δοὺς ἐκείνῳ, καὶ Παμμένει. καὶ εἰ μὴ κρατῶν τῆς χώρας Ἀμάδοκος ἀπεῖπε Φιλίππῳ μὴ ἐπιβαίνειν, οὐδὲν ἂν ἦν ἐν μέσῳ πολεμεῖν ὑμᾶς πρὸς Καρδιανοὺς ἤδη, καὶ πρὸς Κερσοβλέπτην. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λάβε μοι τὴν Χάρητος ἐπιστολήν. 682

ΕΠΙΣΤΟΛΗ.

μς'. Ταῦτα μέν τοι δεῖ σκοπουμένους, ἀπιστεῖν καὶ μὴ πεπυφῶσθαι, μηδ' ὡς εὐεργέτῃ προσέχειν τὸν νοῦν. οὐ γὰρ ὧν ἀναγκαζόμενος φίλος εἶναί φησι, φενακίζων ὑμᾶς, χάριν ἐστὶ δίκαιον ὀφείλειν Κερσοβλέπτῃ, οὐδ' ὧν μικρὰ ἀναλίσκων ἰδίᾳ καὶ τοῖς στρατηγοῖς καὶ τοῖς ῥήτορσι Χαρίδημος διαπράττεται πρὸς ὑμᾶς, ἐπαίνους αὐτοῦ γράφεσθαι· ἀλλ' ὧν ὁσαχοῦ κύριος γέγονε τοῦ πράττειν ὅ,τι βούλεται, πανταχοῦ κακῶς ἐπιχειρῶν ὑμᾶς ποιεῖν φαίνεται, τούτων πολὺ μᾶλλον ὀργίζεσθαι προσήκει. οἱ μὲν τοίνυν ἄλλοι πάντες, ὅσοι τι παρ' ὑμῶν εὕρηνται πώποτε, ἐφ' οἷς εὖ πεποιήκασιν ὑμᾶς, τετίμηνται· οὗτος δ' εἷς ἁπάντων τῶν ἄλλων μόνος, ἐφ' οἷς ἐγχειρῶν οὐ δεδύνηται κακῶς [2]ποιῆσαι. καί τοι τῷ τοιούτῳ τὸ δίκης ἣν ἔδωκε δικαίως ἂν ἀφεῖσθαι μεγάλη δωρεὰ παρ' [3]ὑμῶν ἦν. ἀλλ' οὐ ταῦτα δοκεῖ τοῖς ῥήτορσιν· ἀλλὰ πολίτης, εὐεργέτης, στέφανοι, δωρεαί, δι' ἃ τούτοις ἰδίᾳ δίδωσιν, οἱ δ' ἄλλοι πεφενακισμένοι κάθησθε, τὰ πράγματα θαυμάζοντες. τὸ τελευταῖον δὲ νυνὶ, καὶ φύλακας ἂν κατέστησαν ὑμᾶς ἐκείνου διὰ τοῦ προβουλεύματος τούτου, εἰ μὴ τὴν γραφὴν ἐποιησάμεθ' ἡμεῖς ταυτηνί· καὶ τὸ τοῦ μισθοφόρου καὶ θεραπεύοντος ἐκεῖνον ἔργον ἡ πόλις ἂν διεπράττετο, ἐφρούρει

[1] * παριείη [2] ποιῆσαι κακῶς [3] ὑμῶν ἂν ἦν

Παρίῃ] Lego παρείη, παρὰ τὸ παρίημι, οὐχὶ δὲ τὸ πάρειμι, τὸ προέρχομαι. Wolf. Inficete. Παρείη quidem Vindob. Taylor. L. παρείη in optativo aoristi secundi. Auger.

Οὐδὲν ἦν ἐν μέσῳ] "Aliquid dicitur ἐν μέσῳ εἶναι, quod *impedit* vel *separat*. ut in Lucian. Quom. Hist. Scrib. p. 9. Dem. in Aristocr. Xenoph. K. Π. v. 123. D. de R. P. Athen. 695. D." D'Orville ad Charit. Aphrod. Lib. VII. cap. III. p. 601.

μς'. Ὧν ὁσαχοῦ] Sub. ἕνεκα, sicut superius ὧν μικρά. Auger.

Πολίτης κ. τ. λ.] Hic verba aliquot subaudi nominibus adjungenda. Idem.

663 Χαρίδημον. καλόν γε, — οὐ γὰρ, ὦ Ζεῦ καὶ θεοί; — ὅς γε αὐτός ποτε τοὺς [1]ὑμετέρους ἐχθροὺς, μισθὸν λαμβάνων, ἐδορυφόρει, τοῦτον ὑφ' [2]ὑμετέρου ψηφίσματος φανῆναι φυλαττόμενον.

μζ'. Ἴσως τοίνυν [3]ἐκεῖνο ἄν τις μ' ἔροιτο, τί δήποτε ταῦτ' εἰδὼς οὕτως ἀκριβῶς ἐγὼ, καὶ παρηκολουθηκὼς ἐνίοις τῶν ἀδικημάτων, εἴασα, καὶ [4]οὐδ', ὅτ' αὐτὸν ἐποιεῖσθε πολίτην, οὐδὲν ἀντεῖπον, οὔθ' ὅτ' [5]ἐπηνεῖτο, οὔθ' ὅλως πρότερον, πρὶν τὸ ψήφισμα τουτὶ γενέσθαι, λόγον ἐποιησάμην οὐδένα. ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς ἅπασαν ἐρῶ τὴν ἀλήθειαν. καὶ γὰρ ὡς ἀνάξιος ἦν ἤδειν, καὶ παρῆν, ὅτε τούτων ἠξιοῦτο, καὶ οὐκ ἀντεῖπον. ὁμολογῶ. διὰ τί; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, πρῶτον μὲν ἀσθενέστερον ἡγούμην ἔσεσθαι πολλῶν ψευδομένων ἑτοίμως περὶ αὐτοῦ πρὸς ὑμᾶς ἕνα τἀληθῆ λέγοντα ἐμαυτόν· ἔπειθ', ὧν μὲν ἐκεῖνος [6]ἐφαίνετο ἐξαπατῶν ὑμᾶς, μὰ τὸν Δία καὶ [7]τοὺς θεοὺς ἅπαντας, οὐδενὸς εἰσῄει μοι φθονεῖν, κακὸν δὲ οὐδὲν ἑώρων ὑπερφυὲς ὑμᾶς [8]πεισομένους, εἴ τινα ἠδικηκότα πολλὰ [9]ἀφίετε, καὶ προκαλεῖσθ' ἔτι τοῦ λοιποῦ ποιεῖν ὑμᾶς ἀγαθόν· ἐν γὰρ τῷ πολίτην ποιεῖσθαι καὶ στεφανοῦν, ταῦτ' ἐνῆν ἀμφότερα· ἐπειδὴ δ' ὁρῶ προσκατασκευαζόμενόν τι τοιοῦτον, δι' οὗ, ἐὰν μόνον εὐτρεπίσηται τοὺς ἐνθάδε [10]ἐξαπατήσαντας ὑμᾶς ὑπὲρ αὐτοῦ, τῶν γε ἔξω φίλων καὶ βουλομένων ἄν τι ποιεῖν ὑμᾶς ἀγαθὸν, κἀκεῖνον κωλύειν ἐναντία πράττειν ὑμῖν· οἷον Ἀθηνό-

[1] ἡμετέρους [2] ἡμετέρου [3] ἐκεῖνό τις ἂν [4] οὔθ' [5] ἐπῃνεῖτε [6] εὑρίσκετο [7] Deest articulus. [8] πεισομένους ὑμᾶς [9] ἠφίετε, καὶ προὐκαλεῖσθ' ἔτι * τι τοῦ [10] ἐξαπατήσοντας

μζ'. Ἐφαίνετο] Ita Editi nonnulli, et MSti etiam Felician. et Manut. MSti interea Ald. Bar. Cant. Linden. Aug. Reg. α. Ital. et Vindob. cum Editionibus Felic. et Manut. εὑρίσκετο, quæ ille *consequebatur*, ut recte Wolfius vertit, et Tu proinde leges. Unde ergo enatum istud ἐφαίνετο? Dicam. Certe εὑρίσκετο in passiva voce non longe sensu distat ab ἐφαίνετο, *inventus est*, *apparebat*. Eam itaque significationem arripuit imprudens aliquis et imperitus Lector, et deinde, scholii gratia, sive interpretationis, istud ἐφαίνετο ad oram libri sui appinxit, cum omnino aliud intelligeretur. TAYLOR. Legendum videtur νὐφραίνετο, *delectabatur*. JURIN.

Εἰσῄει] Ita Ald. et Morel. In cæteris est mera illuvies. Recte igitur, ut dedi, ni malles τὸ ἐπῄει Codd. Bar. Reg. α. et Vindob. TAYLOR.

Προκαλεῖσθ'] Προὐκαλεῖσθ' ἔτι vel προὐκαλεῖσθέ τι (sine τοῦ λοιποῦ) ποιεῖν ὑμᾶς ἀγαθὸν Codd. nonnulli, MSS. Manut. marg. Benen. Aug. IDEM. Plane legendum: καὶ προκαλεῖσθέ τι — ποιεῖν ὑμᾶς ἀγαθόν. JURIN. L. ἠφίετε καὶ προὐκαλεῖσθέ τι τοῦ λοιποῦ. AUGER.

δωρον λέγω, Σίμωνα, Βιάνορα, Ἀρχέβιον τὸν Βυζάντιον, τοὺς Θρᾶκας τοὺς δύο τοὺς βασιλέας· τούτων μηδενὶ μήτ' 684
ἐναντιωθῆναι, μήτε κωλύειν ἐκεῖνον ἐξέσται, τηνικαῦτα ἥκω καὶ κατηγορῶ. καὶ νομίζω, τὸ μὲν, οἷς ἔμελλεν ἐκεῖνος λαβὼν μηδὲν ὑπερμέγεθες τὴν πόλιν βλάψειν, ἀντιλέγειν, ἢ κακῶς ἰδίᾳ πεπονθότος, ἢ συκοφαντοῦντος εἶναι· τὸ δ', ἐφ' οἷς μέγα πρᾶγμα ἀλυσιτελὲς τῇ πόλει κατεσκευάζετο, ἐναντιοῦσθαι, χρηστοῦ καὶ φιλοπόλιδος ἀνδρὸς ἔργον εἶναι. διὰ ταῦτ' ἐπ' ἐκείνοις οὐδὲν εἰπὼν, νῦν λέγω.

μή. Ἔστι τοίνυν τις αὐτοῖς τοιοῦτος λόγος, δι' οὗ προσδοκῶσι παράξειν ὑμᾶς. ὡς ὁ Κερσοβλέπτης καὶ Χαρίδημος ἴσως ἐναντία ἔπραττον τῇ πόλει τόθ', ὅτ' ἦσαν ἐχθροί· νῦν δέ γ' εἰσὶ φίλοι, καὶ χρησίμους παρέχουσιν αὐτούς. οὐ δὴ δεῖ μνησικακεῖν. οὐδὲ γὰρ Λακεδαιμονίους ὅτ' ἐσώζομεν, οὐκ ἀνεμιμνησκόμεθα εἴ τι κακὸν ἐποίησαν ἡμᾶς ὄντες ἐχθροὶ, οὐδὲ Θηβαίους, οὐδ' Εὐβοέας τὰ τελευταῖα νυνί. ἐγὼ δ' ἡγοῦμαι τοῦτον τὸν λόγον, εἰ μὲν ἔν τινι καιρῷ βοηθείας γεγραμμένης τῷ Κερσοβλέπτῃ, καὶ τῷ Χαριδήμῳ, κωλυόντων ἡμῶν ταύτην, ἔλεγον, ὀρθῶς ἂν λέγεσθαι· εἰ δὲ τοιούτου μὲν μηδενὸς ὄντος, μηδὲ γεγραμμένου, βουλόμενοι δὲ μείζω τοῦ δέοντος ποιῆσαι διὰ τοῦ παρ' ὑμῶν ἄδειαν λαβεῖν τοὺς ἐκείνου [1]στρατηγοὺς, δεινὰ ποιεῖν αὐτοὺς ἡγοῦμαι. οὐ γάρ ἐστι δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς τῶν σωθῆναι ζητούντων λόγους πρὸς ὑμᾶς λέγειν, ὑπὲρ τῶν ὅπως ἀδικεῖν αὐτοῖς ἐξέσται πραττόντων. χωρὶς δὲ τούτων, εἰ μὲν ἐχθρὸς ὢν Χαρίδημος κακῶς ἐποίει, φίλος δὲ φήσας εἶναι μετεβέβλητο, τάχ' ἄν τις 685
[2]ταῦτα ἤκουεν· ἐπειδὴ δ' οὐ τοιοῦτόν ἐστιν, ἀλλ' ἐξ οὗ φίλος εἶναι προσποιεῖται, ἐκ τούτου πλεῖστα ὑμᾶς ἐξηπάτηκεν, εἰ μὴ καὶ δι' ἐκεῖνα δεῖ μισεῖν, διὰ ταῦτά γε ἀπιστεῖν δήπου προσήκει. καὶ μὴν περὶ [3]μὲν τοῦ μὴ μνησικα-

[1] στρατηγοὺς ἐρεῖσι, δεινὰ.
[2] [ταῦτα]
[3] Deest μέν.

[1] Ἐκεῖνον] Restitui ex Editt. Ald. et Parisina, ex MStis vero Aug. et Vindob. Tayl.
Ἐκείνοις] Sub. χρόνοις. Auger.
μή. Ταύτην] Βοήθειαν sc. At MSS. Ald. Felic. et Manut. cum Aug. et marg. Paris. ita: εἰ μὲν ἔν τινι καιρῷ βοηθείας — κωλυόντων ἡμῶν, ταῦτ' ἂν ἔλεγον cætera. ταύτην ἂν ἔλεγον Vindob. Taylor.
Καὶ δι' ἐκεῖνα δεῖ] Castigatius MSS. Bar. et Vindob. εἰ μὴ δι' ἐκεῖνα μισεῖν, διὰ ταῦτά γε ἀπιστεῖν δήπου προσήκει. Omittitur etiam δεῖ in Lind. et Ital. Idem.

κεῖν, ἔγωγε ὡδίπως λέγω. ὁ μὲν, εἵνεκα τοῦ τι κακὸν ποιεῖν, τὰ τοιαῦτα ἐξετάζων, μνησικακεῖ· [1]ὁ δ' ὑπὲρ τοῦ μὴ παθεῖν, ἀλλὰ φυλάξασθαι σκοπῶν, σωφρονεῖ.

μθ'. Ἴσως τοίνυν καὶ τοιαύτην τινὰ ἐροῦσιν ὑπόνοιαν· ὡς ὡρμηκότα νῦν τὸν ἄνθρωπον φίλον εἶναι, καὶ βουλόμενόν τι ποιεῖν ἀγαθὸν τὴν πόλιν, εἰς ἀθυμίαν τρέψομεν, εἰ καταψηφιούμεθα, καὶ ποιήσομεν ὑπόπτως πρὸς [2]ὑμᾶς ἔχειν. ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, θεάσασθε ὡς ἔχω. εἰ μετ' ἀληθείας ἁπλῶς ἦν φίλος ἡμῖν, καὶ, νὴ Δία, πάντα τἀγαθὰ [3]ἔμελλεν ἡμᾶς ποιήσειν, οὐδ' ἂν οὕτω τοῦτον ᾤμην δεῖν ἀκούειν τὸν λόγον· οὐδένα γὰρ νομίζω τοσαῦτ' ἀγάθ' ἂν ποιῆσαι, δι' ὃν ὑμῖν [4]προσήκειν ἐπιορκῆσαι, καὶ παρ' ἃ φαίνεται δίκαια εἶναι, τὴν ψῆφον θέσθαι· ἐπειδὴ δὲ καὶ φενακίζων, καὶ οὐδ' ὁτιοῦν ὑγιὲς πράττων ἐξελέγχεται, δυοῖν ἀγαθοῖν θάτερον ὑμῖν, ἐὰν καταψηφίσησθε, συμβήσεται. ἢ γὰρ ἐξαπατῶν παύσεται, νομίσας οὐκ ἔτι λανθάνειν· ἢ, εἴπερ αὐτῷ βουλομένῳ πρὸς ὑμᾶς ἐστὶν οἰκείως ἔχειν, ὡς ἀληθῶς ἀγαθόν τι ποιεῖν πειράσεται, γνοὺς ὅτι τῷ φενακίζειν οὐκ ἔθ' ἃ βούλεται πράξει. ὥστε καὶ εἰ μηδὲ δι' ἓν τῶν ἄλλων, διὰ τοῦτό γε καταψηφίσασθαι συμφέρει.

ν'. Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖνο ἐξετάσαι,
686 πῶς ποτὲ οἱ πάλαι τὰς τιμὰς ἔνεμον, καὶ τὰς δωρεὰς τοῖς ὡς ἀληθῶς εὐεργέταις, καὶ ὅσοι πολῖται τύχοιεν ὄντες, καὶ ὅσοι ξένοι. κἂν μὲν ἴδητ' ἐκείνους ἄμεινον ὑμῶν χρωμένους, καλὸν τὸ μιμήσασθαι· ἂν δ' ὑμᾶς αὐτοὺς, ἐφ' ὑμῖν ἔσται τὸ πράττειν. πρῶτον μὲν τοίνυν ἐκεῖνοι Θεμιστοκλέα, τὸν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν νικήσαντα, καὶ Μιλτιάδην τὸν ἡγούμενον Μαραθῶνι, καὶ πολλοὺς ἄλλους,

[1] ὃ [2] ἡμᾶς [3] ἤμελλεν [4] προσήκεῖ

Ὁ δ' ὑπὲρ] Ὁ δ' οὐχ ὑπὲρ τοῦ κακόν τι ποιεῖν, ἀλλ' ὑπὲρ τοῦ μὴ παθεῖν καὶ φυλάξασθαι σκοπῶν, σωφρονεῖ. marg. Benenati. Idem. Posterior hæc lectio magis mihi probatur, etsi nec usitata quicquam absurdi habet, nisi quod τὸ ἀντίθετον languet. Wolf.

μθ'. Προσήκειν] Προσῆκεν Bar. προσήκει Vindob. et Lambinus. Idque rectius est. Proxime autem v. 13. cum eod. Vindob. Bar. et Aug. tu delebis istud εἶναι post δίκαια. Taylor. Imo προσήκει. Auger. Μηδὲ δι' ἓν] i. e. διὰ μηδέν. Markland.

ν'. Ἐφ' ὑμῖν ἔσται τὸ πράττειν] Sub. κατὰ τὸ ἑαυτοῖς δοκοῦν. Videtur aliquid tale deesse, nisi affectata βραχυλογία sit. Wolf. Hic putat Reiskius, et ego quoque puto aliquid desiderari, et legendum, ἐφ' ὑμῖν ἔσται κατὰ τὸ δοκοῦν πράττειν. Auger. Μαραθῶνι] Ἐν Μαραθῶνι. Jurin.

οὐκ ἴσα τοῖς νῦν ἀγαθὰ [1] στρατηγοῖς εἰργασμένους, οὐ χαλκοῦς ἵστασαν, οὐδ' ὑπερηγάπων. οὐκ ἄρα τοῖς ἀγαθόν τι ποιοῦσιν ἑαυτοὺς χάριν εἶχον; σφόδρα γε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀπεδίδοσάν γε, καὶ [2] αὐτῶν κἀκείνων ἀξίαν. ὄντες γὰρ πολλοῦ πάντες ἄξιοι, προὔκρινον ἐκείνους [2] αὐτῶν ἡγεῖσθαι. ἔστι δὲ σώφροσιν ἀνθρώποις, καὶ πρὸς ἀλήθειαν βουλομένοις σκοπεῖν, πολὺ μείζων τιμὴ τῆς χαλκῆς εἰκόνος, τὸ καλῶν κἀγαθῶν ἀνδρῶν κεκρίσθαι [3] πρώτους. καὶ γάρ τοι τῶν ἔργων οὐδενὸς, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν τότε ἀπεστέρησαν ἑαυτούς· οὐδ' ἔστιν οὐδεὶς ὅστις ἂν εἴποι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν Θεμιστοκλέους, ἀλλ' Ἀθηναίων, οὐδὲ τὴν [4] ἐν Μαραθῶνι μάχην Μιλτιάδου, ἀλλὰ τῆς πόλεως. νῦν δ', ὦ ἄνδρες Ἀθηναῖοι, πολλοὶ τοῦτο λέγουσιν, ὡς Κέρκυραν εἷλε Τιμόθεος, καὶ τὴν μόραν κατέκοψεν Ἰφικράτης, καὶ τὴν περὶ Νάξον ναυμαχίαν ἐνίκα Χαβρίας. δοκεῖτε γὰρ αὐτοὶ τῶν ἔργων τούτων παραχωρεῖν τῶν τιμῶν ταῖς ὑπερβολαῖς, [5] αἷς δεδώκατε ἐπ' αὐτοῖς ἑκάστῳ τούτων.

νά. Τὰς μὲν δὴ πολιτικὰς δωρεὰς οὕτως ἐκεῖνοί τε καλῶς καὶ λυσιτελοῦντως ἐδίδοσαν [6] αὐτοῖς, καὶ ὑμεῖς οὐκ ὀρθῶς· τὰς δὲ τῶν ξένων πῶς; ἐκεῖνοι Μένωνι τῷ Φαρσαλίῳ, δώδεκα μὲν τάλαντα ἀργυρίου δόντι πρὸς τὸν ἐπ' 637
Ἠιόνι τῇ πρὸς Ἀμφιπόλει πόλεμον, τριακοσίοις δ' ἱππεῦσι Πενέσταις ἰδίοις βοηθήσαντι, οὐκ ἐψηφίσαντο, αὐτὸν ἄν τις ἀποκτείνῃ, ἀγώγιμον εἶναι· ἀλλὰ πολιτείαν ἔδοσαν, καὶ ταύτην ἱκανὴν ὑπελάμβανον εἶναι τὴν τιμήν. καὶ πάλιν Περδίκκᾳ τῷ κατὰ τὴν [7] Βαρβάρου πότ' ἐπιστρατείαν βασιλεύοντι Μακεδονίας, τοὺς ἀναχωροῦντας ἐκ Πλαταιῶν τῶν Βαρβάρων διαφθείραντι, καὶ τέλειον ποιήσαντι [8] τἀτύχημα τῷ βασιλεῖ, οὐκ ἐψηφίσαντο ἀγώγιμον εἶναι, ἐάν τις ἀποκτείνῃ Περδίκκαν, ᾧ βασιλεὺς [9] ὁ Περσῶν

[1] στρατηγοῖς ἀγαθὰ [2] αὐτῶν [3] πρῶτον [4] [ἐν] [5] * ἃς [6] αὐτοῖς, καὶ ἡμεῖς [7] τοῦ βαρβάρου ποτ' [8] τἀτύχημα ποιήσαντι [9] [ὁ περσῶν]

Τὴν μόραν] Laconicam legionem sic dictam fuisse alibi annotavi. Vide Xenoph. δ. Ἑλληνικ. Wolf.

Αἷς δεδώκατε αὐτοῖς ἑκάστῳ τούτων] [Nam Aldus non agnoscit ἐπ'] Malim αἷς δεδώκατ' αὐτοῖς ἐφ' ἑκάστῳ τούτων. Idem. Attamen in suis exemplaribus retinuit ἐπ' αὐτοῖς, ut et cæteri legunt, et pariter habet Noster in Orat. περὶ Συντάξεως, §. ἡ. fin. ubi hæc eadem leguntur. Taylor.

νά. Εἶναι] Suffecimus ex Bar. Aug. Vind. et Regg. Parisiensibus. Idem.

ἐχθρὸς δι' [1]ἡμᾶς ἀποδέδεικτο· ἀλλὰ πολιτείαν ἔδωκαν μόνον. καὶ γάρ τοι τότε μὲν οὕτω τίμιον ἦν πᾶσιν ἀνθρώποις τὸ γενέσθαι πολίτας παρ' ὑμῖν, ὥσθ' ὑπὲρ τοῦ τυχεῖν τούτου, τηλικαῦτα [2]ἡμᾶς ἀγαθὰ ἤθελον ποιεῖν· νῦν δ' οὕτως ἄτιμον, ὥστε τῶν τετυχηκότων πολλοὶ πλείω κακὰ τῶν φανερῶς ἐχθρῶν εἰσὶν [3]ὑμᾶς εἰργασμένοι.

νβ'. Οὐ μόνον δ' αὕτη τῆς πόλεως ἡ δωρεὰ προπεπηλάκισται, καὶ φαύλη γέγονεν, ἀλλὰ καὶ πᾶσαι, διὰ τὴν τῶν καταράτων καὶ θεοῖς ἐχθρῶν ῥητόρων, τῶν τὰ τοιαῦτα γραφόντων ἑτοίμως, πονηρίαν· οἱ τοσαύτην ὑπερβολὴν πεποίηνται τῆς [4]αὐτῶν αἰσχροκερδείας, ὥστε τὰς τιμὰς καὶ τὰς παρ' ὑμῶν δωρεὰς, ὥσπερ οἱ τὰ μικρὰ καὶ κομιδῇ φαῦλα ἀποκηρύττοντες, οὕτω πωλοῦσιν ἐπευωνίζοντες, καὶ πολλοῖς ἀπὸ τῶν αὐτῶν λημμάτων γράφοντες πᾶν ὅ,τι ἂν βούλωνται. πρῶτον μὲν τοίνυν, ἵνα τῶν τελευταίων πρῶτον μνησθῶμεν, Ἀριοβαρζάνην ἐκεῖνον, οὐ μόνον αὐτὸν καὶ τοὺς υἱοὺς, τρεῖς ὄντας, πάντων ἠξίωσαν ὅσων [5]ἐβουλήθησαν, ἀλλὰ καὶ δύο Ἀβυδηνοὺς, μισαθη-
688 ναιοτάτους καὶ πονηροτάτους ἀνθρώπους προσέθηκαν αὐτῷ, Φιλίσκον καὶ Ἀγαυόν. πάλιν Τιμοθέου δόξαντός τι ποιῆσαι τῶν δεόντων ὑμῖν, πρὸς τῷ πάνθ' ἃ μέγιστ' ἦν αὐτῷ δοῦναι, προσέθηκαν αὐτῷ δύο, Φρασικρίδην καὶ Πολυσθένην, ἀνθρώπους οὐδὲ ἐλευθέρους γε, ἀλλ' ὀλέθρους, καὶ τοιαῦτα πεποιηκότας, οἷα λέγειν ὀκνήσειεν ἄν τις εὖ φρονῶν. τὸ τελευταῖον δὲ νῦν, ἐπειδὴ Κερσοβλέπτην ἠξίουν ὧν αὐτοῖς ἐδόκει, καὶ περὶ [6]τούτων ἦν ἡ σπουδὴ, προστιθέασι δύο αὐτῷ, τὸν μὲν, ὅσα αὐτοὶ ἀκηκόατε εἰργασμένον κακὰ, τὸν δ' ὅλως ὃν οὐδεὶς οἶδεν ἀνθρώπων τίς ἐστιν, Εὐδέρκην ὄνομα. [7]τοι γάρ τοι διὰ ταῦτα, ὦ ἄνδρες Ἀθη-

[1] ὑμᾶς ἀπεδέδεικτο [2] ὑμᾶς [3] ὑμᾶς εἰσὶν [4] αὐτῶν [5] ἠβουλήθησαν [6] τοῦτον [7] τοιγάρτοι

Ἀλλὰ πολιτείαν] Vide hominis inconstantiam. Nam in Orat. π. Συντάξ. §. θ'. Περδίκκα, τῷ κατὰ τὴν τοῦ Βαρβάρου -- οὐκ ἐψηφίσαντο πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδωκαν μόνον. IDEM.

Πολίτας] Elegantius multo atque Auctore dignius πολίταις, uti habet marg. Morel. IDEM.

νβ'. Ἐπευωνίζοντες] Multis exemplis et erudita disquisitione hanc vocem illustrat Celeb. Hemsterhus. ad Lucian. Nigrin. §. 23. ubi etiam locum hunc Demosthenis ita legi vult: καὶ πολλοῖς ἀντὶ τῶν ἀπ' αὐτῶν λημμάτων. IDEM.

Τῷ πάνθ'] Editi omnes τό. Restituerunt cum Bodl. marg. Morel. aliisque Wolfius et Lambinus. IDEM.

Αὐτοῖς] Vind. αὐτός. Minus recte. Potius id quod sequitur, v. 26. ex Bodl. περὶ τούτων. IDEM.

ναῖοι, μικρὰ ἃ πρὸ τοῦ μεγάλ' ἦν, φαίνεται, καὶ τὸ πρᾶγμα ἤδη καὶ περαιτέρω βαδίζει, καὶ οὐκ ἔτι ταῦτα ἀπόχρη. ἀλλ' εἰ καὶ μὴ φυλάξετε ἕκαστον τούτων, ἐκείνων γε οὐδεμία χάρις ὡς ἔοικε.

νγ'. Τοῦ μέν τοι ταῦθ' οὕτως αἰσχρῶς προεληλυθέναι, εἰ δεῖ μετὰ παῤῥησίας εἰπεῖν τἀληθῆ, οὐδένες ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλόν εἰσιν αἴτιοι· οὐδὲ γὰρ δίκην ἔτι λαμβάνειν ἐθέλετε παρὰ τῶν ἀδικούντων, ἀλλὰ καὶ τοῦτ' ἐξελήλυθεν ἐκ τῆς πόλεως. καί τοι σκέψασθε, ὡς ἐκόλαζον οἱ πρόγονοι τοὺς ἀδικοῦντας ἑαυτοὺς, εἰ παραπλησίως ὑμῖν. ἐκεῖνοι Θεμιστοκλέα λαβόντες μεῖζον αὐτῶν ἀξιοῦντα φρονεῖν, ἐξήλασαν ἐκ τῆς πόλεως, καὶ Μηδισμὸν κατέγνωσαν. καὶ Κίμωνα, ὅτι τὴν πάτριον μετεκίνησε πολιτείαν ἐφ' [1]ἑαυτὸν, παρὰ τρεῖς μὲν [2]ἀφῆκαν ψήφους, τὸ μὴ θανάτῳ ζημιῶσαι, πεντήκοντα δὲ τάλαντα εἰσέπραξαν. καὶ τοῦτον τὸν τρόπον προσεφέροντο, τηλικαῦτα αὐτοὺς ἀγαθὰ εἰργασμένοις ἀνθρώποις. δικαίως. οὐ γὰρ αὐτοῖς ἀπεδίδοντο 689
τὴν [3]αὐτῶν ἐλευθερίαν καὶ μεγαλοψυχίαν τῶν ἔργων, ἀλλὰ χρηστοὺς μὲν ὄντας ἐτίμων, ἐπιχειροῦσι δ' [4]ἀδικεῖν οὐκ ἐπέτρεπον· ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς τὰ μέγιστα ἀδικοῦντας καὶ φανερῶς ἐξελεγχομένους, ἂν ἓν ἢ δύο ἀστεῖα εἴπωσι, καὶ παρὰ τῶν φυλετῶν τινὲς ἠρημένοι σύνδικοι δεηθῶσιν, ἀφίετε, ἐὰν δὲ καὶ καταψηφίσησθέ του, πέντε καὶ

[1] ἑαυτοῦ [2] ἀφῆσαν [3] αὐτῶν [4] ἀδικεῖν δ' ἐπιχειροῦσιν

Περαιτέρω] Lege πορρωτέρω cum MSS. Ald. Felician. et Manut. Codd. item Ital. Reg. α. et Vindob. Idem.

Ἀπόχρη] Cf. Pierson. ad Mœrin p. 286. Koppiers Observ. Philol. p. 44.

Ἀλλ' εἰ καὶ μὴ φυλάξετε ἕκαστον τούτων] Wolfius: *quod nisi hæc singula cavebitis.* Immo: *quod nisi singulis horum satellitum vicem præstetis.* Ita supra, ad invidiam faciendam, §. λά. τὴν ἑκάστου τούτων σωτηρίαν δορυφοροῦντες. §. λδ'. τοιαύτην φυλακὴν ἐψηφισμένους φαίνεσθαι. §. μς'. *fin.* ὅς γε αὐτός ποτε τοὺς ὑμετέρους ἐχθροὺς, μισθὸν λαμβάνων, ἐδορυφόρει, τοῦτον ὑφ' ὑμετέρου ψηφίσματος φανῆναι φυλαττόμενον. §. νδ'. *fin.* νῦν ἡ πόλις εἰς ὑπηρέτου σχῆμα καὶ τάξιν προελήλυθε, καὶ Χαρίδημον εἰ χρὴ φεύγειν βουλεύεται. Jurin.

νγ'. Ἑαυτοὺς] Absurde. Corrige αὐτοὺς, cum optimis Bar. et Vind. Taylor.

Καὶ Μηδισμὸν κατέγνωσαν] Καταγινώσκω σὲ Μηδισμὸν, et σοῦ Μηδισμὸν, et σὲ Μηδισμοῦ posse dici exempla auctorum ostendunt. Wolf.

Ἐφ' ἑαυτὸν] Non intelligo, quid sibi velit hæc locutio. Neque planius intelligo lectionem, quæ in Editis et MStis pluribus dominatur, ἐφ' ἑαυτοῦ. Taylor.

Ἀφῆκαν] Ita Wolfius. Editi et MSti, credo omnes, ἀφῆσαν. Idem.

Πεντήκοντα] Æmilius Probus et Plutarchus non hujus mulctæ, sed ostracismi faciunt mentionem. Miltiadem quidem 50. talentis mulctatum scribunt, quæ Callias quidam, Elpinice, Cimonis sorore, ducta, dissolverit. Wolf.

Προσεφέροντο] Lege προσεφέροντο τοῖς τηλικαῦτα κ. τ. λ. ex marg. Benenati. Taylor.

εἴκοσι δραχμῶν ἐτιμήσατε. καὶ γάρ τοι τότε, τὰ μὲν τῆς πόλεως ἦν εὔπορα καὶ λαμπρὰ δημοσίᾳ· ἰδίᾳ δὲ οὐδεὶς ὑπερεῖχε τῶν πολλῶν. τεκμήριον δέ. τὴν Θεμιστοκλέους μὲν γὰρ οἰκίαν, καὶ τὴν Μιλτιάδου, καὶ τῶν τότε λαμπρῶν, εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ' ἐστὶν, ὁρᾷ τῶν πολλῶν οὐδὲν σεμνοτέραν οὖσαν· τὰ δὲ τῆς πόλεως οἰκοδομήματα καὶ [1] τὰ κατασκευάσματα, τηλικαῦτα καὶ τοιαῦτα, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι, προπύλαια ταῦτα, νεώσοικοι, στοαὶ, Πειραιεὺς, τἄλλα, οἷς κατεσκευασμένην ὁρᾶτε τὴν πόλιν. νῦν δ' ἰδίᾳ μὲν ἑκάστῳ τῶν τὰ κοινὰ πραττόντων τοσαύτη περιουσία ἐστὶν, ὡς τε τινὲς μὲν αὐτῶν πολλῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας τὰς ἰδίας κατεσκευάκασιν οἰκίας, γῆν δ' ἔνιοι πλείω πάντων ὑμῶν τῶν ἐν τῷ δικαστηρίῳ συνεώνηνται· δημοσίᾳ δ' ὑμεῖς, ἃ μὲν οἰκοδομεῖτε καὶ κονιᾶτε, ὡς μικρὰ καὶ γλίσχρα, αἰσχύνη λέγειν.

νδ'. Ἀλλ' ἔχετ' εἰπεῖν ὅτι κοινῇ κτησάμενοι καταλείψετε, ὥσπερ ἐκεῖνοι, Χερρόνησον, Ἀμφίπολιν, δόξαν ἔργων καλῶν, ἣν οἱ τοιοῦτοι πολῖται πάντα ἀναλίσκοντες τρόπον, οὐχ οἷοί τε εἰσὶν ἀφανίσαι, ὦ ἄνδρες [2] Ἀθηναῖοι. εἰκό-
690 τως. τότε μὲν γὰρ τῷ κυρίῳ τῶν φόρων γενομένῳ τάξαι Ἀριστείδῃ, οὐδεμιᾷ δραχμῇ πλείω τὰ ὑπάρχοντα [3] ἐγένοντο, ἀλλὰ καὶ τελευτήσαντα αὐτὸν ἔθαψεν ἡ πόλις· ὑμῖν δ', εἴ τι δέοισθε, χρήματα ὑπῆρχε κοινῇ πλεῖστα τῶν πάντων Ἑλλήνων, ὥστε ὁπόσου χρόνου ψη-

[1] Deest articulus.

[2] ἀθηναῖοι;

[3] ἐγένετο

Καὶ γάρ τοι] Forte τοιγάρτοι, itaque, ut §. νβ'. fin. Nam καὶ γάρ τοι est etenim: quod huic loco non quadrat. MARKLAND. M. τοιγάρτοι. AUGER.

Οἶδεν] Forte εἶδε v. MARKLAND.

νδ'. Ἀλλ' ἔχετ'] Vim hujus sententiæ sive interrogative, sive categorice efferatur, minime perspicio. Repræsento, quid in scriptis libris reperi, unde apparebit, eam olim luxatam esse, omnique fide destitutam. ἀλλ' ἔχετ' εἰπεῖν] ταῦτα δ' οὐδ' ἔχετε εἰπεῖν marg. Paris. deinde ἐκεῖνοι] ἐκείνῳ Ven. Proxime v. 20. negationem οὐχ ante οἷοι delet idem margo Benenati. eumque demum locum ita legit Cod. Vindob. οὐχ οἷοί τε εἰσὶν, ὦ Ἀθηναῖοι, εἰ μὴ πλείω τὰ ὑπάρχοντα ἐγένετο. TAYLOR. Longe melius, ad marginem Editionis Benenati, ταῦτα δ' οὐδ' ἔχετε εἰπεῖν. JURIN.

Ὥστε ὁπόσου χρόνου] Οἷον εἰ εἰς τρεῖς ἢ τέτταρας μῆνας. Sed quomodo illi scire potuerunt, quamdiu bellum, οὗ πολλὰ τὰ καινὰ καὶ παράδοξα, esset duraturum? Fortassis huc pertinet ἡ εὐήθεια τοῦ πρὸς Λακεδαιμονίους πολέμου, de qua in Philippicis: et, si quis animo sibi proponat ex probabili conjectura longissimum belli tempus, et ad id gerendum pecuniam necessariam conduplicatam reponat, is haud facile sumptibus destituetur. At unde tantæ opes? Imo unde tanta bellandi insania? Quasi vero non multo majores injurias accipere necesse sit a defensoribus, quam ab hostibus. DIU APPARANDUM BELLUM, UT FINIAS CELERIUS: imo ut id nunquam gerere sit necesse. WOLF.

φίσαισθε ἐξιέναι, τοσούτου μισθὸν ἔχοντες [1] ἐξήειτε. νῦν δ' οἱ μὲν τὰ κοινὰ διοικοῦντες, ἐκ πτωχῶν [2] εἰσὶν εὔποροι, καὶ πολλοῦ χρόνου τροφὴν ἄφθονόν εἰσιν ἡτοιμασμένοι· ὑμῖν δὲ, [3] οὐδεμιᾶς ἡμέρας ἐφόδιά ἐστιν ἐν τῷ κοινῷ, ἀλλ' ἅμα δεῖ τι ποιεῖν, καὶ πόθεν οὐκ ἔχετε. τότε μὲν γὰρ ἦν δεσπότης [4] ὁ δῆμος τῶν πολιτευομένων, νῦν δ' ὑπηρέτης. αἴτιοι δ' οἱ τὰ τοιαῦτα γράφοντες, καὶ συνεθίζοντες ὑμᾶς ὑμῶν μὲν αὐτῶν καταφρονεῖν, ἕνα δ' ἢ δύο ἀνθρώπους [5] θαυμάζειν, εἶθ' οὗτοι κληρονομοῦσι τῆς ὑμετέρας δόξης καὶ τῶν ὑμετέρων ἀγαθῶν· ὑμεῖς δ' οὐδ' ὁτιοῦν ἀπολαύετε, ἀλλὰ μάρτυρες ἐστὲ τῶν ἑτέρων ἀγαθῶν, οὐδενὸς ἄλλου μετέχοντες, ἢ τοῦ ἐξαπατᾶσθαι. καί τοι πηλίκον ποτ' ἂν στενάξειαν οἱ ἄνδρες ἐκεῖνοι, οἱ ὑπὲρ δόξης καὶ ἐλευθερίας τελευτήσαντες, καὶ πολλῶν καὶ καλῶν ἔργων ὑπομνήματα καταλιπόντες, εἰ ἄρα αἴσθοιντο, ὅτι νῦν ἡ πόλις εἰς ὑπηρέτου σχῆμα καὶ τάξιν προελήλυθε, καὶ Χαρίδημον εἰ χρὴ φρουρεῖν βουλεύεται; [6] Χαρίδημον, οἴμοι· ἀλλ' οὐ τοῦτό ἐστι τὸ δεινὸν, οὐ τοῦτο, εἰ τῶν προγόνων, οἳ τῶν ἁπάντων διενηνόχασιν ἀρετῇ, χεῖρον βουλευόμεθα, ἀλλ' ὅτι καὶ πάντων ἀνθρώπων.

νέ. Πῶς γὰρ οὐκ αἰσχρὸν, Αἰγινῆται μὲν τουτουσὶ, νῆσον οἰκοῦντας οὕτω μικρὰν, καὶ οὐδὲν ἔχοντας ἐφ' ᾧ μέγα δὴ φρονεῖν εἰκὸς ἦν αὐτοὺς, Λάμπιν, ὃς μέγιστα ναυκλήρια κέκτηται τῶν Ἑλλήνων, καὶ κατεσκεύακε τὴν πόλιν αὐ- 691
τοῖς καὶ τὸ ἐμπόριον, μηδέπω καὶ τήμερον πολίτην πεποιῆσθαι, ἀλλὰ μόλις αὐτὸν τῆς ἀτελείας ἠξιωκέναι τῆς τοῦ [7] μετοικίου; καὶ Μεγαρέας τουτουσὶ, τοὺς καταράτους, οὕτως εὖ τὰ παρ' αὐτοῖς σεμνύνειν, ὥς τε Ἕρμωνα τὸν κυβερνήτην, τὸν μετὰ Λυσάνδρου λαβόντα τριήρεις διακοσίας, ὅτ' ἐν Αἰγὸς ποταμοῖς ἠτυχήσαμεν ἡμεῖς,

[1] ἐξήειτε [2] [εἰσὶν] [3] οὐδὲ μιᾶς [4] ὁ δῆμος δεσπότης [5] θαυμάζειν ἀνθρώπους. [6] Χαρίδημον; [7] μετοικίου·

Ὁπόσου χρόνου] M. ὅπωσον χρόνον. AUGER. Ita Bodl.

Ὑμεῖς δ' ὁτιοῦν] [Uti in quibusdam Impressis reperitur] Vellem et hic esse scriptum, ὑμεῖς δ' οὐδοτιοῦν. Sed si est Ellipsis, ἐμοῦ γε ἕνεκα ἔστω. WOLF. Cum Wolfio emendant corruptam Manutii Felicianique lectionem Lind. Aug. Vindob. Ita etiam Ald. Ven. Bar. et Ital. ὑμεῖς δ' οὐχ ὅτι οὐδενὸς ἀπολαύετε marg. Benenati. TAYLOR.

Στενάξειαν] Στενάξαιεν Codd. Ital. et Vind. itemque Lucian. in Eucom. Demost. non longe ab initio, ubi hunc locum citat, cui similem fere ex Livio produxit Solanus in notis ibidem. IDEM.

πεμψάντων Λακεδαιμονίων καὶ κελευόντων ποιήσασθαι πολίτην, ἀποκρίνασθαι αὐτοῖς, ὅτι ὅταν αὐτοὺς ἴδωσι Σπαρτιάτην αὐτὸν πεποιημένους, τότε καὶ αὐτοὶ Μεγαρέα [1]ποιήσονται; καὶ Ὠρείτας ἐκείνους μέρος τέταρτον Εὐβοίας [2]οἰκούντων, τὸν Χαρίδημον τοῦτον αὐτόν, ᾧ μήτηρ μὲν ὑπάρχει πολῖτις ἐκεῖ, πατὴρ δὲ οὐκ ἐρῶ τίς, ἢ πόθεν, — οὐδὲν γὰρ δεῖ πλείω τῶν ἀναγκαίων αὐτὸν ἐξετάζεσθαι —, ἀλλ' ὅμως τὸ ἥμισυ τοῦ γένους αὐτῷ [3]συμβαλλομένου, τοῦ ἡμίσεως μέχρι τῆς τήμερον ἡμέρας οὐκ ἠξιώκασιν, ἀλλ' εἰς τοὺς νόθους ἐκεῖ συντελεῖ, καθάπερ ποτὲ ἐνθάδε εἰς Κυνόσαργες οἱ [4]νόθοι; ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, πάσης τῆς πόλεως μεταδόντες αὐτῷ, καὶ τετιμηκότες ἄλλοις, ἔτι καὶ τοῦτο αὐτῷ προσθήσετε; ὅτι τί; ποίας ἔλαβε ναῦς ὑμῖν, δι' ἃς ὑπὸ τῶν ἀπολωλεκότων ἐπιβουλεύεται; ἢ ποίαν πόλιν [5]παρέδωκεν αἰχμάλωτον λαβών; ἢ τίνας κινδύνους ὑπὲρ ὑμῶν κεκινδύνευκεν; ἢ τίνας ἐχθροὺς τοὺς αὐτοὺς ὑμῖν ἤρηται; οὐδ' ἂν εἷς εἰπεῖν ἔχοι.

νς'. Περὶ μὲν δὴ τῶν νόμων, ὧν παραγεγράμμεθα, ὦ ἄνδρες δικασταί, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπὼν καταβαίνειν, ἃ νομίζω [6]μνημονεύοντας ὑμᾶς ἄμεινον φυλάττειν,
692 ἂν παράγειν καὶ φενακίζειν οὗτοι ζητῶσιν ὑμᾶς. ὁ πρῶτος νόμος ἄντικρυς εἴρηκεν, ἄν τις ἀποκτείνῃ τινά, τὴν βουλὴν δικάζειν· ὁ δέ, ἄν τις ἀποκτείνῃ, εὐθὺς γέγραφεν ἀγώγιμον εἶναι. τοῦτο φυλάττετε, καὶ μέμνησθε, ὅτι πάντων ἐστὶν ἐναντιώτατον τῷ κρίνειν τὸ μὴ δόντα κρίσιν ἕκδοτον ποιεῖν. οὐκ ἐᾷ μετὰ ταῦτα ὁ δεύτερος νόμος οὐδὲ

[1] ποιήσονται· [2] οἰκοῦντας [3] *συμβαλόμενοι [4] νόθοι· [5] παραδέδωκεν
[6] μνημονεύοντας ἂν ὑμᾶς

νέ. Ποιήσασθαι πολίτην] Cf. Hemsterh. ad Aristoph. Plut. 368.

Καὶ Ὠρείτας etc.] Nulla est in his constructio. Nisi aliter habeant Codices, ita legerem, καὶ Ὠρείτας — οἰκοῦντας, τὸν Χαρίδημον τοῦτον — τοῦ ἡμιστέως — οὐκ ἠξιωκέναι, ἀλλ' etc. ut supra p. 260. v. 21. Αἰγινήτας — μόλις αὐτὸν τῆς ἀτελείας ἠξιωκέναι. MARKLAND.

Οἰκούνταν] Rectius Editt. Felician. et Manut. cum nonnullis libris scriptis οἰκοῦντας. Hque repone. TAYLOR. Imo οἰκοῦντας. AUGER.

Τὸ ἥμισυ κ. τ. λ.] *Cum genus ipsi conferret medietatem*, nempe, civitatis. IDEM.

Ἠξιώκασιν] Ἠξιωκέναι Cant. Recte fortasse. Et mox v. 10. συντελεῖν. Id tamen minus. TAYLOR. Leg. ἠξιωκέναι, ut secum cohæreat oratio, vel dicendum oratorem ex industria minus cohærentem orationem dedisse, quod aliquando fit apud oratores. AUGER.

Ὅτι τί;] Τὸ ὅτι sub adversarii persona, ὅτι τὰ καὶ τὰ ἔπραξεν. Hanc narrationem interrumpit Auctor, et subjicit τί; WOLF.

τὸν ἑαλωκότα ἀνδροφόνον λυμαίνεσθαι, οὐδὲ χρήματα πράττεσθαι· ὁ δ' ἐν τῷ ποιεῖν ἀγώγιμον, πάντα ταῦτα δέδωκεν· ἐπὶ γὰρ τοῖς λαβοῦσιν ἔσται ποιεῖν ὅ,τι ἂν βούλωνται. ἀπάγειν ὁ νόμος ὡς τοὺς θεσμοθέτας κελεύει, καὶ τοῦτ', ἂν ἐν τῇ τοῦ πεπονθότος λάβῃ τις πατρίδι· ὁ δ' ἀγώγιμον αὐτῷ τῷ τὴν αἰτίαν [1]ἐνεγκόντι δίδωσιν ὡς [2]αὐτόν, κἂν τῆς ἀλλοτρίας που λάβῃ. ἔστιν ἐφ' οἷς ἀδικήμασι δέδωκεν ἀποκτείνειν ὁ νόμος· ὁ δ' οὐδὲν ὑπειπών, κἂν ἐπὶ τούτοις κτείνῃ τις, δίδωσιν ἔκδοτον τὸν ἀθῷον ἀφειμένον ἐν τοῖς νόμοις. ἐάν τις πάθῃ τι τοιοῦτον, δίκας ὁ νόμος κελεύει [3]ἀπαιτεῖν πρῶτον· ὁ δὲ, τοὐναντίον, οὐδεμίαν κρίσιν, οὔτε αὐτὸς εἰπών, οὔτε παρ' [4]ὧν αὐτὸς ἀξιοῖ αἰτήσας λάβεῖν, ἀγώγιμον εὐθὺς ἔγραψε, κἄν τις [5]ἀφαιρῆται, παραχρῆμα ἔκσπονδον ποιεῖ. τὸ ἀνδροληψιον, παρ' οἷς ἂν ὁ δράσας ᾖ, ἐὰν μὴ [6]διδόασι δίκας, κελεύουσιν οἱ νόμοι μέχρι τριῶν εἶναι· ὁ δὲ, ἂν ἀφέληταί τις τὸν ἄγοντα, μὴ βουλόμενος πρὸ δίκης ἐκδοῦναι, εὐθὺς ἔκσπονδον ποιεῖ. οὐκ ἐᾷ ὁ νόμος νόμον, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσι τιθῇ τις, εἰσφέρειν· ὁ δ' ἐπ' ἀνδρὶ γράφει ψήφισμα ἴδιον. οὐκ ἐᾷ ψήφισμα ὁ νόμος κυριώτερον εἶναι νόμου· ὁ δὲ, ὑπαρχόντων τοσούτων νόμων, ψήφισμα ποιεῖ κύριον, τοὺς νόμους [7]ἀναιρῶν.

νζ'. Ταῦτα φυλάττετε, καὶ μεμνημένοι κάθησθε, καὶ 693
τὰς μὲν παραγωγὰς, ἃς οὗτοι ποιήσονται, χαίρειν ἐᾶτε, καὶ μὴ ἐπιτρέπετε λέγειν αὐτοῖς, κελεύετε δὲ δεῖξαι ποῦ

[1] ἐπενεγκόντι [2] αὐτὸν, κἂν [ἐπὶ] τῆς [3] αἰτεῖν [4] ὧν ἀξιοῖ λαβεῖν, αἰτήσας, [5] ἀφαιρῆται [6] διδῶσι [7]* ἀναιροῦν

Ideo quod quid? sub. *fecit.* AUGER.

νζ'. Κἂν τῆς ἀλλοτρίας] Κἂν λάβῃ που τῆς ἀλλοτρίας. Ferri potest adverbialis hæc constructio, et haud scio, an vera sit. Felicianus habet: κἂν ἐπὶ τῆς ἀλλοτρίας που λάβῃ. WOLF. Et Manutius porro et Morelius. TAYLOR.

Ὁ δ' οὐδὲν ὑπειπὼν κ. τ. λ.] Wolfius: *iste non adjecit, etiamsi propter illas aliquis occiderit, sed eum proscribit.* Potius: *iste nulla re adjecta etiamsi propter illas aliquis occiderit, eum proscribit.* JURIN.

Ἐάν τις πάθῃ τι τοιοῦτον] *Si quis quid tale passus fuerit*, i. e. si cui contigerit ut hominem occiderit. AUGER.

Ὁ δὲ τοὐναντίον — ἀγώγιμον εὐθὺς ἔγραψε] Sana hæc esse vix mihi persuaserim, et video, non mediocriter angi Wolfium, ut sensum aliquem, nec illum satis commodum, ex hac lectione exsculpat. Quidni rescribamus: ὁ δὲ, τοὐναντίον, οὐδεμίαν κρίσιν, οὔτε αὐτὸς εἰπὼν, οὔτε παρ' ὧν ἔκδοτον ἀξιοῖ λαβεῖν, αἰτήσας, ἀγώγιμον εὐθὺς ἔγραψε. JURIN.

Οὔτε παρ' ὧν αὐτὸς] Τὸ αἰτήσας, si non abundat, exponatur, ἐπειδὰν αἰτήσῃ, ἢ μετὰ τὸ αἰτῆσαι. WOLF.

Ἄγοντα] Ita Codd. constanter. Annon tamen expedit rescribere ἀχθέντα? In proximis, loco τοῦ πρὸ δίκης Bodl. habet πρὸς δίκην. TAYLOR. Pro ἄγοντα leg. φεύγοντα, nempe, φονέα. AUGER.

Ὁ νόμος] Restitui ex Editis. Desiderabatur enim. TAYLOR.

γέγραφε κρίσιν, ἢ ᾧοῦ γέγραφεν, ἄν τις ἁλῷ φόνου, κατὰ τούτου τὰς τιμωρίας [1] εἶναι. εἰ γὰρ, ἢ τὸν ἄλλοθί που κριθέντα καὶ ἑαλωκότα ὅτι δεῖ κολάζειν ἔγραψεν, ἢ αὐτὸς ἔγραψε κρίσιν εἰ πεποίηκεν ἢ οὔ, καὶ εἰ δικαίως, ἢ ἀδίκως, οὐκ ἂν ἠδίκει· εἰ δὲ τὸ τῆς αἰτίας ὄνομα [2] αὐτῷ γράψας, ἄν τις ἀποκτείνῃ, καὶ ὑπερβὰς τὸ, καὶ ἐὰν ἁλῷ φόνου, καὶ [3] τὸ, δόξῃ ἀπεκτονέναι, καὶ τὸ, δίκας ὑπεχέτω τοῦ φόνου, καὶ τὸ, τὰς τιμωρίας εἶναι κατ' αὐτοῦ τὰς αὐτὰς, ἅσπερ ἂν τὸν Ἀθηναῖον ἀποκτείνῃ, καὶ πάνθ' ὅσα ἐστὶ δίκαια ὑπερβὰς, ἀγώγιμον εἶναι γέγραφε, μὴ φενακίζεσθε, ἀλλ' εὖ ἴστε, ὅτι ᾧάντων ἀνθρώπων παρανομώτατα [4] εἴρηκεν.

[1] [εἶναι]· [2] αὐτὸ ὑπογεάψας [3] τό· ἂν δόξῃ [4] εἴρηκε.

νζ'. Αὐτῷ] Fortasse cum Bodl. et Paris. *μα αὐτὸ γράψας.* JURIN. Leg. *αὐτό. τὸ τῆς αἰτίας ὄνομα αὐτὸ γράψας. ὑπογράψας* Codd. præstantiores, Bar. Aug. Vind. IDEM. Lege: *τὸ τῆς αἰτίας ὄνομα αὐτὸ γράψας.* AUGER.

Δίκας] Hic non *pœnas* significat, sed *judicium.* IDEM.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΚΑΤΑ

ΤΙΜΟΚΡΑΤΟΥΣ

ΛΟΓΟΣ.

I. TAYLORI

PRÆFATIO

AD

ORATIONEM DEMOSTHENIS

CONTRA TIMOCRATEM.

Non est, bone Lector, ut Te diu morarer in aditu hujus Orationis contra Timocratem. Multa olim de ejus historia dixi, cum præfabar ad Androtianam et Aristocrateam. Vide Gellium XV. 28. Plutarchum in vita Demosth. ibidem adductos. Anno Olymp. CVI. 4. qui fuit Demostheni natalis 29. haberi contendit Dionys. Halic. ad Ammæum: Ἐπὶ δὲ Θεοδήμου τοῦ μετὰ Διότιμον ἄρξαντος τὸν κατὰ Τιμοκράτους λόγον ἔγραψε Διοδώρῳ τῷ κρίνοντι παρανόμων τὸν Τιμοκράτην. [Anonymi descriptio Olympiadum ad Olymp. CVI. 4. Θεόδημος, οἱ δὲ Εὐθύδημος. ὁ κατὰ Τιμοκράτους λόγος Δημοσθένους. Decepit Olympiadum descriptorem prava Epistolæ ad Ammæum scriptura. Archon ejus anni vero nomine Eudemus fuit, sicut ex Diodor. Sic. XVI. p. 527. et Dinarcho ostendit diligentissimus Sylburg. Wesseling. ad Petit. LL. AA. p. 92. Timocratis decretum Olymp. CV. 4. Corsin. F. A. diss. 3. §. 13. Taylor *In schedis.*]

Cum illa altera, quæ habita est contra Androtionem, plurima habet communia, ut memini me similiter ad istam Androtianam annotasse: idque nec mirum, cum Androtio et Timocrates in Rep. administranda, dicam? an pessundanda, arctissimo inter se fœdere conjungerentur; et idem utriusque accusator prodiret, quisquis demum fuerit, Diodorus. Unde evenit, ut Androtionis facinora quædam iisdem utrobique fere verbis recenseret. Confer

Androt.	165. 14.	— 168. 3.
	171. 7.	— fin.
Timocrat.	325. ult.	— 328. 12.
	329. 1.	— 333. 18.

Vide Ulpianum hic ad 325. ult.

Immo adeo consociari video has Orationes, ut magistri antiquiores sibi pene permitti arbitrarentur, utramvis indifferenter allegare. V. G. Ubi Harpocratio laudat Demosthenem ex Androtiana in vocibus Ἀπὸ τοῦ πράγματος. Ἐπιψηφίζων. Θεσμοθέται.

Μελάνωπος. Πρόεδροι, verisimile est, eum digitum intendere ad loca in hac nostra Timocratea, sc. Ἀπὸ τοῦ πρ. p. 701. 23. ed. Reisk. quanquam miror interea hominis interpretationem. Pariter: Ἐπιψηφ. hic 749. 2. Θεσμοθ. 707. 2. Μελάνωπος 703. 21. Πρόεδροι 706. 20. vel 749. 2. Melius fortasse hoc, quam ut credamus, defecisse actionem c. Androtionem, si quando citarentur vocabula, quæ in ea hodie non comparerent, ut olim judicavi. Interea tamen, ubi Harpocratio laudat Timocrateam in Αἰνείους, rursus, Idem, Suidas et Etym. M. 440. 31. in Ἠϊὼν sive Ἠὼν, certum est, hoc non eodem esse animo factum, verum eos similitudine vocis deceptos Aristocrateam pro Timocratea voluisse. Nam in hac neutra, in illa utraque vox occurrit, Αἰνείους, p. 230. v. 17. Ἠϊόνι p. 256. v. 23. Vicissim Harpocrat. v. Ἐξεγγύησις.

Gravissima sane Oratio, et in primis admirabilis. Eam utique si cum Leptinea conferas, invenies, ut genere laudis pariter excellere, ita argumenti ratione, si fas sit cum Scholis loqui, directe ἀντιστοιχεῖν. In illa enim, popularem legem summa cum humanitate commendat, in hac, similem non minori cum severitate improbat. Et sane quicunque ad hujus lectionem accedit, Attica jurisprudentia leviter imbutus, summa cum voluptate leget Orationem et gravitate argumenti, et literarum elegantia, et acumine ingenii, cum Demosthenicarum vel optimis conferendam. Ut jure scripserit Theo: κάλλιστοι τῶν δημοσίων λόγων, ἐν οἷς περὶ νόμου τι ἢ ψηφίσματος ἀμφισβητεῖται. λέγω δὲ τόν τε περὶ Στεφάνου, καὶ τὸν κατὰ Ἀνδροτίωνος, καὶ Τιμοκράτους etc. pag. 5. Rursus pag. 21. (Editione autem utor Batava 1626.) εὐπορήσομεν δὲ καὶ νόμων ἀνασκευῆς, πολλαχοῦ μὲν παρὰ πλείστοις τῶν ῥητόρων, ἐντελέστατα δὲ παρὰ Δημοσθένει, ἐν τῷ κατὰ Τιμοκράτους, καὶ Ἀριστοκράτους, καὶ πρὸς Λεπτίνην.

Labitur certe Hermogenes de Invent. pag. 180. Edit. Crispin. cum hæc verba ex Timocratea adducat, sc. διαπορητικῶς ἐστὶ περιοδεῦσαι, ἂν ἄρξηταί τις, ὡς ὁ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους· Διὰ τί ἄρα, νὴ Δία, διὰ τί τοῦτο οὐχὶ καλῶς ἔχειν τὸ ψήφισμα ἔδοξέ τισι; πότερον ὅτι παρὰ τοὺς νόμους; καὶ μὴν μόνον ἐστὶ κατὰ τοὺς νόμους. ἀλλ' ὅτι τάξεως λύσις; καὶ μὴν καὶ τοῦτο, ὡς οὐκ ἄλλο, θεμέλιος εὐταξίας. TAYLOR.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΤΙΜΟΚΡΑΤΟΥΣ ΛΟΓΟΥ.

Pag. ed. Reisk.

694 ΔΙΟΔΩΡΟΣ μὲν κἀνταῦθα ὁ κατήγορος κατηγορεῖ νόμου μάλα φιλαιθρώπου· διόπερ ἀπὸ τῆς αἰτίας καὶ τῆς τοῦ γεγραφότος γνώμης διαβάλλειν αὐτὸν πειρᾶται. ἔστι [1] δὲ νόμος ὁ τοῦ Τιμοκράτους τοιοῦτος· εἴ [2] τῳ Ἀθηναίων ἐπ' ὀφλήματι δημοσίῳ προστετίμηται δεσμοῦ, ἢ καὶ [3] τολοιπὸν προστιμηθείη, ἐξεῖναι αὐτῷ, ἢ ἄλλῳ ὑπὲρ αὐτοῦ, ἐγγυητὰς καταστήσαντι τοῦ ὀφλήματος, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἢ μὴν ἐντὸς ῥητῆς προθεσμίας ἐκτίσειν, ἀφεῖσθαι τοῦ δεσμοῦ· ἐὰν δὲ ἐπιστάντος τοῦ χρόνου μὴ ἐκτισθῇ τὸ ὄφλημα, τὸν μὲν ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. τοῦτον αἰτιᾶται τὸν νόμον ὁ κατήγορος οὐχ ὑπὲρ τοῦ κοινοῦ γεγράφθαι, ἀλλ' ὑπὲρ Ἀνδροτίωνος, καὶ Γλαυκίου, καὶ Μελανώπου. οὗτοι γὰρ πεμφθέντες εἰς Καρίαν πρεσβευταὶ, καὶ πλέοντές, φησιν, ἐν τῇ τριήρει, περιπεσόντες Ναυκρατίταις ἀιθράποις ἐμπόροις, ἀφείλοντο αὐτῶν τὰ χρήματα. εἶθ' οἱ Ναυκρατῖται μὲν ἐλθόντες Ἀθήναζε, τὸν δῆμον ἱκέτευον· ὁ δὲ δῆμος ἔγνω πόλεμια εἶναι τὰ χρήματα, καὶ μὴ δεῖν ἀποδοθῆναι τοῖς ἐμπόροις. τούτων δὲ οὕτω γενομένων, Ἀρχέδιος καὶ Λυσιθείδης, οἱ τριήραρχοι τῆς νεὼς ἐφ' ἧς ἔπλευν οἱ περὶ τὸν Ἀνδροτίωνα, εἰσεπράττοντο τὰ χρήματα. ὡς δὲ ἐκεῖνοι μὲν οὐκ ἐφάνησαν ἔχοντες
695 αὐτὰ, οἱ πρεσβευταὶ δὲ ἀμολόγουν ἔχειν αὐτὰ, καὶ ἔδει [4] πᾶν τὸ χρέος καταβαλεῖν, ἢ τοῖς νόμοις ὑπόπίπτειν τοῖς τῶν ὀφειλόντων [5] τῷ δημοσίῳ, διὰ τοῦτό, φησι, τοῦτον τὸν νόμον Τιμοκράτης βουθοῦντα ἐκείνοις ἔθηκεν. ὁ μέντοι Τιμοκράτης ἐπετεικέναι φησὶ τὰ χρήματα τοῖς περὶ Ἀνδροτίωνα, καὶ δῆλον ἐντεῦθεν εἶναι, ὡς οὐκ ἐκείνων εἵνεκα τὸν νόμον εἰσέφερεν αὐτοῖς. κατηγορεῖ δὲ ὁ Διόδωρος [6] καὶ ἄλλο τοῦ νόμου. τὴν τε γὰρ θέσιν αὐτοῦ μέμφεται, ὡς γεγονυῖαν παρὰ τοὺς νόμους, καὶ ὑπεναντίον εἶναί φησι τοῖς ἀρχαίοις, καὶ ἀσύμφορον τοῖς κοινοῖς ἐπιδείκνυσιν.

[7] ΑΛΛΩΣ.

ΠΟΛΕΜΟΥ τυγχάνοντος Ἀθηναίοις πρὸς βασιλέα, κατὰ τοῦτον τὸν χρόνον ἐγράφη ψήφισμα,

[1] δ' ὁ νόμος ὁ [2] τινι [3] τὸ λοιπὸν προστιμηθείη [4] πᾶν χρῆμα καταβαλεῖν [5] τὰ δημόσια [6] καὶ κατ' ἄλλο [7] Ἑτέρα ὑπόθεσις.

Ὁ κατήγορος] Nude et inconcinne. *Diodorus accusator accusat.* Lege: Διόδωρος μὲν κἀνταῦθα ὁ κατήγορος Ἀνδροτίωνος, cætera. *Idem Diodorus, qui olim accusavit Androtionem, jam accusat Timocratem.* Debetur illud Codd. Bar. et Ven. TAYLOR.

Εἴ τις Ἀθηναίων] Forte εἴ τῳ, vel εἴ τινι, ut est in altero argumento p. 270. v. 22. WOLF. Omnino sane. Et ea est solennis et perpetua Constructio. Ita §. ί. Τιμοκράτης εἶπε· καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται κατὰ νόμον. Et infra, §. ιβ'. οὗτος ἔγραψεν ἄντικρυς, καὶ εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ προστετίμηται. Similiter §. ιγ'. ὅσοις δεσμοῦ προστιμᾶται. Et §. κζ'. Ἐάν τις ἁλῷ κλοπῆς, καὶ μὴ τιμηθῇ θανάτου, προστιμᾷν αὐτῷ δεσμοῦ. Ita §. μζ'. γράψας ἀναιδῶς, εἴ τινι προστετίμηται δεσμοῦ. Ubi male Editio Moreliana, et præter solitum, πεστετίμηται. Denique, paucissimis interjectis, §. μζ'. fin. τις γὰρ ἢ τούταν ἢ ἐκείνων χρεία, ὅταν οἷς τετίμηται δεσμοῦ, λύανται; Adde §. ί. fin. §. ιθ'. post med. §. κά. §. κέ. Male hic Editt. superiores εἴ τις Ἀθηναίων. Male etiam Codd. Bar. Linden. Ital. τινα. TAYLOR.

Γλαυκίου] Γλαυκέτου habent ubique Codd. præstantiores. IDEM.

Ἐν τῇ τριήρει] Puto ἐν τριήρει. Nisi forte Paralon intelligat, quæ per excellentiam vocatur ἡ τριήρης. JURIN. Deest iste Articulus in Codd. Bar. Lind. Ital. TAYLOR.

Οἱ τριήραρχοι] Vertitur *domini.* Potius: *trierarchi*, vel *præfecti.* JURIN.

Πᾶν χρῆμα] F. πάντα τὰ χρήματα, vel, πᾶν τὸ χρέος. WOLF. χρῆμα Editt. et MSti. TAYLOR.

Τὰ δημόσια] F. τῷ δημοσίῳ, et v. 19. εἰσέφερεν αὐτός. WOLF. Minus illud necessarium, cum utroque modo loquuntur, et τὰ δημόσια constanter reperiatur in exemplaribus. Vide doctissimum Salvinum ad Petiti LL. Attic. pag. 468. Edit. Nov. TAYLOR.

Καὶ ἄλλο] Καὶ κατ' ἄλλο Moreliana Editio. IDEM.

πλοῖα [1] σῦλα πολεμίων εἶναι, καὶ γίνεσθαι τὰ τιμήματα τῶν κλοπῶν δημόσια. Μαύσωλος τῆς Καρίας [2] σατράπης ἦν, τὰς πέραν νήσους κακῶς ποιῶν. κατεβόων οἱ βλαπτόμενοι, καὶ τοὺς Ἀθηναίους ἐπεκαλοῦντο· ἔδοξε διὰ πρέσβεων τέως αἰτιάσασθαι τὸν Κᾶρα. πέμπουσιν οὖν Ἀνδροτίωνα, καὶ Μελάνωπον, καὶ Γλαυκίαν πρὸς τὸν ἄρχοντα Μαύσωλον, τὸν τῆς Ἀρτεμισίας ἀνδρα καὶ ἀδελφὸν, ὡς ἀδικοῦντα τὰς νήσους, αἰτιασομένους, καὶ βασιλεῖ χαριζόμενον, δι' ὃν κακῶς ἐποιεῖ τοὺς Ἕλληνας. οὗτοι νηὶ περιτυχόντες [3] Ναυκρατιτικῇ, Αἰγύπτια ἐχούσῃ φορτία,— διεκόμιζον δὲ [4] τούτους Ἀρχέβιος καὶ Λυσιθείδης τριήραρχοι —, κατάγουσιν εἰς τὸν Πειραιᾶ τὴν ὁλκάδα. καὶ λόγων γενομένων τοῖς Αἰγυπτίοις πρὸς τὸν δῆμον, καὶ ἱκετειῶν, οὐδὲν ἧττον ἐκρίθη τὰ χρήματα εἶναι δημόσια, ὡς πολεμίων ὄντων τῶν Αἰγυπτίων. νόμου δὲ προσ- 696
τάττοντος, τὸν χρησάμενον δημοσίοις χρήμασιν ἐπ' ἐνιαυτὸν ὅλον, διπλάσια ταῦτα διδόναι, κατασχόντες οἱ πρέσβεις οὗτοι τάλαντα ἑνέα, καὶ τριάκοντα μνᾶς τῶν ἀπεμπολη θέντων φορτίων ἐκ τῆς νεὼς, ὑπεύθυνοι [5] ἐγίγνοντο τῷ δημοσίῳ καὶ τῷ διπλασίῳ. σπανιότητος δὲ χρημάτων κατασχούσης τὸν δῆμον, Ἀριστοφῶν τις δημαγωγὸς ἔγραψε ψήφισμα, ἑλέσθαι ζητητὰς τῶν ὀφειλόντων τῇ πόλει, καὶ ἀποπειρωμένων διαλαθεῖν, καὶ τούτους μηνύειν. ἐμήνυσεν Εὐκτήμων, ὁ πρὸς Ἀνδροτίωνα μικρῷ πρόσθεν ἀγωνισάμενος, υὐὶ δὲ πρὸς Τιμοκράτην, ἔχειν Ἀρχέβιον καὶ Λυσιθείδην ἐκ τῆς Αἰγυπτίας ὁλκάδος τάλαντα ἑνέα, καὶ τριάκοντα μνᾶς. ἔγραψε δηλονότι, φεύγων μὲν τὴν ἐκ τοῦ προφανοῦς πρὸς Ἀνδροτίωνα μάχην, διὰ δὲ τῆς τῶν τριηράρχων μνήμης, οὐδὲν ἧττον ἐπιβουλεύων τῷ Ἀνδροτίωνι. διαδικασίας δὲ γενομένης τοῖς πρέσβεσι πρὸς τοὺς τριηράρχους, ἡττήθησαν οἱ πρέσβεις, καὶ ὤφειλον τὰ χρήματα. προστάττοντος δὲ νόμου, τὸν ὀφείλοντα ἐπὶ τοῦ δευτέρου ἐνιαυτοῦ, δεδέσθαι, ἕως ἂν ἐκτίσῃ, ἔμελλον τῷ δεσμῷ καὶ οἱ πρέσβεις καθυποβάλλεσθαι. ἐν δὲ τῷ καιρῷ τούτῳ, ἀρχομένου τοῦ δευτέρου ἐνιαυτοῦ, ἐν ᾧ καὶ δεθῆναι τοὺς πρέσβεις ἐχρῆν, ἔγραψε Τιμοκράτης νόμον τοιοῦτον· εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ δεσμοῦ προστετίμηται κατὰ νόμον, ἢ κατὰ ψήφισμα, ἢ καὶ τολοιπὸν προστιμηθῇ, ἐξεῖναι αὐτῷ κατα- 697
στήσαντι τρεῖς ἐγγυητὰς, ἢ μὴν ἐκτίσειν, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἀφίεσθαι τοῦ δεσμοῦ· ἐὰν δὲ μὴ ἐκτίσῃ αὐτὸς, ἢ οἱ ἐγγυηταὶ, τὸν μὲν ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγγυητῶν [6] δημοσίαν εἶναι τὴν οὐσίαν. τούτου τοῦ νόμου γραφὴν ἀπηνέγκαντο Διόδωρος καὶ Εὐκτήμων, ὡς παρανόμου, καὶ ἀδίκου, καὶ ἀσυμφέρου. Ἀνδροτίων δὲ, καὶ Γλαυκίας, καὶ Μελάνωπος, συνιέντες δι' αὐτοὺς γεγενῆσθαι τὴν γραφὴν, καταβάλλουσιν ἑνέα τάλαντα καὶ τριάκοντα μνᾶς· ἴσως μὲν γὰρ οὐκ ἂν καταβαλόντες, εἰ μὴ τὴν γραφὴν ἀπέδοσαν οἱ κατήγοροι, ὅμως δ' οὖν κατέβαλον. κατηγορεῖ τοίνυν Εὐκτήμων καὶ Διόδωρος, φάσκοντες μὲν διὰ τοὺς πρέσβεις γεγράφθαι τὸν νόμον· εἰ δὲ καὶ ἐξέτισαν ἐν τῷ μεταξὺ χρόνῳ, διδομένης τῆς γραφῆς τοῦτο ἐποίησαν. ὅς τε τὴν προαίρεσιν τοῦ νομοθέτου ὑπαιτίαν εἶναι. οὐδὲν δὲ ἧττον ἐξετάζει τὸν νόμον ὁ ῥήτωρ, ὡς καὶ κατ' ἄλλον τρόπον ἔχοντα κακῶς. καὶ γὰρ παρανόμως τεθεῖσθαί φησι, καὶ ὑπεναντίας ἔχειν τοῖς νόμοις, καὶ ἄλλως ἀδικεῖν καὶ βλάπτειν, δι' ὧν προστάττει, τὴν πόλιν. διὰ ταῦτα γοῦν καὶ αἱ ὑποθέσεις τοῦ λόγου δύο. μία μὲν, ὅτι διὰ τοὺς πρέσβεις γέγραπται, ἑτέρα δὲ, ὅτι

[1] σύλα [2] σατράπης, ἦν τὰς [3] ναυκρατικῇ [4] τούτους τοὺς πρέσβεις Ἀρχ. [5] ἐγίνοντο [6] τὸ λοιπὸν

Πλοῖα σῦλα πολεμίων εἶναι] Τὰ πλοῖα τῶν πολεμίων εἶναι σῦλα, τουτέστιν ἐξεῖναι συλᾶν τὰ πλοῖα. Wolf. Scribitur in Ven. et Ital. τὰ πλοῖα τῶν πολεμίων σκῦλα εἶναι. In Vindob. σῦλα πλοῖον πολεμίων εἶναι. Salmasius de M. U. p. 213. hariolatur πλοῖα κατάσυλα πολεμίων εἶναι. Taylor.

Τῶν κλοπῶν] Sub. τῶν ἐκ τῶν σεσυληκέναν πλοίων. Wolf. Doctissimus Valesius ad Harpocrat. legit καὶ γίνεσθαι τὰ τιμήματα τῶν ἀλόντων δημόσια. Taylor.

Γίνεσθαι—δημόσια] *Et æstimationes furtorum publicæ fierent.* Alii δημοσία *publice*, ἐπιρρήματικῶς. Wolf.

Μαύσωλος] Forte Μαύσωλος γὰρ, et v. 2. κατεβόων δέ. Idem. Locum ita legit optimus Cod. Vindob. Μαύσωλος τῆς Καρίας σατράπης τὰς πέραν νήσους ἠδίκει. Taylor.

Τὰς πέραν νήσους] Sub. τῆς Καρίας, οἷον, Ῥόδον καὶ Χίον καὶ Κῶν. ἡ γὰρ Κύπρος ἀποστᾶσα τοῦ βασιλέως ἐπολεμεῖτο. Wolf. Similiter fere Argumentum imperfectum in Cod. Veneto: ἐπεχείρησε καταδουλώσασθαι αὐτῷ τὰς τρεῖς ταύτας νήσους, Χίον καὶ Ῥόδον καὶ Κῶν. Miror autem, quare verteret Wolfius *ulteriores* (ita restitue apud me, cum operarum menda sit) et non potius, insulas *exadversum jacentes: e regione oppositas.* Quod sane debuit. Taylor.

Ἔδοξε διὰ] F. ἔδοξε τοίνυν διὰ, nisi hic Auctor contra morem consuetudinemque Græcorum delectetur ἀσυνδέτοις. Wolf.

Σπανιότητος] F. σπάνιος. Idem.

Τις δημαγωγὸς] Vertitur: *unus e Magistratibus.* Potius: *unus e demagogis*, vel *oratoribus.* Jurin.

Ἔγραψε] Restitue cum Vindob. ἔγραψε δὲ δηλονότι, ut recte procedere possit Oratio. Taylor.

Ἴσως μὲν γὰρ] Recte abest γὰρ ab eodem præstantissimo Codice. Idem.

Διδομένης] Margo Lutet. ἀποδιδομέ-

ὑπεναντίος τοῖς νόμοις, καὶ ἐπιζήμιος, καὶ ἄδικος. Ὥστε εἰ [1]καὶ ἠδύνατο ἐκφυγεῖν ὁ Τιμοκράτης τὴν αἰτίαν τοῦ μὴ διὰ τοὺς πρέσβεις γεγραφέναι, ἀλλ' οὖν γε [2]τὸ μὴ πονηρὸν εἶναι οὐ διαφεύξεται. ἠδύνατο μὲν γὰρ τοῦ νομοθέτου κατηγορεῖν ὁ Διόδωρος, ὅτι πονηρὸν ἔγραψε νόμον, καὶ ὑπεναντίον τοῖς νόμοις· καὶ ἤρκεσεν ἂν αὐτῷ πρὸς ὑπόθεσιν ταῦτα. νῦν [3]δὲ καὶ τὴν κατὰ
698 τῶν πρέσβεων προσείληφε διαβολὴν, ἕνεκα τοῦ νομοθέτου. ἡ μὲν οὖν ὑπόθεσις τῆς αἰτίας δι' ἣν ἔθηκε τὸν νόμον, στοχαστική. ζητεῖται γὰρ, εἰ διὰ τοὺς πρέσβεις ἔθηκεν, ἢ οὔ. ἡ δὲ κατὰ τὸν νόμον, πραγματική. καθόλου γὰρ πᾶσα κατηγορία ῥητοῦ, πραγματικὴν ἀπεργάζεται στάσιν. ῥητοῦ δὲ λέγω, οὐκ ἐξ οὗπερ ἕτερόν τι ζητεῖται, ὥσπερ ἐν στοχασμῷ, οὐδὲ τοῦ ἀναφερομένου εἰς [4]τύχην καὶ ἐξουσίαν, ὥσπερ ἐν [5]μεταλήψει. ἐκεῖ μὲν [6]γὰρ ἐπὶ τοῖς ἐκβεβηκόσιν ἡ κρίσις· ἐν δὲ τῇ πραγματικῇ, ἐπὶ μέλλουσι. καὶ δεῖ γεγράφθαι τὸ ῥητὸν ἐν νόμῳ, καὶ ἐν ψηφίσμασιν. ἔστι τοίνυν τούτου τοῦ λόγου κεφάλαια τέσσαρα. ἓν μὲν τὸ νόμιμον, ὃ διαιρεῖται [7]διχῇ, εἴς τε τὸ πρόσωπον, καὶ εἰς τὸ πρᾶγμα, τουτέστιν, εἰς αὐτὸν τὸν νόμον, ὅπως ἐναντίος ἐστὶ τοῖς νόμοις. δεύτερον, τὸ δίκαιον. τρίτον, τὸ συμφέρον, ὅτι ἐπιζήμιος. τέταρτον, τὸ δυνατὸν, ὅτι καὶ ἀδυνάτους ἐπιτάττει πράξεις. ἡ κρινομένη οὖν ὑπόθεσις, ἐστὶν αὕτη ἡ ἐν τοῖς κεφαλαίοις. τὴν γὰρ κατὰ τῶν πρέσβεων ὑπόθεσιν ἐν τῇ καταστάσει καὶ παρενβάσει τέθεικε, διαβολῆς ἕνεκα δηλονότι. ἐπειδὴ γὰρ ὁ νόμος δοκεῖ φιλαθρωπότατος εἶναι, τῶν δεσμῶν ἀφεὶς, τούτου ἕνεκα ἀντέθηκε πλεῖστα μὲν καὶ ἄλλα, μάλιστα δὲ τὰ δύο ταῦτα, τήν τε ὑπόθεσιν τὴν κατὰ τοὺς πρέσβεις, ἵνα τῇ ὑπονοίᾳ ταύτῃ, τὸν [8]ἀκροατὴν, τὴν ὑποψίαν δοὺς κατὰ τοῦ ἀντι-
699 δίκου, [9]πείσῃ, ὡς τὸν νόμον δι' αἰσχροκέρδειαν τεθεικότος ὑπὲρ ῥητόρων καὶ πολιτευομένων, ἁρπάσαι τὰ κοινὰ προαιρουμένων· καὶ τὸ ἀσύμφορον, ἐν ᾧ [10]ὅτι ἀποστερῆσαι τὴν πόλιν ἁπάντων τῶν ὀφλημάτων δίδωσι. πρὸς δὲ τὸ δυνατὸν, ὅτι εἰ καὶ ἐβουλόμεθα, οὐκ ἦν δυνατόν· ἀναιροῦνται γὰρ τῆς πολιτείας οἱ κανόνες. μὴ ἀγνοῶμεν δὲ ὅτι τὸ μὲν νόμιμον κεφάλαιον ἐντελέστατα εἴργασται· τὸ δὲ δίκαιον, καὶ τὸ συμφέρον, καὶ τὸ δυνατὸν, ἀλλήλοις συμπλέκεται. καὶ τὸ μὲν συμφέρον ἐν τούτοις ἐστὶ τὸ προηγούμενον. κατασκευάζεται δὲ διά τε τοῦ δικαίου, καὶ τοῦ ἀδίκου, καὶ τοῦ ἀδυνάτου. πᾶν γὰρ ἄδικον, καὶ ἀσύμφορον. τῷ δ' αὐτῷ καὶ περὶ τοῦ ἀδυνάτου βιάζεται χρῆσθαι λόγῳ. ὃ γὰρ ἀδύνατόν φησι, τοῦτο δὴ καὶ ἀσύμφορον. καὶ ἐπειδὴ Τιμοκράτης πολύς ἐστι τῇ φιλαθρωπίᾳ τοῦ νόμου χρώμενος, αὕτη δὲ ἐπὶ τὸ δίκαιον ἀναφέροιτο ἄν, διὰ τοῦτο Δημοσθένης πανταχοῦ τῷ ἀσυμφόρῳ κέχρηται, δεικνὺς ἐπιβλαβῆ καὶ ἐπιζήμιον τυγχάνοντα τῇ πόλει τὸν νόμον.

[1] Deest καί. [2] τοῦ [3] δὲ κατὰ τὴν τῶν [4] τέχνην [5] ἀντιλήψει
[6] Deest γάρ. [7] διχῇ [8] ἀκροατὴν πείσῃ, τὴν [9] Deest πείσῃ. [10] Deest ὅτι.

νης, et rectius. Idem.

Ὥστε εἰ ἠδύνατο] Ὥστε εἰ καὶ ἠδύνατο. Wolf. Deerat enim. Taylor.

Νῦν δὲ κατὰ τὴν] Lego: νῦν δὲ καὶ τὴν κατὰ τῶν πρέσβεων προσείληφε διαβολήν. Wolf. Variatur in MStis. Sed proba sunt ista Wolfii. Taylor.

Τέχνην — ἀντιλήψει] Forte εἰς τύχην καὶ ἐξουσίαν, ὥσπερ ἐν μεταλήψει. ἐκεῖ μὲν γὰρ etc. Wolf. Omne hoc emanavit ex Wolfii divinatione. Silent enim Codices ubique. Taylor.

Ῥητὸν ἐν νόμῳ] Rectius cum Vindob. νόμοις. Idem.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΚΑΤΑ

ΤΙΜΟΚΡΑΤΟΥΣ

ΛΟΓΟΣ.

ά. ΤΟΥ μὲν ἀγῶνος, ὦ ἄνδρες δικασταὶ, τοῦ παρόν- 700
τος, οὐδ' ἂν αὐτὸν [1] οἶμαι Τιμοκράτην εἰπεῖν, ὡς αἴτιός ἐστιν ἄλλος τις αὐτῷ, πλὴν αὐτὸς αὑτῷ. χρημάτων γὰρ οὐκ ὀλίγων ἀποστερῆσαι βουλόμενος τὴν πόλιν, παρὰ πάντας τοὺς νόμους νόμον εἰσήνεγκεν, οὔτ' ἐπιτήδειον, οὔτε δίκαιον, ὦ ἄνδρες δικασταί. ὃς τὰ μὲν ἄλλα ὅσα λυμανεῖται, καὶ χεῖρον ἔχειν τὰ κοινὰ ποιήσει, κύριος εἰ γενήσεται, τάχα δὴ καθ' ἕκαστον ἀκούοντες ἐμοῦ μαθήσεσθε· ἓν δὲ, ὃ μέγιστον ἔχω καὶ προχειρότατον πρὸς ὑμᾶς εἰπεῖν, οὐκ ἀποτρέψομαι. τὴν γὰρ ὑμετέραν ψῆφον, ἣν ὀμωμοκότες περὶ πάντων φέρετε, λύει, καὶ ποιεῖ τοῦ μηδενὸς ἀξίαν ὁ τουτουὶ νόμος, οὐχ ἵνα κοινῇ τι τὴν πόλιν ὠφελήσῃ, — πῶς γάρ; ὅς γε, ἃ δοκεῖ συνέχειν τὴν πολιτείαν, τὰ δικαστήρια, ταῦτα ἄκυρα ποιεῖ τῶν προστιμημάτων, τῶν

[1] οἶομαι

ΚΑΤΑ ΤΙΜΟΚΡΑΤΟΥΣ ΛΟΓΟΣ] ΠΑΡΑΝΟΜΩΝ addunt Aug. et Vindob. TAYLOR.

ά. Τάχα] *Fortassis*, Wolfius. Immo *mox*. JURIN.

Ἀποτρέψομαι] Wolfius ita conjungit: πρὸς ὑμᾶς εἰπεῖν οὐκ ἀποτρέψομαι: ut ex ejus Interpretatione liquet. Melius certe, ut scribi admonemur in margine Benenati, ὃ μέγιστον ἔχω καὶ προχειρότατον πρὸς ὑμᾶς εἰπεῖν, [τοῦτο sc.] οὐκ ἀποκρύψομαι. Ita infra §. κζ'. καὶ γὰς εἰ φορτικώτερον εἶναι τὸ ῥηθησόμενον δόξει, λέξω, καὶ οὐκ ἀποκρύψομαι. Et pariter, juxta orationem exeuntem, §. μς'. Ὅ τοίνυν ἔμοιγε δοκεῖ μάλιστ' ὀργῆς ἄξιον εἶναι, φράσω, καὶ οὐκ ἀποκρύψομαι. Rursus peccatur in hoc vocabulo, idque in hac ipsissima Oratione, §. ιθ'. post med. τοῦτο τοίνυν οὗτοσὶ Τιμοκράτης ἀναιδῶς καὶ οὐδ' ἀποκρυψάμενος πεποίηκε, γράψας διαῤῥήδην κ. τ. λ. Vulgo ἀποκρουσάμενος. TAYLOR.

Οὐκ ἀποτρέψομαι] Sub. τοῦ λέγειν, *non deterrebor a dicendo*. AUGER.

Ποιεῖ τοῦ μηδενὸς ἀξίαν] Puto: ποιεῖται μηδενὸς ἀξίαν. JURIN.

Ποιεῖ] Ταῦτα ἄκυρα ποιεῖ τῶν προστιμημάτων. Sic distinguatur hic locus. ἃ — ταῦτα inter se cohærent, quorum posterius κατὰ πλεονασμὸν accedit. WOLF. Di-

ἐπὶ τοῖς ἀδικήμασιν ἐκ τῶν νόμων ὡρισμένων —, ἀλλ' ἵνα τῶν πολὺν χρόνον ὑμᾶς τινὲς ἐκκεκαρπωμένων, καὶ πολλὰ τῶν ὑμετέρων διηρπακότων, μηδ' ἃ κλέπτοντες φανερῶς ἐλήφθησαν, καταθῶσι. καὶ τοσούτῳ ῥᾷόν ἐστιν ἰδίᾳ τινὰς θεραπεύειν, ἢ τῶν ὑμετέρων δικαίων προΐστασθαι, ὥστε οὗτος μὲν ἔχει παρ' ἐκείνων ἀργύριον, καὶ οὐ πρότερον
701 τοῦτον εἰσήνεγκεν ὑπὲρ αὐτῶν τὸν νόμον· ἐμοὶ δ' ἐν χιλίαις ὑπὲρ ὑμῶν ἐστ' ὁ κίνδυνος. [1]τοσοῦτ' ἀπέχω τοῦ λαβεῖν τι παρ' ὑμῶν.

β'. Εἰώθασι μὲν οὖν οἱ πολλοὶ τῶν πράττειν τι προαιρουμένων τῶν κοινῶν, λέγειν, ὡς ταῦθ' ὑμῖν σπουδαιότατ' ἐστὶ, καὶ μάλιστ' ἄξιον προσέχειν τούτοις [2]τὸν νοῦν, ὑπὲρ ὧν ἂν αὐτοὶ τυγχάνωσι ποιούμενοι τοὺς λόγους· ἐγὼ δ', εἴπερ τινὶ τοῦτο καὶ ἄλλῳ προσηκόντως εἴρηται, νομίζω κἀμοὶ νῦν ἁρμόττειν εἰπεῖν. τῶν γὰρ ὄντων ἀγαθῶν τῇ πόλει, καὶ τοῦ δημοκρατουμένην καὶ ἐλευθέραν εἶναι, ὡς ἄλλο τι τῶν νόμων αἰτιώτερόν ἐστιν, οὐδ' ἂν ἕνα εἰπεῖν [3]οἶμαι. περὶ τοίνυν αὐτοῦ τούτου νῦν ὑμῖν ἐστὶ σκεπτέον, πότερον δεῖ τοὺς μὲν ἄλλους νόμους, οὓς ἐπὶ τοῖς ἀδικοῦσι τὴν πόλιν ὑμεῖς ἀνεγράψατε, ἀκύρους εἶναι, τόνδε δὲ κύριον, ἢ τοὐναντίον, τοῦτον μὲν λῦσαι, κατὰ χώραν δὲ μένειν τοὺς ἄλλους ἐᾶν.

γ'. Τὸ μὲν οὖν πρᾶγμα, περὶ οὗ δεῖ νῦν ὑμᾶς γνῶναι, ὡς ἐν κεφαλαίῳ [4]τίς ἂν εἴποι, τοῦτ' ἐστίν. ἵνα δ' ὑμῶν

[1] τοσοῦτον [2] [τὸν νοῦν] [3] οἶομαι [4] τις

stinctio Wolfiana proba est, eamque in Textum nostrum recepimus. Confirmat Ulpianus in scholiis non longe ab initio: διὰ τοῦτο ἐπήγαγεν εἰπὼν, ὅτι ἄκυρα ποιεῖ τῶν προστιμημάτων τὰ δικαστήρια. τουτέστιν, οὐκ ἐᾷ κυρίαν γενέσθαι τὴν ψῆφον τὴν τοῦ δεσμοῦ. Ita passim in hac ipsa Oratione. §. κά. Οὐ τοίνυν ἀπέχρησεν αὐτῷ τὰ δικαστήρια ἄκυρα ποιῆσαι τῶν προστιμημάτων, ἀλλὰ — Et §. κζ'. Οὐ τοίνυν τὰ δικαστήρια ἄκυρα μόνον ποιεῖ τῶν προστιμημάτων, ἀλλὰ — Et §. μδ'. οὐ γὰρ τοῦτ' ἔθηκεν, ἀλλ' ὅπως ὑμεῖς ἄκυροι τῶν προστιμημάτων γενήσεσθε. Hæc autem ideo a me dicuntur, quoniam nonnulli ita inconsiderate distinxerant: ὅς γε, ἃ δοκεῖ συνέχειν τὴν πολιτείαν, τὰ δικαστήρια, ταῦτα ἄκυρα ποιεῖ, τῶν προστιμημάτων τῶν ἐπὶ τοῖς ἀδικήμασιν ἐκ τῶν νόμων ὡρισμένων, non plane nullo sensu, sed a mente Scriptoris alieno. Cæterum Wolfius locum negligenter vertit. Potius: *nam id qui fieri queat? cum tribunalibus, quæ remp. continere judicantur, potestatem eripiat earum mulctarum irrogandarum, quæ criminibus juxta leges debentur.* Taylor.

Κἂν τοσούτῳ ῥᾷον] *Cum interim proclivius sit quosdam privatim colere, quam jura vestra tueri et defensitare.* Est enim προΐσταμαι, τὸ, ἔμπροσθεν ἵσταμαι καὶ βοηθῶ τοῖς ὄπισθεν. ut υ. στεφ. etiam dictum est. *Ex edit.* Hervag.

β'. Εἰώθασι κ. τ. λ.] Lege quæ habet Hermogenes ad isti'd caput Πῶς κοινὰ διανοήματα ἰδιώσομεν. Taylor.

Τοῦτον μὲν λῦσαι] Ita, ex plurium Exemplarium auctoritate, Aldus, quem expresserunt Wolfianæ Editiones, τοῦτο. Infeliciter. Idem. Auger.

μηδεὶς θαυμάζῃ, τί δή ποτ' ἐγὼ μετρίως, ὥς γ' ἐμαυτὸν πείθω, τὸν ἄλλον χρόνον βεβιωκὼς, νῦν ἐν ἀγῶσι καὶ γραφαῖς δημοσίαις ἐξετάζομαι, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν. ἔσται δὲ ταῦτα οὐκ ἀπὸ τοῦ πράγματος. ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ πονηρῷ, καὶ φιλαπεχθήμονι, καὶ θεοῖς ἐχθρῷ, ᾧ τελευτῶσα προσέκρουσεν ἡ πόλις [1]ὅλη, Ἀνδροτίωνα λέγω. καὶ τοσούτῳ δεινότερα Εὐκτήμονος ἠδικήθην ὑπ' αὐτοῦ, ὥσθ' ὁ μὲν Εὐκτήμων εἰς χρήματά ἐσθ' ἃ κακῶς ἔπαθεν· ἐγὼ δ', εἰ κατώρθωσεν ἐκεῖνος ἢν ἐπ' ἐμ' ἦλθεν ὁδὸν, οὐχ ὅτι τῶν ὄντων ἀπεστερή- 702
μην ἂν, ἀλλ' οὐδ' ἂν ἔζην, οὐδ' ὃ κοινὸν ἅπασίν ἐστιν, ἀπαλλαγῆναι τοῦ βίου, ῥᾴδιον ἦν [2]ἄν μοι. αἰτιασάμενος γάρ με, ἃ καὶ λέγειν ἂν τις ὀκνήσειεν εὖ φρονῶν, τὸν ἐμαυτοῦ πατέρα ὡς ἀπέκτονα, καὶ ἀσεβείας γραφὴν κατασκευάσας, εἰς ἀγῶνα κατέστησεν. ἐν δὲ τούτῳ τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταλαβὼν, ὤφλε χιλίας· ἐγὼ δ', ὥσπερ ἦν δίκαιον, μάλιστα μὲν διὰ τοὺς θεοὺς, ἔπειτα δὲ καὶ διὰ τοὺς δικάζοντας ὑμῶν, ἐσώθην. τὸν δὴ εἰς τοιαῦτα καταστήσαντά με ἀδίκως, ἀδιάλλακτον ἐχθρὸν ἡγούμην. ἰδὼν δὲ ἠδικηκότα κοινῇ πᾶσαν τὴν πόλιν, καὶ περὶ τὴν εἴσπραξιν τῶν εἰσφορῶν, καὶ περὶ τὴν ποίησιν τῶν πομπείων, καὶ χρήματα πολλὰ τῆς θεοῦ, καὶ τῶν ἐπωνύμων, [3]καὶ τῆς πόλεως ἔχοντα, καὶ οὐκ ἀποδιδόντα, ἦλθον ἐπ' αὐτὸν μετὰ Εὐκτήμονος, ἡγούμενος ἁρμόττοντα εἰληφέναι καιρὸν τοῦ βοηθῆσαί θ' ἅμα τῇ πόλει, καὶ τιμωρίαν ὑπὲρ ὧν ἐπεπόνθειν λαβεῖν. βουλοίμην δ' ἂν ἐμέ τε τυχεῖν ὧν βούλομαι, τοῦτόν τε παθεῖν ὧν ἄξιός ἐστι.

δ'. Τοῦ δὲ πράγματος οὐκ ἔτι ὄντος ἀμφισβητησίμου, ἀλλὰ πρῶτον μὲν τῆς βουλῆς κατεγνωκυίας, εἶτα του δήμου μίαν ἡμέραν ὅλην ἐπὶ τούτοις αὐτοῖς ἀναλώσαντος, πρὸς δὲ τούτοις, δικαστηρίοιν δυοῖν εἰς ἕνα καὶ χιλίους ἐψη-

[1] ὅλη προσέκρουσεν ἡ πόλις

[2] ἂν ἐμοί.

[3] [καὶ]

γ'. Προσέκρουσα ἀνθρώπῳ πονηρῷ] "Προσκρούειν τινὶ, *in odio alicujus esse, alicui inimicum.*" D'Orville ad Charit. Aphrod. Lib. IV. cap. VI. p. 414. V.

Κατέστησεν] De hac voce vide D'Orville ad Charit. Aphrod. Lib. V. cap. VI. p. 466.

δ'. Τοῦ δὲ πράγματος] Videntur quædam deesse. Hæc enim ex abrupto adduntur. Wolf. Imo τοῦ γάρ: γὰρ, ut sæpissime est signum sermonis vel narrationis alicujus quæ incipit. Auger.

Ἐψηφισμένων] Ἐψηφισμένοιν malit Lambinus. Taylor.

φισμένων, ἐνούσης δὲ οὐδεμιᾶς ἔτι ἀποστροφῆς τοῦ μὴ τὰ χρήματ' ἔχειν ὑμᾶς, Τιμοκράτης οὑτοσὶ τοσοῦτον ὑπερεῖδεν ἅπαντα τὰ πράγματα, ὥστε τίθησι τουτονὶ τὸν νόμον, δι'
703 οὗ τῶν ἱερῶν μὲν χρημάτων τοὺς θεούς, τῶν ὁσίων δὲ τὴν πόλιν ἀποστερεῖ, ἄκυρα δὲ τὰ γνωσθέντα ὑπὸ τῆς βουλῆς καὶ τοῦ δήμου καὶ τοῦ δικαστηρίου καθίστησιν, ἄδειαν δὲ τὰ κοινὰ διαρπάζειν τῷ βουλομένῳ πεποίηκεν. ὑπὲρ δὴ τούτων ἁπάντων λύσιν ταύτην εὑρίσκομεν οὖσαν μόνην, εἰ γραψάμενοι τὸν νόμον, καὶ εἰσαγαγόντες εἰς ὑμᾶς, λῦσαι δυνηθείημεν.

ε. Ἐξ ἀρχῆς οὖν ἐν βραχέσι τὰ πραχθέντα δίειμι πρὸς ὑμᾶς, ἵνα μᾶλλον μάθητε καὶ παρακολουθήσητε τοῖς περὶ τὸν νόμον αὐτὸν ἀδικήμασι. ψήφισμα εἶπεν ἐν ὑμῖν Ἀριστοφῶν, ἑλέσθαι ζητητάς. εἰ δέ τις οἶδε τινὰ, ἢ τῶν ἱερῶν, ἢ τῶν ὁσίων χρημάτων ἔχοντά τι τῆς πόλεως, μηνύειν πρὸς τούτους. μετὰ ταῦτα ἐμήνυσεν Εὐκτήμων ἔχειν Ἀρχέβιον καὶ Λυσιθείδην τριηραρχήσαντας χρήματα [1] Ναυκρατητικὰ, τίμημα τάλαντα ἐννέα, καὶ τριάκοντα μνᾶς. προσῆλθε τῇ βουλῇ· προβούλευμα ἐγράφη. μετὰ ταῦτα γενομένης ἐκ-

[1] ναυκρατιτικὰ

Ἐνούσης δὲ οὐδεμιᾶς — ἔχειν ὑμᾶς] Ἀντὶ τοῦ, ἀπολαβεῖν παρὰ τῶν ὀφειλόντων. Wolf.

Ὁσίων] Vid. Ammonium, ibique eruditissimum Valckenaerum, et ea, quæ annotavimus ad Æschinem pag. 18. κ. Τιμάρχ. Taylor.

Τοῦ δικαστηρίου] Conjeci olim τοῖν δικαστηρίοιν. Ecce autem Vindob. eodem animo τῶν δικαστηρίων. Modo mallem ἄδειαν δὲ τοῦ τὰ κοινὰ διαρπάζειν. Idem.

Λῦσαι] *Refutare* Wolfius. Ingeniose satis! Quasi *refutanda*, et non potius *abroganda* esset Lex Timocratis hac contentione. Idem.

ε. Ψήφισμα εἶπεν ἐν ὑμῖν Ἀριστοφῶν, ἑλέσθαι ζητητὰς] *Aristophon tulit ad populum, populusque scivit, quæsitores residuarum pecuniarum creari, apud quos, ut quisque quempiam noverit quippiam residuæ habere pecuniæ, aut sacræ, aut publicæ, ita deferre primo quoque tempore debeat.* ὅσια ergo quidam intelligunt *publica*, non tamen *sacra*, et recte, ut ex hoc loco apparet. Et alibi, τὴν ἱερὰν διοίκησιν καὶ τὴν ὁσίαν intellexit *administrationem sacrarum publicarumque rerum. Ex edit.* Hervag.

Ναυκρατητικὰ] An ita, an potius ναυκρατικὰ scribendum, (nam utroque modo in MStis reperitur, non Demosthenis modo, verum etiam Ulpiani et Harpocrationis) hodie non definio. Insedit olim et alia lectio, sed quæ in nostros Codices non se extendit, neque se extendere debuit, ναυκραρικὰ sc. ut discimus ex Harpocratione. Ναυκραρικά. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους, μή ποτε βέλτιον φέρεται ἐπὶ τοῖς Ἀττικιανοῖς Ναυκρατικὰ (Cod. MS. Bibl. Reg. Cant. Cod. item Iacob. Ναυκρατητικὰ) ἵν' ᾖ ἀπὸ Ναυκρατικοῦ (Ναυκρατητικοῦ MSS.) πλοίου, ἢ Ναυκρατιτῶν ἐμπλεόντων. ἡ γὰρ Ναύκρατις τὸ παλαιὸν ἐμπόριον ἦν τῆς Αἰγύπτου. Ἐὰν δὲ ᾖ Ναυκραρικὰ, εἴη ἂν τὰ τῶν ἀρχόντων· Ναυκράρους γὰρ τὸ παλαιὸν τοὺς ἄρχοντας ἔλεγον. Vide Maussac. ad loc. et H. Steph. Thes. L. Gr. T. II. col. 1002. P. Leopard. Emend. VII. 19. Poll. l. VIII. c. IX. Taylor. Controversia est inter doctos quomodo hic legi debeat. Ego admitto ναυκρατητικὰ, nempe, *pecunias in nave Ægyptiaca captas.* Ναύκρατις erat mercatus Ægyptiacus. Auger.

κλησίας, προὐχειροτόνησεν ὁ δῆμος. ἀναστὰς Εὐκτήμων ἔλεγεν ἄλλα τε πολλὰ καὶ διεξῆλθε πρὸς ὑμᾶς, ὡς ἔλαβεν ἡ τριήρης τὸ πλοῖον, ἡ Μελάνωπον ἄγουσα, καὶ Γλαυκέτην, καὶ Ἀνδροτίωνα, πρεσβευτὰς ὡς Μαύσωλον· ὡς ἔθεσαν τὴν ἱκετηρίαν, ὧν ἦν τὰ χρήματα, ἄνθρωποι· ὡς [1]ἐπεχειροτονήσαθ' ὑμεῖς μὴ φίλια εἶναι. τότε ἀνέμνησεν [2]ὑμᾶς τοὺς νόμους, οὓς ἀνεγνώκατε, καθ' οὓς, τοῦτον τὸν τρόπον πραχθέντων, τῆς πόλεως γίγνεται τὰ χρήματα. ἐδόκει δίκαια λέγειν ὑμῖν ἅπασιν. ἀνατηδήσας [3]Ἀνδροτίων, καὶ Γλαυκέτης, καὶ Μελάνωπος, — καὶ ταῦτα σκοπεῖτε ἂν 704
ἀληθῆ λέγω —, ἐβόων, ἠγανάκτουν, ἐλοιδοροῦντο, ἀπέλυον τοὺς τριηράρχους, ἔχειν [4]ὡμολόγουν, παρ' ἑαυτοῖς ζητεῖν ἠξίουν τὰ χρήματα. ταῦτ' ἀκουσάντων ὑμῶν, ἐπειδή ποτ' ἐπαύσανθ' οὗτοι θορυβοῦντες, ἔδοκε γνώμην Εὐκτήμων ὡς δυνατὸν δικαιοτάτην, ὑμᾶς μὲν εἰσπράττειν τοὺς τριηράρχους, ἐκείνοις δ' εἶναι περὶ [5]αὐτῶν εἰς τοὺς ἔχοντας ἀναφοράν,

[1] ἀπεχειροτονήσαθ' [2] ὑμᾶς, τοὺς νόμους ἀνέγνω, [3] * δ' Ἀνδροτίων
[4] ὡμολόγουν παρ' ἑαυτοῖς, ζητεῖν [6] αὐτῶν

Προὐχειροτόνησεν ὁ δῆμος] S. τὸν Εὐκτήμονα. Wolf. Decipitur bonus Wolfius et annotando et interpretando. Cod. Ital. habet προὐχειροτόνησε καὶ διεσκέψατο. Id quid sibi velit, docebit Harpocratio, unaque ritum, de quo agitur, explicabit. Προχειροτονία. ἔοικεν Ἀθήνησι τοιοῦτό τι γίγνεσθαι. Ὁπόταν τῆς βουλῆς προβουλευσάσης εἰσφέρηται εἰς τὸν δῆμον ἡ γνώμη, πρότερον γίνεται χειροτονία ἐν τῇ ἐκκλησίᾳ, πότερον δοκεῖ περὶ τῶν προβουλευσάντων (lege cum Cod. Biblioth. Iacob. προβουλευθέντων) σκέψασθαι τὸν δῆμον, ἢ ἀρκεῖ τὸ προβούλευμα. Taylor. Cum Senatus aliquod decretum fecerat, populus consultabat, utrum decretum statim esset admittendum, vel perpendendum in concione, et hoc dicebatur προχειροτονία. Auger.

Οὓς ἀνεγνώκατε] Utraque vox mendosa. Deest prior in Bar. et Vindob. In aliis pro ἀνεγνώκατε legitur ἀνέγνω. Corrige igitur totum locum ad hanc normam: τότε ἀνέμνησεν ὑμᾶς· τοὺς νόμους ἀνέγνω, καθ' οὓς — τῆς πόλεως γίγνεται τὰ χρήματα. tum vos admonuit: leges recitavit, quibus etc. Ita Cod. Ital. et similiter fere Vindob. Taylor. L. ταῦτα ἀνέμνησεν ὑμᾶς καὶ τοὺς νόμους ἀνέγνω καθ' οὓς etc. Auger.

Τοῦτον τὸν τρόπον πραχθέντων] Sub. τῶν πραγμάτων, vel εἰσπραχθέντων τῶν χρημάτων, vel πραθέντων τῶν ἐκ τοῦ πλοίου. Wolf.

Ἔχειν ὡμολόγουν] Nonne ἑαυτοὺς ἔχειν ὡμολόγουν? Jurin. In Editorum nonnullis: ἀπέλυον τοὺς τριηράρχους· ἔχειν ὡμολόγουν παρ' ἑαυτοῖς· ζητεῖν ἠξίουν τὰ χρήματα. Et Wolfius ad istum ritum olim interpretabatur; *absolvunt trierarchos, ipsi apud se habere fatentur, quæri pecuniam postulant.* Taylor.

Ἔδοκε γνώμην — ὑμᾶς μὲν εἰσπράττειν τοὺς τριηράρχους] *Censuit ille, vos quidem de illa pecunia Trierarchos appellare debere, et cum ipsis experiri. Ipsis autem Trierarchis eo nomine subsidiariam esse in eos petitionem, ad quos pecunia pervenit. Quod si ea de re controversia suboriatur, judicium inter eos ita constituere, ut qui in eo judicio victus fuerit, in eum mulcta dicatur reipub.* Est autem ἀναφορὰ, jus referendæ quæstionis adversus alium quempiam, quam quo cum judicium prius agitatum est. *Recursum salvum* forensis turba vocat, id est, jus referendi controversiam non victori, sed alii. Interpres Demosthenis eo in loco διαδικασίας nomen certæ actionis esse dicit, quod mihi non satis probabile visum est. Demosthenes διαδικασίαν et ἐπιδικασίαν pro eodem accepit πρὸς Μακάρτ. hoc est, pro *petitione hæreditatis, et bonorum possessione petita.* Bud. *Ex edit.* Hervag.

Περὶ αὐτῶν] Ita, pro vulgato περὶ αὐ-

ἐὰν δὲ ἀμφισβητῆταί τι, ποιεῖν διαδικασίαν, τὸν δὲ ἡττηθέντα, τοῦτον ὀφείλειν τῇ πόλει. γράφονται τὸ ψήφισμα, εἰς ὑμᾶς εἰσῆλθεν, ἵνα συντέμω, κατὰ τοὺς νόμους ἔδοξεν εἰρῆσθαι, καὶ ἀπέφυγεν. ἐνταῦθα τί προσῆκε; τὰ μὲν χρήματα ἔχειν τὴν πόλιν, τὸν δ' ἀποστεροῦντα κολάζειν· νόμου δ' οὐδενὸς οὐδ' ὁτιοῦν προσέδει δήπου. μέχρι μὲν δὴ τούτων, οὐδὲν ἠδίκησθ' ὑπὸ Τιμοκράτους τουτουί· μετὰ ταῦτα δὲ, πάντα γ' ἀνεδέξατο ἐφ' ἑαυτὸν τὰ προειρημένα, καὶ πάντα ἠδικημένοι φανήσεσθε ὑπὸ τοῦτου. ταῖς γὰρ ἐκείνων τέχναις καὶ πανουργίαις μισθώσας αὑτὸν καὶ παρασχὼν ὑπηρέτην, ἐφ' αὑτὸν ἤγαγε τἀδικήματα, ὡς ἐγὼ σαφῶς ὑμῖν ἐπιδείξω. ἀνάγκη δὲ πρῶτον ὑπομνῆσαι τοὺς χρόνους ὑμᾶς, καὶ τὸν καιρὸν, ἐν ᾧ τίθησι τὸν νόμον· καὶ γὰρ ὑβριστικῶς προσεκκεχλευακὼς ὑμᾶς φανήσεται. ἦν μὲν γὰρ Σκιροφοριὼν μὴν, ἐν ᾧ τὰς γραφὰς ἤττηντο ἐκεῖνοι, τὰς κατὰ τοῦ Εὐκτήμονος. μισθωσάμενοι δὲ τοῦτον, καὶ οὐδὲ παρεσκευασμένοι τὰ δίκαια ποιεῖν ὑμῖν, κατὰ τὴν ἀγορὰν λογοποιοὺς καθίεσαν, ὡς ἁπλᾶ μέν [1] εἰσιν
705 ἕτοιμοι τὰ χρήματα ἐκτίνειν, διπλᾶ δὲ, οὐ δυνήσονται. ἦν δὲ ταῦτα ἐνέδρα μετὰ χλευασίας, καὶ κατασκευασμὸς, ὑπὲρ τοῦ λαθεῖν τόνδε τὸν νόμον τεθέντα. μαρτυρεῖ δ' ὅτι ταῦθ' οὕτως ἔχει τοῦργον αὐτό. [2] τῶν γὰρ χρημάτων ἐν ἐκείνοις τοῖς χρόνοις δραχμὴν οὐ κατέθηκαν ὑμῖν, νόμῳ δ' ἑνὶ πλείους τοὺς ὑπάρχοντας ἀκύρους ἐποίησαν, καὶ τούτῳ τῶν πώποτε τεθέντων ἐν ὑμῖν αἰσχίστῳ καὶ δεινοτάτῳ.

ς'. Βούλομαι δὴ μικρὰ διεξελθὼν περὶ τῶν κειμένων νόμων, καθ' οὓς εἰσιν αἱ τοιαίδε γραφαὶ, περὶ αὐτοῦ τοῦ νόμου λέγειν, ὃν γέγραμμαι. γενήσεσθε γὰρ εὐμαθέστεροι πρὸς τὰ λοιπὰ, ταῦτα προακούσαντες. ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν τοῖς οὖσι νόμοις ὑμῖν κυρίοις διωρισμένα ἀκριβῶς καὶ σαφῶς πάνθ' ὅσα δεῖ ποιεῖν περὶ τῶν μελλόντων τεθήσεσθαι νόμων. καὶ πρῶτον [3] μὲν ἁπάντων, χρόνος ἐστὶν ἐγγεγραμμένος, ἐν ᾧ προσήκει νομοθετεῖν· εἶτ' οὐδὲ

[1] [εἰσιν]

[2] τῶν μὲν γὰρ χρ. ἐκείνοις

[3] μὲν, ἁπάντων χρόνος ἐστὶ γεγραμμένος

τὸν, fide Ald. Ven. Bar. Felic. Lindenbr. Par. etc. TAYLOR. Imo περὶ αὐτῶν, nempe, χρημάτων. AUGER.

Γράφονται τὸ ψήφισμα] Sub. τὸ Εὐκτήμονος οἱ πρεσβεύσαντες, Ἀνδροτίων καὶ οἱ λοιποί. WOLF.

Ἐν ἐκείνοις τοῖς χρόνοις] Ita lego. IDEM. Nam ab Impressis aberat τὸ ἐν. TAYLOR.

τόθ', ὡς ἂν ἑκάστῳ δοκῇ, δέδωκε πράττειν [1]τοῦτο, ἀλλὰ προστάττει πρῶτον μὲν ἐκθεῖναι πρόσθεν τῶν ἐπωνύμων γράψαντα, σκοπεῖν τῷ βουλομένῳ· μετὰ ταῦτα ἐπὶ πᾶσι τὸν αὐτὸν νόμον κελεύει [2]τιθέναι· πρὸς τούτοις, λύειν τοὺς ἐναντίους· ἄλλα, περὶ ὧν ἴσως [3]οὐδὲν κατεπείγει ὑμᾶς νῦν ἀκοῦσαι· ἐὰν δέ τις τούτων ἐν παραβῇ, τῷ βουλομένῳ δίδωσι γράφεσθαι. εἰ μὲν οὖν μὴ πᾶσιν ἦν ἔνοχος τούτοις Τιμοκράτης, καὶ παρὰ πάντα ταῦτα εἰσενηνόχει τὸν νόμον, ἓν ἂν αὐτοῦ τις ἐποιεῖτο κατηγόρημα, ὅ,τι δήποτε τοῦτ' ἦν· νῦν δ' ἀνάγκη καθ' ἕκαστον χωρὶς περὶ ἑκάστου διελόμενον λέγειν. πρῶτον [4]μέν, ὅπερ ἠδίκησε πρῶτον, τοῦτ' ἐρῶ, ὡς παρὰ πάντας τοὺς νόμους ἐνομοθέτει, εἶτα 706
τῶν ἄλλων ἑξῆς, ὅ,τι ἂν βουλομένοις ὑμῖν ἀκούειν ᾖ. καί μοι λάβε τουτουσὶ τοὺς νόμους, καὶ ἀνάγνωθι· φανήσεται γὰρ τούτων οὐδὲν πεποιηκώς. προσέχετε, ὦ ἄνδρες δικασταί, τὸν νοῦν ἀναγιγνωσκομένοις τοῖς νόμοις.

ΕΠΙΧΕΙΡΟΤΟΝΙΑ ΝΟΜΩΝ.

Ἐπὶ δὲ τῆς πρώτης πρυτανείας τῇ ἑνδεκάτῃ, ἐν τῷ δήμῳ, ἐπειδὰν εὐ-

[1] τοῦτο πράττειν [2] τιθέναι κελεύει [3] οὐδὲν ἴσως ὑμᾶς κατεπείγει [4] μὲν οὖν, ὅπερ

ς'. Ἦν ἔνοχος] Ita Codd. fere omnes. εἶν Bodl. In Editorum quibusdam suffocatur ἦν ante ἔνοχος. Mox v. 11. πρῶτον μὲν οὖν ex MSS. optimis et plurimis. Idem.

Νῦν δ' ἀνάγκη κ. τ. λ.] "Non intellectum sæpe quid sit διαιρεῖσθαι. Unde vix sensu *explicandi*, *disserendi* occurrit in auctoribus, quorum copia exaratorum librorum exstat, quin corruptum sit. Ap. Dem. Timocr. νῦν δ' ἀνάγκη κ. τ. λ. male acceptum pro *distinguere:* immo *disserere* vertendum erat. Ordo est λέγειν καθ' ἕκαστον χωρὶς, διελόμενον περὶ ἑκάστου: sic mihi videtur saltem. διελόντα est, *distinguentem.* vid. in Aristocrat. §. ιά. et ιθ'. tamen sæpe activum apud posteriores potes reddere *disserere*, vel *explicare.*" D'Orville ad Charit. Aphrod. Lib. VII. cap. VI. p. 645. V.

ΕΠΙΧΕΙΡΟΤΟΝΙΑ ΝΟΜΩΝ] Legem, quæ sequitur, expedite satis et enucleate interpretantur, cum Ulpianus in scholiis ad hunc locum, tum Sam. Petitus LL. Attic. Lib. II. Tit. I. Quod si nonnulla restent in hac Constitutione, quæ rudem et infirmum animum offendere possint, veluti quod vel prave repeti, vel minus apte cohærere, vel quovis demum modo parum expedita esse videantur, intelligendum est, hanc minime esse, ut olim judicabant, et hodie fortasse judicant, Legem continuo tenore allegatam; verum Auctorem nostrum, quæcunque in Tabulis publicis ad Legum ferendarum abrogandarumque ritum spectarent, huc fere contulisse omnia. Quæ cum uno quasi spiritu olim recitarentur, evenit, ut a Librariis uno deinceps et perpetuo ductu pariter describerentur. Simile aliquod arbitror me annotasse ad Æschinem contra Timarchum [pag. 12. Not. ult.] Hæc autem ita se habere, fidem facient, quæ sequuntur. Scribam enim excitaturus ad recitandum, ait: λάβε τουτουσὶ τοὺς νόμους, καὶ ἀνάγνωθι, v. 14. deinde judices ad animum advertendum: προσέχετε τὸν νοῦν ἀναγιγνωσκομένοις τοῖς νόμοις. v. 15. Facta demum recitatione, immediate subjungit, pag. 280. v. 24. οὗτοι πάντες οἱ νόμοι, et procedente paulo Oratione, pag. 283. v. pen. εἰδότα τοὺς νόμους, ὧν ὀλίγῳ πρότερον πάντες ἠκούσατε. Religionem hujus populi in Legg. suadendis abrogandisque attingit quoque

ἔηται ὁ κῆρυξ ἐπιχειροτονίαν ποιεῖν τῶν νόμων, πρῶτον μὲν περὶ τῶν βουλευτικῶν, δεύτερον δὲ περὶ τῶν κοινῶν, εἶτα οἱ κεῖνται τοῖς ἐννέα ἄρχουσιν, εἶτα τῶν ἄλλων ἀρχῶν· ἡ δ' ἐπιχειροτονία ἔστω ἡ προτέρα, ὅτῳ δοκοῦσιν [1] ἄρχειν οἱ νόμοι οἱ βουλευτικοί, ἡ δ' ὑστέρα, ὅτῳ μὴ δοκοῦσιν· εἶτα τῶν κοινῶν κατὰ ταὐτά. Τὴν δ' ἐπιχειροτονίαν εἶναι τῶν νόμων

[1] ἀρκεῖν

Demosthenes in Leptinea, ad hunc locum conferendus. Quanta autem ea fuerit religio, ut intelligere possimus, leges, quæ jam adducuntur, non gravabor liberiore quadam oratione, ea forma, qua mihi videntur esse digerendæ, hic describere: sc.

LEGUM RECENSIO,
sive
CAPITULA DE RITU LEGUM FERENDARUM.

Anno vertente, in prima populi concione, die sc. 11mo. *primi mensis, Hecatombæonis,* [Prytanea enim erat spatium 35. dierum, decima nempe pars anni, pro numero Tribuum, quæ seriatim ἐπεξυτάνευον: in singula autem Prytanea tres legitimas, sive solennes Conciones haberi mos erat, diebus sc. istius periodi 11mo. 20mo. et 30mo.] *quamprimum Præco solennia vota peregerit* [Vid. Æsch. c. Timarch. p. 18. v. 1.] *ad populum referunto de Legibus: Primum de iis, quæ spectant ad Senatum, deinde quæ ad communem Reip. statum, novissime vero, quæ ad Magistratus. Roganto autem priore loco, an sufficiant Leges, quæ de Senatu sunt, deinde an non sufficiant; atque eodem ritu deinceps de cæteris.*

Rogatio de legibus ferendis abrogandisve eodem more rituque celebrator, qui hodie in cæteris rogationibus lege obtinet.

Si, populi voluntate explorata, visum erit aliquas leges abrogatum iri, novarum ferendarum hic ritus esto: Prytanes, quorum sub præfectura ea abrogatio placebit, necessario providento, ut de tribus concionibus in eorum Prytanea habendis, postrema celebretur de iis legibus examinandis perspiciendisque, quas populo videbatur abrogare: Proedri autem, qui in ista tertia concione fuerint, [Quinquaginta enim Prytanes in quinque decurias distinguebantur: Decem viri autem illi uniuscujusque manipuli Proedri vocabantur. Cum vero in singula Prytanea tot essent hebdomades, quot erant istiusmodi Decuriæ, unusquisque Xviratus sua hebdomade imperitabat, unusquisque vir suo die, is erat Epistates. Unde eveniret, ut tres ex unaquaque Proedria ad summam rerum non admoverentur] *sacris peractis statim necessario ad populum referunto de Nomothetis sortito deligendis, de Legibus ad eorum curam et arbitrium deferendis, denique de stipendio iis persolvendo.*

Nemo ad Nomothetæ munus admittatur, qui non fuerit ex ordine numeroque eorum, qui in Heliæa judiciis præsint, et jusjurandum præstiterit ab iis judicibus exigi solitum.

Si Prytanes secus fecerint, neque concionem celebrarint juxta formam in legibus præscriptam, aut si Proedri juxta formam non retulerint, mulctator Prytanum unusquisque mille drachmis, Minervæ consecrandis: Proedrorum vero unusquisque quadraginta similiter. Eorumque deinde nomina ad Thesmothetas deferre fas esto, eodem modo, uti quis quem detulerit, qui magistratum gesserit, quando fisco publico ærarius fiet. Thesmothetæ vero litem legitimam contra eos instituunto, juxta leges de delationibus. Si secus fecerint, a Senatu Areopagitico excluduntor, quemadmodum excluduntur ii, qui legum emendationem labefactaverint.

Ante diem Concionis habendæ, quicunque Atheniensium legem novam ferre voluerit, legem istam legesve, quas rogaturus est, describito: descriptas ad Statuas Eponymorum [Erant hi Heroes, quorum nomine singula Tribus designabatur] *publice proponito. Ita ut perspecto numero legum ibi prostantium, Populus pro rata decernat, quantum temporis Nomothetis ad munus suum exsequendum concedi fas sit.*

Alia Constitutio aliunde sumta de eodem ritu:

Quicunque novam legem rogare voluerit, eam is in Album describito, et publicato ad Statuas Eponymorum, de die in diem, usquedum habita fuerit Concio de ista lege deliberatura.

Prima Concione, qui erit dies Hecatombæonis 11^{mus} *Viviri eliguntor ex omni Atheniensium populo; iique patroni sunto earum legum, de quibus retinendis abrogandisve ad Nomothetas relatio facta fuerit.*

Atque hæc quidem hactenus: cætera currente rota annotabimus. TAYLOR. Vid. Vol. II. p. 392.

Εἶτα οἱ κεῖνται] Sub. εἶτα περὶ τούτων οἱ κεῖνται. Deinde εἶτα περὶ τῶν ἄλλων, et v. ult. εἶτα περὶ τῶν κοινῶν. AUGER.

Εἶτα τῶν ἄλλων ἀρχῶν] Forte εἶτα περὶ τῶν, et [v. ult.] εἶτα περὶ τῶν κοινῶν. WOLF.

Κατὰ ταὐτὰ] Perperam Wolfius κατὰ ταῦτα. Corrige ταὐτὰ cum MSS. TAYLOR.

κατὰ τοὺς νόμους τοὺς κειμένους. Ἐὰν δὲ τινες τῶν νόμων τῶν κειμένων ἀποχειροτονηθῶσι, τοὺς πρυτάνεις, ἐφ' ὧν ἂν ἡ ἐπιχειροτονία γένηται, ποιεῖν περὶ τῶν ἀποχειροτονηθέντων τὴν τελευταίαν τῶν τριῶν ἐκκλησιῶν· τοὺς δὲ προέδρους, οἳ ἂν [1]τύχωσι προεδρεύοντες ἐν ταύτῃ τῇ ἐκκλησίᾳ, χρηματίζειν ἐπάναγκες, πρῶτον μετὰ τὰ ἱερὰ περὶ τῶν νομοθετῶν, καθ' [2]ὅτι καθεδοῦνται, καὶ περὶ ἀργυρίου, ὁπόθεν τοῖς νομοθέταις ἔσται. Τοὺς δὲ νομοθέτας εἶναι ἐκ τῶν ὀμωμοκότων τὸν Ἡλιαστικὸν ὅρκον. Ἐὰν δ' οἱ πρυτάνεις μὴ ποιῶσι κατὰ τὰ [3]γεγραμμένα τὴν ἐκκλησίαν, ἢ οἱ πρόεδροι μὴ χρηματίσωσι [4]κατὰ τὰ γεγραμμένα, ὀφείλειν τῶν μὲν πρυτανέων ἕκαστον χιλίας δραχμὰς ἱερὰς τῇ Ἀθηνᾷ, τῶν δὲ προέδρων ἕκαστος ὀφειλέτω 707
τετταράκοντα δραχμὰς ἱερὰς τῇ Ἀθηνᾷ· καὶ ἔνδειξις αὐτῶν ἔστω πρὸς τοὺς θεσμοθέτας, καθάπερ ἐάν τις ἄρχῃ ὀφείλων τῷ δημοσίῳ. οἱ δὲ θεσμοθέται τοὺς ἐνδειχθέντας εἰσαγόντων εἰς τὸ [5]δεσμωτήριον κατὰ τὸν νόμον, ἢ μὴ ἀνιόντων εἰς Ἄρειον πάγον, ὡς καταλύοντες τὴν ἐπανόρθωσιν τῶν νόμων. Πρὸ δὲ τῆς ἐκκλησίας ὁ βουλόμενος Ἀθηναίων [6]νομοθετεῖν, ἐκτιθέτω πρόσθεν τῶν ἐπωνύμων γράψας τοὺς νόμους, οὓς ἂν τίθῃ· ὅπως ἂν, πρὸς τὸ πλῆθος τῶν [7]ἐκτεθέντων νόμων, ψηφίσηται ὁ δῆμος περὶ τοῦ χρόνου τοῖς νομοθέταις.

Ὁ δὲ τιθεὶς τὸν καινὸν νόμον, ἀναγράψας εἰς λεύκωμα, ἐκτιθέτω πρόσθεν τῶν ἐπωνύμων ὁσημέραι, ἕως ἂν ἐκκλησία γένηται. Αἱρεῖσθαι δὲ καὶ τοὺς συναπολογησομένους [8]τῶν δήμων τοῖς νόμοις, οἳ ἂν ἐν τοῖς νομοθέταις λύωνται, πέντε ἄνδρας ἐξ Ἀθηναίων ἁπάντων, τῇ ἑνδεκάτῃ τοῦ Ἑκατομβαιῶνος μηνός.

ζ'. Οὗτοι πάντες οἱ νόμοι κεῖνται πολὺν ἤδη χρόνον, ὦ ἄνδρες δικασταί, καὶ πεῖραν αὐτῶν πολλάκις δεδώκασιν, ὅτι συμφέροντες ὑμῖν εἰσί, καὶ οὐδεὶς πώποτε μὴ οὐ καλῶς ἔχειν [9]ἀντεῖπεν αὐτούς. εἰκότως. οὐδὲν γὰρ ὠμὸν, οὐδὲ

[1] τυγχάνωσι [2] ὅ,τι κ., κ. τ. τοῦ ἀργ. [3] πεογεγραμμένα [4] [κατὰ τὰ γεγραμμένα]
[5] δικαστήριον [6] [νομοθετεῖν] [7] τεθέντων [8] τὸν δῆμον
[9] ἀντεῖπε μὴ οὐ καλῶς ἔχειν

Lege *κατὰ ταὐτὰ*, *eodem ritu*. AUGER.

Ἐπιχειροτονία] Loci ratio omnino postulat ἀποχειροτονία. Ecce: Ἐάν τινες τῶν νόμων ἀποχειροτονηθῶσι, τοὺς πρυτάνεις, ἐφ' ὧν ἡ ἀποχειροτονία γένηται, ποιεῖν περὶ τῶν ἀποχειροτονηθέντων κ. κ. τ. λ. *Si contingat, ut aliquæ leges* improbentur, *Prytanes* [male et indistincte Wolfius *Senatores*], *quorum in magistratu* improbabuntur, *concionem indicant de legibus ita* improbatis. Hanc lectionem tuentur Codd. Ven. Lind. Bodl. Aug. Ital. et Vindob. TAYLOR.

Χρηματίζειν] *Respondeant* Wolfius, et hic et infra sæpius. Potius: *referant*, vel, *dicendi potestatem faciant*. JURIN.

Τοὺς δὲ νομοθέτας εἶναι ἐκ τῶν ὀμωμοκότων τὸν Ἡλιαστικὸν ὅρκον] Id est, δικαστικόν. nam ut ἡλιάζεσθαι non solum *apricari* significat, sed etiam ἐν τῇ Ἡλιαίᾳ δικάζειν (Ἡλιαία γὰρ τὸ μέγιστον δικαστήριον Ἀθήνησι, quod sic dictum est, quia sub dio apricantes judices sedebant) ita Ἡλιαστὴς ἀντὶ τοῦ δικαστὴς, et Ἡλιαστικὸς ὁ δικαστικός. Erat autem maximum judicium Athenis, ut *subsellia* Romæ. In eo enim judicia publica exercebantur. Idem infra in eadem, καθάπερ ἐάν τις ὀφείλων τῷ δημοσίῳ, ἡλιάζεται, id est, *inter judices magni judicii sedeat*, etc. *Ex edit.* HERVAG.

Εἰσαγόντων εἰς τὸ δεσμωτήριον] Τὸ ἀπάγειν εἰς τὸ δεσμωτήριον usitate dicitur, idque τῶν ἕνδεκα munus fuit: εἰσάγειν εἰς τὸ δικαστήριον, quod τῶν Θεσμοθετῶν. WOLF. Recte distinguit Vir eruditus inter munus Lictoris et Thesmothetæ. Tu ergo in posterum lege, εἰσαγόντων εἰς τὸ δικαστήριον, ad *judicium* nempe, non ad *supplicium*, ut legendum præcipiunt MSti, Aldini, Bar. Reg. α. Linden. Ital. Vind. Aug. cum impressis a Manutio et Feliciano. TAYLOR. Imo δικαστήριον. AUGER. Vid. D'Orville ad Charit. Aphrod. Lib. V. cap. IV. p. 456.

Ἢ μὴ ἀνιόντων εἰς Ἄρειον πάγον] Sub. οἱ θεσμοθέται: de quibus vide argumentum Androtianæ, p. 145. WOLF.

Τῶν δήμων] Rectius aliquanto τὸν δῆμον. Sc. αἱρεῖσθαι τὸν δῆμον τοὺς συναπολογησαμένους, prout habetur in Ven. Aug. Ital. atque uti divinavit Lambinus. TAYLOR. AUGER.

βίαιον, οὐδ' ὀλιγαρχικὸν προστάττουσιν, ἀλλὰ τοὐναντίον, πάντα φιλανθρώπως καὶ δημοτικῶς φράζουσι πράττειν. καὶ πρῶτον μὲν ἐφ' ὑμῖν ἐποίησαν διαχειροτονίαν, πότερον εἰσοιστέος ἐστὶ νόμος καινὸς, ἢ δοκοῦσιν ἀρκεῖν οἱ κείμενοι· μετὰ ταῦτα δὲ, ἂν χειροτονήσητε εἰσφέρειν, οὐκ εὐθὺς τιθέναι προσέταξαν, ἀλλὰ τὴν τρίτην ἀπέδειξαν ἐκκλησίαν· καὶ οὐδ' ἐν ταύτῃ τιθέναι δεδώκασιν, ἀλλὰ σκέψασθαι
1708 καθ' ὅ,τι τοὺς νομοθέτας καθεδεῖτε· ἐν δὲ τῷ μεταξὺ τούτῳ χρόνῳ, προσέταξαν τοῖς βουλομένοις εἰσφέρειν, ἐκτιθέναι τοὺς νόμους πρόσθεν τῶν ἐπωνύμων, ἵν' ὁ βουλόμενος σκέψηται, κἂν ἀσύμφορον ὑμῖν τι κατίδῃ, φράσῃ, καὶ κατὰ σχολὴν [1]ἀντείποι. τούτων μέντοι τοσούτων ὄντων οὐδὲν πεποίηκε Τιμοκράτης οὑτοσί. οὔτε γὰρ ἐξέθηκε τὸν νόμον, οὔτ' ἔδωκεν, εἴ τις [2]ἐβούλετο ἀναγνοὺς, ἀντειπεῖν, οὔτ' ἀνέμεινεν οὐδένα τῶν τεταγμένων χρόνων ἐν τοῖς νόμοις· ἀλλὰ τῆς ἐκκλησίας, ἐν ᾗ τοὺς νόμους ἐπεχειροτονήσατε, οὔσης ἑνδεκάτης τοῦ Ἑκατομβαιῶνος μηνὸς, δωδεκάτῃ τὸν νόμον εἰσήνεγκεν εὐθὺς τῇ ὑστεραίᾳ, καὶ ταῦτα ὄντων Κρονίων, καὶ διὰ ταῦτα ἀφειμένης τῆς βουλῆς, διαπραξάμενος μετὰ τῶν ὑμῖν ἐπιβουλευόντων, καθίζεσθαι νομοθέτας διὰ τοῦ ψηφίσματος, ἐπὶ τῇ τῶν Παναθηναίων προφάσει.

ἡ. Βούλομαι δ' ὑμῖν τὸ ψήφισμα αὐτὸ ἀναγνῶναι, τὸ νικῆσαν, ἵν' εἰδῆθ', ὅτι πάντα συνταξάμενοι, καὶ οὐδὲν

[1] ἀντείπῃ

[2] ἐβούλετο, ἀναγνοὺς ἀντειπεῖν,

Καὶ πρῶτον μὲν ἐφ' ἡμῖν ἐποίησαν διαχειροτονίαν] *Leges hanc disceptationem arbitratus nostri fecerunt, utrum lex nova ferenda sit, an jam latæ sufficiant.* Hoc loco διαχειροτονία est *dijudicatio*, et διάκρισις τῆς ἐν πλήθει γενομένης χειροτονίας. Et in eadem, χειροτονῆσαι τοὺς νομοθέτας dixit, pro ψηφίσασθαι, verba legis recitans, ὁπότερον δ' ἂν τῶν νόμων χειροτονήσωσιν οἱ νομοθέται, τοῦτον κύριον εἶναι, *utram legem probarint. Ex edit.* HERVAG.

Καθεδεῖτε] Καθέζειν [καθίζειν certe] νομοθέτας ἐνεργητικῶς accipiendum. Obsop. καθιεῖτε, παρὰ τὸ καθιέω, τὸ καθίημι. WOLF. Præter Obsop. ita quoque legunt marg. Benenati, Linden. Ital. Bodl. MSS. Man. et Fel. Cod. item Venetus, qui etiam exhibet τοὺς νόμους καθιεῖτε. Atque καθιεῖτε certissima est lectio, a verbo καθίζω regulariter deducta, non παρὰ τὸ καθιέω, ut somniavit Wolfius. Καθεδεῖτε certe nescio unde deduceretur. TAYLOR. Imo καθιεῖτε, in futuro, a καθίζω, *sedere facio.* AUGER.

Ἀντείποι] Melius forte ἀντείπῃ, ut Editt. Man. et Fel. cum MStis Lind. et Vind. atque uti mavelit Lambinus. TAYL.

Οὔτ' ἀνέμεινεν] Ita ego, [Alii enim ἐνέμεινεν] et v. 16. ἐπεχειροτονήσατε, pro ἀπεχειροτονήσατε, et v. 17. οὔσης ἑνδεκάτῃ, ut in Lege τῇ ἑνδεκάτῃ, et ibid. δωδεκάτῃ. Deinde v. 19. διαπραξάμενος διὰ τοῦ ψηφίσματος, τὸ τί; καθίζεσθαι νομοθέτας. WOLF.

ἡ. Ἵνα εἰδῆτε ὅτι πάντα συνταξάμενοι] Id est, *omnia ex composito fecerunt, atque de industria.* Sic Æschin. περὶ παραπρεσβ. συνετάξαμεν ἡμᾶς αὐτοὺς, *ita inter nos comparavimus et constituimus. Ex edit.* HERVAG.

ἀπὸ ταυτομάτου τούτων ἔπραττον οὗτοι. λάβε τὸ ψήφισμα αὐτοῖς καὶ [1] ἀναγίγνωσκε σύ.

ΨΗΦΙΣΜΑ.

Ἐπὶ τῆς Πανδιονίδος πρώτης, ἑνδεκάτῃ τῆς πρυτανείας, [2] Τιμοκράτης εἶπεν, Ὅπως ἂν τὰ ἱερὰ θύηται [3] τις, καὶ ἡ διοίκησις ἱκανὴ γένηται, καὶ, εἴ

[1] ἀναγίνωσκέ [2] Ἐπικράτης [3] Deest τις.

Ἐπὶ τῆς Πανδιονίδος πρώτης κ. τ. λ.] Ex hoc loco videtur colligi posse, unamquamque tribum vel φυλὴν divisam fuisse in decem partes, seu προεδρίας, et unamquamque obtinuisse, id est, præfuisse concilio unum diem usque ad ultimum vel decimum, et sic indigitari, Πανδιονὶς πρώτη, Πανδιονὶς δευτέρα, Πανδιονὶς τρίτη, usque ad decimam, postquam prima recurrebat ad undecimum diem τῆς Πρυτανείας, et sic deinceps. Ideo hoc loco præsidet prima Pandionis undecimo Prytaniæ die. PALMER. Adde eundem Palmerium ad Petit. Legg. Attic. L. III. Tit. I. pag. 269. Edit. Wesseling. (ubi fallitur Vir doctissimus, autumatque, dici τῆς Πανδιονίδος πρώτην, δευτέραν etc. subintellecta voce προεδρίαν) Scalig. de Emendatione Tempor. l. II. init. Dodwel. de Cyclis Diss. III. §. 37. et Ulpianum denique in scholiis ad hunc locum. Quo pacto hæc verba sunt intelligenda, paucis expediam. Quod dixit olim, 706. 8. ed. R. ἐπὶ τῆς πρώτης Πρυτανείας, τῇ ἑνδεκάτῃ, effert modo, ἐπὶ τῆς Πανδιονίδος πρώτης, τῇ ἑνδεκάτῃ τῆς πρυτανείας. Et nihil variatur. Tribus enim Pandionis (sive *sorte* hoc anno id obtigerit, ut primam Prytaneam gereret, uti omnes nos olim sensimus, sive istam prærogativam jure obtinuerit, et cæteræ quoque Tribus ordine et serie ad Prytaneam quæque suam succederent, ut Dodwellus solus in l. c. sibi in animum induxit) in hoc loco nomen suum primæ Prytaneæ annectit, quod in priore isto Auctor dissimulavit. Ait igitur: *Prima Prytanea, id munus gerente Tribu Pandionide, die vero undecimo istius Prytaneas*, cætera. Confer §. *ι*. et §. *ιθ'*. med. Sane ubi rem mecum expendam, videtur mihi Legislator in loco priore, sc. 706. 8. ed. R. cum generaliter, et de rebus *futuris* præcipiat, nomen Tribus non adjecisse, propter sortis incertitudinem, nescius scilicet, quænam præsideret: At cum Orator rem gestam et *præteritam* narret, aut ubi ad Acta Civitatis monumentaque publica refertur, quid, quo magistratu consignatum sit, ibi liquido potuisse vel disertissime scribi Tribus, quæ præerat. Accedit etiam, quod eadem sit mens Ulpiani, cujus auctoritatem aut ignoravit, aut dissimulavit Dodwellus. Ἐνταῦθα καλῶς προτέθηκε τὴν φυλὴν, τὴν Πανδιονίδα, ἐπειδὴ ἔτυχε τότε αὐτὴν κληρωθῆναι πρώτην πρυτανεῦσαι. ἀνωτέρω, ἐπειδὴ τὴν ἐπιχειροτονίαν τῶν νόμων ἀνέγνωκεν, εἰκότως οὐχ ἥρισε, ποίας πρυτανευούσης πρώτης· ἐπειδὴ ἄδηλον ἦν, ὡς εἴπομεν, ποία κληροῦται ἀεὶ κατὰ τὸν πρῶτον μῆνα πρώτη πρυτανεῦσαι. Verum utcunque ea res sit, omnino admittenda est mea de hoc loco sententia, ni potior esse videretur doctissimi Jurini divinatio, quæ sequitur. TAYLOR. Πρώτη Πανδιονὶς, quod illo nimirum anno Pandionis tribus Hecatombæone mense, qui primus erat anni mensis, prima prytaniæ munere fungeretur. v. Celeb. Corsini F. A. T. I. p. 101. *In schedis* TAYLOR. Puto rescribendum vice πρώτης, πρυτανευούσης. Ita etiam §. *ι*. JURIN. AUGER.

Τιμοκράτης] Immo Ἐπικράτης potius. Hoc enim Psephisma non rogatur a Timocrate, sed a quodam ejus amico, Timocrateæ rogationi succenturiante, atque aditum struente. Atque in eadem sententia Ulpianum esse video, qui per totam hanc Orationem optimam operam præstitit: ψήφισμα (hoc nempe præparatorium) ἔγραψεν Ἐπικράτης, φίλος τοῦ Τιμοκράτους, — εἰ γὰρ καὶ τὰ δύο ἐπείσεν ὁ Τιμοκράτης, ὕποπτος ἂν ἐγίνετο. Vide hominem ad v. 3. et p. 283. v. 15. Porro in omnibus fere, præstantissimis certe, exemplaribus Ἐπικράτης scribitur, non Τιμοκράτης, Ven. sc. Bodl. Lind. Aug. Ital. Vindob. Expedire autem mihi aliquem velim, unde aliter tot Librarii arriperent ignotum istum Epicratem. Proclive erat vicissim, id quod nonnulli faciunt, ab ignoto Epicrate ad notiorem Timocratem deflectere. Vidit hujus correctionis necessitatem Petitus ad LL. Att. pag. 87. Edit. ornatissimi Wesselingii. TAYLOR. Ἐπικράτης. AUGER.

Τις] Dele, fidejussoribus Ven. Bar. Bodl. Lindenb. Ital. Vindob. TAYLOR. τις del. vid. AUGER.

Διείκησις] Ἡ δασάνη, ἡ χρεηγία. Sic, οἱ ἐπὶ τῆς διοικήσεως, οἱ τῶν προσόδων τῆς πόλεως ἐπιμελούμενοι. WOLF. Aliquatenus Wolfius. Non autem vidit, quam solenni

τινος ἐνδεῖ πρὸς τὰ Παναθήναια, διοικηθῇ, τοὺς πρυτάνεις τοὺς τῆς Παν-
διονίδος καθίσαι νομοθέτας αὔριον· τοὺς δὲ νομοθέτας εἶναι ἕνα καὶ χιλίους,
ἐκ τῶν ὀμωμοκότων· συννομοθετεῖν δὲ καὶ τὴν βουλήν.

[1] ἐνθυμήθητε ἀναγιγνωσκομένου τοῦ ψηφίσματος, ὡς τε-
709 χνικῶς ὁ γράφων αὐτὸ, τὴν διοίκησιν, καὶ τὸ τῆς ἑορτῆς προ-
στησάμενος κατεπεῖγον, ἀνελὼν τὸν ἐκ τῶν νόμων χρόνον
αὐτὸς ἔγραψεν αὔριον νομοθετεῖν, οὐ, μὰ Δί', οὐχ ἵνα ὡς
κάλλιστα γένοιτό τι τῶν περὶ τὴν ἑορτὴν, — οὐδὲ γὰρ ἦν ὑ-
πόλοιπον, οὐδ' ἀδιοίκητον οὐδέν, — ἀλλ' ἵνα μὴ προαισθομέ-
νου μηδενὸς ἀνθρώπων, μηδ' ἀντειπόντος, τεθείη καὶ γένοιτο
κύριος αὐτοῖς ὅδε ὁ νῦν ἀγωνιζόμενος νόμος. τεκμήριον δέ.
καθιζομένων γὰρ τῶν νομοθετῶν, περὶ μὲν τῶν γεγραμμέ-
νων τούτων, τῆς διοικήσεως, [2] καὶ τῶν Παναθηναίων, οὔτε
χείρονα, οὔτε βελτίω νόμον οὐδένα εἰσήνεγκεν οὐδείς· περὶ
δὲ ὧν οὔτε τὸ ψήφισμα ἐκέλευεν, οἵ τε νόμοι κωλύουσι, Τι-
μοκράτης οὑτοσὶ κατὰ πολλὴν ἡσυχίαν ἐνομοθέτει, κυριώ-
τερον μὲν νομίσας τὸν ἐκ τοῦ ψηφίσματος, ἢ τὸν ἐν τοῖς νό-
μοις εἰρημένον χρόνον, οὐδ' ὁτιοῦν δὲ φοβηθεὶς, εἰ ἁπάντων
ὑμῶν ἀγόντων ἱερομηνίαν, καὶ νόμου κειμένου, μήτ' ἰδίᾳ
μήτε κοινῇ μηδὲν ἀλλήλους ἀδικεῖν ἐν τούτῳ τῷ χρόνῳ, μηδὲ
χρηματίζειν ὅ,τι ἂν μὴ περὶ τῆς ἑορτῆς ᾖ, αὐτὸς οὐχ ἕνα
τον τυχόντα, ἀλλὰ ὅλην ἀδικῶν φανήσεται τὴν πόλιν. καί
τοι πῶς οὐ δεινὸν, εἰδότα μὲν τοὺς νόμους, ὧν ὀλίγῳ πρότε-
ρον πάντες ἠκούσατε, κυρίους ὄντας, εἰδότα δ' οὐκ ἐῶν-θ'

[1] *ἐιεθυμήθητ' [2] [,καὶ]

usu et proprietate sermonis aliquando hoc vocabulum denotet *reditum civitatis, bona sive fortunas Reip.* quarum nempe auxilio διοικεῖνται τὰ πάντα. Adducam nonnulla, unde ea, quæ dixi, cum indicta sint alio ore, elucidari et confirmari possunt. Noster infra, in hac ipsa Oratione, §. κς'. Ἔτι τοίνυν τὴν διοίκησιν ἀναιρεῖ, τὴν θ' ἱερὰν καὶ τὴν ὁσίαν: sc. Reditus, tam *sacros*, quam *publicos*; tam Res *Religionis*, quam quæ sunt *Universitatis*. Proxime, Ibid. διὰ τοίνυν τοῦ νόμου τούτου διοικεῖται τὰ κοινά. Hoc est, ut locus ille indicat, *ex hac lege factum est, ut Reip. facultates suppetant*. Pergam porro. ibid. οὐ γὰρ ὄντων ἱκανῶν τῶν ἐκ τῶν τελῶν χρημάτων τῇ διοικήσει, τὰ προσκαταβλήματα ὀνομαζόμενα διὰ τὸν τοῦ νόμου τούτου φόβον καταβάλλεται. deinde ibid. ὅταν αἱ τῶν τελῶν καταβολαὶ μὴ ἱκαναὶ ὦσι τῇ διοικήσει. Proxime §. κζ'. τὰς ὑπὲρ τῆς πόλεως στρατείας λυμαίνεται, τὴν διοίκησιν καταλύει. Similiter in ista Oratione c. Neæram, non longe a principio, p. 1346. 17. ed. Reisk. διαχειροτονῆσαι τὸν δῆμον, εἴτε δοκεῖ τὰ περιόντα χρήματα τῆς διοικήσεως στρατιωτικὰ εἶναι, εἴτε θεωρικά. Nempe, *the Surplus of the Revenue*: et deinceps, v. 20. ejusd. pag. κελεύοντων τῶν νόμων — τὰ περιόντα χρήματα τῆς διοικήσεως στρατιωτικὰ εἶναι. TAYLOR.

Ἐνθυμήθητε] Malim et hic ἐνεθυμήθητε. WOLF. AUGER.

Αὐτοῖς] Timocrati, et ipsius satellitibus. AUGER.

Ἐκμοθέτει] Wolfius: *leges tulit*. Immo: *legem tulit*. JURIN.

Εἰδότα δ' οὐκ ἐῶν-θ' κ. τ. λ.] Wolfius: *qui sciret item, easdem non sinere ullum*

[1] ἕτερον ψήφισμα οὐδὲν οὐδ' ἂν ἔννομον ᾖ, κυριώτερον εἶναι, γράψαι καὶ θεῖναι νόμον ὑμῖν κατὰ [2] τὸ ψήφισμα, ὃ καὶ αὐτὸ παρὰ τοὺς νόμους εἰρημένον ᾔδει; ἢ πῶς οὐ σχέτλιον τὴν μὲν πόλιν αὐτὴν ἑκάστῳ ἡμῶν δεδωκέναι ἄδειαν τοῦ μή τι παθεῖν ἀηδές, ἢ δεινόν, ἐν τούτῳ τῷ χρόνῳ ποιήσασαν ἱερομηνίαν· αὐτὴν δὲ μὴ τετυχηκέναι ταύτης τῆς ἀσφα- 710
λείας παρὰ Τιμοκράτους, ἀλλ' ἐν αὐτῇ τῇ ἱερομηνίᾳ τὰ μέγιστ' ἠδικῆσθαι; τί γὰρ ἄν τις μεῖζον ἠδίκησεν ἰδιώτης ἀνήρ, ἢ καταλύων τοὺς νόμους αὐτῆς δι' ὧν οἰκεῖται;

θ'. Ὅτι μὲν τοίνυν οὐδὲν ὧν προσῆκέ τε καὶ κελεύουσιν οἱ νόμοι πεποίηκεν, εἰς τὰ προειρημένα τις σκοπῶν ἂν γνοίη. ὅτι δ' οὐ μόνον κατὰ τοῦτ' ἀδικεῖ, εἰ παραβὰς τὸν χρόνον, τὸν ἐκ τῶν νόμων, καὶ τὸ βουλεύσασθαι καὶ σκέψασθαι περὶ τούτων ὑμᾶς παντελῶς ἀνελών, οὔσης ἱερομηνίας, ἐνομοθέτει, ἀλλὰ καὶ κατ' ἐκεῖνο, ὅτι πᾶσιν ἐναντίον εἰσενήνοχε τοῖς οὖσι νόμοις, αὐτίκα δὴ μάλ' ἀκριβῶς μαθήσεσθε. ἀνάγνωθι δέ μοι λαβὼν τουτονὶ [3] πρῶτον τὸν νόμον, ὃς διαρρήδην οὐκ ἐᾷ [4] νόμον οὐδένα ἐναντίον εἰσφέρειν· ἐὰν δέ τις εἰσφέρῃ, γράφεσθαι κελεύει. ἀναγίγνωσκε.

[1] ἕτερον νόμον, ψήφισμα
[2] Deest articulus.
[3] πρῶτον τουτονὶ
[4] [νόμον οὐδένα]

decretum aliud. Perperam. Refertur enim vox ἕτερον non ad ψήφισμα, sed ad νόμον subintellectum. Verti ergo oportebat: *qui sciret item alium non sinere decretum ullum.* Idem. Bene mehercule factum a viro præstantissimo, cum vox, quam ille subintelligit ad orationem sustentandam, in nonnullis exemplaribus reperiatur disertissime scripta. Lambinus, ut locum complanaret, pro ἐᾶνθ' legit ἐᾶντας, ad quem morem interpretatur Wolfius. Atque profecto ita exhibent Editiones a Manutio et Feliciano profectæ. Sed Jurinum optimum sequor, atque ita totum locum refingo ex MSS. optimis: εἰδότα μὲν τοὺς νόμους, ὧν ὀλίγῳ πρότερον πάντες ἠκούσατε, κυρίους ὄντας, εἰδότα δ' οὐκ ἐᾶνθ' ἕτερον νόμον ψήφισμα οὐδέν, οὐδ' ἂν ἔννομον ᾖ, νόμου κυριώτερον εἶναι, γράψαι καὶ θεῖναι νόμον ὑμῖν κατὰ τὸ ψήφισμα, ὃ καὶ αὐτὸ παρὰ τοὺς νόμους εἰρημένον ᾔδει. *Cum sciret, alium quoque exstare legem, qua constitutum est, ut nullum populiscitum, etiam legitimum, plus auctoritatis haberet, quam legibus attribuitur, ipse interea legem ferret virtute populisciti, quod ipsum probe sciret contra leges esse factum.* Nimirum hæc est ea Lex, de qua disputavi, quamque olim emendavi, ad Aristocrateam §. κγ. Occurrit etiam, sed mendosa, apud Andocid. de Mysteriis pag. 11. ult. et 12. 12. Edit. Steph. ψήφισμα δὲ μηδὲν μήτε βουλῆς, μήτε δήμου, κυριώτερον εἶναι. Utrobique post δήμου adde νόμου, quæ vox ab illa strangulatur: *Nullum neque SCtum, neque Populiscitum Leges auctoritate vincat.* Illud habe. Taylor. Tayloro assentitur Augerus.

Ποιήσασαν] F. ποιήσασιν. Vide, quantum præstet! Proxime revocavi αὐτὴν ex Editis omnibus, et MSS. Ven. Bar. Lind. Aug. Vindob. pro vulgato αὐτῆς. Taylor.

Ἱερομηνίαν] Vid. D'Orville ad Charit. Aphrod. Lib. VI. cap. II. p. 515.

Καταλύων] *Violando,* Wolfius. Immo *tollendo,* vel *abrogando.* Jurin.

θ'. Τοῖς οὖσι νόμοις] Post νόμοις add. vel sub. νόμον. et v. pen. post ἐναντίον sub. τοῖς οὖσι νόμοις. Auger.

Νόμον οὐδένα ἐναντίον] Legendum videtur νόμον οὐδένα νόμῳ ἐναντίον. Jurin.

ΝΟΜΟΣ.

Τῶν δὲ νόμων τῶν κειμένων μὴ ἐξεῖναι λῦσαι μηδένα, ἐὰν μὴ ἐν νομοθέταις. τότε δ' ἐξεῖναι τῷ βουλομένῳ τῶν Ἀθηναίων λέειν, ἕτερόν [1] τι τιθέντι ἀνθ' ὅτου ἂν λύῃ. διαχειροτονίαν δὲ ποιεῖν τοὺς προέδρους περὶ τούτων τῶν νόμων, πρῶτον μὲν περὶ τοῦ κειμένου, εἰ δοκεῖ ἐπιτήδειος εἶναι τῷ δήμῳ [2] τῶν Ἀθηναίων ἢ οὔ, ἔπειτα περὶ τοῦ τιθεμένου· ὁπότερον δ' ἂν χειροτονήσωσιν οἱ νομοθέται, τοῦτον κύριον εἶναι. ἐναντίον δὲ νόμῳ μὴ ἐξεῖναι τιθέναι τῶν νόμων τῶν κειμένων μηδενί. ἐὰν δέ τις, λύσας τινὰ τῶν νόμων τῶν κειμένων, ἕτερον ἀντιτιθῇ μὴ ἐπιτήδειον τῷ Ἀθηναίων δήμῳ, ἢ ἐναντίον τῶν κειμένων τῳ, τὰς γραφὰς εἶναι κατ' αὐτοῦ κατὰ τὸν νόμον
711 ὃς κεῖται, ἐάν τις μὴ ἐπιτήδειον θῇ νόμον.

ἠκούσατε μὲν τοῦ νόμου· πολλῶν δὲ [3] καλῶν κειμένων νόμων τῇ πόλει, οὐδενὸς ἥττον ἡγοῦμαι καὶ τοῦτον ἀξίως ἐπαίνου γεγράφθαι. σκέψασθε γὰρ ὡς δικαίως, καὶ σφόδρα ὑπὲρ τοῦ δήμου κεῖται. οὐκ ἐᾷ τοῖς ὑπάρχουσι νόμοις ἐναντίον εἰσφέρειν, ἐὰν μὴ λύσῃ τὸν πρότερον κείμενον. τίνος ἕνεκα; πρῶτον μέν, ἵν' ὑμῖν ἐξῇ τὰ δίκαια ψηφίζεσθαι μετ' εὐσεβείας. εἰ γὰρ εἴησαν δύο τινὲς ἐναντίοι νόμοι, καί τινες ἀντίδικοι παρ' ὑμῖν ἀγωνίζοιντο, ἢ περὶ δημοσίων, ἢ περὶ ἰδίων πραγμάτων, [4] ἀξιοῖ δ' ἑκάτερος νικᾶν, μὴ τὸν αὐτὸν δεικνύων νόμον, οὔτ' ἀμφοτέροις ἔνι δήπου ψηφίσασθαι — πῶς γάρ; — οὔτε θατέρῳ ψηφιζομένους εὐορκεῖν· παρὰ γὰρ τὸν ἐναντίον [5] νόμον, ὄντα δὲ ὁμοίως κύριον, ἡ γνῶσις συμβαίνει. τοῦτό τε οὖν ὑπὲρ ὑμῶν φυλαττόμενος, ταῦτα προεῖπε, καὶ ἔτι πρὸς [6] τούτοις, βουλόμενος φύλακας ὑμᾶς [7] τῶν νόμων καταστῆσαι. ᾔδει γὰρ ἐκεῖνο, ὅτι τὰς ἄλλας, ἃς γέγραφεν [8] αὐτῶν, φυλακάς ἐστι πολλαχοῦ διακρούσασθαι. τοὺς συνηγόρους οὓς χειροτονεῖτε, δυναιτ' [9] ἂν πεῖσαί τις σιωπᾷν· ἐκτιθέναι κελεύει τοῦ προειδέναι πάντας, ὡς τάχ' ἂν εἰ τύχοι, τοὺς μὲν ἀντειπόντας ἂν, εἰ μὴ προαίσθοιντο, λάθοι, οἱ δ' οὐδὲν προσ-

[1] Deest τι. [2] τῷ [3] καλῶς [4] ἀξιοῖν [5] [νόμιν] [6] τούτῳ
[7] τῶν νόμων ὑμᾶς [8] αὐτῶν φυλακὰς, ἔστι πολλαχῇ [9] ἂν τις πεῖσαι σιωπᾷν

Τῶν δὲ νόμων τῶν κειμένων κ. τ. λ.] Vid. Vol. II. h. edit. p. 386. not. x.

Ἕτερόν τι τιθέντι] Dele otiosum istud τι, quod ortum traxit ex initio vocis sequentis. Delent Bar. Vindob. et Petitus LL. Attic. p. 185. Taylor.

Διαχειροτονίαν δὲ ποιεῖν] Wolfius: *suffragia ferunto.* Potius: *suffragia ferendi potestatem faciant.* Jurin.

Δύο τινὲς] Cod. Vindob. ignorat inficetum istud τινὲς, et mox v. 20. pro ἀξιοῖ, habet ἀξιοίη. Tu illum sequere. Taylor. τινὲς del. vid. Auger.

Σιωπᾷν] Post σιωπᾷν, punctum infra. Deinde post πάντας, punctum supra, et ἀλλὰ pro ἀς. ἀλλὰ τάχ' ἂν, εἰ τύχοι, τοὺς etc. Idem.

Οἱ δ' οὐδὲν προσέχοντες ἀγνοῖεν ἂν] Sub. τὴν διάνοιαν τοῦ νόμου. Alii ἀναγνοῖεν οὐδὲν προσέχοντες, quod fere idem est. Legere enim et non intelligere est negligere, ut inquit Ille. Wolf. ἀγνοῖεν MSS. Ald. Editt. Man. et Felician. Aug. et Lambinus: ἀγνοῖεν cæteri fere omnes.

ἔχοντες ἀναγνοῖεν ἄν. ἀλλὰ γράψασθαι, νὴ Δί', ἕκαστόν [1]ἐστιν, ὃ κἀγὼ νυνὶ πεποίηκα. [2]κἂν ἐνταῦθ' ἀπαλλάξῃ τις τὸν ἐπιστάντα, ἡ πόλις παρακέκρουσται. τίς [3]οὖν μόνη φυλακὴ καὶ δικαία καὶ βέβαιος τῶν νόμων; ὑμεῖς οἱ πολλοί. οὔτε γὰρ τὸ [4]γνῶναι καὶ δοκιμάσαι τὸ βέλτιον ἐξελέσθαι δύναιτ' ἂν ὑμῶν οὐδὲ εἷς, οὔτε ἀπαλλάξας καὶ διαφθείρας πεῖσαι τὸν χείρονα θέσθαι νόμον ἀντὶ τοῦ κρείττονος. διὰ ταῦτα πάντα ἐφ' ἑκάστην ἀπαντᾷ τὴν ὁδὸν τῶν ἀδικημάτων, κωλύων, καὶ οὐκ ἐῶν βαδίζειν τοὺς ἐπιβουλεύοντας ὑμῖν. ταῦτα πάντα Τιμοκράτης, οὕτω καλῶς καὶ δικαίως κείμενα ἠφάνισεν, ἐξήλειψεν, ὅσον ἦν ἐπὶ τούτῳ, καὶ νόμον [5]εἰσήνεγκεν ἅπασιν ἐναντίον, ὡς ἔπος εἰπεῖν, τοῖς οὖσιν, οὐ παραναγνοὺς, οὐ λύσας, οὐ δοὺς αἵρεσιν, οὐκ ἄλλο ποιήσας οὐδὲν τῶν προσηκόντων. 712

ι. Ὡς μὲν οὖν ἔνοχος τῇ γραφῇ καθέστηκεν, ἐναντίον εἰσενηνοχὼς τοῖς οὖσι νόμοις, οἶμαι πάντας ὑμᾶς ᾔσθῆσθαι· ἵνα δὲ εἰδῆτε παρ' οἵους [6]νόμους οἷον οὗτος εἰσήνεγκεν, ἀναγνώσεται πρῶτον ὑμῖν τὸν τούτου νόμον, εἶτα καὶ τοὺς ἄλλους, οἷς οὗτος ἐναντίος ἐστίν. ἀναγίγνωσκε.

ΝΟΜΟΣ.

Ἐπὶ τῆς Πανδιονίδος πρώτης, δωδεκάτῃ τῆς πρυτανείας, Τιμοκράτης

[1] ἐστιν; [2] * ἀλλὰ κἂν ἐνταῦθ', ἂν ἀπαλλάξῃ [3] οὖν ἡ μόνη
[4] γνῶναι τὸ δίκαιον, καὶ δοκιμάσαι [5] εἰσήνεγκεν ἀπαίσιον, ἅπασιν [6] [νόμους]

ἀναγνοῖεν edidit Wolfius juxta id, quod MSS. Man. et Felic. exhibent cum nostro Vindob. Sed neque MStorum lectio, neque Wolfii explicatio, neque Lambini hariolatio mihi locum satis extricare videntur. TAYLOR.

Ἀλλὰ γράψασθαι] Anthypophora est: Cui respondet v. 2. κἂν ἐνταῦθ' ἀπαλλάξῃ τις τὸν ἐπιστάντα, τὸν γραψάμενον καὶ ἀκυρώσοντα. WOLF. Nescio Anthypophoram. Interea scio, quid velit hic sibi locus, idque strenue nescire Wolfium. *Leges non solum prostare publice jubet, ut ab omnibus legi et examinari possint, verum etiam unumquemque nostrum eas in judicium vocare hortatur: id quod ego nunc feci.* Ἀλλὰ, *Sed praeterea, verum etiam.* TAYLOR. Ἀλλὰ γράψασθαι - - - est Objectio. ἐστιν, *licet.* AUGER.

Κἂν ἐνταῦθ' ἀπαλλάξῃ τις τὸν ἐπιστάντα] Id est, κἂν διαφθείρῃ τὸν ἐγκείμενον καὶ κατήγορον. Est enim ἀπαλλάττω, *placo, et munere corrumpo. Ex edit.* HERVAG.

Τίς] Ita omnino. Atque ita Bar. Fel. Lind. Aug. Paris. Ital. Obsop. et Vindob. Vulgo τισί. TAYLOR. L. ἀλλὰ κἂν ἐνταῦθ' ἀπ. τις τ. ἐπιστάντα, vel ἐνστάντα (*accusatorem, exagitatorem novae legis*) ἡ πόλις AUGER.

Γνῶναι] Οὔτε γὰρ τὸ γνῶναι τὸ δίκαιον καὶ δοκιμάσαι τὸ βέλτιον etc. Man. Fel. Lind. Aug. Obsop. Cum hoc autem homine germanam lectionem esse statuo. TAYLOR.

Ἠφάνισεν, ἐξήλειψεν] Puto Morelium ita hanc rem reputasse, aut in suis exemplaribus invenisse, ut veritas voluit; nempe illa priore voce in textum recepta, hac autem ad marginem apposita. Neque porro eam ibi variae lectionis, verum scholii officio fungi arbitror. IDEM.

ι. Ἐπὶ τῆς Πανδιονίδος] L. ἐ. τ. Π., πρέπτης

εἶπε, Καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται, κατὰ νόμον ἢ κατὰ ψήφισμα, δεσμοῦ, ἢ [1]τολοιπὸν προστιμηθῇ, εἶναι αὐτῷ, ἢ ἄλλῳ ὑπὲρ ἐκείνου, ἐγγυητὰς καταστῆσαι τοῦ ὀφλήματος, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἢ μὴν ἐκτίσειν τὸ ἀργύριον ὃ ὤφλε· τοὺς δὲ προέδρους ἐπιχειροτονεῖν ἐπάναγκες, ὅταν τις καθιστάναι βούληται, τῷ δὲ καταστήσαντι τοὺς ἐγγυητὰς, ἐὰν ἀποδῷ τῇ πόλει τὸ ἀργύριον ἐφ' [2]οἷς κατέστησε τοὺς ἐγγυητὰς, ἀφεῖσθαι
713 τῶν δεσμῶν· ἐὰν δὲ μὴ καταβάλῃ τὸ ἀργύριον ἢ αὐτὸς, ἢ οἱ ἐγγυηταὶ, ἐπὶ τῆς ἐννάτης πρυτανείας, τὸν μὲν ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. περὶ δὲ τῶν ὠνουμένων τὰ τέλη, καὶ τῶν ἐγγυωμένων καὶ ἐκλεγόντων, καὶ τῶν τὰ [3]μισθώματα μισθουμένων, καὶ τῶν

[1] τὸ λοιπὸν [2] ᾧ [3] μισθώσιμα

πρυτανείας δωδεκάτῃ, Τιμοκρ. et v. 1. p. 287. Ignoro cur lex incipiat per καὶ, nisi forte lata fuerit quasi addenda aliis legibus. AUGER.

Καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ] Verba sunt legis, ex quibus verbi προστιμᾶν usus et constructio facile est percipere. *Quod si quis*, inquit legislator, *eorum qui reliqua, aut ex alienum quovis modo contraxerunt, aut pecuniæ damnati sunt, aut legis sanctione, aut plebiscito nexu multatus est, aut posthac ea de causa nexum inibit, licere ipsi aut civis ejus nomine prædes dare atque expromissores reipublicæ ejus summæ quam debet.* Est igitur προστιμᾶν *multare*, cum dativo et accusativo, cujus exempla Budæus adducit in Comment. et hinc ἐπάγειν τίμημα, *agere ad pœnam*, apud eundem alibi. καὶ τίμημα ἐπάγειν ὅτι χρὴ ἀποτίσαι, hoc est, *et actionem pœnarum intendere ad id quod pendere eum oportet.* Ex edit. HERVAG.

Ἢ τολοιπὸν προστιμηθῇ] *Aut in posterum damnabitur.* Quod neglexit Wolfius. Legunt nonnulli et hic, et infra p. 288. v. 6. προστιμηθείη. TAYLOR.

Ἐπιχειροτονεῖν] *Ratos habere*, Wolfius. Quasi vero necesse esset præsidibus, cum quis vades dare voluisset, eos, qualescunque demum essent, illico ratos habere, quod manifeste contra legem est: Lex enim jubebat ratos haberi vades, non quoscunque, sed quos populus comprobasset. Clarum est itaque, vocem ἐπιχειροτονεῖν hoc loco alium sensum habere, quam qui vulgo ei adscribitur. Significat nempe non habere ratos, nec suffragiis ferendis decernere, sed *potestatem facere suffragia ferendi*, concione scilicet convocata, utrum rati habendi sint vades, necne. JURIN.

Τῷ δὲ καταστήσαντι] Melius, ut marg. Benenati habet, τὸν δὲ καταστήσαντα. Sequitur v. 6. ἐφ' οἷς κατέστησε τοὺς ἐγγυητὰς, *a vinculis immunis esto*, eo nomine quod vades dedit. Inficete. Corrige sodes, præeuntibus Ven. Reg. a. Bodl. Aug. Ital. et Vindob. ἐφ' ᾧ κατέστησε, et sic verte: *quod si reddiderit civitati argentum*, cujus causa vades dederit, *a vinculis immunis esto.* TAYLOR. Cui assentitur Augerus.

Περὶ τῶν τὰ μισθώματα μισθουμένων, καὶ τῶν ἐγγυωμένων τὰς πράξεις] Id est, *redempturas facientium*, vel, *qui spondent opera perfectum iri, quæ redemptores conduxerunt facienda.* De verbo μισθοῦμαι, *conduco faciendum, ut redemptor*, et *conduco vectigalia*, item de ἐγγυᾶσθαι, vide Comment. Bud. Idem Demosthenes alibi, ἢ ὁπόταν πρίαιντο, ἢ θέρος μισθοῖτο ἐκθερίσαι. Et aliquantulum infra in eadem, καὶ εἴ τινες ὠφλικότες χρήματα, καὶ δεσμοῦ προστετιμημένοι αὐτοῖς, ἐγγυητὰς κατέστησαν, κατὰ τὸν τούτου νόμον μὴ εἶναι τὴν διεγγύησιν αὐτοῖς, *hujus lege negabitur illis*, vel *cum sponsorum fide extra vincula esse*, hoc est, διὰ τῶν ἐγγυητῶν ἄφεσις καὶ ἀπαλλαγή. Ex edit. HERVAG.

Τῶν τὰ μισθώματα μισθουμένων καὶ ἐγγυωμένων] Sub. ὑπὲρ τούτων. Felicianus μισθώσιμα habet, ut et Obsop. rectius, ut opinor, quam μισθώματα. WOLF. μισθώσιμα etiam legitur in Aug. Ital. et Vindob. et, quod pace mea liceat, rectius. Cæterum quæri a nonnullis video, quinam sint τὰ τέλη ὠνούμενοι — ἐκλέγοντες — μισθούμενοι: neque a magno Budæo, qui hoc in se recepit, id argumenti satis præstari video. Agitur de Publicanis. *Omnes* enim, (ut ait Ulpianus l. 1. D. de Public.) *qui quid a Fisco conducunt, recte appellantur Publicani.* Primo loco veniunt τελῶναι, οἱ τὰ τέλη ὠνούμενοι, cum suis prædibus sive fidejussoribus. Hi sunt Publicani strictius dicti, nimirum, qui *vectigalia* publica, τὰ τέλη, *the Customs*, redimunt, et pensitationes annuas, sive mercedes pro eorum locatione solvunt. Secundo, οἱ ἐκλέγοντες, sine vadibus. Hos intelligo ministros esse publicos, fisci servos, qui vectigalia a nemine redemta ad portum exigunt: *Vectigaliarii, Portitores.* Atque hactenus mihi fidejussor erit Ulpianus ad locum: ὠνουμένων ἐνταῦθα λέγει, οὐκ ἀγοραζόντων, ἀλλὰ μισθουμένων — ἐκλεγόντων δὲ, ἐπιτετραμμένων τινῶν ἀπαιτεῖν τὰ τέλη· οὐ γὰρ λέγει αὐτοὺς τοὺς τελώνας. Tertio denique οἱ μισθώματα μισθούμενοι,

ἐγγυωμένων, τὰς πράξεις εἶναι τῇ πόλει κατὰ τοὺς νόμους τοὺς κειμένους. ἐὰν δ' ἐπὶ τῆς ἐννάτης πρυτανείας ὄφλῃ, τοῦ ὑστέρου ἐνιαυτοῦ ἐπὶ τῆς ἐννάτης ἢ δεκάτης πρυτανείας ἐκτίνειν.

ἀκηκόατε μὲν τοῦ νόμου· μνημονεύετε δ' ἐξ αὐτοῦ μοι πρῶτον μέν, τὸ, καὶ εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ προστετίμηται, ἢ [1]τολοιπὸν προστιμηθῇ, ἔπειθ', ὅτι πλὴν περὶ τῶν τελωνῶν, καὶ [2]περὶ τῶν μισθουμένων, καὶ ὅσοι ταῦτα ἐγγυῶνται χρῆσθαι κελεύει τῷ νόμῳ. [3]ὅλως μὲν γάρ ἐστιν [4]οὐδέ γε ἅπασιν ἐναντίος τοῖς οὖσι. μάλιστα δὲ [5]ταῦτα γνώσεσθε, ἀκούοντες τοὺς νόμους αὐτούς.

ιά. Λέγε.

[6]NOMOI.

Διοκλῆς εἶπε, Τοὺς νόμους τοὺς πρὸ Εὐκλείδου τεθέντας ἐν δημοκρατίᾳ, καὶ ὅσοι [7]ἀπ' Εὐκλείδου ἐτέθησαν, καὶ εἰσὶν ἀναγεγραμμένοι, κυρίους εἶναι· τοὺς δὲ μετ' Εὐκλείδην τεθέντας, καὶ [1]τολοιπὸν τιθεμένους, κυρίους εἶναι, ἀπὸ τῆς ἡμέρας ἧς ἕκαστος ἐτέθη, πλὴν εἴ τῳ προσγέγραπται χρόνος ὅν τινα δεῖ ἄρχειν. ἐπιγράψαι δὲ, τοῖς μὲν νῦν κειμένοις, τὸν γραμματέα τῆς βουλῆς,

[1] τὸ λοιπὸν. [2] [περὶ] [3] ὅλος [4] [οὐδέ γε] [5] ταῦτα. γνώσεσθε δ' ἀκούοντες. λέγε τοὺς νόμους * αὐτοῖς. [6] Νόμος. [7] ἐπ'

quicunque demum fuerint. Nimirum complecti voluit eos, qui quidvis a populo redemtum habuerunt. Nam, ut ait Caius I. 12. D. eod. *Sed et ii, qui salinas et arenas et cretæ fodinas et metalla conducta habent, publicanorum loco sunt. Præterea et si quis vectigal conductum a Rep. cujusdam municipii habet, hoc edictum locum habet.* Vides, quot sunt μισθώσιμα. Et præter hæc quamplurima. Immo quicquid fere in commercium venit, et a Fisco redimi possit. De Agris publicis et latifundiis P. A. conductis dixi olim ad Marm. Sandvic. p. 64. Noster c. Eubulid. vers. finem p. 1318. 20. ed. R. εἰ δὲ δεῖ τὴν δημαιρεσίαν λέγειν, δι' ἣν ὠργίζοντό μοι τινὲς, ἐν ᾗ διάφορος ἐγενόμην, εἰσπράττων ὀφείλοντας πολλοὺς αὐτῶν μισθώσεις τεμενῶν, καὶ ἑτέρα, ἃ τῶν κοινῶν διηρπάκεισαν. TAYLOR. τέλη intelligo *vectigalia publica*, μισθώματα, *prædia publica*. Verte quasi legeretur περὶ δὲ τῶν -- τέλη ἢ τῶν ἐκλελεγόντων καὶ τῶν ἐγγυωμένων, καὶ τῶν τὰ --- AUGER.

Τὰς πράξεις] Τὰς εἰσπράξεις. WOLF. Docentis, credo, et interpretantis ritu, non emendantis. TAYLOR.

Ἐὰν δ' ἐπὶ τῆς ἐννάτης — ἐκτίνειν] Totum hoc postremum comma mihi videtur juxta Bodl. inducendum esse. Video, hanc legem a Petito esse neglectam, neque cæteris adscriptam, quia putavit non obtinuisse. IDEM.

Ὅλως] *Omnino.* Melius ὅλος, *Tota lex.* Ita Bar. marg. Lutet. MSS. Man. et Felic. Lind. Aug. Ital. IDEM.

ιά. NOMOI] NOMOΣ rectius Bar. et Vind. Verum, ut ea Lex satius intelligatur, supponendum est, Dioclem eam tulisse anno post præturam Euclidis, ut recte contendit S. Petitus LL. Attic. L. II. Tit. 1. fin. IDEM.

Ἀπ' Εὐκλείδου] Immo ἐπ' Εὐκλείδου, ut dictitant Ald. Ven. Bar. Aug. Vind. Benenatus quoque. Hoc in vertendo vidit Wolfius. IDEM. ἐσ'. AUGER.

Χρόνος ὅντινα δεῖ ἄρχειν] Transtulit Wolfius: *tempus, quo debeat geri magistratus.* Respexisse nempe videtur ad ea, quæ paulo post sequuntur, p. 289. v. 9. ἀπὸ τοῦ μετὰ τὸν νῦν ἄρχοντα. Sed fallitur, puto. Sensus enim est: χρόνος, ὅντινα χρόνον δεῖ τὸν νόμον ἄρχειν, *tempus, quo oportet legem capere initium auctoritatis.* JURIN. Eodem sensu marg. Benenati ἐφ' οὗ δει ἄρχειν. Verum pace Viri doctissimi tueamur animum Wolfii: *Nisi si cui adscriptum sit tempus, nempe quota Prætura agenda sit, antequam rata esse cœperit.* Verbi gratia: *Hæc Lex rata nec esto ante secundum, tertium, vel quartum ab hoc anno Prætorem.* Idem est tenor earum, quæ scribuntur hodie: *From and after — next ensuing.* TAYLOR.

τριάκοντα ἡμερῶν· τὸ δὲ λοιπὸν ὃς ἂν τυγχάνῃ γραμματεύων, προσγραφέτω παραχρῆμα [1] *τὸν νόμον κύριον εἶναι ἀπὸ τῆς ἡμέρας ἧς ἐτέθη.*

714 καλῶς ἐχόντων, ὦ ἄνδρες δικασταί, τῶν ὑπαρχόντων νόμων, ὅδε ὁ νῦν ἀναγνωσθεὶς νόμος ὥσπερεὶ διώρισε καὶ βεβαιοτέρους ἐποίησεν αὐτούς. κελεύει γὰρ ἕκαστον ἀφ' ἧς ἡμέρας ἐτέθη, κύριον εἶναι, πλὴν εἴ τῳ χρόνος προσγέγραπται· τούτῳ δὲ, τὸν γεγραμμένον ἄρχειν. διὰ τί; ὅτι πολλοῖς τῶν νόμων προσεγέγραπτο, τὸν δὲ νόμον εἶναι κύριον τόνδε ἀπὸ τοῦ μετὰ τὸν νῦν ἄρχοντα. ὕστερον δὲ γράφων ὁ τιθεὶς [2] ἐπὶ τούτοις τόνδε τὸν νόμον τὸν ἀνεγνωσμένον, οὐκ ἐνόμιζε δίκαιον εἶναι, τοὺς αὐτοὺς τῶν νόμων ἀναγεγραμμένους ὕστερον ἢ ἐτέθησαν κυρίους εἶναι, ἀνενεγκεῖν ἐπὶ τὴν ἡμέραν, ἀφ' ἧς ἐτέθησαν, καὶ [3] μὴ πρότερον ποιῆσαι κυρίους, ἢ ὁ θεὶς ἕκαστον ἠξίωσε. τούτῳ [4] μὲν τῷ νόμῳ σκέψασθε ὡς ἐναντίος ἐστὶν ὃν οὗτος τέθεικεν. ὁ μέν γε κελεύει, τὸν γεγραμμένον χρόνον, ἢ τὴν ἡμέραν, ἀφ' ἧς ἂν τεθῇ, κυρίαν εἶναι· ὁ δ' ἔγραψε, καὶ εἴ τινι προστετίμηται, περὶ τῶν παρεληλυθότων λέγων. καὶ οὐδὲ τοῦτο ὥρισεν, ἄρχοντα προσγράψας ἀφ' οὗ, ἀλλὰ πεποίηκεν οὐ μόνον [5] ἀπο τῆς ἡμέρας ἐν ᾗ τέθεικε, κύριον τὸν νόμον, ἀλλὰ

[1] τῷ νόμῳ. [2] ἐπὶ τούτοις ὁ τιθεὶς [3] Deest μή. [4] μέντοι [5] περὶ

Τριάκοντα ἡμερῶν] Ἐντὸς τριάκοντα ἡμερῶν. Wolf. Iterum, credo, enarrat, non emendat. Quanquam idem supplesse videam Bodl. Taylor. Sub. ἔσονται κύριοι. Auger.

Τούτῳ δὲ, τὸν γεγραμμένον ἄρχειν] Legendum videtur τοῦτον δὲ τὸν γεγραμμένον ἄρχειν, *hanc legem initium capere a tempore eidem adscripto*, non, quomodo Wolfius, *quo prætore rata esse debeat*. Jurin. Revoca antiquam Wolfii versionem, et omnia recte procedent: *jubet, unamquamque ab eo die, quo lata fuerit, esse ratam, nisi si cui adscriptum fuerit tempus: huic vero, scriptum imperare.* Id est: ubi alicui legi tempus certæ Præturæ præstitutum fuerit, ibi præfinitus ille Archon magistratum capessat, antequam Lex rata sit. Taylor.

Τὸν γεγραμμένον] Sub. κατὰ χρόνον. Auger.

Προσεγέγραπτο] Lege προσγέγραπται. Ita Codd. Bar. Reg. *a*. Aug. Vind. Taylor.

Τὸν δὲ νόμον εἶναι κύριον τόνδε] Puto: τόνδε νόμον εὐθὺς εἶναι κύριον, τὸν δὲ — Jurin. Accedit Cod. Ital. — εἶναι κύριον τὸν δὲ ἀπὸ τοῦ μετὰ τὸν νῦν ἄρχοντα. Taylor.

Τοὺς αὐτοὺς τῶν νόμων] Pro τοὺς αὐτοὺς νόμους. Auger.

Μὴ] Dele, me fidejussore, Codd. item Aug. Lind. Bar. et Vind. cum Edit. Moreliana. Totum autem locum ita vertas: *Qui vero postea legem hanc tulit modo recitatam, non æquum censuit, legibus iis, quæ diserte jubentur auctoritatis initium capere, interjecto aliquo tempore, postquam latæ fuerint, auctoritatem dare ab eo ipso die, in quo latæ essent, atque eo pacto ratas habere, priusquam ipse lator postulasset.* Taylor.

Μὲν] Rescribe μέντοι, ut Bar. Aug. Vind. Quod perinde erit ac δέ. Atque id postulat locus. Idem.

Κυρίαν] Puto κύριον. Referri enim videtur non ad ἡμέραν, sed ad νόμον. Jurin. Atque ita vertit Wolfius: et eodem pariter modo scribitur in marg. Benenati. Taylor. Imo κύριον, nempe, νόμον. Auger.

Τοῦτο] M. ταῦτα, referendo ad τῶν παρεληλυθότων. Idem.

Ἀπὸ] Quid hoc monstri? Quid enim

καὶ πρὸ τοῦ γενέσθαι τινὰ ἡμῶν. ἀόριστον γὰρ ἅπαντα τὸν παρεληλυθότα προσπεριείληφε χρόνον. καί τοι χρῆν σε, ὦ Τιμόκρατες, ἢ τοῦτον μὴ γράφειν, ἢ ἐκεῖνον [1]λύειν, καὶ οὐχ, ἵνα ὃ βούλει σὺ γένηται, πάντα τὰ πράγματα συνταράξαι.

ιβ'. Λέγε ἄλλον νόμον.

ΝΟΜΟΣ.

Μηδὲ περὶ τῶν ἀτίμων, ὅπως χρὴ ἐπιτίμους αὐτοὺς εἶναι, μηδὲ περὶ τῶν ὀφειλόντων τοῖς θεοῖς, ἢ τῷ δημοσίῳ [2]τῶν Ἀθηναίων, περὶ ἀφέσεως τοῦ ὀφλήματος, ἢ τάξεως, ἐὰν μὴ ψηφισαμένων Ἀθηναίων τὴν ἄδειαν πρῶτον, μὴ ἔλαττον ἑξακισχιλίων, οἷς ἂν δόξῃ, κρύβδην ψηφιζομένοις. τότε δ' ἐξεῖναι χρηματίζειν, καθ' ὅ,τι ἂν τῇ βουλῇ καὶ τῷ δήμῳ δοκῇ. 715

ἄλλος [3]οὗτος νόμος, οὐκ ἐῶν περὶ τῶν ἀτίμων οὐδὲ τῶν ὀφειλόντων λέγειν, οὐδὲ χρηματίζειν περὶ ἀφέσεως τῶν ὀφλημάτων, ἢ τάξεως, ἐὰν μὴ τῆς ἀδείας δοθείσης, καὶ

[1] λύειν. [καὶ] [2] τῷ [3] οὑτοσὶ

esset, ut succenseres, si Timocrates voluisset legem suam incipere auctoritatem habere *ab eo die*, in quo lata esset? Fecerunt hoc et plurimi. Neque id culpæ vertebatur. Fecit et Diocles, qui nondum ex manibus nostris excidit, ubi ait, leges omnes, in posterum ferendas, κυρίους εἶναι ἀπὸ τῆς ἡμέρας, ἧς ἕκαστος ἐτέθη, p. 713. 23. ed. R. nisi latori aliter visum fuerit. Tu proinde, ut sensus efflagitat, et præstantiores Codd. præ se ferunt, Aug. Ital. Vind. quibuscum Baroc. pene consentit, emendes πρὸ τῆς ἡμέρας. *Cum Timocrates in lege scripsit*, καὶ εἴ τινι προστετίμηται, *indefinite loquens, et de omni anteacta ætate, quid aliud fecit, nisi ut legem suam ratam esse vellet non solum* ante diem, *quo tulit, verum etiam antequam nostrum quisquam nasceretur?* Taylor. πρὸ et non ἀπό. Auger.

ιβ'. Τάξεως] Περὶ ἀφέσεως τάξεως, τουτέστι στρατείας. Wolf. Vides, hominem, quasi parum esset male vertere, id quod male vertit, annotando ingeminare. Verum hujus incogitantiæ Petito olim pœnas dedit, recte neganti, Comment. ad LL. Attic. pag. 470. Edit. Nov. hæc de *militia* intelligi aut posse, aut debere. Quid tamen interea Petitus ipse? In quantum ejus verba intelligam, nam sibi displicuit, cum hæc scripsit, adeoque orationem obumbravit, τάξιν autumavit esse *statum ingenuitatis*. Idem enim, inquit ille, est τάξεως atque ἐπιτίμους εἶναι. Quod ante hunc diem non inaudivi, et credo, post hunc diem me rursus non inauditurum. Ulpianus denique orationem incœptat: Ἄλλο καλεῖ ἄφεσιν, ἄλλο καλεῖ τάξιν. deinde ἄφεσιν pluribus, τάξιν nullis verbis explicat. Quod ille prætermisit, nostrum erit perficere: nam recta insistere mihi visus est via. Per ἄφεσιν τοῦ ὀφλήματος intelligo Tabulas novas, ubi nomen debitoris in spongiam incubuit, et æs alienum vel plene, vel aliqua tenus parte ei condonatur. Τάξις (neque Tu frontem caperabis, si nova videar dicere) est Conventio inter partes, qua debitoris inopiæ ita succurritur, ut quod ille *universum*, salvis rebus familiaribus, reddere nequeat, id *unciatim*, et ad modum constitutum persolvat. Nos *compositionem* vocamus. Ita Hesychius: Τάξις ἡ ἐπὶ ὀφειλομένοις χρήμασι καταβολή. Ita Libanius in argumento Aristogitonianæ, 768. 17. ed. R. ὠνεῖται ὁ ἀδελφὸς αὐτοῦ, τάξιν αἰτησάμενος τοῦ ὀφλήματος, ὥστε ἐν δέκα ἔτεσιν ἐκτίσαι τὸ σύμπαν καθ' ἕκαστον ἔτος τιθεὶς τὸ ἐπιβάλλον μέρος. Thucyd. III. §. 70. ὀφλόντων δὲ αὐτῶν, καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν καθεζομένων, διὰ τὸ πλῆθος τῆς ζημίας, ὅπως ταξάμενοι ἀποδῶσιν. Interpreteris cum Budæo, τεταγμέναις καταβολαῖς, *pensionibus menstruis, vel etiam annuis*. Ita pariter idem Thucyd. I. 117. τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενος ἀποδοῦναι. Ubi σχ. ad locum. Κατὰ χρόνους] οὐδὲ γὰρ εὐπόρουν ἀθρόον ἐκτίσαι τὸ πᾶν. Taylor. Contentio est inter doctos quid significet τάξεως; nullorum mihi arrisit explicatio. Ego interpretatus sum ut potui. Auger.

ταύτης μὴ ἔλαττον, ἢ ἑξακισχιλίων ψηφισαμένων· οὗτος δ' ἔγραψεν ἄντικρυς, καὶ εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ προστετίμηται, εἶναι τὴν ἄφεσιν, πορισαμένῳ τοὺς ἐγγυησομένους, οὐ [1] προστεθέντος οὐδενὸς περὶ τούτων, οὐδὲ δοθείσης ἀδείας λέγειν. καὶ ὁ μὲν νόμος, οὐδ' ἐπειδὰν τὴν ἄδειαν εὕρηταί τις, ἔδωκεν ὡς ἂν βούληται πράττειν, ἀλλ' ὡς ἂν τῇ βουλῇ καὶ τῷ δήμῳ δοκῇ· τῷ δ' οὐκ ἀπέχρησε τοῦτ' ἀδικεῖν μόνον, εἰ μὴ δοθείσης ἀδείας λέγει, καὶ νόμον εἰσφέρει περὶ τούτων, ἀλλὰ καὶ προσέτι οὐκ εἰς τὴν βουλὴν, οὐκ εἰς τὸν δῆμον εἰπὼν περὶ τούτων οὐδὲν, ἐν παραβύστῳ, τῆς βουλῆς μὲν ἀφειμένης, τῶν δὲ ἄλλων διὰ τὴν ἑορτὴν ἱερομηνίαν ἀγόντων, λάθρα τὸν νόμον εἰσήνεγκε. καί τοι χρῆν σε, ὦ Τιμόκρατες, εἰδότα τὸν νόμον τόνδε, ὃν ἀνέγνων, εἴ τι δίκαιον ἐβούλου πράττειν, πρῶτον μὲν πρόσοδον γράψασθαι πρὸς τὴν βουλὴν, εἶτα τῷ δήμῳ διαλεχθῆναι, καὶ οὕτως, εἰ πᾶσιν Ἀθηναίοις ἐδόκει, γράφειν καὶ νομοθετεῖν περὶ τούτων, καὶ τότε τοὺς χρόνους ἀναμείναντα
716 τοὺς ἐκ τῶν νόμων, ἵνα τοῦτον τὸν τρόπον πράττων, εἰ καί

[1] προστεθέντος

Οὐ προστεθέντος οὐδενὸς] Alii προτεθέντος. Forte προθέντος οὐδενὸς, *cum nemo hoc proposuerit*. Wolf. προτεθέντος Ven. Bar. Lind. Aug. Obsop. Ital. Vind. cum Editis Parisina, Manut. Felic. et σχ. Recte sane. *nullo aditu facto, nihilo super ea re prius proposito*, ut debuit. Varii sunt in his vocibus errores. Dixi alibi. Taylor. M. προτεθέντος. Auger.

Ἐν παραβύστῳ] Ad hæc Scholiastes aliquis hæc mira commentatur: ἐν παραβύστῳ, ἀντὶ τοῦ λάθρα, ἐκ μεταφορᾶς τῶν παραπληρωμάτων τῶν ἐκβαλλομένων ἐν ταῖς οἰκοδομίαις ἔνδον. Ex his doceri debemus, non admittenda esse omnia, quæcunque in antiquorum Auctorum scholiis inveniuntur; et scholia conflata esse ex variis Auctoribus, quorum alii eruditi erant, alii vero scioli nullius pretii. Quid enim dicere poterat hic Scholiastes, quo plus suam Græcæ antiquitatis ignorantiam manifestam faceret? Primum enim, dum ἐν παραβύστῳ interpretatur λάθρα, eloquentissimo Demostheni ταυτολογίαν satis indecentem tribuit: nam dicit Demosthenes in eadem periodo, v. 12. λάθρα τὸν νόμον εἰσήνεγκε. Sed ignorabat mirus ille Scholiastes cum sua metaphora, παράβυστον fuisse quandam curiam Athenis, ita dictam, quod ἐν ἀφανεῖ πόλεως ἦν, καὶ ἐπ' ἐλαχίστοις συνήεσαν εἰς αὐτὸ, ut ait Pausanias in Atticis. Ideo arguit Timocratem, quod legem contra morem et constitutiones tulerit in curia, ubi parum frequentes erant Athenienses, non vero ἐν Πνυκὶ, εἰς τὸν δῆμον, vel ἐν βουλευτηρίῳ, εἰς τὴν βουλήν. Nam et παράβυστον significative est *Infartum, Inculcatum* potius, quam *Secretum*. Ideo jure hoc Scholium dici potest παράβυστον, nam infartum et insertum est melioribus, nec credo esse Ulpiani. Sed et peccat locus Demosthenis male interpunctus: legendum enim est: περὶ τούτων οὐδέν· ἐν Παραβύστῳ τῆς βουλῆς etc. Palmer. Vide viros eruditos, qui de hoc Tribunali collegerunt, quæ apud veteres sparsim sunt dicta: Meurs. Attic. Lect. II. 9. et Areopag. c. extrem. Petit. LL. Attic. pag. 395. Adde Sigon. de Rep. Athen. III. 4. et Cel. Hemsterhus. ad Lucian. Necyomant. §. 17. Maussac. ad Harpocrat. pag. 231. Vales. ad pag. 105. Taylor.

Πρόσοδον γράψασθαι πρὸς τὴν βουλὴν] Sic Isocrates Areopagitico: τὴν πρόσοδον ἀπογράψασθαι καὶ ποιήσασθαι. Wolf. Hanc locutionem erudite pro suo more explicat Cel. Hemsterh. ad Luciani Prometh. es in verb. §. 6. Taylor. *per libel-*

τις ἐπεχείρει δεικνύειν οὐκ ἐπιτήδειον ὄντα τῇ πόλει τὸν νόμον, μὴ οὖν ἐπιβουλεύειν γ' ἐδόκεις, ἀλλὰ γνώμῃ διαμαρτὼν ἀποτυχεῖν. νῦν δὲ τῷ λάθρα, καὶ ταχὺ, καὶ παρὰ τοὺς νόμους ἐμβαλεῖν τὸν νόμον εἰς τοὺς νόμους, καὶ μὴ θεῖναι, πᾶσαν ἀφῄρησαι σαυτοῦ [1] τὴν συγγνώμην. τοῖς γὰρ ἄκουσιν ἁμαρτοῦσι μέτεστι συγγνώμης, οὐ τοῖς ἐπιβουλεύσασιν· ὃ σὺ νῦν εἵλησαι ποιῶν.

ιγ'. Ἀλλὰ γὰρ αὐτίκα ἐρῶ περὶ τούτων, νῦν δ' ἀναγίγνωσκε τὸν ἑξῆς νόμον.

ΝΟΜΟΣ.

Ἐὰν δέ τις ἱκετεύῃ ἐν τῇ βουλῇ, ἢ ἐν τῷ δήμῳ, περὶ ὧν δικαστήριον, [2] ἡ βουλὴ, ἢ ὁ δῆμος κατέγνω, ἐὰν μὲν [3] αὐτὸς ὄφλων ἱκετεύῃ πρὶν ἐκτίσαι, ἔνδειξιν εἶναι κατ' αὐτοῦ, καθάπερ ἐάν τις ὀφείλων τῷ δημοσίῳ ἡλιάζηται. ἐὰν δ' ἄλλος ὑπὲρ τοῦ ὠφληκότος ἱκετεύῃ πρὶν ἐκτίσαι, δημοσία ἔστω αὐτοῦ ἡ οὐσία πᾶσα. ἐὰν δέ τις τῶν προέδρων δῷ τινὶ τὴν ἐπιχειροτονίαν, ἢ αὐτῷ τῷ ὠφληκότι, ἢ ἄλλῳ ὑπὲρ ἐκείνου, πρὶν ἐκτίσαι, ἄτιμος ἔστω.

ἔστι μὲν ἔργον, ὦ ἄνδρες δικασταὶ, εἰ περὶ πάντων τῶν νόμων, οἷς οὗτος ἐναντίον εἰσενήνοχεν, ἐροῦμεν· ἄξιον δὲ εἴπερ περί του καὶ ἄλλου, καὶ περὶ τοῦδε, ὃν νῦν ἀνέγνω, διελθεῖν. ὁ γὰρ τὸν νόμον τοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, θεὶς, ᾔδει τὴν φιλανθρωπίαν καὶ τὴν πραότητα τὴν ὑμετέραν, καὶ διὰ ταύτην ἑώρα περὶ πολλῶν ὑμᾶς ἑκόντας ἤδη ποτὲ μεγάλα ζημιωθέντας. βουλόμενος δὴ μηδεμίαν πρόφασιν τοῦ τὰ κοινὰ κακῶς ἔχειν ὑπολιπεῖν, τοὺς μετὰ τῶν νόμων κρίσει καὶ δικαστηρίῳ μὴ δίκαια ποιεῖν ἐγνωσμένους, 717
οὐκ ᾤετο δεῖν τῆς εὐηθείας τῆς ὑμετέρας ἀπολαύειν, τὸ δεῖσθαι καὶ μετὰ συμφορᾶς ἱκετεύειν, ἔχοντας ἀφορμήν· ἀλλ' ὅλως ἀπεῖπε, μήτ' αὐτῷ, μήτ' ἄλλῳ μηδενὶ, μήθ' ἱκετεύειν, μήτε λέγειν [4] ὑπὲρ τοιούτων, ἀλλὰ ποιεῖν τὰ δίκαια σιγῇ. εἰ τοίνυν τις ἔροιθ' ὑμᾶς, ποτέροις μᾶλλον ἂν

[1] [τὴν] [2] ἢ ἡ βουλὴ [3] αὐτὸς ὁ *ὀφείλων [4] ὑπὲρ τῶν τοιούτων

lum obtinere aditum ad Senatum. AUGER.

Ἀλλὰ γνώμῃ διαμαρτὼν ἀποτυχεῖν] Apud Isocratem: τῆς γνώμης ἢ διανοίας διαμαρτεῖν, ἢ διεψεῦσθαι. WOLF.

Καὶ μὴ θεῖναι] Legendum: καὶ μὴ ἐκθεῖναι, nempe πρέσθε τῶν ἐπωνύμων. Vid. §. ς'. fin. JURIN.

ιγ'. Ἡ βουλὴ] Meliores Codd. Bar. Vindob. Aug. Lind. etc. necessarios articulos hic adjiciunt, quos errore et literarum similitudine excidisse arbitror, ἢ ἡ βουλὴ, et, αὐτὸς ὁ ὄφλων. TAYLOR. et AUGER.

Ἐὰν δέ τις τῶν προέδρων etc.] *Si dederit alicui suffragiorum jus.* Δοῦναί τινι τὴν ἐπιχειροτονίαν, *dare alicui suffragationem.* Utrum est, comprobare postulationem alicujus, an, dare aliis decernendi potestatem? WOLF.

Ἀνέγνω] *Recitavit*, nempe, Scriba. AUGER.

εἰκότως ποιήσαιθ' ὅτιοῦν, τοῖς δεομένοις ἢ τοῖς ἐπιτάττουσιν, οἷδ' ὅτι φήσαιτ' ἂν τοῖς δεομένοις. τὸ μὲν γὰρ, χρηστῶν, τὸ δ' ἀνάνδρων ἀνθρώπων ἔργον ἐστίν. οὐκοῦν οἱ νόμοι μὲν ἅπαντες προστάττουσιν ἃ χρὴ ποιεῖν· οἱ τιθέντες δὲ τὰς ἱκετηρίας, δέονται. εἰ τοίνυν ἱκετεύειν οὐκ ἔξεστιν, ἤ που νόμον γ' ἐπίταγμα ἔχοντα εἰσφέρειν; ἐγὼ μὲν οὐκ [1]οἶμαι. καὶ γὰρ αἰσχρὸν, περὶ ὧν μηδὲ χαρίζεσθαι δεῖν ὑπειλήφατε, περὶ τούτων, ἀκόντων ὑμῶν, ἐᾶν, ἃ τινες βούλονται, πραχθῆναι.

ιδ'. Λέγε τὸν μετὰ τοῦτον ἐφεξῆς νόμον.

ΝΟΜΟΣ.

Ὅσων δίκη πρό-ερον ἐγένετο, ἢ εὐθύνα, ἢ διαδικασία περί του ἐν δικαστηρίῳ, ἢ [2]ἰδίᾳ ἢ δημοσίᾳ. ἢ τὸ δημόσιον ἀπέδοτο, μὴ εἰσάγειν περὶ τούτων εἰς τὸ δικαστήριον, μηδ' ἐπιψηφίζειν τῶν ἀρχόντων μηδένα, μηδὲ κατηγορεῖν ἐώντων, ἃ οὐκ ἐῶσιν οἱ νόμοι.

Τιμοκράτης τοίνυν, ὥσπερ μαρτυρίαν ὧν ἀδικεῖ γράφων, εὐθὺς ἀρχόμενος τοῦ νόμου, τἀναντία ἔθηκε τούτοις. ὁ μέν γε οὐκ ἐᾷ, περὶ ὧν ἂν ἅπαξ γνῷ τὸ δικαστήριον, πάλιν χρηματίζειν· ὁ δ' ἔγραψε, καὶ εἴ τινι προστετίμηται κατὰ νόμον, ἢ κατὰ ψήφισμα, τὸν δῆμον τούτῳ χρηματίζειν,
718 ὅπως ἃ μὲν ἔγνω τὸ δικαστήριον, λυθήσεται, καταστήσῃ δ' ἐγγυητὰς ὁ [3]ὄφλων. καὶ ὁ μὲν νόμος μηδ' ἐπιψηφίζειν φησὶ τῶν ἀρχόντων παρὰ ταῦτα μηδένα· ὁ δ' ἔγραψε τοῖς προέδροις ἐπάναγκες, ἐάν τις καθιστῇ, προσάγειν, καὶ προσέγραψεν, ὁπότ' ἄν τις βούληται.

ιέ. Λέγε [4]δ' ἕτερον νόμον.

[1] οἶμαι [2] ἰδίᾳ, ἢ δημοσίᾳ, [3] ὀφείλων [4] [δ']

Ἀνάνδρων] Alii ἀναιδῶν. *Illud impudentiæ*, sub. eorum, qui imperant. Wolf. Retine tamen ἀνάνδρων cum libris pluribus et melioribus. Taylor.

ιδ'. Δίκη—εὐθύνη—διαδικασία] Quantum inter hæc intersit, pene docuit Petitus LL. Attic. Lib. IV. Tit. VIII. ex Ulpiano nostro. Propemodum me fugit adjicere, vocem εὐθύνη in quibusdam Codd. ita reperiri scriptam et accentu notatam, sc. εὔθυνα, id quod idem Scholiastes admonuit: περὶ δὲ τοῦ λόγου (forte τόνου) τῆς εὐθύνης, ἤδη εἴπαμεν, ὅτι προπαροξύνεται. Idem.

Ἢ τὸ δημόσιον ἀπέδοτο] Περὶ ὧν ὁ δῆμος ἐχρημάτισε. Wolf. V. D'Orville ad Charit. Aphrod. Lib. III. cap. IV. p. 292.

Ἐπιψηφίζειν] Wolfius: *decernito*. Puto potius: *agendi potestatem faciat*. Ita etiam infra, v. 22. Jurin.

Χρηματίζειν] *Vacare, in concionem convenire*, non, *respondere*, quod vult Wolfius. Idem.

Ὄφλων] Forte ὁ ὄφλων, et v. antepen. ἐάν τις καθιστῇ. [Alii καθίστη.] Wolf.

ΝΟΜΟΣ.

Τὰς δίκας καὶ τὰς διαίτας, ὅσαι ἐγένοντο ἐπὶ τοῖς νόμοις ἐν δημοκρατουμένῃ[1] *πόλει, κυρίας εἶναι.*

οὔ, φησι Τιμοκράτης· οὔκουν ὁπόσοις γ' ἂν δεσμοῦ προστιμηθῇ· Λέγε.

ΝΟΜΟΣ.

Ὁπόσα δ' ἐπὶ τῶν τριάκοντα ἐπράχθη, ἢ δίκη ἐδικάσθη, ἢ[2] *ἰδίᾳ ἢ δημοσίᾳ, ἄκυρα εἶναι.*

ἐπίσχες. εἰπέ μοι τί δεινότατον πάντες ἂν ἀκούσαντες φήσαιτε, καὶ τί ἂν μάλιστα ἀπεύξαισθε; οὐχὶ ταῦτα τὰ πράγματα, ἅπερ ἦν ἐπὶ τῶν τριάκοντα, μὴ γενέσθαι; ἔγωγ' οἶμαι. ὁ γοῦν νόμος οὗτοσὶ εὐλαβούμενος, ὡς ἐμοὶ δοκεῖ, τὸ τοιοῦτον, ἀπεῖπε τὰ πραχθέντα ἐπ' ἐκείνων μὴ κύρια εἶναι. οὗτοσὶ τοίνυν τὴν αὐτὴν κατέγνω παρανομίαν τῶν ἐπὶ τῆς δημοκρατίας πεπραγμένων, [3]ἥνπερ ἐπ' ἐκείνων ὑμεῖς· ὁμοίως γοῦν ἄκυρα ποιεῖ. καί τοι τί φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον κύριον τὸν νόμον ἐάσαντες γενέσθαι; πότερον τὰ δικαστήρια, ἃ δημοκρατουμένης τῆς πόλεως ἐκ τῶν ὀμωμοκότων πληροῦται, ταὐτὰ ἀδικήματα τοῖς ἐπὶ τῶν τριάκοντα ἀδικεῖν; καὶ πῶς οὐ δεινόν; ἀλλὰ δικαίως ἐψηφίσθαι; τίνος οὖν ἕνεκα τὸν λύσοντα ταῦτα νόμον θέσθαι φήσομεν; πλὴν εἰ μὴ τοῦτό τις εἴποι, μα- 719
νέντες. ἄλλο γὰρ οὐκ ἔστιν εἰπεῖν.

ις'. Λέγ' ἕτερον νόμον.

ΝΟΜΟΣ.

Μηδὲ νόμον ἐξεῖναι ἐπ' ἀνδρὶ θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις τιθῇ, ψηφισαμένων μὴ ἔλαττον ἑξακισχιλίων, οἷς ἂν δόξῃ, κρύβδην ψηφιζομένοις.

[1] τῇ πόλει [2] ἰδίᾳ, ἢ δημοσίᾳ [3] ἥνπερ τῶν ἐπ'

Ἐν δημοκρατουμένῃ πόλει] Alii, et melius, ἐν δημοκρατουμένῃ τῇ πόλει. Sunt autem MSti Ven. Aug. Obsop. Ital. Vind. Ita erit, *libera* hac nostra repub. Aliter, non ita fuisset. Vid. infra, v. 13. TAYLOR.

Ἀπεύξαισθε] Ita restitui cum Editt. et MStis plerisque. Wolfius ex Aldo solo arripuit suum ἐπεύξαισθε, licet nobiscum interpretetur. IDEM. Imo ἀπεύξαισθε. AUGER.

Ἥνπερ] Ἥνπερ τῶν ἐπ' ἐκείνων ὑμεῖς. Bodl. Vide, annon rectius. TAYLOR.

Τιθῇ] Nempe ὁ γράφων νόμον. AUGER.

Ψηφισαμένων] Pei us ad LL. Attic. L. II. Tit. I. pag. 188. refingit ἐὰν μὴ ψηφισαμένων etc. Quasi relinqueretur et privilegiis gratia. Ita in lege superiore utitur simili exceptione, §. ιβ'. Μηδὲ περὶ τῶν ἀτίμων — ἐὰν μὴ ψηφισαμένων Ἀθηναίων τὴν ἄδειαν πρῶτον μὴ ἔλαττον ἑξακισχιλίων. Verum puto id non jam obtinere: neque Athenis

οὐκ ἐᾷ νόμον, ἀλλ' ἢ τὸν αὐτὸν τιθέναι κατὰ τῶν πολιτῶν [1] πάντων, καλῶς καὶ δημοτικῶς λέγων. ὥσπερ γὰρ τῆς ἄλλης πολιτείας ἴσον μέτεστιν ἑκάστῳ, οὕτω καὶ τούτων ἴσον μετέχειν ἕκαστον ἀξιοῖ. δι' οὓς μὲν τοίνυν οὗτος εἰσέφερε τὸν νόμον, ὑμεῖς οὐδὲν ἐμοῦ χεῖρον γιγνώσκετε· ἄνευ δὲ τούτων, αὐτὸς ὡμολόγησε μὴ ἐπὶ πᾶσι τὸν αὐτὸν τεθεικέναι, πλὴν περὶ τῶν τελωνῶν, καὶ τῶν μισθουμένων, καὶ τῶν τούτων ἐγγυητῶν, χρῆσθαι προσγράψας τῷ νόμῳ. οὐκοῦν ὁπότε εἰσί τινες οὓς ἀφορίζεις, οὐκ ἂν ἔτι εἴης ἐπὶ πᾶσι τὸν αὐτὸν τεθεικώς. καὶ μὴν οὐδ' ἐκεῖνό γ' ἂν εἴποις, ὡς ὅσοις δεσμοῦ προστιμᾶται, τούτων τὰ [2] μάλιστα, ἢ τὰ μέγιστα ἀδικοῦσιν οἱ τελῶναι, ὥς τε μόνοις αὐτοῖς μὴ μεταδοῦναι τοῦ νόμου. πολὺ γὰρ δήπου μᾶλλον οἱ προδιδόντες τι τῶν κοινῶν, ἢ οἱ τοὺς γονέας κακοῦντες, ἢ οἱ μὴ καθαρὰς τὰς χεῖρας ἔχοντες, εἰσιόντες [3] δ' εἰς τὴν ἀγορὰν, ἀδικοῦσιν· οἷς ἅπασιν οἱ μὲν ὑπάρχοντες νόμοι, δεσμὸν προλέγουσιν, ὁ δὲ σὸς, λελῦσθαι δίδωσιν. ἀλλ' ἐνταῦθα πάλιν καταμηνύεις, ὑπὲρ ὧν ἐτίθεις. διὰ γὰρ τὸ μὴ τελωνήσαντας ὀφείλειν αὐτοὺς, ἀλλὰ κλέψαντας, μᾶλλον δὲ
720 ἀφιστάντας τὰ χρήματα, διὰ τοῦτ' οὐκ ἐφρόντισας, οἶμαι, τῶν τελωνῶν.

ιζ'. Πολλοὺς δ' ἄν τις ἔχοι νόμους ἔτι καὶ καλῶς ἔχοντας δεικνύναι, οἷς πᾶσιν ἐναντίος ἐστὶν ὃν οὗτος τέθεικεν. ἀλλ' ἴσως ἐγὼ μὲν, εἰ περὶ πάντων ἐρῶ, ἐξωσθήσομαι περὶ τοῦ μηδ' ἐπιτήδειον ὅλως ὑμῖν εἶναι τὸν νόμον εἰπεῖν· ὑμῖν δ' ὁμοίως ἔνοχος φανεῖται τῇ γραφῇ, καὶ εἰ ἑνὶ τῶν ὄντων νόμων ἐναντίος ἐστί. [4] τοιγαροῦν μοι δοκεῖ τοὺς μὲν

[1] πάντων τῶν πολιτῶν [2] [μάλιστα, ἢ τὰ] [3] [δ'] [4] πῶς οὖν; δοκεῖ μοι τοὺς

Atticis, ubi toties prædicarent *libertatem æquam fuisse omnibus*, privas leges ullo obtentu aut conditionibus rogari potuisse. Credo præterea, ab optimis exemplaribus hanc ultimam clausulam abesse. TAYLOR.

Οἷς ἂν δέξῃ] Alias οἷς ἂν ἐξῇ, vel οἷς ἔξεστι, ut οἱ ἄτιμοι excludantur. WOLF.

Οὕτω καὶ τούτων ἴσον μετέχειν] Ἴσον, aut ἐξ ἴσου. IDEM. ἴσου habent Editi. TAYLOR. ἴσον, adv. *æqualiter*. AUGER.

Τὰ μάλιστα ἢ] Hæc tria verba videntur supervacanea. IDEM.

Μὴ καθαρὰς τὰς χεῖρας ἔχοντες] De hac locutione, quam Ulpianus exponit εἰ ἀνδροφόνοι, et μὴ καθαροὶ τὰς χεῖρας, vide Bergler. ad Alciphr. Epist. Lib. I. ep. 3. p. 46.

Ἔχοι] Ita reposui juxta Par. et Bodl. Vulg. ἔχει. TAYLOR.

Περὶ] Abest ab optimo Reg. α. et Bodl. Idque satius. ἐξωσθήσεμαι τοῦ εἰπεῖν. IDEM.

ιζ'. Πῶς ἂν μοι δοκεῖ] Alii πῶς οὖν. Neutrum placet. Malim τοιγαροῦν μοι δοκεῖ. WOLF. Ab Editis et MSS. omnibus perperam discedit hic homo, sua nimium sen-

ἄλλους ἐᾶν, περὶ δ' οὗ πρότερόν ποτε αὐτὸς οὗτος ἔθηκε [1] νόμον διελθόντα, ἐπ' ἐκεῖνο ἰέναι τὸ μέρος τῆς κατηγορίας ἤδη, ὡς καὶ μεγάλα ἂν βλάπτοι, γενόμενος κύριος, τὴν πόλιν. τὸ μὲν οὖν τοῖς τῶν ἄλλων ἐναντίον εἰσενηνοχέναι νόμον, δεινὸν μέν, ἀλλ' ἄλλου δεῖται κατηγόρου· τὸ δὲ τῷ ὑφ' ἑαυτοῦ πρότερον κειμένῳ νόμῳ τἀναντία θεῖναι, τοῦτ' ἤδη ποιεῖ κατήγορον αὐτὸν αὑτοῦ γεγενῆσθαι. ἵν' οὖν τοῦτ' εἰδῆτε γιγνόμενον, ἀναγνώσεται τὸν νόμον ὑμῖν αὐτόν, ὃν οὗτος ἔθηκεν· ἐγὼ δὲ σιωπήσομαι. λέγε.

ΝΟΜΟΣ.

Τιμοκράτης εἶπεν. Ὁπόσοι Ἀθηναίων κατ' εἰσαγγελίαν ἐκ τῆς βουλῆς, ἢ νῦν εἰσὶν ἐν τῷ δεσμωτηρίῳ, ἢ τὸ λοιπὸν κατατεθῶσι, καὶ μὴ παραδοθῇ ἡ κατάγνωσις αὐτῶν τοῖς θεσμοθέταις ὑπὸ τοῦ γραμματέως τοῦ κατὰ πρυτανείαν, κατὰ τὸν εἰσαγγελτικὸν νόμον, δεδόχθαι τοῖς θεσμοθέταις, εἰσάγειν τοὺς ἕνδεκα εἰς τὸ δικαστήριον [2] ἐντὸς τριάκονθ' ἡμερῶν, ἀφ' ἧς ἂν παραλάβωσιν, ἐὰν μή τι δημοσίᾳ [3] κωλύσῃ· ἐὰν δὲ μή, ὅταν πρῶτον οἷόν τ' ᾖ.

[1] νόμου, [2] [ἐντὸς] [3] κωλύῃ

tentia fretus. Restitue igitur πᾶς οὖν; cum interrogatione. δοκεῖ μοι et cætera. TAYLOR.

Νόμον] Νόμου forte, uti habent Bar. Aug. Linden. cum Editt. Fel. et Manut. IDEM. Pro νόμον, νόμου. AUGER.

Εἰσαγγελίαν] Isti rei explicandæ destinavit Vir summus, et de jure hoc nostro præclare meritus, Desid. Heraldus, libri tertii Animadv. in Salmas. Observat. ad jus Attic. et Rom. Capp. 7. 8. 10. et 14. Observat. item et Emendat. Cap. 49. quæ proinde sunt consulenda. Legem vero ita vertit: *Timocrates retulit. Quicunque Atheniensium ob denunciationem, curiæ jussu, vel nunc in carcere sunt, vel postea conjicientur, quorum condemnatio a scriba Prytaneæ non fuerit Thesmothetis secundum legem de denunciationibus tradita, PLACERE, ab* XIviris *eos in judicium deduci, intra trigesimum diem, ex quo iis traditi sint, nisi quid publicitus obstet; sin minus, cum primum id fieri potuerit. Eos autem accusari a quolibet Atheniensium, qui volet, cuique per leges licet. Sin autem criminis teneri sit judicatus, quid eum pati aut solvere oporteat, Heliæa judicato. Si pœna pecuniaria ei indicta fuerit, in vinculis custodiatur, donec solverit, quanti damnatus erit.* Lata est Lex de gravioribus maleficiis, a Senatu ad Curiam remissis. Erant enim delicta quædam leviora, et εἰσαγγελίᾳ obnoxia, quæ sola τῶν D. auctoritate coerceri poterant, ut docet Pollux L. VIII. C. VI. — κἂν μὲν μέτρια ἀδικεῖν δοκῇ, ἡ βουλὴ ποιεῖται ζημίας ἐπιβολήν· ἂν δὲ μείζω, παραδίδωσι δικαστηρίῳ. De his itaque statuit Lex Timocratea, quicquid demum id sit, quod statuerit. Hoc autem cavere mihi maxime videtur. *Remissa causa a Senatu ad Curiam, utpote quæ gravior visa est, et Reis interea in carcere vinctis, Scriba Prytaneæ istius Concilii acta ad Thesmothetas transmittat, quorum erat officium incarceratos in judicium sistere. Quod si Scriba insuper habuerit, neque id fecerit, liceat hac lege Lictoribus ipsis, τοῖς* XIviris, *id sua auctoritate facere, quod aliter Thesmothetarum munus erat descriptum.* Unde Heraldo assentior rescribenti v. antepen. τοὺς θεσμοθέτας, et deinde judico, eas voces ita reformatas e textu, tanquam glossam nullius pretii, esse amovendas. Nam homuncio nescio quis, qui legem perperam intellexit, autumans, nemini licere præter Thesmothetas Reum pro tribunali sistere, exadversum τῷ τοὺς ἕνδεκα, allevit istam bellam annotatiunculam. TAYLOR.

Δεδόχθαι τοῖς θεσμοθέταις] Hæc duo verba [sc. τοῖς θεσμ.] delenda mihi videntur. Post εἰσάγειν et παραλάβωσιν subaudi τοὺς κατεγνωσμένους ὑπὸ τῆς βουλῆς καὶ δεδεμένους. AUGER.

Ἐὰν μή τι δημοσίᾳ κωλύσῃ] [Vulgo μή τι τῇ δημοσίᾳ] et p. 297. v. 3. δεδέσθω ἕως ἄν. Alii τέως: alii τε ἕως. Forte utrumque retinendum, τέως ἕως, etsi priore non est

κατηγορεῖν δὲ Ἀθηναίων τὸν βουλόμενον, οἷς ἔξεστιν. ἐὰν δ' ἁλῷ, τιμάτω ἡ Ἡλιαία περὶ αὐτοῦ, ὅ,τι ἂν δοκῇ ἄξιος εἶναι παθεῖν, ἢ ἀποτίσαι. ἐὰν δ'
721 *ἀργυρίου τιμηθῇ, δεδέσθω τέως, ἕως ἂν ἐκτίσῃ ὅ,τι ἂν αὐτοῦ καταγνωσθῇ.*

ἀκούετε, ὦ ἄνδρες δικασταί; λέγε αὐτοῖς αὐτὸ τοῦτο πάλιν.

ΝΟΜΟΣ.

Ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεδέσθω τέως, ἕως ἂν ἐκτίσῃ.

πέπαυσο. ἔστιν οὖν ὅπως ἂν ἐναντιώτερά τις δύο θείη, τοῦ δεδέσθαι τε ἕως ἂν ἐκτίσωσι τοὺς ἁλόντας, καὶ τοῦ καθιστάναι τοὺς αὐτοὺς τούτους ἐγγυητάς, ἀλλὰ μὴ δεῖν; ταῦτα τοίνυν κατηγορεῖ Τιμοκράτης Τιμοκράτους, οὐ Διόδωρος, οὐδ' ἄλλος ἡμῶν οὐδεὶς τοσούτων ὄντων τὸ πλῆθος. καί τοι τίνος ἂν ὑμῖν ἀποσχέσθαι [1]δοκῇ λήμματος, ἢ τί [2]ποιεῖν ὀκνῆσαι κέρδους ἕνεκα, ὅς τις ἐναντία αὐτὸς ἑαυτῷ νομοθετεῖν ἠξίωσεν, οὐδὲ τοῖς ἄλλοις [3]τῶν νόμων ἐώντων; ἐμοὶ μὲν γὰρ ἕνεκα ἀναιδείας ὁ τοιοῦτος δοκεῖ πᾶν ἂν ἑτοίμως ἔργον ποιῆσαι. ὥσπερ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν περὶ τἄλλα [4]κακούργων τοὺς ὁμολογοῦντας ἄνευ κρίσεως κολάζειν οἱ νόμοι [5]κελεύουσιν, οὕτω δίκαιον καὶ [6]τοῦτον, ἐπειδὴ τοὺς νόμους κακουργῶν εἴληπται, μὴ δόντας λόγον, μηδ' ἐθελήσαντας ἀκοῦσαι, καταψηφίσασθαι. ὡμολόγηκε γάρ, [7]θατέρῳ τῷ προτέρῳ νόμῳ ἐναντίον τόνδε τιθεὶς, ἀδικεῖν.

ιή. Ὅτι μὲν τοίνυν καὶ παρὰ τούτους τοὺς νόμους, καὶ παρὰ τοὺς προειρημένους, καὶ μικροῦ δέω παρὰ πάντας εἰπεῖν τοὺς ὄντας ἐν τῇ πόλει τέθεικε τὸν νόμον, [8]οἶμαι δῆλον ἅπασιν ὑμῖν εἶναι. θαυμάζω δ' αὐτοῦ τί ποτε καὶ

[1] δοκεῖ [2] ποιεῖν ἂν ὀκνῆσαι [3] τῶν νόμων οὐδὲ τοῖς ἄλλοις [4] κακουργούντων [5] κελεύουσιν οἱ νόμοι [6] τούτου [7] θάτερον [8] οἴομαι

opus. Wolf.

Ἐὰν δ' ἁλῷ] *Si convictus fuerit quicumque ille sit de condemnatis a Senatu.* Numerus singularis pro plurali. Auger.

Καὶ τοῦ καθιστάναι — δεῖν] Forte δεῖσθαι. Wolf.

Οὐδὲ τοῖς ἄλλοις τῶν νόμων ἐώντων] Sub. ἐναντία νομοθετεῖν, ἀπὸ κοινοῦ. Idem.

Ἕνεκα ἀναιδείας] Οὕτως ἀναιδὴς ἄν. Idem.

Τοῦτον — καταψηφίσασθαι] H. Steph. Thes. Gr. L. T. IV. col. 732. dubitat de ista constructione, amplexus potius, quod adscriptum reperit ex Vet. Cod. auctoritate margini exemplaris, τούτου sc. Ita etiam Editt. Man. et Felic. cum MStis quibusdam. Taylor. Vid. D'Orville ad Charit. Aphrod. Lib. VI. cap. V. p. 562.

Θατέρῳ] Semper ausculto libris his melioribus, Ven. Bar. Aug. Vind. Hi autem pro θατέρῳ, θάτερον. Vide ergo, annon hæc nostra præstent! ὡμολόγηκε γὰρ θάτερον, τῷ προτέρῳ νόμῳ ἐναντίον τόνδε τιθεὶς, ἀδικεῖν. *Cum duas adversus leges suaserit, in altera certe peccavit.* Taylor. Sic distinguo: ὡμολόγηκε γὰρ θατέρῳ, τῷ προτ. Auger.

ιή. Τούτους τοὺς νόμους] M. τοῦτον τὸν νόμον, nempe, legem ipsam Timocratis. Auger.

τολμήσει λέγειν περὶ τούτων. οὔτε γὰρ, ὡς οὐκ ἐναντίος ἐστὶ ὁ νόμος τοῖς ἄλλοις, δεικνύειν ἕξει, οὐδ' ὡς δι' ἀπειρίαν, ἰδιώτην [1] αὐτὸν ὄντα τοῦτ' ἔλαθε, δύναιτ' ἂν πεῖσαι· 722
πάλαι γὰρ μισθοῦ καὶ γράφων, καὶ νόμους εἰσφέρων ὤπται. καὶ μὴν οὐδ' ἐκεῖνό γ' ἔνεστιν αὐτῷ, ἀδίκημα μὲν εἶναι τὸ πρᾶγμα ὁμολογῆσαι, συγγνώμης δὲ τυχεῖν ἀξιοῦν. οὐδὲ γὰρ ἄκων, οὐδ' ὑπὲρ ἠτυχηκότων, οὐδ' ὑπὲρ συγγενῶν καὶ ἀναγκαίων αὐτῷ, τεθεικὼς φαίνεται τὸν νόμον, ἀλλ' ἑκὼν, ὑπὲρ μεγάλα ἠδικηκότων ὑμᾶς, οὐδὲν προσηκόντων αὐτῷ, πλὴν εἰ μὴ συγγενεῖς ὑπολαμβάνειν φήσει τοὺς μισθουμένους αὐτόν.

ιθ'. Ὡς τοίνυν οὐδ' ἐπιτήδειον νόμον [2] ὑμῖν, οὐδὲ συμφέροντ' εἰσενήνοχε, τοῦτ' ἤδη πειράσομαι νυνὶ δεικνύναι. [3] οἶμαι δὴ πάντας [4] ἂν ὁμολογῆσαι, δεῖν τὸν ὀρθῶς ἔχοντα νόμον, καὶ συνοίσειν μέλλοντα τῷ πλήθει, πρῶτον μὲν ἁπλῶς καὶ πᾶσιν ὁμοίως γνωρίμως γεγράφθαι, καὶ μὴ τῷ μὲν, εἶναι ταυτὶ περὶ αὐτοῦ νομίζειν, τῷ δὲ, ταυτί· ἔπειτα εἶναι δυνατὰς τὰς πράξεις, ἃς δεῖ γίγνεσθαι διὰ τοῦ νόμου. εἰ γὰρ αὖ καλῶς μὲν ἔχοι, μὴ δυνατὸν δέ τι φράζοι, εὐχῆς οὐ νόμου διαπράττοιτ' ἂν ἔργον. πρὸς [5] δὴ τούτοις, οὐδενὶ τῶν ἀδικούντων φαίνεσθαι μηδεμίαν διδόντα ῥαστώνην. εἰ γὰρ δημοτικόν τις ὑπείληφε τὸ πράους εἶναι τοὺς νόμους, τίσι τούτοις προσεξεταζέτω· κἂν περ ὀρθῶς βούληται σκοπεῖν, εὑρήσει τοῖς κρίνεσθαι μέλλουσιν, οὐ τοῖς ἐξεληλεγμένοις. ἐν μὲν γὰρ τοῖς, ἄδηλον, εἴ τις [6] ἔνεστ' ἀδίκως διαβεβλημένος· τοῖς δὲ, οὐδὲ λόγος λείπεται τὸ μὴ οὐ πονηροῖς εἶναι. τούτων τοίνυν ὧν διεξελήλυθα ἐγὼ [7] νῦν, οὐδ' ὁτιοῦν οὗτος ἔχων ὁ νόμος φανήσεται, τἀναντία δ'

[1] [αὐτὸν] ὄντα [τοῦτ'] [2] ὑμῖν νόμον [3] οἶομαι [4] ἂν ὑμᾶς ὁμολογῆσαι [5] δὲ [6] ἔστ' [7] νυνὶ

Καὶ γράφων] Lege καὶ γράφων νόμους καὶ etc. Idem.

Οὐδὲν] Videntur deesse Conjunctiones: μεγάλα μὲν ἠδικηκότων ὑμᾶς, οὐδὲν δὲ προσηκόντων αὐτῷ. Wolf. Vel potius cum Ven. ὑπὲρ μεγάλα ἠδικηκότων ὑμᾶς, καὶ οὐδὲν προσηκόντων αὐτῷ. Taylor.

ιθ'. Πάντας ἂν] Rescribe, ut scribunt Codd. πάντας ἂν ὑμᾶς ὁμολογῆσαι. Idem.

Εἰ γὰρ δημοτικόν—προσεξεταζέτω] "Prior periodus tota in posteriore membro supplenda et accommodanda." D'Orville ad Char. Aphrod. Lib. III. cap. III. p. 257. V.

Τούτοις προσεξεταζέτω] M. τούτους referendo ad νόμους. sub. δεῖ πράους εἶναι. Auger.

Τοῖς δὲ --- πονηροῖς εἶναι] De hac constructione vide D'Orville ad Charit. Aphrod. Lib. V. cap. IV. p. 452.

ἑξῆς πάντα. πολλαχόθεν μὲν οὖν ἄν τις ἔχῃ τοῦτο διδά-
723 σκειν, μάλιστα δὲ τὸν νόμον αὐτόν, ὃν τέθεικε, διεξιών.
ἔστι γὰρ οὐ τὸ μὲν αὐτοῦ καλῶς κείμενον, τὸ δὲ, ἡμαρτη-
μένον, ἀλλ' ὅλος ἐξ ἀρχῆς ἀπὸ τῆς πρώτης συλλαβῆς
μέχρι τῆς τελευταίας, ἐφ' [1]ὑμᾶς κεῖται. λάβε δ' αὐτοῖς
τὴν γραφὴν ταύτην, καὶ μέχρι τοῦ πρώτου μέρους ἀνάγνω-
θι τὸν νόμον. ῥᾷστα γὰρ οὕτως ἐγώ τε διδάξω, καὶ ὑμεῖς
μαθήσεσθε ἃ λέγω.

ΝΟΜΟΣ.

Ἐπὶ [2]δὲ Πανδιονίδος [3]πρώτης πρυτανείας δωδεκάτῃ τῶν προέδρων, ἐπεψήφισεν Ἀριστοκλῆς Μυῤῥινούσιος, Τιμοκράτης εἶπε· Καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται κατὰ νόμον, ἢ κατὰ ψήφισμα, δεσμοῦ, ἢ [4]τολοιπὸν προστιμηθῇ, εἶναι αὐτῷ, ἢ ἄλλῳ ὑπὲρ ἐκείνου, ἐγγυητὰς καταστῆσαι.

ἐπίσχες. αὐτίκα γὰρ καθ' ἕκαστον ἀναγνώσῃ. τουτὶ πάντων, ὦ ἄνδρες δικασταὶ, τῶν γεγραμμένων ἐν τῷ νόμῳ σχεδόν ἐστι δεινότατον. [5]οἶμαι γὰρ οὐδένα ἀνθρώπων ἄλλον τολμῆσαι, νόμον εἰσφέροντα, ἐπὶ τῷ χρῆσθαι τοὺς πολίτας αὐτῷ, τὰς κατὰ τοὺς πρότερον κυρίους νόμους

[1] ὑμῖν [2] τῆς [3] πρώτης τῆς πρυτανείας [4] τὸ λοιπὸν [5] οἴομαι

Ἔχῃ] Ἔχοι Bar. et Vind. Melius. Vide modo §. ιζ'. init. TAYLOR.

Ἐφ' ὑμῖν κεῖται] Lego et hic contra Codicum consensum: ἐφ' ὑμᾶς, τουτέστι καθ' ὑμᾶς, εἰ, ἐπὶ βλάβῃ τῇ ὑμετέρᾳ. [Et alibi] Malim ἐφ' ὑμᾶς, τουτέστι καθ' ὑμᾶς, ἀλλὰ μὴ ἐν τῇ ἐξουσίᾳ ὑμῶν. WOLF. O. certe l. et s. et impressi ὑμῖν, nisi quod Vindob. solus ἐφ' ὑμῶν legat. Ex quo consensu judico, istam constructionem cum Wolfiana sententia plane consentire posse. Vide ad Aristocrateam §. λγ'. fin. TAYLOR. ἐφ' ὑμᾶς, *contra vos.* AUGER.

Ταύτην] Αὐτὴν Ven. Bar. Aug. Ital. et Vindob. Idque, ut ego statuo, rectius. *Scripturam hanc*, Wolfius. Quod pro nihilo habeo. *Age, cape libellum ipsum accusatorium, the Indictment.* Nam in eo continebatur αὐτολεξεὶ Lex Timocratea, quæ jam in judicium deducitur, et quam hic postulatur Scriba recitare. Ut olim plenissime confirmavi ad Aristocrateam §. ς'. TAYLOR. Tayloro assentitur Augerus.

Δωδεκάτῃ τῶν προέδρων] Supra §. ί. τῇ δωδεκάτῃ τῆς Πρυτανείας. WOLF. Et hic quoque id est rescribendum. Nam cum ex Codd. nostris alii post δωδεκάτῃ eas voces insinuent, alii loco τοῦ τῶν προέδρων, ita legant, hoc postremum arbitror potissimum ab Auctoris manu esse profectum. Nam δωδεκάτῃ τῶν προέδρων in monumentis antiquorum reperiri vix posse credo, tum autem porro, istud δωδεκάτῃ τῆς πρυτανείας τῶν προέδρων monstri esset simillimum. Sit hoc ergo primum. Deinde: vocem πρυτανείας, quæ et in contextu hodie invenitur, eam esse ipsissimam vocem contendo, quam hodie quærimus. Qua ad propriam sedem revocata, concordabunt omnia cum exemplo, quod præcessit. §. ί. Nempe ita conformabitur: Ἐπὶ τῆς (Ita enim Codd. non δὲ) Πανδιονίδος πρώτης, δωδεκάτῃ τῆς πρυτανείας, ἐπεψήφισεν Ἀριστοκλῆς, cætera. Porro autem male hic Wolfius: *primo senatus conventu.* Prima enim uniuscujusque manipuli sive Prytaneas Concio die Prytaneas, non 12mo. sed 11mo. uti olim vidimus, solita erat haberi. TAYLOR. L. ἐπὶ τῆς Πανδιονίδος, πρώτης πρυτανείας δωδεκάτῃ, ἐπεψήφισεν Ἀρ. cætera delendo. Hæc tria verba, sc. ἐπεψ. Ἀριστοκλ. Μυῤῥ., non reperiuntur in prima legis recitatione. AUGER.

Ἐπεψήφισεν] *Censuit* Wolfius, errore crasso, et, quod putidius est, crebro. Vide doctissimum Jurinum ad §. ιδ'. TAYLOR.

κρίσεις γεγενημένας ἐπιχειρῆσαι λύειν. τοῦτο τοίνυν οὐτοσὶ Τιμοκράτης ἀναιδῶς καὶ οὐδ' ἀποκρυψάμενος πεποίηκε, γράψας διαῤῥήδην, καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται κατὰ νόμον, ἢ κατὰ ψήφισμα, δεσμοῦ, ἢ [1] τολοιπὸν προστιμηθῇ. περὶ μὲν δὴ τῶν μελλόντων εἴ τι δίκαιον ἔπεισεν ὑμᾶς, οὐκ ἂν ἠδίκει· περὶ δ' ὧν δικαστήριον ἔγνωκε, καὶ τέλος ἔσχηκε, πῶς οὐχὶ δεινὰ ποιεῖ, νόμον εἰσφέρων, 724
δι' οὗ ταῦτα λυθήσεται; ὥσπερ ἂν εἴ τις ἐάσας κύριον γενεσθαι τὸν τούτου νόμον, γράψειεν ἕτερον τοιόνδε· Καὶ εἴ τινες ὠφληκότες χρήματα, καὶ δεσμοῦ προστετιμημένον αὐτοῖς, ἐγγυητὰς κατέστησαν, κατὰ τὸν τούτου νόμον, μὴ εἶναι τὴν διεγγύησιν αὐτοῖς, μηδὲ [1] τολοιπὸν ἐξεγγυᾶν μηδένα. ἀλλ' οὔτε ταῦτα ποιήσειεν ἂν οὐδεὶς ὑγιαίνων, οἶμαι, σύ τ' ἐκεῖνα λύων ἠδίκεις. χρῆν γὰρ αὐτὸν, εἰ τὸ πρᾶγμ' ἐνόμιζε δίκαιον, ἐπὶ τοῖς ὕστερον γενησομένοις θεῖναι τὸν νόμον, καὶ μὴ συνενεγκόντα εἰς ταὐτὸ τὰ μέλλοντα τοῖς παρεληλυθόσι, καὶ τὰ μὴ δῆλα τοῖς φανεροῖς ἀδικήμασιν, εἶτα ἐπὶ πᾶσι γράψαι τὴν αὐτὴν γνώμην. πῶς γὰρ οὐ δεινὸν, τῶν αὐτῶν ἠξιωκέναι δικαίων τοὺς ἐξεληλεγμένους ἀδικοῦντας τὴν πόλιν πρότερον, καὶ τοὺς μηδ' εἰ κρίσεως ἄξιον [2] ἐργάσωνταί τι δήλους;

κ'. Καὶ μὴν κἀκεῖθεν ἴδοι τις ἂν, ὡς δεινὸν πεποίηκε [3] τὸ θεῖναι περὶ τῶν παρεληλυθότων τὸν νόμον, εἰ λογίσαιτο παρ' αὑτῷ, τί ποτ' ἐστὶν ᾧ νόμος ὀλιγαρχίας διαφέρει, καὶ τί δή ποθ' οἱ μὲν ὑπὸ νόμων ἐθέλοντες ἄρχεσθαι, σώ-

[1] τὸ λοιπὸν [2] ἐργάσονταί [3] τῷ

Ἀποκρυψάμενος] Ita Bar. Reg. α. Bodl. Obsop. Vindob. Aug. Lindenb. et Editt. Manut. et Felician. In nonnullis ἀποκρουσάμενος. Idem.

Προστετιμημένον] Hoc absolute, ut aiunt, positum existimo, et recte scribi. προστετιμημένου Edit. Morel. προστετιμημένων Ven. Ital. Vind. Neutrum probo. Idem. Neutrum absolutum, ut δέον, ἐξόν. Auger.

Τοὺς ἐξεληλεγμένους ἀδικοῦντας] Ἀντὶ τοῦ, ὅτι ἀδικοῦσιν. ἐξελέγχομαι ἀδικῶν. ἐξελεγχόμενος ἀδικῶν. Wolf.

κ'. Ὦ νόμος ὀλιγαρχίας διαφέρει] Lego: ᾧ δῆμος — διαφέρει, τουτέστι δημοκρατία. Idem. Laudo id vehementer, et puto esse verum. Tametsi vulgata scriptura diu inveteraverit, si ad hunc locum spectent (et spectare arbitror) verba ista Scholiastæ ad Aristid. Panathen. init. μαρτυρεῖ δὲ καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους, νόμον καλέσας τὴν πόλιν. Taylor. νόμος pro δημοκρατία. Auger.

Νόμων] Restitui ex Bar. Lind. Aug. et impressis, Manut. Felic. et Paris. Vulgo νόμον. In sequentibus v. ult. plenius, σώφρονες, καὶ ἐλεύθεροι, καὶ χρηστοὶ juxta Bar. Aug. Vindob. et Edit. Benenati. Taylor. Imo νόμων. Auger.

φρονες, [1] καὶ χρηστοὶ πολῖται νομίζονται, οἱ δ' ὑπὸ τῶν ὀλιγαρχιῶν, ἄνανδροι, καὶ δοῦλοι. εὕροι γὰρ ἂν ὡς ἀληθῶς τοῦτο προχειρότατον, ὅτι τῶν μὲν ἐν ταῖς ὀλιγαρχίαις ἕκαστος, καὶ τὰ πεπραγμένα λῦσαι, καὶ περὶ τῶν μελλόντων, ἃ ἂν αὐτῷ δοκῇ, προστάξαι κύριός ἐστιν· οἱ δὲ νόμοι περὶ τῶν μελλόντων ἃ χρὴ γίγνεσθαι φράζουσι, μετὰ τοῦ πεῖσαι τεθέντες, ὡς συνοίσουσι τοῖς χρωμένοις. Τιμοκράτης τοίνυν ἐν δημοκρατουμένῃ τῇ πόλει νομοθετῶν, τὴν ἐκ τῆς
725 ὀλιγαρχίας ἀδικίαν εἰς τὸν αὐτοῦ νόμον μετήνεγκε, καὶ περὶ τῶν παρεληλυθότων [2] αὐτὸν κυριώτερον τῶν καταγνόντων δικαστῶν ἠξίωσε ποιῆσαι· καὶ οὐ τοῦτο μόνον πεποίηκεν ὑβριστικὸν, ἀλλὰ καὶ γέγραφε [3] καὶ τολοιπὸν ἐάν τινι προστιμηθῇ δεσμοῦ, εἶναι, καταστήσαντι τοὺς ἐγγυητὰς ἢ μὴν ἐκτίσειν, ἀφεῖσθαι. καί τοι ἐχρῆν αὐτὸν, εἰ τὸ δεδέσθαι δεινὸν ἡγεῖτο, μηδενὶ προστιμᾷν, ὃς ἂν ὑμῖν ἐγγυητὰς καθιστῇ, δεσμοῦ νομοθετῆσαι, μὴ προλαβόντα κατεγνωκότας ὑμᾶς τὸν δεσμὸν, μηδ' ἐχθρῶς διατεθέντα πρὸς ὑμᾶς τὸν [4] ἡλωκότα, τηνικαῦτα ποιεῖν τὴν ἐξεγγύησιν. νυνὶ δ' ὥσπερ ἐνδεικνύμενος, ὅτι, κἂν ὑμῖν δοκῇ δεδέσθαι τινὰ, αὐτὸς ἀφήσει, τοῦτον τὸν τρόπον τὸν νόμον εἰσήνεγκεν. ἆρ' οὖν τῷ δοκεῖ συμφέρειν τῇ πόλει τοιοῦτος νόμος, ὃς δικαστηρίου γνώσεως αὐτὸς κυριώτερος ἔσται, καὶ τὰς [5] ὑπὸ τῶν ὀμωμοκότων γνώσεις τοῖς ἀνωμότοις προστάξει λύειν; ἐγὼ μὲν οὐκ οἶμαι. φαίνεται τοίνυν ὁ τούτου νόμος ταῦτ' ἔχων ἀμφότερα. ὥστ' εἴπερ ὑμῶν ἑκάστῳ μέλει τι τῆς πολιτείας, καὶ δεῖν οἴεται κυρίαν εἶναι τὴν αὐτοῦ γνώμην, περὶ ὧν ἂν ὀμωμοκὼς ψηφίσηται, λυτέος καὶ οὐκ ἐατέος ὁ τοιοῦτος νόμος κύριος γενέσθαι νυνί.

κά. Οὐ τοίνυν ἀπέχρησεν αὐτῷ τὰ δικαστήρια ἄκυρα ποιῆσαι τῶν προστιμημάτων, ἀλλ' οὐδὲ ἃ δίκαια ὡρίσατο

[1] καὶ ἐλεύθεροι καὶ χρηστοὶ [πολῖται] [2] αὐτὸν [3] ἢ τὸ λοιπὸν [4] ἑαλωκότα [5] [ὑπὸ]

Καίτοι ἐχρῆν αὐτὸν] Ἐχρῆν αὐτὸν νομοθετῆσαι, προστιμᾷν μηδενὶ δεσμοῦ, ὃς ἂν καθιστῇ ὑμῖν ἐγγυητάς· μὴ ποιεῖν (Malim ἀλλὰ μὴ ποιεῖν) τηνικαῦτα τὴν ἐξεγγύησιν, προλαβόντα (ἐπειδὴ προὔλαβεν ὁ Τιμοκράτης) ὑμᾶς κ. τ. λ. Wolf.

Ἁλωκότα] Ἡλωκότα, ἢ ἑαλωκότα. Idem. ἑαλωκότα legitur in Edit. Lutet. ἡλωκότα Reg. α. Vind. Lind. Obsop. et Felic. Taylor.

Τὰς ὑπὸ τῶν] Melius τὰς τῶν ὀμωμοκότων γνώσεις, abjecta præpositione, quemadmodum habent Scholiastes, et Cod. Vindob. Idem. ὑπὸ del. vid. Auger.

αὐτὸς ἐν τῷ νόμῳ, καὶ προσέταξε τοῖς ὠφληκόσιν, οὐδὲ ταῦτα ἁπλῶς, οὐδὲ ἀδόλως φανήσεται γεγραφώς· ἀλλ' ὡς ἂν μάλιστά τις ὑμᾶς ἐξαπατῆσαι καὶ παρακρούσασθαι βουλόμενος. σκέψασθε γὰρ ὡς γέγραφε. Τιμοκράτης εἶπε, φησὶ, καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δη-
μοσίῳ προστετίμηται κατὰ νόμον, ἢ κατὰ 726
ψήφισμα, δεσμοῦ, ἢ [1]τολοιπὸν προστιμηθῇ, εἶναι αὐτῷ, ἢ ἄλλῳ ὑπὲρ ἐκείνου, ἐγγυητὰς καταστῆσαι, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἢν μὴν ἐκτίσειν. ἐνθυμεῖσθε ἀπὸ τοῦ δικαστηρίου καὶ τῆς καταγνώσεως, οἳ [2]διεπήδησεν ἐπὶ τὸν δῆμον, ἐκκλέψαντων τὸν ἠδικηκότα, καὶ τὴν παράδοσιν αὐτοῦ τὴν τοῖς ἕνδεκα. τίς γὰρ ἀρχὴ παραδώσει τὸν [3]ὄφλοντα; τίς τῶν ἕνδεκα παραλήψεται; κελεύοντος μὲν τοῦ νόμου τούτου ἐν τῷ δήμῳ καθιστάναι τοὺς ἐγγυητὰς, ἀδυνάτου δ' ὄντος αὐθημερὸν ἐκκλησίαν ἅμα καὶ δικαστήριον γενέσθαι, οὐδαμοῦ δ' ἐπιτάττοντος [4]φυλάττειν, ἕως ἂν καταστήσῃ τοὺς [5]ἐγγυητάς; καί τοι τί ποτ' ἦν δι' ὃ προσγράψαι σαφῶς ὤκνησε, τὴν δὲ ἀρχὴν τὸν [6]ὄφλοντα [4]φυλάττειν, ἕως ἂν καταστήσῃ τοὺς ἐγγυητάς; πότερον οὐχὶ δίκαιον; εὖ οἶδ' ὅτι πάντες ἂν φήσαιτε. ἀλλ' ἐναντίον ἦν τινὶ τοῦτο νόμῳ; οὐκ, ἀλλὰ μᾶλλον κατὰ τοὺς νόμους. τί ποτ' οὖν ἦν; οὐδὲν ἂν [7]εὕροιτε ἄλλο, πλὴν ὅτι οὐχ ὅπως δώσουσι δίκην, ὧν ἂν ὑμεῖς καταγνῶτε, ἐσκόπει, ἀλλ' ὅπως μή.

κβ'. Εἶτα πῶς γέγραπται μετὰ ταῦτα; καθιστάναι τοὺς ἐγγυητὰς, ἢ μὴν ἐκτίσειν τὸ ἀργύριον ὃ ὤφλεν. ἐνταυθοῖ πάλιν τῶν μὲν ἱερῶν χρημάτων τὴν δεκαπλασίαν [8]ἀφῄρηται, τῶν δὲ ὁσίων, ὁπόσων ἐν τῷ

[1] τὸ λοιπὸν [2] διεπήδησεν! ἐ. τ. δῆμον· [3] ὀφείλοντα [4] φυλάττειν τέως, ἕως [5] ἐγγυητάς. [6] ὀφείλοντα [7] εὕροι τις ἄλλο [8] ἀφῄρηται

κά. Εἶναι αὐτῷ ἢ ἄλλῳ] *Licere illi aut alii ejus nomine*, hoc est, ἐξεῖναι. Quod Cicero ut alia plurima Græcorum, imitatus est pro P. Sextio: "Quem enim deprecari esset, quum omnes essent sordidati?" *Ex edit.* HERVAG.

Οὐδὲν ἂν εὕροι τι ἄλλο] Aut εὕροι τις, aut εὕροιτε legendum. WOLF. Similiter annotatum reperitur in marg. Parisiensi. TAYLOR.

Εἶτα] Verte: *Deinde quomodo scripsit postea?* CONSTITUENDOS ESSE etc. IDEM.

Ἀφῄρηται] Potius ὑφῄρηται. Quasi subdole et callide id fieret. Jubent id Bar. Ven. Reg. α. Lind. Aug. Vind. Obsop. Ital. cum MStis Man. et Felic. Idque Wolfio placere video. IDEM.

Τῶν δὲ ὁσίων, ὁπόσων] Lego per ο μικρὸν, ὁπόσον. Ordo enim hic est: ἀφῄρηται τὸ ἥμισυ τῶν ὁσίων, ὁπόσον διπλασιάζεται. WOLF. L. ὁπόσα vel ὁπόσον. AUGER.

Ὁπόσων] *Quæ* Wolfius. Potius: *quæ-*

νόμῳ διπλασιάζεται, τὸ ἥμισυ. πῶς δὴ τοῦτο ποιεῖ; γράψας ἀντὶ μὲν τοῦ τιμήματος τὸ ἀργύριον, ἀντὶ δὲ τοῦ, τὸ γιγνόμενον, ὃ ὤφλε. διαφέρει δὲ τί; εἰ μὲν ἔγραψε καθιστάναι τοὺς ἐγγυητὰς ἢ μὴν ἐκτίσειν τὸ τίμημα τὸ γιγνόμενον, προσπεριειλήφει τοὺς νόμους ἂν, καθ' οὓς τὰ [1]μὲν
27 δεκαπλᾶ, τὰ δὲ καὶ διπλᾶ γίγνεται τῶν ὀφλημάτων· ὥστε ἐκ τούτων ἦν ἀνάγκη τοῖς [2]ὀφλουσι τὸ γεγραμμένον τ' ἐκτίνειν, καὶ τὰς ἐκ τῶν νόμων προσούσας ζημίας καταβάλλειν. νῦν δ' [3]ἐν τῷ γράψαι τὴν κατάστασιν εἶναι τῶν ἐγγυητῶν ἢ μὴν ἐκτίσειν τὸ ἀργύριον ὃ ὤφλεν, ἐκ τῆς λήξεως καὶ τῶν γραμμάτων, ἐφ' οἷς ἕκαστος εἰσήχθη, ποιεῖ τὴν ἔκτισιν, ἐν οἷς πᾶσιν ἁπλοῦν ὅ τις ὤφληκεν ἀργύριον γέγραπται.

κγ'. Μετὰ ταῦτα τοίνυν τηλικοῦτον πρᾶγμα ἀνελὼν ἐν τῇ τῶν ῥημάτων μεταθέσει, προσέγραψε τοὺς δὲ προέδρους ἐπιχειροτονεῖν ἐπάναγκες, ὅταν τις καθιστάναι βούληται, παρὰ πάντα τὸν νόμον οἰόμε-

[1] μὲν * διπλᾶ, τὰ δὲ καὶ δεκαπλᾶ [2] ὀφείλουσι [3] Deest ἐν.

cunque. Nec enim omnis pecunia publica jubebatur dupla solvi, sed ea solum, quam privati per annum integrum retinuissent. Jurin.

Διαφέρει δὲ τί, etc.] Crimini dat adversario, quod τὸ ὀφειλόμενον, ἀντὶ τοῦ, τὸ γιγνόμενον scripserat. ac si diceret, *Quid tandem autem hoc atque illud interest? nempe quod si iste legislator scripsisset, sponsorem dare debitorem publicum, qui solutum iri expromitteret litis æstimationem justam, quantumque jus æquumque foret, his verbis eas quoque leges comprehendisset, quibus legibus nomina publica, decupla interdum, interdum dupla fiunt.* accusat enim Orator legem ut perperam ac captiose latam, in fraudemque reipub. Ubi notandum τὸ γιγνόμενον ἀργύριον ἀποτίνειν esse, quod Latini *recte restituere* dicunt. Livius: "Quosque quoque oportebit, recte restituito." Et *recte præstare* Ulpian. *recte dare* Cicero ad Atticum. Cæterum τίμημα etiam hoc loco significare potest αὐτὸ τὸ προστιμηθὲν διὰ τὴν ὑπερημερίαν, hoc est, *quod mulctæ nomine propter moram solvendi irrogatum est.* Dicebant enim, ἕως ἂν ἀποδῷ δόκιμον ἀργύριον, κρατεῖν τῶν χρημάτων ἁπάντων τὸν δανείσαντα, *quoadusque probam pecuniam reddidiret debitor, fœneratorem in possessione esse bonorum omnium,* vel *pignora omnia obtinere debitoris creditorem.* χρημάτων enim appellatione tam mobilia seseque moventia, quam immobilia continentur. quemadmodum apud Ciceronem et Jurecoss. *pecuniæ* vocabulo hæc omnia comprehenduntur. *Fortunæ* enim hominum χρήματα sic Græce dicuntur ab utilitate, ut Latine *bona* et *facultates.* Ex Comment. Budæi. *Ex edit.* Hervag.

Προσειλήφει τοὺς νόμους, καθ' οὓς τὰ μὲν δεκαπλᾶ] Id est, *eas utique leges comprehendisset, secundum quas leges damnatio interdum in decuplum, interdum in duplum fit.* Cæterum τὸ γιγνόμενον τίμημα cum dicebant, hoc significabant judicatum quod jus poposcerit, æquitasque suaserit. In hæc autem verba concipiebant eam satisdationem, qua judicatum solvi dicitur. *Ex edit.* Hervag.

Καὶ διπλᾶ] Dele καὶ, et v. 9. ἐν. Auger.

Νῦν δ' ἐν τῷ γράψαι] Lege potius: νῦν δὲ τῷ γράψαι, ut Bar. Lind. Aug. Ital. et Vind. Taylor.

Ἁπλοῦν ἔστις ὤφληκεν] Malim ὅ τις. Wolf. Atque ita margo Benenati. MSS. Ald. Ven. Lind. Vindob. Idem.

κγ'. Παρὰ πάντα τὸν νόμον] F. παρὰ πάντας τοὺς νόμους. Sin illud placet, expone ἐν παντὶ τῷ νόμῳ, *tota lege nihil aliud agens, nisi ut sontes conserventur et da-*

νος δεῖν σώζειν τὸν ἠδικηκότα, καὶ τὸν ἐν ὑμῖν ἡλωκότα. δοὺς γὰρ ὅταν βούληται τὴν κατάστασιν αὐτῷ τῶν ἐγγυητῶν, ἐπ' ἐκείνῳ πεποίηκε, μηδέ ποτ' ἐκτίσαι, μηδὲ δεθῆναι. τίς γὰρ οὐ πορεῖται φαύλους ἀνθρώπους; οὓς ὅταν ὑμεῖς ἀποχειροτονήσητε, [1]ἀπαλλάξωνται. ἐὰν γάρ τις, ὡς οὐ καθιστάντα τοὺς ἐγγυητὰς, ἀξιοῖ δεδέσθαι, φήσει, καὶ καθιστάναι, καὶ καταστήσειν, καὶ δείξει τὸν τούτου νόμον, ὃς καθιστάναι μὲν ὅταν βούληται κελεύει, φυλάττειν δὲ τέως οὐ λέγει, οὐδ' ἂν ἀποχειροτονήσηθ' ὑμεῖς τοὺς ἐγγυητὰς, δεδέσθαι προστάττει· ἀλλ' ὡς ἀληθῶς ὥσπερ ἀλεξιφάρμακόν ἐστι τοῖς ἀδικεῖν βουλομένοις. τῷ δὲ καταστήσαντι, φησὶ, τοὺς ἐγγυητὰς, ἐὰν ἀποδιδῷ τῇ πόλει τὸ ἀργύριον ἐφ' ᾧ κατέστησε τοὺς ἐγγυητὰς, ἀφεῖναι τοῦ δεσμοῦ. πάλιν ἐνταῦθ' ἐπέμεινεν ἐπὶ τοῦ κακουργήματος, ὃ μικρῷ πρότερον εἶπον, καὶ οὐκ ἐπελάθετο, οὐδ' ἔγραψε τὸ τίμημα τὸ γιγνόμενον, ἀλλὰ τὸ ἀργύριον ὃ ὤφλεν ἐὰν ἀποδιδῷ, ἀφεῖσθαι τοῦ δεσμοῦ. ἐὰν δὲ μὴ καταβάλῃ τὰργύριον 728
ἢ αὐτὸς, ἢ οἱ ἐγγυηταὶ, ἐπὶ τῆς ἐννάτης πρυτανείας, τὸν μὲν ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. ἐν δὴ τῷ τελευταίῳ τούτῳ, παντελῶς αὐτὸς αὑτοῦ κατήγορος, ὡς ἀδικεῖ, γεγονὼς φανήσεται. οὐ γὰρ ὅλως τὸ δεδέσθαι τινὰ τῶν πολιτῶν αἰσχρὸν ἢ δεινὸν νομίσας, ἀπεῖπε μὴ δεῖν· ἀλλὰ τὸν καιρὸν, ἐν ᾧ τὸν ἠδικηκότα ἐνῆν παρόντα λαβεῖν, ἐκκλέψας, τοὔνομα μὲν τῆς τιμωρίας ἔλιπε τοῖς ἀδικουμένοις ὑμῖν [2]λαβεῖν, τὸ δ' ἔργον ἀφείλετο, καὶ παρ'

[1] ἀπαλλάξεται

[2] [λαβεῖν]

mnati a vobis. Wolf. Cum Wolfio consentit optimus Vindob. Taylor. *Contra omnes leges,* Wolfius. Immo: *per totam legem,* a prima syllaba ad ultimam. Vid. §. κή. Jurin.

Ἀπαλλάξωνται] Forte ἀπηλλάξονται, τῷ μετ' ὀλίγον μέλλοντι, aut certe ἀπαλλάξονται per ο, priore futuro medio. Sub. οἱ ἐγγυηταὶ ἐσόμενοι, *qui, ubi vos eos improbaveritis, discedant?* Aut ἀπαλλάξωνται. Sub. οἱ καταστήσαντες τοὺς ἐγγυητὰς, ut sit mutatio numeri: *quos ubi vos improbaveritis, liberetur?* Sub. *damnatus.* Sed hic calumniatorem agere videtur Orator. Neque enim liberabitur, nisi approbatis a populo vadibus ex lege Timocratis. Wolf. Hæc certe intelligo parum: neque uno piaculo procurari possunt. ἀπαλλάξονται Ald. marg. Benenati. ἀπαλλάξεται Ven. Lind. Ital. ἀπαλλάξετε Bar. Bodl. Aug. et Vind. Ego præfero Aldina. Taylor. L. ἀπαλλάξεται, nempe, debitor qui vades dederit. Auger.

Ὅταν βούληται] Non quidem hæc verba Legis sunt, sed quia nullum certum tempus adscriptum est, abusus obscuritate verborum argutatur. Wolf.

Ἀφεῖναι] Refer ad φησί. Auger.

Λαβεῖν] Τιμωρίαν λαβεῖν recte quis di-

ἀκόντων ἔδωκεν ἄφεσιν τοῖς τὰ ὑμέτερα ἀξιοῦσιν ἔχειν βίᾳ, καὶ [1] μόνον οὐ προσέγραψε, δίκην ἐξεῖναι λαχεῖν αὐτῷ κατὰ τῶν δικαστῶν, τῶν προστιμησάντων τοῦ δεσμοῦ.

κδ΄. Ὁ δὲ πολλῶν ὄντων καὶ δεινῶν, ὧν ἐν τῷ νόμῳ τέθεικε, μάλιστ' ἄξιόν ἐστ' ἀγανακτῆσαι, βούλομαι πρὸς ὑμᾶς εἰπεῖν. δι' ὅλου γὰρ τοῦ νόμου τῷ καταστήσαντι τοὺς ἐγγυητὰς, [2] ἅπαντα λέγει· τῷ δὲ μὴ καθιστάντι, μήτε βελτίους, μήτε χείρους, μήθ' ὅλως προσέχοντι τὸν νοῦν ὑμῖν, οὐδεμίαν οὔτε δίκην, οὔτε τιμωρίαν προσγέγραφεν, ἀλλ' ἄδειαν πεποίηκε τοσαύτην, ὅσην οἷόν τε γενέσθαι πλείστην. καὶ γὰρ τὸν χρόνον ὃν διώρισε, τὴν ἐννάτην πρυτανείαν, τῷ καταστήσαντι λέγει τοὺς ἐγγυητάς. γνοίη δ' ἄν τις ἐκεῖθεν. προσέγραψε δημοσίαν εἶναι τὴν οὐσίαν, [3] τὴν των ἐγγυητων, ἂν μή τις ἐκτίσῃ. τοῦ δὲ μὴ καταστήσαντος, οὐκ ἔνι δήπουθεν ἐγγυητὰς ὑπάρχειν. καὶ τοῖς μὲν προέδροις, οἳ κεκληρωμένοι καθίζουσιν ἐξ ὑμῶν, ἐπάναγκες ἐποίησεν, ὅταν καθιστῇ τις, δέχεσθαι· τοῖς δ' ἀδικοῦσι τὴν πόλιν, οὐδεμίαν προσέγραψεν ἀνάγκην, ἀλλ'
29 ὥσπερ εὐεργέταις αἵρεσιν αὐτοῖς ἔδωκεν, εἰ χρὴ δοῦναι δίκην ἢ μή. καί τοι πῶς ἂν ἀσυμφορώτερος ὑμῖν τούτου γένοιτο νόμος, ἢ κάκιον ἔχων; ὃς πρῶτον μὲν περὶ τῶν ἐκ τοῦ παρεληλυθότος χρόνου κριθέντων ἐναντία τοῖς [4] ἐφ' ὑμῶν ἐγνωσμένοις προστάττει· δεύτερον δὲ περὶ τῶν μελλόντων κριθήσεσθαι, προστιμᾶν κελεύων τοὺς δικαστὰς τοὺς ὀμωμοκότας, ἄκυρα τὰ προστιμήματα ποιεῖ· πρὸς δὲ τούτοις, ἐπιτίμους τοὺς ὀφείλοντας, οὐ τὰ προσήκοντα ἐκτίνοντας καθίστησιν· ὅλως δ' ἐπιδείκνυσι μάτην ὀμνύντας, τιμῶντας, δικάζοντας, ὀργιζομένους, ἅπαντα ποιοῦντας [5] ὑμᾶς; ἐγὼ μὲν γὰρ εἰ Κριτίας, ὁ γενόμενος τῶν τριάκοντα, εἰσέφερε τὸν νόμον, οὐκ ἂν ἄλλον [6] οἶμαι τρόπον γράψαντ' εἰσενεγκεῖν, ἢ τοῦτον.

κέ. Ὅτι τοίνυν ὅλην συγχεῖ τὴν πολιτείαν, καὶ καταλύει πάντα τὰ πράγματα ὁ νόμος, καὶ πολλὰς φιλοτιμίας

[1] μονονοὺ [2] ἅπαντας [3] [,τὴν] [4] ὑφ' ὑμῶν ἐγ. προστάττει; [5] ὑμᾶς. [6] οἶομαι

xerit: at τοὔνομα τιμωρίας, non ita. Abest ergo λαβεῖν ab optimis exemplaribus, Bar. Bodl. Reg. α. Lind. Aug. Ital. Vind. Tayl.

Τιμῶντας] Haud scio, an aliud verbum desideretur. Neque τιμωμένους, neque εἰσιόντας placet. Wolf.

περιαιρεῖται τῆς πόλεως, καὶ τοῦτο ῥᾳδίως ὑμᾶς νομίζω μαθήσεσθαι. ἴστε γὰρ δήπου τοῦθ', ὅτι σώζεται πολλάκις ὑμῶν ἡ πόλις διὰ τὰς στρατείας, καὶ τὰς ναυτικὰς, καὶ τὰς πεζάς· καὶ πολλὰ καὶ καλὰ πολλάκις ἤδη διεπράξασθε, καὶ σώσαντές τινας, καὶ τιμωρησάμενοι, καὶ διαλλάξαντες. πῶς οὖν; ἀνάγκη τὰ τοιαῦτα διοικεῖν ἐστὶ διὰ ψηφισμάτων καὶ νόμων, τοῖς μὲν εἰσφέρειν ἐπιτάττοντας, τοὺς δὲ τριηραρχεῖν κελεύοντας, τοὺς δὲ πλεῖν, τοὺς δ' ἕκαστα ποιεῖν ὧν δεῖ. οὐκοῦν ταῦθ' ὅπως γίγνηται, δικαστήρια πληροῦτε, καὶ καταγιγνώσκετε δεσμὸν τῶν ἀκοσμούντων. σκέψασθε δὴ τὸν τοῦ καλοῦ κἀγαθοῦ τούτου νόμον, ὡς λυμαίνεται ταῦτα καὶ διαφθείρει. γέγραπται γὰρ δήπου ἐν τῷ νόμῳ αὐτοῦ· καὶ εἴ τινι τῶν ὀφειλόντων προστετίμηται δεσμοῦ, ἢ καὶ [1]τολοιπὸν 730
προστιμηθῇ, εἶναι καταστήσαντι ἐγγυητὰς, ἢ μὴν ἐπὶ τῆς ἐννάτης πρυτανείας ἐκτίσειν τὸ ἀργύριον, ἀφεῖσθαι τοῦ δεσμοῦ. τίς οὖν πόρος ἔσται; τίνα ἀποσταλήσεται τρόπον ἡ στρατιά; πῶς τὰ χρήματα εἰσπράξομεν, ἐὰν εἷς ἕκαστος ὀφλισκάνων, ἐγγυητὰς καθιστῇ κατὰ τὸν τούτου νόμον, ἀλλ' [2]οὐ τὸ προσῆκον ποιῇ; ἐροῦμεν, νὴ Δία, τοῖς Ἕλλησι, Τιμοκράτους νόμος ἐστὶ παρ' ἡμῖν, ἀναμείνατ' οὖν τὴν ἐννάτην πρυτανείαν, εἶτα τότ' [3]ἔξιμεν; τοῦτο γὰρ λοιπόν. ἂν δ' ὑπὲρ ὑμῶν αὐτῶν ἀμύνεσθαι δέῃ, ἆρά γ' οἴεσθε τοὺς ἐχθροὺς τὰς τῶν παρ' ἡμῖν πονηρῶν διαδύσεις καὶ κακουργίας ἀναμενεῖν; ἢ τὴν πόλιν αὐτὴν ἐμποδίζοντας νόμους εἰ [4]θήσεσθε, καὶ τἀναντία τῶν συμφερόντων λέγοντας, δυνήσε-

[1] τὸ λοιπὸν [2] μὴ [3] ἔξιμεν. [4] θήσετε

κέ. Πεζὰς] Πεζικὰς Bar. Reg. α. Aug. Vind. Testes certe fide digni. Audi tamen T. Magistrum. πεζὴ στρατιὰ λέγε, ὡς Δημοσθένης, καὶ πάντες, καὶ μὴ πεζικὴ, ὡς Θουκυδίδης — ποιητικώτερον γὰρ τοῦτο. TAYLOR. Vid. D'Orville ad Charit. Aphrod. Lib. VII. cap. II. p. 598.

Καὶ καταγιγνώσκετε δεσμὸν τῶν ἀκοσμούντων] Id est, *eos qui imminente expeditione munus suum detrectant.* Est enim ἀκοσμῶ, *munere meo perperam fungor, vices meas non obeo.* Ex edit. HERVAG.

Καταγιγνώσκετε δεσμὸν τῶν ἀκοσμούντων] Ferri potest καταγινάσκω σὲ δεσμοῦ, et σοῦ δεσμόν. WOLF.

Θήσεσθε] Θήσετε Codd. credo, omnes. Et nescio sane, quo casu dicam? an consilio, ita ediderit Wolfius, uti edidit. Nam si Grammaticis fides, lectio ista non contemnenda. τίθησι καὶ τίθενται διαφέρει. Τίθησι γὰρ τὸν νόμον ὁ νομοθέτης· τίθενται δὲ τὸν νόμον οἱ δικάζοντες καὶ αἱρούμενοι. Ammonius. Atque iterum: Τίθεται νόμον καὶ Τίθησι διαφέρει. Τίθησι μὲν γὰρ ὁ εἰσφέρων· Τίθεται δὲ ὁ κυρῶν. TAYLOR.

σθαί τι ποιῆσαι τῶν δεόντων; ἀλλ' ἀγαπητὸν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ πάντων καλῶς ἐχόντων ἡμῖν, καὶ μηδενὸς ὄντος τοιούτου νόμου, κρατοῦμεν τῶν ἐχθρῶν, καὶ ταῖς ὀξύτησι [1] δυναίμεθα, καὶ τοῖς τοῦ πολέμου καιροῖς ἀκολουθεῖν, καὶ μηδενὸς ὑστερίζειν. ἀλλὰ μὴν, εἰ φαίνῃ τοιοῦτον τεθεικὼς νόμον, ὃς τὰ τοιαῦτα λυμαίνεται, δι' ὧν ἡ πόλις καὶ σεμνὴ καὶ λαμπρὰ παρὰ πᾶσι καθέστηκε, πῶς οὐχὶ δικαίως ὁτιοῦν ἂν πάθοις;

κς'. Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν διοίκησιν ἀναιρεῖ, τήν θ' ἱερὰν καὶ τὴν ὁσίαν. ὡς δὲ, ἐγὼ φράσω. ἔστιν ὑμῖν κύριος νόμος, καλῶς, εἴπερ τις καὶ ἄλλος, κείμενος, τοὺς ἔχοντας τά τε ἱερὰ καὶ τὰ ὅσια χρήματα καταβάλλειν εἰς τὸ βουλευτήριον· εἰ δὲ μὴ, τὴν βουλὴν αὐτοὺς εἰσπράττειν, τοῖς νόμοις χρωμένην τοῖς τελωνικοῖς. διὰ
731 τοίνυν τοῦ νόμου τούτου διοικεῖται τὰ κοινά. τὰ γὰρ εἰς τὰς ἐκκλησίας, καὶ τὰς θυσίας, καὶ τὴν βουλὴν, καὶ τοὺς ἱππέας, καὶ τἄλλα, χρήματα ἀναλισκόμενα, οὗτος ἔσθ' ὁ νόμος ὁ ποιῶν [2] προσευπορεῖσθαι. οὐ γὰρ ὄντων ἱκανῶν τῶν ἐκ τῶν τελῶν χρημάτων τῇ διοικήσει, τὰ προσκαταβλήματα ὀνομαζόμενα, διὰ τὸν τοῦ νόμου τούτου φόβον, καταβάλλεται. πῶς οὖν οὐχ ἅπαντ' ἀνάγκη καταλυθῆναι τὰ τῆς πόλεως, ὅταν αἱ μὲν τῶν τελῶν καταβολαὶ μὴ ἱκαναὶ ὦσι τῇ διοικήσει, ἀλλ' ἐνδεεῖς [3] πολλῶν, καὶ μηδὲ ταῦτα, ἀλλ' ἢ περὶ λήγοντα τὸν ἐνιαυτὸν ἢ λαβεῖν· τὰ δὲ προσκαταβλήματα τοὺς μὴ τιθέντας, [4] κυρία ἢ ἡ βουλὴ, μηδὲ τὰ δικαστήρια [5] δῆσαι, ἀλλὰ καθιστῶσιν ἐγγυητὰς μέχρι τῆς ἐνάτης πρυτανείας; τὰς δὲ ὀκτὼ, τί ποιήσομεν; εἰπὲ [6] Τιμόκρατες· οὐ σύνιμεν, καὶ βουλευσόμεθα ἐάν τι δέῃ; εἶτα ἔτι δημοκρατησόμεθα; οὐ δικάσει τὰ

[1] δυναίμεθ' ἂν, καὶ [2] προσευποροῦσθαι [3] * πολλῷ [4] μὴ ἢ κυρία δεῖν ἡ βουλὴ
[5] Deest δῆσαι. [6] Τιμόκρατες;

κς'. Τά τε ἱερὰ κ. τ. λ.] Vid. Valckenaer. Animad. ad Ammonium Lib. III. cap. VI. p. 185.

Ὁ ποιῶν] In Obsop. et Felic. ita, et forte integrius: οὗτός ἐσθ' ὁ νόμος ὁ διοικῶν καὶ ὁ ποιῶν προσευποροῦσθαι. Cod. Lind. retinet ὁ διοικῶν, et illud alterum dissimulat. TAYLOR.

Καταβολαὶ] Vid. Valckenaer. Animad. ad Ammonium Lib. II. cap. VIII. p. 115.

Πολλῶν] F. πολλῷ. TAYLOR. Lego cum Reiskio πολλῷ pro πολλῶν. AUGER.

Κυρία] Non necesse est, hic recensere omnes Codd. varietates. Sufficit, ut ostendam, saniores hanc lectionem, id quod res exigit, tueri. τὰ δὲ προσκαταβλήματα τοὺς μὴ τιθέντας, κυρία ἢ μηδὲ ἡ βουλὴ, μηδὲ τὰ δικαστήρια δῆσαι. TAYLOR. Adde μὴ ante κυρία. AUGER.

δικαστήρια τά τε ἴδια καὶ τὰ δημόσια; καὶ τίς ὑπάρξει τοῖς ἀδικουμένοις ἀσφάλεια; οὐκ εἰσεισιν ἡ βουλὴ καὶ διοικήσει τὰ ἐκ τῶν νόμων; καὶ τί λοιπόν ἐσθ' [1]ἡμῖν, ἀλλ' ἢ [2]καταλελῦσθαι; ἀλλὰ, νὴ Δί', ἀμισθὶ ταῦτα ποιήσομεν; καὶ πῶς οὐ δεινὸν, εἰ διὰ τὸν νόμον, ὃν σὺ τέθεικας μισθὸν λαβὼν, ἄμισθος ὁ δῆμος καὶ ἡ βουλὴ καὶ τὰ δικαστήρια ἔσται; χρῆν γὰρ τοῦτό γέ σε, ὦ Τιμόκρατες, προσγράψαι τῷ νόμῳ, [3]ὅπερ ἐποίεις κατὰ τῶν τελωνῶν καὶ τῶν ἐγγυητῶν, τὰς πράξεις [4]εἶναι κατὰ τοὺς ὑπάρχοντας νόμους. καὶ [5]εἰ κατά τινων ἐν ἄλλῳ τινὶ νόμῳ, ἢ ψηφίσματι τὰς αὐτὰς εἴρηται πράξεις, ὧν ὀφείλουσιν, εἶναι, ἃς περὶ [6]τελωνῶν, καὶ κατὰ τούτων εἶναι τὰς πράξεις κατὰ τοὺς ὑπάρχοντας νόμους· νῦν δὲ κύκλῳ φεύγων τοὺς νόμους τοὺς τελωνικοὺς, ὅτι τὸ ψήφισμα τὸ 732
Εὐκτήμονος εἴρηκε πράττειν τοὺς ὠφληκότας κατὰ τούτους τοὺς νόμους, διὰ ταῦτ' οὐ προσέγραψε τοῦτο. ἐκ δὲ τούτου τοῦ τρόπου, τὴν μὲν ὑπάρχουσαν τιμωρίαν λύσας κατὰ τῶν τὰ τῆς πόλεως ἐχόντων, ἑτέραν δ' οὐ προσγράψας, πάντα τὰ πράγματα ἀναιρεῖ, δῆμον, ἱππέας, βουλὴν, ἱερὰ, ὅσια. ἀνθ' ὧν, ἄν περ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, σωφρονῆτε, κολασθεὶς, καὶ δοὺς ἀξίαν δίκην, τοῖς ἄλλοις παράδειγμα γενήσεται, μὴ τιθέναι τοιούτους νόμους.

κζ'. Οὐ τοίνυν τὰ δικαστήρια ἄκυρα [7]μόνον ποιεῖ τῶν προστιμημάτων, ἀλλὰ καὶ τοῖς ἀδικοῦσι τὰ κοινὰ δίδωσιν ἄδειαν· τὰς ὑπὲρ τῆς πόλεως στρατείας λυμαίνεται· τὴν διοίκησιν καταλύει· τοῖς κακούργοις, καὶ τοῖς πατραλοίαις, καὶ τοῖς ἀστρατεύτοις, βοηθοῦντα τέθεικε τὸν νόμον. τὰς γὰρ ὑπαρχούσας ἐκ τῶν [8]νῦν κυρίων νόμων τιμωρίας καταλύει. λεγόντων γὰρ τῶν νόμων, οὓς ἔθηκε Σόλων, οὐδὲν ὅμοιος ὢν τούτῳ νομοθέτης, ἐάν τις ἁλῷ κλοπῆς, καὶ μὴ τιμηθῇ θανάτου, προστιμᾷν αὐτῷ δεσμόν·

[1] ὑμῖν [2] καταλελῦσθαι. [3] (ὅπερ [4] Deest εἶναι. [5] * εἴγε [6] τῶν τελωνῶν), [7] μόνον τὰ δικ. ἄκυρα [8] νυνὶ

Τὰς πράξεις κατὰ τοὺς ὑπάρχοντας] F. τὰς πράξεις εἶναι: nisi malis κατ' ἐπεξήγησιν accipere; προσγράψαι τοῦτο, τὸ τί; τὰς πράξεις. WOLF.

Καὶ εἰ κατά τινων] Καὶ εἰ εἴρηται ἐν ἄλλῳ τινὶ νόμῳ ἢ ψηφίσματι. τὸ τί; τὰς αὐτὰς πράξεις εἶναι κατά τινων (ὅτι ἔξεστιν εἰσπράττειν τινὰς) ὧν ὀφείλουσιν (τούτων ἃ) ἃς περὶ τελωνῶν (αἵπερ εἰσὶ περὶ τελωνῶν) καὶ τὰς πράξεις εἶναι κατὰ τούτων κατὰ τοὺς ὑπάρχοντας νόμους. Videant rudiores, ne ordinis immutatione et earundem vocum inculcatione perturbentur. IDEM.

κζ'. Δεσμὸν] L. δεσμοῦ. Ita Man. Fel.

καὶ ἐάν τις, ἁλοὺς τῆς κακώσεως τῶν γονέων, εἰς τὴν ἀγορὰν ἐμβάλῃ, δεδέσθαι· κἂν ἀστρατείας τις ὄφλῃ, καί τι τῶν αὐτῶν τοῖς ἐπιτίμοις ποιῇ, καὶ τοῦτον δεδέσθαι, Τιμοκράτης ἄπασι τούτοις ἄδειαν ποιεῖ, τῇ καταστάσει τῶν ἐγγυητῶν τὸν δεσμὸν ἀφαιρῶν. ὥστ' ἔμοιγε δοκεῖ — καὶ γὰρ εἰ φορτικώτερον εἶναι τὸ ῥηθησόμενον δόξει, λέξω καὶ οὐκ ἀποκρύψομαι — κατὰ τοῦτό γ' αὐτὸ ἄξιον αὐτὸν εἶναι θανάτῳ ζημιῶσαι, ἵνα ἐν ἅδου τοῖς ἀσεβέσι θῇ τοῦτον τὸν νόμον, [1]ἡμᾶς δὲ τοὺς ζῶντας τοῖσδε τοῖς ὁσίοις καὶ δικαίοις
733 ἐᾷ [2]τολοιπὸν χρῆσθαι. ἀνάγνωθι δὲ καὶ τούτους τοὺς νόμους.

ΝΟΜΟΙ
ΚΛΟΠΗΣ, ΚΑΚΩΣΕΩΣ ΓΟΝΕΩΝ, ΑΣΤΡΑΤΕΙΑΣ.

Ὅ,τι ἐάν τις ἀπολέσῃ, ἐὰν μὲν αὐτὸ λάβῃ, τὴν διπλασίαν καταδικάζειν· ἐὰν δὲ μὴ, τὴν δεκαπλασίαν πρὸς τοῖς ἐπαιτίοις. δεδέσθαι δ' ἐν τῇ ποδοκάκῃ τὸν πόδα πένθ' ἡμέρας καὶ νύκτας ἴσας, ἐὰν προστιμήσῃ ἡ Ἡλιαία· προστιμᾶσθαι δὲ τὸν βουλόμενον, ὅταν περὶ τοῦ τιμήματος ᾖ.

[1] ὑμᾶς

[2] τὸ λοιπὸν

Lind. Obsop. Ital. Ita Noster constanter: §. ί. Εἴ τινι — προστετίμηται κατὰ νόμον, ἢ κατὰ ψήφισμα δεσμοῦ. Et §. ί. fin. εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ προστετίμηται. Et §. ιβ'. εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ προστετίμηται. Et §. ιγ'. ὅσοις δεσμοῦ προστιμᾶται. Et §. λγ'. οὐκ ἂν οὖν ἐξῆν δεσμοῦ τιμῆσαι. Et §. μζ'. εἴ τινι προστετίμηται δεσμοῦ. Et §. μζ'. fin. ὅταν οἷς τετίμηται δεσμοῦ. — Similiter p. 310. v. 5. ἐὰν δὲ ἀργυρίου τιμηθῇ. Taylor.

Ὀφλῇ] Quidam Codd. ἁλῷ. Puto varietatem lectionis esse ἁλῷ. Atque ita rescribit Aug. quod et Tu fortasse rescribes. Idem.

Ἀποκρύψομαι] Ἀποτρέψομαι Codd. Ven. Lind. Obsop. Aug. Ital. Vind. Vide supra §. ά. Porro locum hunc memoria fretus videtur Hermogenes citare, cap. περὶ αὐθάδων καὶ τολμηρῶν διανοημάτων, hoc modo: ὁμολογία δὲ τοῦ τολμήματος, ὡς ἐν τῷ κατὰ Τιμοκράτους· καὶ γὰρ εἰ φορτικὸς ὁ λόγος εἶναι δοκεῖ, ὅμως ἐρῶ· ἀποκτείνατε αὐτὸν, ἵνα τοῖς ἀσεβέσιν ἐν ᾅδου θῇ τοῦτον τὸν νόμον. Idem.

Ὅ,τι ἐάν τις] L. ὅ,τι ἄν τις. Deinde λάβῃ pro ἀπολάβῃ. Auger.

Αὐτὸ λάβῃ] Rectius fortasse ἀπολάβῃ. Ita Bodl. Taylor.

Πρὸς τοῖς ἐπαιτίοις] Utrum καταδικάζειν πρὸς τοῖς ἐπαιτίοις, ἀντὶ τοῦ, τοὺς ἐπαιτίους, ἢ τῶν ἐπαιτίων? Wolf. Quid hoc Wolfianum sit, nescio. Scio autem, cum errare in vertendo: *una cum adjutoribus*: et Petitum similiter, *quorum ope consilioque fecit*. Præter mulctas, quæ legibus definiuntur, (uti sunt hic actio in *duplum*, si quis rem furtivam receperit, in *decuplum*, si non) eæ, quæ arbitrio Judicum reservantur, vocantur προστιμήματα et ἐπαίτια. Et nescio, annon ad hanc ipsissimam legem respexerit Pollux, et verba Solonis in hac laudata, ubi ait L. VIII. C. V. §. 22. Τὰ μέντοι προστιμήματα Σόλων ἐπαίτια καλεῖ. Conjunge Harpocrationem in Προστιμήματα. Ἔστι μὲν τινα ἐν τοῖς νομοις ὡρισμενα κατὰ τῶν ἀδικούντων — ἔστι δὲ καὶ ἄλλα, ἃ προστιμᾶται τὸ δικαστήριον. Vid. infra §. κθ'. med. et Herald. Animadv. III. 3. Taylor.

Ποδοκάκῃ] Legendum ποδοκάκκῃ. Vide, quæ annotavimus ad Lysiam c. Theomnestum, p. 356. Not. 43. Idem.

Προστιμᾶσθαι δὲ τὸν βουλόμενον] Utrum πλείω τίμησιν ἐπιφέρειν? Wolf. Recte rem reputaverit. Male ergo et hic et alibi *censere* vertit: cum sit pœnæ quasi cumulus, pœna addititia. Vide, quæ Nos modo ad v. antepen. Taylor.

Ἐὰν δέ τις ἀπαχθῇ, τῶν γονέων κακώσεως ἡλωκώς, ἢ ἀστρατείας, [1] ἢ προειρημένον αὐτῷ ὑπὸ τῶν νόμων, εἴργεσθαι, εἰσιὼν ὅπῃ μὴ χρή, δησάντων αὐτὸν οἱ ἕνδεκα, καὶ εἰσαγόντων αὐτὸν εἰς τὴν Ἡλιαίαν· κατηγορείτω δὲ ὁ βουλόμενος οἷς ἔξεστιν. ἐὰν δὲ ἁλῷ, τιμάτω ἡ Ἡλιαία, ὅ,τι χρὴ παθεῖν αὐτόν, ἢ ἀποτίσαι· ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεδέσθω τέως ἕως ἂν ἐκτίσῃ.

ὅμοιός γε, ὦ ἄνδρες Ἀθηναῖοι, Σόλων νομοθέτης, καὶ [2] Τιμοκράτης; ὁ μέν γε καὶ τοὺς ὄντας βελτίους ποιεῖ, καὶ τοὺς μέλλοντας ἔσεσθαι· ὁ δὲ, καὶ τοῖς γεγενημένοις πονηροῖς, ὅπως μὴ δώσουσι δίκην ὁδὸν δείκνυσι, καὶ τοῖς οὖσιν, ὅπως ἄδεια γενήσεται κακουργεῖν εὑρίσκει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι, τοὺς ἐξ ἁπάντων τῶν χρόνων πονηροὺς, ὅπως ἔσονται σῶοι καὶ μηδὲν πείσονται, παρασκευάζων. καί τοι τίνα ἂν ἀξίαν δοίης δίκην, ἢ τί σὺ παθὼν ἂν τὰ προσήκοντα εἴης πεπονθὼς, ὃς, τὰ μὲν ἄλλα ἐῶ, ἀλλὰ τοὺς τῷ γήρᾳ βοηθοὺς λυμαίνῃ, οἳ καὶ ζῶντας ἀναγκάζουσι τοὺς παῖδας τοὺς γονέας τρέφειν, καὶ ἐπειδὰν ἀποθάνωσιν, ὅπως τῶν νομιζομένων τύχωσι [3] παρασκευάζουσιν. ἢ πῶς [4] οὐ κάκιστος ἁπάντων ἀνθρώπων δικαίως ἂν νομί- 784
ζοιο, ὅστις, ὦ κατάρατε, περὶ πλείονος φαίνῃ τοὺς κλέπτας, καὶ τοὺς κακούργους, καὶ τοὺς ἀστρατεύτους τῆς πατρίδος ποιούμενος, καὶ διὰ τούτους καθ' [5] ὑμῶν νόμον τιθεὶς;

[1] Deest ἢ. [2] Τιμοκράτης. [3] παρασκευάζουσιν; [4] οὐχὶ [5] ἡμῶν

Ἐὰν δέ τις] Incipit Lex nova, a priori, id nescius ne esses, resecanda. IDEM.

Προειρημένων αὐτῷ τῶν νόμων] Forte: προειρημένον (Ἀττικῶς, ἀντὶ τοῦ, προειρημένου, τὸ ἐπειδὴ προείρηται αὐτῷ) ὑπὸ τῶν νόμων. τὸ τί; εἴργεσθαι. Sub. τόπων τινῶν, οἷον ἀγορᾶς, ἱερῶν. Hoc malo, quam exponere passive [sic] ἀντὶ τοῦ, προειρηκότων αὐτῷ τῶν νόμων, εἴργεσθαι. WOLF. προειρημένων αὐτῷ τῶν νόμων lectio est omnium Editionum, et MStorum fere. quam bono consilio sustulit Wolfius. Consentit propemodum marg. Benenati προειρημένου αὐτῷ ὑπὸ τῶν νόμων. Neque enim multum interest, an ita, an cum Wolfio et Lambino προειρημένον legas. Verum cum ὑπὸ in omnibus, puto, Codd. desit, melius est, ut cum Salmasio de M. U. pag. 774. ita emendemus: προειρημένον αὐτῷ τῶν νομίμων εἴργεσθαι. Hominem vide. Et sane præstat. Ita scripsit Noster in Aristocratea, τῶν νομίμων εἰργόμενον §. ἡ. fin. v. Petit. nov. edit. p. 243. TAYLOR. ἢ προειρημένον - - vel cum ei esset indictum a legibus se exclusum iri etc. AUGER.

Δησάντων αὐτὸν οἱ ἕνδεκα καὶ εἰσαγόντων εἰς τὴν Ἡλιαίαν] Eum Undecimviri in vincula conjiciunto, atque ad judicium sistunto, ibi quæ volet accusato, quibus quidem lege liceat. Erant autem οἱ ἕνδεκα Undecimviri capitales Athenis, ut Romæ Triumviri, de quibus in Annotat. dictum est. Quod si superioribus verbis adjiciantur hæc, ὁ δὲ δεδεμένος ἀπολογείσθω: significabitur, ipse autem reus e vinculis causam dicito. De Ἡλιαίᾳ vero et ἡλιάζεσθαι dictum est paulo superius. Ex edit. HERVAG.

Ὁ μέν γε καὶ τοὺς ὄντας etc.] Vertit Wolfius: ille probiores facit, tum eos, qui sunt improbi, tum eos, qui futuri sunt. Recte, si tollas τὸ improbi, quod faciendum puto, quamvis Ulpianus ipse aliter censeat. JURIN.

Τοὺς τῷ γήρᾳ] Manifeste legendum ἀλλὰ τοὺς νόμους τοὺς τῷ γήρα βοηθοὺς λυμαίνῃ. IDEM. ἀλλὰ τοὺς τῷ γήρᾳ βοηθοὺς νόμους λυμαίνῃ Bodl. TAYLOR. βοηθοὺς adde vel sub. νόμους. AUGER.

Καθ' ὑμῶν] Καθ' ἡμῶν puto. Nam

κή. Βούλομαι τοίνυν ὑμῖν, ἃ ὑπεσχόμην ἐν ἀρχῇ τοῦ λόγου, ἀπολογήσασθαι πεποιηκότα ἐμαυτόν. ἔφην γὰρ αὐτὸν ἐξελέγξειν κατὰ πάντα ἔνοχον ὄντα τῇ γραφῇ, πρῶτον μὲν παρὰ τοὺς νόμους νομοθετοῦντα· δεύτερον δὲ ὑπεναντία τοῖς οὖσι νόμοις γεγραφότα· τρίτον δὲ τοιαῦτα δι' ὧν βλάπτει τὴν πόλιν. οὐκοῦν ἠκούσατε τῶν νόμων ἃ κελεύουσι ποιεῖν τὸν τιθέντα νόμον καινόν· καὶ πάλιν ὑμᾶς ἐδίδαξα, ὅτι τούτων οὐδ' ὁτιοῦν ἐποίησεν οὗτος. καὶ μήν, κἀκείνων ἠκούσατε τῶν νόμων, οἷς ἐναντίος ὢν [1]ἐφαίνετο τούτου· καὶ τούτους ὅτι πρὶν λῦσαι, τόνδε τέθεικεν, ἐπίστασθε. ἀλλὰ μὴν ὅτι γ' οὐκ ἐπιτήδειος, ἀκηκόατε· ἄρτι γὰρ λέγων ἐπαυσάμην. οὐκοῦν κατὰ πάντ' ἀδικεῖ φανερῶς, καὶ οὐδέν ἐσθ' ὅ,τι φροντίσας [2]ὑμῶν οὐδ' εὐλαβηθεὶς φαίνεται. ἀλλ' ἔμοιγε δοκεῖ, κἂν εἰ πρὸς τούτοις ἄλλο τι μὴ ποιεῖν ἐγέγραπτο ἐν τοῖς οὖσι νόμοις, κἂν τοῦτο ποιῆσαι. πανταχόθεν μὲν τοίνυν δῆλός ἐσθ' ὅτι ταῦτ' ἔγραψεν ἐπιβουλεύσας, καὶ μετὰ τοῦ βουλεύσασθαι ταῦτ' [3]ἀδικῶν, καὶ οὐ γνώμῃ διαμαρτών· μάλιστα δ' ἐκ τοῦ πάντα τὸν νόμον μέχρι τῆς ὑστάτης συλλαβῆς τοιοῦτον εἶναι. οὐδὲ γὰρ οὐδ' ἄκων οὐδὲν ἔθηκεν ὀρθῶς ἔχον, οὐδ' ὡς ὑμῖν ἔμελλε λυσιτελήσειν. πῶς οὖν οὐκ εἰκὸς μισεῖν καὶ τιμωρεῖσθαι τοῦτον, ὅστις τοῦ μὲν δήμου ἠδικημένου ἠμέλησεν, ὑπὲρ δὲ τῶν ἠδικηκότων, [4]καὶ ὕστερον ἀδικησόντων, τοὺς νόμους τέθεικε;

κθ'. Θαυμάζω δ', ὦ ἄνδρες δικασταί, τῆς ἀναιδείας αὐτοῦ, τὸ, ἡνίκα μὲν ἦρχεν αὐτὸς μετ' Ἀνδροτίωνος, τὸν
735 ἔλεον τοῦτον ἐπὶ τῷ πλήθει τῷ ὑμετέρῳ μὴ ποιήσασθαι, τῷ ἀπειρηκότι τὰ ἑαυτοῦ χρήματα εἰσφέροντι· ἐπειδὴ δὲ

[1] φαίνεθ' ὁ τούτου [2] [ὑμᾶν] [3] ἀδικεῖ [4] καὶ τῶν ὕστερον

durum videtur, in eadem sententia et Reum et Judices alloqui. JURIN. ἡμᾶν Ald. Ven. Bar. Lind. Ital. et Vindob. TAYLOR. ἡμᾶν pro ὑμᾶν. AUGER.

κή. Ἀπολογήσασθαι] Lego per ι, παρὰ τὸ ἀπολογίζομαι, τὸ ἀπαριθμῶ, non παρὰ τὸ ἀπολογοῦμαι. Βούλομαι ἀπολογήσασθαι ἡμᾶν ἐμαυτὸν πεποιηκότα (ὅτι πεποίηκα) ἃ ὑπεσχόμην ἐν ἀρχῇ τοῦ λόγου. WOLF. Ita Lambinus quoque, et recte. TAYLOR. Cui assentitur D'Orville ad Charit. Aphrod. Lib. VIII. cap. I. p. 649.

Ἐφαίνετο τούτου] Malim ἐφαίνεθ' ὁ τούτου, sc. νόμος. JURIN. Recte. Ita sine litura Vindob. Alii etiam Codd. articulum agnoscunt, hoc pacto : ἐφαίνετ' ὁ. TAYLOR.

Ἀδικᾶν] Ita dedit Wolfius. Impressi tamen et MSti ἀδικεῖν, vel (quod pro eo mendose exaratur) ἀδικεῖ. IDEM.

κθ'. Τὸ] Forte τῷ — μὴ ποιήσασθαι. ὅτι οὐκ ἐπιστατοῦ. WOLF.

Τῷ ἀπειρηκότι — εἰσφέροντι] Τῷ εἰσφέρειν. ἐγὼ ἀπειρηκὼς εἰσφέρων. ἐμοὶ ἀπειρηκότος εἰσφέροντος. καὶ τὰ λοιπὰ καθ' ὁμοιόπτωτον.

Ἀνδροτίωνα ἔδει, ἃ πάλαι ὑφῄρητο τῆς πόλεως χρήματα, καταθεῖναι, τὰ μὲν ἱερὰ, [1] τάδ' ὅσια, τότε θεῖναι τὸν νόμον ἐπ' ἀποστερήσει, τῶν μὲν ὁσίων, τῆς διπλασίας, τῶν ἱερῶν δὲ, τῆς δεκαπλασίας. καὶ οὕτω πρὸς τὸ πλῆθος τὸ ὑμέτερον προσενήνεκται, ὁ αὐτίκα δὴ μάλα ὑπὲρ τοῦ δήμου φήσων τὸν νόμον τοῦτον θεῖναι. δικαίως δ' ἂν ἐμοὶ δοκεῖ παθεῖν ὁτιοῦν, ὅστις οἴεται δεῖν, εἰ μέν τις ἀγορανόμος, ἢ ἀστυνόμος, ἢ δικαστὴς κατὰ [2] νόμους γενόμενος, κλοπῆς ἐν ταῖς εὐθύναις ἑάλωκεν, ἄνδρωπος πένης καὶ ἰδιώτης, καὶ πολλῶν ἄπειρος, καὶ κληρωτὴν ἀρχὴν ἄρξας, τούτῳ μὲν τὴν δεκαπλασίαν εἶναι, καὶ νόμον οὐδένα τοῖς τοιούτοις ἐπικουροῦντα τίθησιν· εἰ δέ τινες πρέσβεις αἱρεθέντες ὑπὸ τοῦ δήμου, πλούσιοι ὄντες, ὑφείλοντο χρήματα πολλὰ, τὰ μὲν ἱερὰ, [1] τάδ' ὅσια, καὶ εἶχον χρόνον πολὺν, τούτοις ὅπως μηδὲν πείσονται, μήθ' ὧν οἱ νόμοι, μήθ' ὧν τὰ ψηφίσματα προστάττει, μάλ' ἀκριβῶς εὗρε. καί τοί γ' ὁ Σόλων, ὦ ἄνδρες δικασταὶ, ᾧ οὐδ' ἂν αὐτὸς Τιμοκράτης φήσαι ὅμοιος νομοθέτης εἶναι, οὐχ ὅπως ἀσφαλῶς κακουργήσουσι, φαίνεται παρασκευάζων τοῖς τοιούτοις, ἀλλ' ὅπως ἢ μὴ ἀδικήσουσιν, ἢ δώσουσι δίκην ἀξίαν, καὶ νόμον εἰσήνεγκε. λέγε [3] τοῦτον τὸν νόμον.

ΝΟΜΟΣ.

Εἰ μέν τις μεθ' ἡμέραν ὑπὲρ πεντήκοντα δραχμὰς κλέπτοι, ἀπαγωγὴν πρὸς τοὺς ἕνδεκα εἶναι· εἰ δέ τις νύκτωρ ὁτιοῦν κλέπτοι, τοῦτον ἐξεῖναι 736

[1] τὰ δ' [2] δήμους [3] τουτονὶ

Idem. Satius hoc multo, quam quod arridere Lambino video, τῷ ἀπειρηκότι, τῷ τὰ ἑαυτοῦ χρήματα εἰσφέροντι. Taylor.

Κατὰ νόμους γενόμενος] Κατὰ τοὺς νόμους. Wolf. Immo κατὰ δήμους. Ita exhibent hunc locum Bar. Ven. Bodl. marg. Benenat. Lind. Obsop. Aug. Ital. cum Ulpiano. Ita quoque legit Harpocratio: Κατὰ δήμους δικαστάς. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. Περὶ τῶν κατὰ δήμους δικαστῶν, ὡς πρότερον μὲν ἦσαν τριάκοντα, καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο τεσσαράκοντα, εἴρηκεν Ἀριστοτέλης ἐν τῇ πολιτείᾳ. Judices erant pedanei, qui in pagis de peregrinitate judicabant. Vide Poll. VIII. 5. et quæ diximus ad Æschin. c. Timarch. p. 51. v. 14. ed. Tayl. Errant, qui hæc de XLviris intelligunt post sublatum XXXviratum constitutis. Taylor. Lego cum multis κατὰ δήμους. Auger.

Δεκαπλασίαν εἶναι] Εἶναι refertur ad οἴεται δεῖν. Idem.

Εἰ μέν τις] Complures leges, sive compluria legis Capita in hoc ambitu orationis video contineri:

Εἰ μέν τις μεθ' ἡμέραν κ. τ. λ. v. pen.

Et:

τῷ ἁλόντι p. 313. v. 2.

καὶ Εἴ τις γ' ἐκ Λυκείου v. 3.

Et:

Εἴ τις τὴν ἰδίαν δίκην v. 7.

Ita enim demùm concludit: καὶ τούτων ὀλίγῳ πρότερον ἠκούσατε τῶν νόμων. Taylor.

καὶ ἀποκτεῖναι, καὶ τρῶσαι διώκοντα, καὶ ἀπαγαγεῖν τοῖς ἕνδεκα, εἰ βούλοιτο. Τῷ δ' ἁλόντι ὧν αἱ ἀπαγωγαί εἰσιν, οὐκ, ἐγγυητὰς καταστήσαντι, ἔκτισιν εἶναι τῶν κλεμμάτων· ἀλλὰ [1] *θάνατον τὴν ζημίαν. Καὶ εἴ τις γ' ἐκ Λυκείου, ἢ ἐξ Ἀκαδημίας, ἢ ἐκ Κυνοσάργους, ἱμάτιον, ἢ ληκύθιον, ἢ ἄλλο τι ψαυλότατον, ἢ τῶν σκευῶν τι, τῶν ἐκ τῶν γυμνασίων ὑφέλοιτο, ἢ ἐκ τῶν λιμένων, ὑπὲρ δέκα δραχμὰς, καὶ τούτοις θάνατον ἐνομοθέτησεν εἶναι τὴν ζημίαν. Εἰ δέ τις ἰδίαν δίκην κλοπῆς* [2] *ἁλοίη, ὑπάρχειν μὲν αὐτῷ διπλάσιον ἀποτίσαι τὸ τιμηθέν· προστιμῆσαι δ' ἐξεῖναι τῷ δικαστηρίῳ πρὸς τῷ ἀργυρίῳ δεσμὸν τῷ κλέπτῃ, πένθ' ἡμέρας καὶ νύκτας ἴσας, ὅπως ὁρῷεν ἅπαντες αὐτὸν δεδεμένον.*

καὶ τούτων ὀλίγῳ πρότερον ἠκούσατε τῶν νόμων. ᾤετο γὰρ δεῖν τόν γε τὰ αἰσχρὰ ἐργαζόμενον, μὴ ἃ ὑφείλετο μόνον [3] ἀποδιδόντα ἀπηλλάχθαι, — πολλοὶ γὰρ ἂν αὐτῷ ἐδόκουν οὕτω γ' οἱ κλέπται ἔσεσθαι, εἰ μέλλοιεν λαθόντες μὲν ἔξειν, μὴ λαθόντες δὲ, αὐτὰ μόνα καταθήσειν ἃ ὑφείλοντο —, ἀλλὰ ταῦτα μὲν, διπλάσια καταθεῖναι, δεθέντα δὲ, πρὸς τούτῳ τῷ τιμήματι, ἐν αἰσχύνῃ ἤδη ζῆν τὸν ἄλλον βίον. ἀλλ' οὐ Τιμοκράτης, ἀλλ' ὅπως ἁπλᾶ μὲν, ἃ δεῖ διπλάσια, καταθήσουσι, παρεσκεύασε, μηδ' ὁτιοῦν δ' ἐπιτίμιον ἔσται πρὸς τούτοις. καὶ οὐκ ἀπέχρησεν ὑπὲρ τῶν μελλόντων αὐτῷ ταῦτ' ἀδικεῖν, ἀλλὰ καὶ εἴ τις ἄρ' ἠδικηκὼς κεκολασμένος ἦν, καὶ τοῦτον ἀφῆκε. καί τοι
137 ἔγωγ' ὤμην, δεῖν τὸν νομοθετοῦντα περὶ τῶν μελλόντων ἔσεσθαι, οἷα δεῖ γίγνεσθαι, καὶ ὡς ἕκαστα ἔχειν, καὶ τὰς τιμωρίας ὁποίας τινὰς ἐφ' ἑκάστοις δεῖ τοῖς ἀδικήμασιν εἶναι, περὶ τούτων νομοθετεῖν,—τοῦτο γάρ ἐστι τὸ ἐφ' ἅπασι τοῖς πολίταις κοινοὺς τοὺς νόμους τιθέναι —· τὸ

[1] θάνατον εἶναι τὴν [2] ἁλῷη [3] ἀποδόντα

Τῷ δ' ἁλόντι, ὧν αἱ ἀπαγωγαί εἰσιν] Ἁλόντι τούτων (διὰ ταῦτα), δι' ἃ ἔξεστιν ἀπάγειν εἰς τὸ δεσμωτήριον, ἢ παραδοῦναι τοῖς ἕνδεκα, τουτέστι, τῷ κλέπτῃ. Wolf. Vide Salmasium de M. U. pag. 775. Ulpianum ad hunc locum, et Petit. LL. Attic. L. VII. Tit. V. Taylor.

Ἐν τῶν γυμνασίων] Nam ob loci celebritatem, populique frequentiam, et quia nemo, dum lavat, ungitur, luctatur, aut quoquo demum modo se exercet, fures (λωποδύτας vocant) a vestimentis, quæ deposuit, facile arcere possit: ob hæc, inquam, ibi furta et facillime committi et ægerrime deprehendi poterant. De Furibus Balneariis vide Victor. Var. Lect. VII. 17. Casaubon. ad Theophrast. Charact. p. 81. Edit. Needham. Alciat. Parerg. II. 38. Cujac. Observat. et Emend. V. 8. Marq. Freher. Parerg. seu Verisimil. l. II. c. 12. Muret. ad istud Catulli Carm. 30.

O Furum optime Balneariorum.

Inde serior ætas iis rebus custodes apposuit, quos *capsarios* vocant. *Adversus capsarios quoque, qui mercede servanda in balineis vestimenta suscipiunt, judex est constitutus: ut si quid in servandis vestimentis fraudulenter admiserint, ipse cognoscat.* l. 3. §. ult. de Offic. Præf. Vig. *Sive balneator fuerit, velut in quibusdam provinciis fit, in balneis ad custodienda vestimenta conducta habent mancipia.* l. 4. §. 2. D. de his, qui not. infam. Taylor.

Δεσμὸν] Immo potius δεσμοῦ: si vera sint ea, quæ dixi supra. Idem.

Μηδ' ὁτιοῦν ἐπιτίμιον] Μηδ' ὁτιοῦν δ' ἐπιτίμιον. Wolf. Deerat enim in aliquibus. Taylor.

δὲ περὶ τῶν γεγονότων πραγμάτων νόμους γράφειν, οὐ νομοθετεῖν ἐστίν, ἀλλὰ τοὺς ἀδικοῦντας σώζειν. σκοπεῖτε δ' ὡς ἀληθῆ λέγω ἐκ τωνδί. εἰ μὲν γὰρ Εὐκτήμων ἐάλω τὴν τῶν παρανόμων γραφὴν, οὐκ ἂν ἔθηκε τοῦτον τὸν νόμον ὁ Τιμοκράτης, οὐδ' ἂν ἐδεῖτο ἡ [1]πόλις τοῦ νόμου, ἀλλ' ἐξήρκει ἂν αὐτοῖς ἀπεστερηκόσι τὴν πόλιν τὰ χρήματα, τῶν ἄλλων μὴ φροντίζειν· νῦν δ' ἐπειδὴ ἀπέφυγε, τὸ μὲν ὑμέτερον δόγμα, καὶ τὴν τοῦ δικαστηρίου ψῆφον, καὶ τοὺς ἄλλους νόμους, ἀκύρους οἴεται δεῖν εἶναι, [2]αὐτὸν δὲ καὶ τὸν αὐτοῦ νόμον, κύριον. καί τοι, ὦ Τιμόκρατες, οἱ μὲν ὄντες ἡμῖν κύριοι νόμοι, τουτουσὶ ποιοῦσι κυρίους ἁπάντων, καὶ διδόασιν αὐτοῖς ἀκούσασιν ὁποῖον ἄν τι νομίζωσι τὸ ἀδίκημα, τοιαύτῃ περὶ τοῦ ἠδικηκότος κεχρῆσθαι τῇ ὀργῇ· [3]μέγα, μεγάλῃ· [4]μικρὸν, μικρᾷ. ὅταν γὰρ [5]ᾖ ὅ,τι χρὴ παθεῖν, ἢ ἀποτίσαι, τὸ τιμᾶν ἐπὶ τούτοις γίγνεται.

λ'. Σὺ τοίνυν τὸ παθεῖν ἀφαιρεῖς, τὸν δεσμὸν ἀφιείς. καὶ ταῦτα, τίσι; τοῖς κλέπταις, τοῖς ἱεροσύλοις, τοῖς πατραλοίαις, τοῖς ἀνδροφόνοις, τοῖς ἀστρατεύτοις, τοῖς λείπουσι τὰς τάξεις· τούτους γὰρ πάντας σώζεις τῷ νόμῳ. καί τοι ὅς τις ἐν δημοκρατίᾳ νομοθετῶν, μήθ' ὑπὲρ τῶν ἱερῶν, μήθ' ὑπὲρ τοῦ δήμου νομοθετεῖ, ἀλλ' ὑπὲρ ὧν εἶπον ἀρτίως, πῶς οὐ δίκαιός ἐστι τῆς ἐσχάτης τιμωρίας τυχεῖν; οὐ γὰρ δὴ ἐρεῖ γε ὡς τοὺς τοιούτους οὐ καὶ προσήκει, καὶ οἱ 738
νόμοι κελεύουσι ταῖς μεγίσταις τιμωρίαις ἐνόχους εἶναι· οὐδ', ὡς οὗτοι ὑπὲρ ὧν εἴρηκε τὸν νόμον, οὐ καὶ κλέπται καὶ ἱεροσυλοί εἰσι, τὰ μὲν ἱερὰ, τὰς δεκάτας τῆς θεοῦ, καὶ τὰς πεντηκοστὰς τῶν ἄλλων θεῶν σεσυληκότες, καὶ ἀντὶ τοῦ ἀποδοῦναι, αὐτοὶ ἔχοντες, τὰ δ' ὅσια, ἃ ἐγίγνετο

[1] πόλις τούτου τοῦ [2] αὐτὸν [3] μέγα; [4] μικρόν; [5] ᾖ τὸ, τὶ χρὴ

Τοῦ νόμου] Nonnulli habent, idque melius, τούτου τοῦ νόμου, Bar. Bodl. Lind. Obsop. Aug. cum impressis a Manutio et Feliciano. Idem.

Ὅταν γὰρ ᾖ κ. τ. λ.] Ὅταν ᾖ. Sub. τὸ πρᾶγμα, ὥστε δεῖν ἀποφαίνεσθαι, hoc est, ὅταν ᾖ ἀτίμητος ἡ δίκη, μὴ ὡρισμένης ἐκ τῶν νόμων τῆς ζημίας. Wolf. ὅταν γὰρ ᾖ τὸ τί χρὴ παθεῖν Bar. Lind. Ital. Aug. ὅτῳ τί χρὴ etc. Vindob. Taylor. L. ὅταν γὰρ ᾖ (sub. γεγραμμένον) τὸ τί χρὴ κ. τ. λ. cum enim in lege scribitur hæc formula, quid oporteat etc. Auger.

λ'. Τὰ δ' ὅσια, ἃ ἐγίγνετο ὑμέτερα] Hic vides τὰ μὲν ἱερὰ, τὰ τῶν θεῶν, τὰ δ' ὅσια, τὰ τοῦ δήμου καὶ τὰ δημόσια dici. Quid ἡ ὁσία καὶ τὰ ὅσια significent alias, non est ignotum. Hesychius: Ὁσία, θέμις. Ὅσιος, γνήσιος, καθαρὸς, δίκαιος, εὐσεβὴς, εἰρηνικὸς, ἁγνός. Item Ὅσιον, τὸ μὴ θεῖον, ἀλλ' ἀνθρώπειον, ἀπὸ τῆς ἕσεως, τὸ ἐφειμένον, καὶ μὴ ἀπηγορευμένον. Ubi Timocrateam citat.

ὑμέτερα, κεκλοφότες. διαφέρει δὲ τοσοῦτον αὐτῶν ἡ ἱεροσυλία τῶν ἄλλων, ὅτι τὴν ἀρχὴν [1] οὐδὲ ἀνήνεγκαν εἰς τὴν ἀκρόπολιν, δέον αὐτούς. [2] οἶμαι δὲ, νὴ τὸν Δία τὸν Ὀλύμπιον, ὦ ἄνδρες δικασταὶ, οὐκ ἀπὸ ταυτομάτου τὴν ὕβριν καὶ τὴν ὑπερηφανίαν ἐπελθεῖν Ἀνδροτίωνι, ἀλλ' ὑπὸ τῆς θεοῦ ἐπιπεμφθεῖσαν, ἵν', ὥσπερ οἱ τὰ ἀκρωτήρια τῆς νίκης περικόψαντες ἀπώλοντο αὐτοὶ ὑφ' αὑτῶν, οὕτω καὶ οὗτοι αὐτοὶ αὑτοῖς διαδικαζόμενοι ἀπόλοιντο, καὶ τὰ χρήματα καταθεῖεν [3] διπλάσια κατὰ τοὺς νόμους, ἢ δεθεῖεν.

λά. Βούλομαι δ' ὑμῖν, ὃ μεταξὺ λέγων περὶ τούτων ἐνεθυμήθην, εἰπεῖν, περὶ οὗ τέθεικε νόμου, παράδοξόν τι [4] καὶ θαυμαστὸν ἠλίκον. οὗτος γὰρ, ὦ ἄνδρες δικασταὶ, τοῖς μὲν τὰ τέλη ὠνουμένοις ἔγραψε τὰς τιμωρίας εἶναι, εἰ μὴ καταβάλοιεν τὰ χρήματα, κατὰ τοὺς νόμους τοὺς προτέρους, ἐν οἷς καὶ ὁ δεσμὸς, καὶ ἡ διπλασία γέγραπται ἀνθρώποις, οἳ διὰ τὸ ζημιοῦσθαι ἐπὶ τῇ ὠνῇ, ἄκοντες ἔμελλον τὴν πόλιν ἀδικήσειν· τοῖς δ' ὑφαιρουμένοις τὰ τῆς πόλεως, καὶ ἱεροσυλοῦσι τὰ τῆς θεοῦ, τὸν δεσμὸν ἀφεῖλε. καί τοι εἰ μὲν ἐλάττω τούτους ἀδικεῖν ἐκείνων νομίσαι
39 φήσεις, ἀνάγκη μαίνεσθαί σε ὁμολογεῖν· εἰ δὲ μείζω νομίζων, ὥσπερ ἐστὶν, ἐκεῖνα τἀδικήματα, τοὺς μὲν ἀφίης, τοὺς δὲ μὴ, οὐκ ἤδη δῆλος εἶ πεπρακὼς τὸ πρᾶγμα τούτοις;

λβ'. Ἄξιον τοίνυν καὶ τοῦτ' εἰπεῖν, ὅσον ὑμεῖς διαφέρετε, ὦ ἄνδρες δικασταὶ, μεγαλοφροσύνῃ τῶν ῥητόρων. ὑμεῖς μέν γε τὰ ἐπὶ τῷ πλήθει νενομοθετημένα δεινὰ, ἐάν τις ἢ διχόθεν μισθοφορῇ, ἢ ὀφείλων τῷ δημοσίῳ ἐκκλησιάζῃ, ἢ δικάζῃ, ἢ ἄλλο τι ποιῇ ὧν οἱ νόμοι ἀπαγορεύουσιν, οὐ [5] κωλύετε — καὶ ταῦτα εἰδότες ὅτι διὰ πενί-

[1] οὐδὲ τὴν ἀρχὴν [2] οἴομαι [3] δεκαπλάσια [4] [καὶ] [5] λύετε

Wolf. Vide ad §. δ'. Taylor.

Τοσοῦτον] *Tantummodo, duntaxat.* Auger.

Τῆς νίκης] Vide Valesium ad Harpocrat. pag. notarum 183. Taylor.

Αὑτοῖς] Ἐν αὑτοῖς vel ἑαυτοῖς libri optimi, Bar. Aug. Vind. Proxime, v. 8. ἀπόλοιντο restituimus ex Bar. Ven. Bodl. Lind. Aug. ex Editis Par. Man. Fel. pro vulgato ἀπώλοντο. Cod. Vindob. ἀπόλωνται. Ital. ἀπώλοιντο. Idem.

λά. Τοῖς δ' ὑφαιρουμένοις] Malim τῶν δ' ὑφαιρουμένων — καὶ ἱεροσυλούντων, ob verbum ἀφεῖλεν. ἀφαιρῶ σου τοῦτο, ἢ ἀφαιρῶ σε τοῦτο, ἢ ἀφαιρῶ σε τούτου. Omnia usitatiora, quam ἀφαιρῶ σοι τοῦτο, Latina constructione. Wolf.

λβ'. Ἐπὶ τῷ πλήθει] Κατὰ marg. Lutet. Unde Wolfius, vel τὰ κατὰ τοῦ πλήθους, vel τὰ ἐπὶ τὸ πλῆθος. Taylor.

Κωλύετε] Legendum λύετε. τὰ νενομοθετημένα οὐ λύετε. Ex auctoritate Codd. complurium, Bar. Lind. Obsop. Ven. Reg.

αν [1]ποιήσει ὁ τούτων [2]τί ποιῶν —, οὐδὲ νόμους τοιούτους τίθεσθε, ὅπως ἐξουσία ἔσται [3]αὐτοῖς ἐξαμαρτεῖν, ἀλλὰ τοὐναντίον, ὅπως μὴ οὗτοι δ', ὅπως οἱ τὰ αἴσχιστα καὶ τὰ δεινότατα ποιοῦντες δίκην μὴ δώσουσιν, εἶτα προπηλακίζουσιν ὑμᾶς ἰδίᾳ τοῖς λόγοις, ὡς αὐτοὶ καλοὶ κἀγαθοὶ, πονηρῶν καὶ ἀχαρίστων οἰκετῶν τρόπους ἔχοντες. καὶ γὰρ ἐκείνων, ὦ ἄνδρες δικασταὶ, ὅσοι ἂν ἐλεύθεροι γένωνται, οὐ τῆς ἐλευθερίας χάριν ἔχουσι τοῖς δεσπόταις, ἀλλὰ μισοῦσι μάλιστα ἀνθρώπων ἁπάντων, ὅτι συνίσασιν [4]αὐτοῖς δουλεύσασιν· οὕτω [5]δὲ καὶ οὗτοι οἱ ῥήτορες οὐκ ἀγαπῶσιν, ἐκ πενήτων πλούσιοι ἀπὸ τῆς πόλεως γιγνόμενοι, ἀλλὰ καὶ προπηλακίζουσι τὸ πλῆθος, ὅτι σύνοιδεν [6]αὐτοῖς ἕκαστος τὰ ἐν τῇ πενίᾳ καὶ [7]νεότητι ἐπιτηδεύματα.

λγ'. Ἀλλὰ, νὴ Δία, αἰσχρὸν [8]ἴσως ἦν Ἀνδροτίωνα δεδέσθαι, ἢ Γλαυκέτην, ἢ Μελάνωπον; οὐ, μὰ τὸν Δία, ὦ ἄνδρες δικασταί· ἀλλὰ πολὺ αἴσχιον, τὴν πόλιν ἀδικουμένην καὶ ὑβριζομένην μὴ λαβεῖν δίκην καὶ ὑπὲρ τῆς θεοῦ, καὶ ὑπὲρ αὐτῆς. ἐπεὶ Ἀνδροτίωνί γε, πότερα οὐ πατρῷον τὸ δεδέσθαι; ἀλλ' αὐτοὶ ἴστε πολλὰς πενταετηρίδας ἐν 740
τῷ δεσμωτηρίῳ διατρίψαντα τὸν πατέρα αὐτοῦ, καὶ ἀποδράντα, καὶ οὐκ ἀφεθέντα. ἀλλὰ διὰ τὰ ἐπιτηδεύματα τὰ ἐν τῇ ἡλικίᾳ; ἀλλὰ καὶ διὰ ταῦτα δεδέσθαι αὐτῷ οὐχ ἧττον προσήκει, ἢ δι' ἅπερ ὑφείλετο. ἢ ὅτι εἰσήει εἰς τὴν ἀγορὰν, οὐκ ἐξὸν αὐτῷ, καὶ ἐκ ταύτης τοὺς σωφρόνως βεβιωκότας αὐτὸς ἦγεν εἰς τὸ [9]δεσμωτήριον; ἀλλὰ καὶ Μελάνωπος δεινὸν, νὴ Δί', ἐστὶν, εἰ δεθήσεσθαι νῦν ἔμελλεν; ἀλλὰ περὶ μὲν τοῦ πατρὸς αὐτοῦ οὐδὲν ἂν φλαῦρον

1 ποιήσειεν 2 τι 3 [αὐτοῖς] 4 αὐτοῖς 5 δὴ 6 αὐτῶν ἑκάστοις
7 * ἐλεεινότητι 8 ἴσως ἂν ἦν 9 δεσμωτήριον. ἀλλὰ Μελ. δ. νὴ τὸν Δί'

α. Ital. Atque ita, si per mendum scriptoris liceret, Vindob. οὐ λύεται. Modo, v. 1. p. 316. ποιήσειεν cum præstantissimis, Bar. Aug. Vind. Idem. F. λύετε. Auger.

Αὐτοῖς ἕκαστος] Melius cum MSS. αὐτῶν ἑκάστοις. Et ea sententia doctissimi Obsopœi, auctoritatem sui Codicis tutantis: "Ita," inquit ille, "legendum esse præcedentia verba confirmant. *Quin etiam multitudinem vituperant, quod* ipsis singulis *sit conscia.*" Taylor. F. ἑκάστοις. Auger.

Ἐν τῇ πενίᾳ καὶ νεότητι] Scripsit, puto, Orator καὶ σπανιότητι. Quod melius quadrat cum superiore v. 11. ἐκ πενήτων πλούσιοι. Jurin. δεινότητι in exemplaribus quibusdam, puta, in Ald. et Paris. in MSS. Man. et Felic. Taylor.

λγ'. Πότερα οὐ πατρῷον] Malim πάτριον. Wolf.

Καὶ οὐκ ἀφεθέντα] Annon potius, uti Bar. Ven. Reg. α. Ital. et Vind. ἀποδράντα, ἀλλ' οὐκ ἀφεθέντα? Taylor.

Νὴ Δί' ἐστὶν] Malim ἦν, quia sequitur ἔμελλεν. Wolf.

εἴποιμι· οὐδ' εἰ πάνυ πολλὰ ἔχω περὶ κλοπῆς λέγειν. ἀλλ' ἔστω ἐκεῖνός γ' ἐμοὶ τοιοῦτος, οἷον ἂν Τιμοκράτης αὐτὸν ἐγκωμιάσειεν. ἀλλ' εἰ χρηστοῦ πατρὸς ὢν πονηρὸς καὶ κλέπτης ἦν, [1] καὶ προδοσίας γε ἁλοὺς τρία τάλαντα ἀπέτισε, καὶ συνέδρου γενομένου, κλοπὴν αὐτοῦ τὸ δικαστήριον κατέγνω, καὶ [2] δεκαπλάσιον ἀπέτισε, καὶ παρεπρεσβεύσατο εἰς Αἴγυπτον, καὶ τοὺς ἀδελφοὺς τοὺς ἑαυτοῦ [3] ἠδίκει, οὐ τοσούτῳ μᾶλλον αὐτὸν ἔδει δεδέσθαι, εἰ χρηστοῦ πατρὸς ὢν τοιοῦτος ἦν; οἶμαι γὰρ ἔγωγε, εἴπερ τῷ ὄντι χρηστὸς ἦν Λάχης καὶ φιλόπολις, ὑπ' αὐτοῦ ἂν ἐκείνου δεδῆναι αὐτὸν τοιοῦτόν γε ὄντα, καὶ οὕτως αἰσχροῖς ὀνείδεσι περιβάλλοντα ἐκεῖνον. καὶ τοῦτον μὲν δὴ ἐῶμεν· Γλαυκέτην δὲ σκεψώμεθα. οὐχ οὗτός ἐστιν, ὁ πρῶτον μὲν εἰς Δεκέλειαν αὐτομολήσας, κἀκεῖθεν ὁρμώμενος, καταθέων, καὶ φέρων, καὶ ἄγων ὑμᾶς; ἀλλὰ πάντες ἴστε ταῦθ' ἃ λέγω. [4] καὶ ἀπὸ μὲν τῶν ὑμετέρων παίδων καὶ γυναικῶν καὶ τῶν ἄλλων χρημάτων ὅσα λάβοι, δεκάτας ἐκεῖ τῷ ἁρμοστῇ κα-
741 τατιθεὶς τούτων ἀκριβῶς· τὴν δέ γ' ἐνθάδε θεὸν, πρεσβευτὴς ἀξιωθεὶς εἶναι ὑφ' ὑμῶν, ἀποστερῶν τὰς ἀπὸ τῶν ὑμετέρων πολεμίων δεκάτας· ἔπειτα ταμιεύσας, ἐν ἀκροπόλει τὰ ἀριστεῖα τῆς πόλεως, ἃ ἔλαβεν ἀπὸ τῶν βαρβάρων, ὑφῃρημένος ἐξ ἀκροπόλεως, τόν τε δίφρον τὸν ἀργυρόποδα, καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου, ὃς ἦγε τριακοσίους Δαρεικούς. ἀλλὰ ταῦτά γ' οὕτω περιφανῆ ἐστὶν, ὥς τε πάντας ἀνθρώπους εἰδέναι. ἀλλὰ τἄλλα, οὐ [5] βίαιος ὡς οὐδεὶς ἀνθρώπων; εἶτα φείσασθαί τινος αὐτῶν ἄξιόν ἐστιν, ὥς τε διὰ τούτους, ἢ τῶν δεκατῶν [6] τῆς θεοῦ ἀμελῆσαι, ἢ τῆς διπλασίας τῶν ὁσίων χρημάτων, ἢ τὸν τούτους πειρώμενον σώζειν, [7] τιμωρήσασθαι; καὶ τί κωλύσει, ἅπαντας εἶναι

[1] (καὶ [2] δεκαπλασίαν [3] ἠδίκει) [4] καὶ ὁ ἀπὸ [5] βίαιος; ὡς οὐδεὶς γ' ἀνθρώπων. [6] τῶν τῆς [7] μὴ τιμωρήσασθαι;

Τοιοῦτος ἦν] Hic vicissim reponendum suadeo ἐστιν. Ita etiam Bar. Ven. Aug. et Vindob. TAYLOR.

Οὕτως αἰσχροῖς ὀνείδεσι] *Usque eo turpibus probris hominem induit et implicuit.* Æschines, τούτων ἑκάστους ἐνιάτοις κακοῖς περιβάλλει. atque hinc dictum esse illud Ciceronis videtur in Acad. *In idipsum se induit quod timebat:* hoc est, eo quod vitare cupiebat, revolutus est. *Ex edit.* HERVAG.

Τριακοσίους Δαρεικοὺς] "Id est, fere sexcentos, quos dicunt, *ducatus.*" D'Orville ad Charit. Aphrod.

Τιμωρήσασθαι] Locus flagitat μὴ τιμωρήσασθαι. Atque ita restitue mecum, ex Ven. Obsop. Bodl. Lind. Aug. et Vind. Editis autem, Man. et Felic. TAYLOR.

πονηροὺς, ὦ ἄνδρες δικασταὶ, εἰ διὰ ταῦτα πλέον ἕξουσιν; ἐγὼ μὲν γὰρ οἶμαι οὐδέν. μὴ τοίνυν αὐτοὶ διδάσκετε, ἀλλὰ τιμωρεῖσθε, καὶ μὴ ἐᾶτε ἀγανακτεῖν, εἰ δεδήσονται ἔχοντες τὰ ὑμέτερα, ἀλλ' ἄγετ' αὐτοὺς ὑπὸ τοὺς νόμους. οὐδὲ γὰρ οἱ τῆς ξενίας ἁλισκόμενοι ἀγανακτοῦσιν, ἐν τῷ οἰκήματι τούτῳ ὄντες, ἕως ἂν τῶν ψευδομαρτυριῶν ἀγωνίσωνται· ἀλλὰ μένουσι, καὶ οὐκ οἴονται δεῖν ἐγγυητὰς καταστήσαντες, περιιέναι. ἔδοξε γὰρ τῇ πόλει ἀπιστεῖν αὐτοῖς, καὶ οὐκ ᾤετο δεῖν διακρουσθῆναι τῆς τιμωρίας δι' ἐγγυητῶν καταστάσεως· ἀλλ' ἐνταῦθα μένειν αὐτοὺς, οὗ καὶ ἄλλοι πολλοὶ τῶν πολιτῶν. καί τοι καὶ ἐπὶ χρήμασιν ἤδη τινὲς ἐδέθησαν, καὶ ἐπὶ κρίσεσιν, ἀλλ' ὅμως ὑπέμειναν.

λδ'. Ἀηδὲς μὲν οὖν ἴσως ἐστὶν ὀνομαστὶ περί τινων μεμνῆσθαι· ἀναγκαῖον δὲ παρεξετάσαι αὐτοὺς παρὰ τούτους. τοὺς μὲν οὖν πρὸ Εὐκλείδου ἄρχοντος ἐῶ, καὶ τοὺς σφόδρα 742
παλαιούς. καί τοι κατὰ τοὺς χρόνους, καθ' οὓς ἕκαστοι αὐτῶν ἦσαν, πολλοῦ ἄξιοι δοκοῦντες γεγενῆσθαι τὸν ἔμπροσθεν χρόνον, ὅμως ἰσχυρᾶς παρὰ τοῦ δήμου ὀργῆς ἐτύγχανον, ἐπὶ τοῖς ὕστερον γενομένοις ἀδικήμασιν. οὐ γὰρ χρόνον τινὰ δικαίους ᾤετο δεῖν αὐτοὺς ἡ πόλις εἶναι, εἶτα κλέπτας· [1] ἀλλὰ περί γε τὰ κοινὰ, ἀεὶ δικαίους. ἐδόκει γὰρ τὸν ἔμπροσθεν χρόνον οὐ φύσει, ἀλλ' ἐπιβουλεύων, τοῦ πιστευθῆναι ἕνεκεν, δίκαιος ὁ τοιοῦτος γεγονέναι ἄνθρωπος. ἀλλὰ μετ' Εὐκλείδην ἄρχοντα, ὦ ἄνδρες δικασταὶ, πρῶτον μὲν, Θρασύβουλον τὸν Κολυττέα ἅπαντες μέμνησθε δὶς δεθέντα, καὶ κριθέντα ἀμφοτέρας τὰς κρίσεις ἐν τῷ δήμῳ.

[1] ἀλλά γε περὶ

Cui assentitur Augerus.

Οὐδὲ γὰρ οἱ τῆς ξενίας ἁλισκόμενοι] Id est, *qui peregrinitatis damnati sunt et convicti.* ita enim Græcis ἁλίσκω dicitur, ut ἁλίσκω σε τούτου τοῦ ἀδικήματος, *hujus te sceleris convinco.* pro quo, verbo αἱρεῖν utitur κατὰ Μειδίου. *Ex edit.* Hervag.

Ἕως ἂν ἦν ψευδομαρτυριῶν ἀγωνίσωνται] Ἕως ἂν ἐπισκήψωνται τοῖς μάρτυσιν, ὡς καταψευσαμένοις αὐτῶν. Sic paulo post, v. 9. διακρουσθῆναι τῆς τιμωρίας, eadem constructione, ἀντὶ τοῦ ἀποστερηθῆναι. Wolf.

λδ'. Θρασύβουλον τὸν Κολυττέα] Cave confundas hunc Thrasybulum cum illo libertatis Atheniensium assertore celebri, qui dicebatur Θρασύβουλος ὁ Λύκου Στειριεύς. Hic tamen, de quo hoc loco agitur, fuit etiam de numero eorum, qui contra XXX Tyrannos pugnaverunt, e Piræeo prodeuntes, et forte fuit Θρασύβουλος ὁ Θράσανος, Alcibiadis inimicus, de quo Plutarchus in Alcibiade. Palmer. V. C. Antonius Gallandius emendat Κολλυττέα, *non solum,* uti ait, *ex marmoribus antiquis, sed etiam aliquot bonæ notæ Auctoribus, uti Hesychio et Strabone.* Vide Iac. Gronov. Memoriam Cossonianam p. 32. Taylor.

καί τοι τῶν ἐκ Πειραιῶς, καὶ ἀπὸ Φυλῆς οὗτος ἦν. ἔπειτα Φιλέψιον τὸν Λαμπτρέα. ἔπειτα [1]Ἀργύριον τὸν Κολυττέα, ἄνδρα χρηστὸν καὶ δημοτικὸν, καὶ περὶ τὸ πλῆθος τὸ ὑμέτερον πολλὰ σπουδάσαντα. ἀλλ' ὅμως τοὺς νόμους ᾤετο δεῖν καὶ αὐτὸς ἐκεῖνος ὁμοίως ὥσπερ ἐπὶ τοῖς ἀδυνάτοις, οὕτω καὶ ἐφ' ἑαυτῷ ἰσχύειν. καὶ ἐγένετο ἐν τῷ οἰκήματι τούτῳ πολλὰ ἔτη, ἕως τὰ χρήματα ἀπέτισεν, ἃ ἔδοξε τῆς πόλεως ὄντα ἔχειν. καὶ ἐπ' ἐκείνῳ Καλλίστρατος, δυνάμενος, καὶ ἀδελφιδοῦς ὢν αὐτοῦ, οὐκ ἐτίθει νόμους. καὶ Μυρωνίδης ὁ Ἀρχίνου υἱὸς, τοῦ καταλαβόντος Φυλὴν, καὶ μετά γε τοὺς θεοὺς αἰτιωτάτου ὄντος τῆς καθόδου τῷ δήμῳ, καὶ ἄλλα πολλὰ καὶ καλὰ πεπολιτευμένου, καὶ ἐστρατηγηκότος πολλάκις· ἀλλ' ὅμως ἅπαντες οὗτοι ὑπέ-
43 μειναν τοὺς νόμους. καὶ οἱ ταμίαι, ἐφ' ὧν ὁ ὀπισθόδομος ἐνεπρήσθη, καὶ οἱ τῶν τῆς θεοῦ, καὶ οἱ τῶν ἄλλων θεῶν, ἐν τῷ οἰκήματι τούτῳ ἦσαν, ἕως ἡ κρίσις αὐτοῖς ἐγένετο. καὶ οἱ περὶ τὸν σῖτον ἀδικεῖν δόξαντες, καὶ ἄλλοι πολλοὶ, ὦ ἄνδρες δικασταὶ, ἅπαντες βελτίους Ἀνδροτίωνος ὄντες. εἶτα τούτοις μὲν ἔδει κυρίους τοὺς πάλαι κειμένους εἶναι νόμους, καὶ δεδωκέναι δίκην αὐτοὺς κατὰ τοὺς ὑπάρχοντας νόμους· δι' Ἀνδροτίωνα δὲ καὶ Γλαυκέτην καὶ Μελάνωπον, καινὸν δεῖ γενέσθαι [2]νόμον, διὰ τοὺς ἑαλωκότας, καὶ ψήφῳ κεκριμένους κατὰ τοὺς πάλαι κειμένους νόμους, καὶ δόξαντας ἔχειν ἱερὰ χρήματα καὶ ὅσια; εἶτ' οὐ καταγέλαστος δόξει ἡ πόλις εἶναι, εἰ τοῖς ἱεροσύλοις, ὅπως [3]σωθήσονται, νόμον φανεῖται τιθεμένη; ἔγωγ' οἶμαι. μὴ τοίνυν ἐάσητε ὑμᾶς αὐτοὺς ὑβρίζεσθαι, μηδὲ τὴν πόλιν· ἀλλ' ἀναμνησθέντες, ὅτι Εὔδημον τὸν Κυδαθηναιέα, νόμον δόξαντα θεῖναι οὐκ ἐπιτήδειον, οὐ πάλαι, ἀλλ' ἐπ' Εὐάνδρου ἄρχο-

[1] Ἀγύῤῥιον [2] νόμον, *νὴ Δία, τοὺς [3] σωθήσονται

Ἀργύριον] Ἀγύριον Reg. α. Ita fere Harpocratio, (nam huc respicit) Ἀγύῤῥιος. δημαγωγῶν οὗτος οὐκ ἀφανής. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. Lege omnino Valesium ad locum, iterumque ad v. Θεωρικά. Meurs. Attic. Lect. VI. 4. Idem.

Οἰκήματι] *Domicilio plebis*, Wolfius. Verte: *ergastulo*. Vide Comment. ad Marmor Sandvic. p. 59. Idem. *Carcere*. D'Orville ad Charit. Aphrod. Lib. VII. cap. VI. p. 633. Vid. Valckenaer. Animad. ad Ammon. Lib. III. cap. IV.

Οἰκήματι τούτῳ] Τούτῳ indicare videtur carcerem in foro fuisse positum et digito potuisse monstrari, nisi τούτῳ significet carcerem de quo hic agitur. Auger.

Καὶ ἐπ' ἐκείνῳ Καλλίστρατος] Καὶ Καλλίστρατος δυνάμενος (δυνατὸς ἀν) οὐκ ἐτίθει νόμους ἐπ' ἐκείνῳ. Wolf.

τος, ἀπεκτείνατε, καὶ Φίλιππον τὸν Φιλίππου τοῦ ναυκλήρου υἱὸν, μικροῦ μὲν ἀπεκτείνατε, χρημάτων δὲ πολλῶν, αὐτοῦ ἐκείνου ἀντιτιμωμένου, παρ' ὀλίγας ψήφους ἠτιμώσατε, ταύτην τὴν ὀργὴν καὶ νῦν ἐπὶ τουτονὶ λάβετε, ἐκεῖνο πρὸς τούτοις ἅπασιν ἐνθυμηθέντες, τί ποτ' ἂν ἐπάθετε ὑπὸ [1]τοῦ αὐτοῦ, εἰ οὗτος εἷς ὢν ἐπρέσβευσεν ὑπὲρ ὑμῶν. οἶμαι γὰρ οὐδὲν τοιοῦτον εἶναι, ὅτου ἂν ἀπέσχετο. ὁρᾶτε δὴ τὴν διάνοιαν αὐτοῦ· ὁ γὰρ νόμος, ὃν ἐτόλμησε θεῖναι, τὸν τρόπον αὐτοῦ δείκνυσι.

λέ. Βούλομαι δ' ὑμῖν, ὦ ἄνδρες δικασταὶ, ἐν Λοκροῖς ὡς νομοθετοῦσι, διηγήσασθαι. οὐδὲν γὰρ χείρους ἔσεσθε παρά- 744
δειγμά τι ἀκηκοότες· ἄλλως τε καὶ ᾧ πόλις εὐνομουμένη χρῆται. ἐκεῖνοι γὰρ οὕτως οἴονται δεῖν τοῖς πάλαι κειμένοις χρῆσθαι νόμοις, καὶ τὰ πάτρια περιστέλλειν, καὶ μὴ πρὸς τὰς βουλήσεις, μηδὲ πρὸς τὰς [2]διαλύσεις τῶν ἀδικημάτων [3]νομοθετῆσαι, ὥς τε ἄν τις βούληται νόμον καινὸν τιθέναι, ἐν βρόχῳ τὸν τράχηλον ἔχων νομοθετεῖ· καὶ ἐὰν μὲν δόξῃ καλὸς καὶ χρήσιμος εἶναι ὁ νόμος, ζῇ ὁ τιθεὶς καὶ ἀπέρχεται, εἰ δὲ μὴ, τέθνηκεν, ἐπισπασθέντος τοῦ βρόχου. καὶ γάρ τοι καινοὺς μὲν οὐ τολμῶσι [4]τιθέναι νόμους· τοῖς δὲ πάλαι κειμένοις ἀκριβῶς χρῶνται. ἐν πολλοῖς δὲ πάνυ ἔτεσιν, ὦ ἄνδρες δικασταὶ, εἷς λέγεται παρ' αὐτοῖς νόμος καινὸς τεθῆναι. ὄντος γὰρ αὐτόθι νόμου, ἐάν τις ὀφθαλμὸν ἐκκόψῃ, ἀντεκκόψαι παρασχεῖν τὸν ἑαυτοῦ, καὶ οὐ χρημάτων τιμήσεως οὐδεμιᾶς, ἀπειλῆσαί τις λέγεται ἐχθρὸς ἐχθρῷ ἕνα ἔχοντι ὀφθαλμὸν, ὅτι αὐτοῦ ἐκ-

[1] τούτου [2] διαδύσεις [3] νομοθετεῖσθαι [4] τίθεσθαι

Καὶ Φίλιππον τὸν Φιλίππου τοῦ ναυκλήρου υἱὸν μικροῦ μὲν ἀπεκτείνατε, etc.] His verbis significat, secundum actorem propemodum esse judicatum, qui litem capitali supplicio reo æstimaverat. Reum vero quanquam grandi pecunia litem sibi ipsum æstimantem, quasi deprecabundum, tamen calculis aut sententiis paucis ab eo abfuisse, ut damnatione ignominiosa plecteretur. ἀντιτιμᾶσθαι ergo reus dicitur, qui cum inficiando non sit, crimen elevare conatur, et pœnam sibi æstimat exilius et levius. *attenuare* vulgo vocant, et *per extenuationem respondere*. Quid autem sit litem æstimare, et litis æstimatio, in Pandectis annotatum est. *Ex edit.* HERVAG.

Παρ' ὀλίγας ψήφους ἠτιμώσατε] *Paucis suffragiis evasit, quo minus ignominia notaretur.* WOLF.

λέ. Λοκροῖς] Vide σχ. Hermog. pag. 28. Menag. ad Laert. pag. 33. Vales. ad Harpocr. v. Ἑτερόφθαλμος. Adde Stob. Serm. 37. ex Hierocle, item serm. sive tit. de Legg. de Consuetud. TAYLOR.

Καὶ οὐ χρημάτων τιμήσεως οὐδεμιᾶς] In fine desiderari videtur verbum ἀπολύεσθαι, cui forte excidendi causam dedit similitudo sequentis, ἀπειλῆσαι. JURIN. Add. vid. ἀπολύεσθαι. AUGER.

κόψει τοῦτον τὸν ἕνα. γενομένης δὲ ταύτης τῆς ἀπειλῆς, χαλεπῶς ἐνεγκὼν ὁ ἑτερόφθαλμος, καὶ ἡγούμενος ἀβίωτον εἶναι αὐτῷ τὸν βίον τοῦτο παθόντι, λέγεται τολμῆσαι νόμον εἰσενεγκεῖν, ἐάν τις ἕνα ἔχοντος ὀφθαλμὸν ἐκκόψῃ, ἄμφω ἀντεκκόψαι παρασχεῖν· ἵνα τῇ ἴσῃ συμφορᾷ ἀμφότεροι χρῶνται. καὶ τοῦτον μόνον λέγονται Λοκροὶ θέσθαι τὸν νόμον ἐν πλείοσιν, ἢ διακοσίοις ἔτεσιν. οἱ δὲ παρ' ὑμῖν ῥήτορες, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν ὅσοι μῆνες μικροῦ δέουσι νομοθετεῖν τὰ [1]ἑαυτοῖς συμφέροντα. ἔπειτα αὐτοὶ μὲν τοὺς ἰδιώτας εἰς τὸ δεσμωτήριον ἄγουσιν, ὅταν ἄρχωσιν, ἐφ' αὑτοῖς δ' οὐκ οἴονται δεῖν τὸ αὐτὸ δίκαιον εἶναι τοῦτο. ἔπειτα τοὺς μὲν τοῦ Σόλωνος νόμους τοὺς πάλαι
45 δεδοκιμασμένους, οὓς οἱ πρόγονοι ἔθεντο, λύουσιν αὐτοί· τοῖς δ' ἑαυτῶν, οὓς ἐπ' ἀδικίᾳ τῆς πόλεως τιθέασι, χρῆσθαι ὑμᾶς οἴονται δεῖν. εἰ οὖν μὴ [2]τιμωρήσεσθε τούτους, οὐκ ἂν φθάνοι τὸ πλῆθος τούτοις τοῖς θηρίοις δουλεῦον. εὖ δ' ἴστε, ὦ ἄνδρες δικασταί, ὅτι ἐὰν μὲν σφόδρα ὀργίζησθε, ἧττον ἀσελγανοῦσιν· ἐὰν δὲ μή, πολλοὺς τοὺς ἀσελγεῖς εὑρήσετε, καὶ τοὺς ὑβρίζοντας [3]ὑμᾶς, ἐπὶ τῇ τοῦ φιλοτιμεῖσθαι προφάσει.

λς'. Ἵνα δὲ καὶ περὶ ἐκείνου εἴπω τοῦ νόμου, ὦ ἄνδρες δικασταί, ᾧ ἀκούω μέλλειν παραδείγματι χρῆσθαι τουτονί, καὶ φήσειν ἀκόλουθον αὐτῷ τεθεικέναι, ἐν ᾧ ἔνι, οὐδὲ δήσω Ἀθηναίων οὐδένα, ὃς ἂν ἐγγυητὰς τρεῖς καθιστῇ, τὸ αὐτὸ τέλος τελοῦντας, πλὴν ἐάν τις ἐπὶ προδοσίᾳ τῆς πόλεως, ἢ ἐπὶ καταλύσει τοῦ δήμου συνιὼν ἁλῷ, ἢ [4]τέλος πριάμενος, ἢ ἐγγυησάμενος, ἢ ἐκλέγων, μὴ [5]καταβάλῃ· ἀκούσατέ μου καὶ περὶ τούτου. οὐ γὰρ ἐρῶ, ὅτι αὐτὸς Ἀν-

[1] αὐτοῖς [2] τιμωρήσησθε [3] [ὑμᾶς] [4] τέλος τι πριάμενος [5] καταβάλλῃ

Ἑτερόφθαλμος] V. Valckenaer. Animad. ad Ammon. Lib. II. cap. I. p. 84.

Ὅσοι μῆνες] Sicut ὅσαι ἡμέραι, pro quo ἑσημέραι plerumque dicitur. Wolf.

Νομοθετεῖν] Hoc infinitivum refertur ad verbum aliquod subauditum. Auger.

Οὐκ ἂν φθάνοι τὸ πλῆθος τούτοις τοῖς θηρίοις δουλεῦον] *Fieri non potest quin*, vel, *ut non hæc multitudo serviat his belluis.* De vario et raro tamen hujus verbi usu, vide multa in Bud. Comment. *Ex edit.* Hervag.

Οὐκ ἂν φθάνοι — δουλεῦον] Τὸ πλῆθος ὡς τάχιστα δουλεύσει τοῖς ῥήτορσι. Notetur hæc Phrasis. Alias fere additur καὶ, ut in Evagora; οὐκ ἔφθησαν πλησιάσαντες ἀλλήλοις, καὶ περὶ πλείονος ἐποιήσαντο σφᾶς αὐτοὺς ἢ τοὺς πρότερον οἰκείους ὄντας. Wolf.

Πολλοὺς τοὺς ἀσελγεῖς εὕρητε] F. πολλοὺς ἄν. Alias malim εὑρήσετε. Idem. εὕρητε quidem in Editorum quibusdam. MSS. tamen præstantiores εὑρήσετε, ut Wolfius, sc. Reg. α. Aug. etc. Taylor.

δροτίων ἦγεν εἰς τὸ δεσμωτήριον, καὶ ἔδει, τούτου κειμένου τοῦ νόμου· ἀλλ' ἐφ' οἷς κεῖται ὁ νόμος οὗτος, διδάξω ὑμᾶς. οὗτος γάρ, ὦ ἄνδρες δικασταί, οὐκ ἐπὶ τοῖς κεκριμένοις καὶ ἠγωνισμένοις κεῖται, ἀλλ' ἐπὶ τοῖς ἀκρίτοις, ἵνα μὴ διὰ τὸ δεδέσθαι, χεῖρον ἀναγκάζοιντο ἀγωνίζεσθαι, ἢ καὶ παντάπασιν ἀπαράσκευοι εἶεν· οὗτοσὶ δὲ, ἃ ἐπὶ τοῖς ἀκρίτοις κεῖται, ὡς περὶ πάντων εἰρημένα μέλλει πρὸς ὑμᾶς λέγειν. ὡς δὲ σαφῶς [1]γνώσεσθε ὅτι ἀληθῆ λέγω, ἐγὼ ὑμῖν ἐρῶ. οὔτε [2]γάρ, ὦ ἄνδρες δικασταὶ, ἐξῆν ὑμῖν τιμᾶν, ὅ,τι χρὴ παθεῖν, ἢ ἀποτίσαι· ἐν γὰρ τῷ παθεῖν καὶ ὁ δεσμὸς ἔνι. οὐκ ἂν οὖν ἐξῆν δεσμοῦ τιμῆσαι, οὐθ' ὅσων ἔνδειξίς ἐστί τινι ἢ ἀπαγωγὴ, προσεγέγραπτο ἂν ἐν 746
τοῖς νόμοις, τὸν δὲ ἐνδειχθέντα ἢ ἀπαχθέντα δησάντων οἱ ἕνδεκα ἐν τῷ ξύλῳ, εἴπερ μὴ ἐξῆν ἄλλους, ἢ τοὺς ἐπὶ προδοσίᾳ τῆς πόλεως, ἢ ἐπὶ καταλύσει τοῦ δήμου συνιόντας, ἢ τοὺς τὰ τέλη ὠνουμένους, καὶ μὴ καταβάλλοντας δῆσαι. νῦν δὲ ταῦθ' ὑμῖν τεκμήρια ἔστω, ὅτι ἔξεστι δῆσαι. παντελῶς γὰρ ἤδη ἄκυρα ἂν ἦν τὰ τιμήματα. ἔπειτα δὲ, ὦ ἄνδρες δικασταὶ, τοῦτο τὸ γράμμα αὐτὸ μὲν καθ' αὑτὸ οὐκ ἔστι νόμος, τὸ, οὐδὲ δήσω Ἀθηναίων οὐδένα· ἐν δὲ τῷ ὅρκῳ τῷ βουλευτικῷ γέγραπται, ἵνα μὴ συνιστάμενοι οἱ ῥήτορες οἱ ἐν τῇ βουλῇ δεσμὸν κατά τινος τῶν πολιτῶν λέγοιεν. ἄκυρον οὖν τοῦ δῆσαι τὴν βουλὴν ποιῶν ὁ Σόλων πρὸς τὸν ὅρκον τὸν βουλευτικὸν [3]τοῦτο προσέγραψεν, ἀλλ' οὐ πρὸς τὸν ὑμέτερον. ἁπάντων γὰρ κυριώτατον ᾤετο δεῖν εἶναι τὸ δικαστήριον, καὶ ὅ,τι γνοίη, τοῦτο πάσχειν τὸν ἁλόντα. ἀναγνώσεται δ' ὑμῖν αὐτοῦ τούτου ἕνεκα τὸν τῶν Ἡλιαστῶν ὅρκον. λέγε σύ.

ΟΡΚΟΣ ΗΛΙΑΣΤΩΝ.

Ψηφιοῦμαι κατὰ τοὺς νόμους, καὶ τὰ ψηφίσματα τοῦ δήμου τῶν Ἀθηναίων, καὶ τῆς βουλῆς τῶν πεντακοσίων, καὶ τύραννον οὐ ψηφιοῦμαι εἶναι, οὐδὲ ὀλιγαρχίαν· οὐδὲ ἐάν τις καταλύῃ τὸν δῆμον [4]τῶν Ἀθηναίων, ἢ λέγῃ, ἢ ἐπιψηφίζῃ παρὰ ταῦτα, οὐ πείσομαι· οὐδὲ τῶν χρεῶν τῶν ἰδίων

[1] * γνώσησθε [2] γὰρ ἂν, ὦ [3] τοῦτο ὁ Σ. πρὸς τ. ὅ. τ. β. πρ. [4] τὸν

λς'. Οὔτε γὰρ] L. οὔτε γὰρ ἂν et cætera. Ita recte habent Bar. et Ital. Idem. Adde ἄν. Auger.

Οὐκ ἂν οὖν ἐξῆν δεσμοῦ τιμῆσαι] Conjunge τιμῆσαί τινι δεσμοῦ, et v. 12. ἢ ἀπαγωγή. Wolf. Nam in Editis erat ἡ ἀπαγωγή. Consentit Lambinus. Taylor.

ἀποκοπὰς, οὐδὲ γῆς ἀναδασμὸν τῆς Ἀθηναίων, οὐδ' οἰκιῶν, οὐδὲ τοὺς φεύγοντας κατάξω, οὐδὲ ὧν θάνατος κατέγνωσται, οὐδὲ τοὺς μένοντας ἐξελῶ παρὰ τοὺς νόμους τοὺς κειμένους, καὶ τὰ ψηφίσματα τοῦ δήμου τῶν Ἀθη-
747 ναίων, καὶ τῆς βουλῆς, οὔτ' αὐτὸς ἐγὼ, οὔτ' ἄλλον οὐδένα ἐάσω· οὐδὲ ἀρχὴν καταστήσω, ὥστε ἄρχειν ὑπεύθυνον ὄντα· ἑτέρας ἀρχῆς, καὶ τῶν ἐννέα ἀρχόντων, καὶ τοῦ ἱερομνήμονος, καὶ [1]ὅσοι μετὰ τῶν ἐννέα ἀρχόντων κυαμεύονται ταύτῃ τῇ ἡμέρᾳ, καὶ κήρυκος, καὶ πρεσβείας, καὶ συνέδρων, οὐδὲ εἰς τὴν αὐτὴν ἀρχὴν τὸν αὐτὸν ἄνδρα, οὐδὲ δύο ἀρχὰς ἄρξαι τὸν αὐτὸν ἐν τῷ αὐτῷ ἐνιαυτῷ· οὐδὲ δῶρα δέξομαι τῆς Ἡλιάσεως ἕνεκα, οὔτ' αὐτὸς ἐγὼ, οὔτ' ἄλλος ἐμοὶ, οὔτ' [2]ἄλλοι εἰδότος ἐμοῦ, [3]οὔτε τέχνῃ οὔτε μηχανῇ οὐδεμιᾷ· καὶ γέγονα οὐκ ἔλαττον, ἢ τριάκοντα ἔτη· καὶ ἀκροάσομαι τοῦ τε κατηγόρου καὶ τοῦ ἀπολογουμένου ὁμοίως ἀμφοῖν, καὶ διαψηφιοῦμαι περὶ αὐτοῦ οὗ ἂν ᾖ ἡ δίωξις. ἐπόμνυμι Δία, [4]Ποσειδῶνα, Δήμητρα. καὶ ἐπαρῶμαι ἐξώλειαν [5]ἐμαυτῷ καὶ οἰκίᾳ τῇ ἐμαυτοῦ, εἴ τι τούτων παραβαίνοιμι· εὐορκοῦντι δὲ, [6]καλὰ πολλὰ κἀγαθὰ εἶναι.

ἐνταυθοῖ δ' οὐκ ἔνι, ὦ ἄνδρες δικασταὶ, οὐδὲ δήσω Ἀθηναίων οὐδένα. τὰ γὰρ κρίνοντα τὰς κρίσεις ἁπάσας τὰ δικαστήριά ἐστιν, οἷς ἐξουσία ἐστὶ, καὶ δεσμὸν, καὶ ἄλλο τι ὃ ἂν βούλωνται, καταγιγνώσκειν. ὡς μὲν οὖν ἔξεστιν ὑμῖν

[1] ὅσαι [2] *ἄλλη [3] οὐ [4] Ποσειδῶ [5] ἐαυτῷ—ἐαυτοῦ [6] Deest καλά.

Ἀποκοπὰς — ἀναδασμὸν] Referuntur ad ψηφιοῦμαι. Auger.

Καὶ τῶν ἐννέα ἀρχόντων] Locus hic explanatione videtur apprime indigere. Munera, quæ obirent Athenis, erant, ut solet fieri, natura et conditione sua admodum diversa. Quædam enim dignitatem quandam et auctoritatem continebant; quædam ministerium tantum et officium merum. Attamen, si ex multis locis conjectare licuerit, utraque ἀρχαὶ vocabantur. Ait ergo: *Neminem sinam aliquod officium gerere, prinsquam de alio olim gesto rationes retulerit, sive id officium* majoris *ordinis sit, quale est munus* IX*virorum, Hieromnemonis sive Legati sacri, eorumque denique, qui eodem die cum* IX*viris creantur; sive id* inferioris, *uti Præconum, cæterorumque.* Verum his expeditis, quid censendum est de salebrosis istis, κήρυκος, καὶ πρεσβείας, καὶ συνέδρων, quæ Wolfius vertit: *sive præco, sive legatus, sive assessor?* Quasi *legatus* inter ministros publicos recenseretur, aut, postquam voce κήρυκος præconem designaverat, legatum, τὸν πρεσβευτὴν, per πρεσβείας designaret! Nihil minus. Præcones duplices erant: aut enim legatis in legationibus apparebant, aut magistratui in concionibus. Hos nimirum utrosque complectitur, κήρυκος πρεσβείας sc. et κήρυκος συνέδρων. Vide Ulpianum, qui ita sentit. Taylor.

Καὶ κήρυκος] *Etiam hujus qui sit præco legationis et assessorum.* Auger.

Καὶ ἐπαρᾶσθαι] Felicianus ἐπαρᾶται. Puto legendum: καὶ ἐπαρῶμαι ἐξώλειαν ἐμαυτῷ, καὶ οἰκίᾳ τῇ ἐμαυτοῦ, εἴ τι τούταν παραβαίνοιμι. Nam cætera omnia prima persona καὶ αὐτοπροσώπως referuntur. Sed ubi hic, οὐδὲ δήσω Ἀθηναίων οὐδένα? Demosthenesne, an Timocrates, legem corrumpit, hic omittendo, ille inserendo? An potius a Librario verba quædam omissa sunt? Deinde v. 11. καὶ ἀκροάσομαι τοῦ τε κατηγόρου etc. quid ad Senatum? Videntur ὅ, τε βουλευτικὸς καὶ ὁ δικαστικὸς ὅρκος conflati in unum, et ambo mutilati. τοιγαροῦν ὡς δυνάμεθα· δυνάμεθα δὲ, καθὰ γέγραπται. Wolf. Multa hic admisit Wolfius omnino animadvertenda. Conqueritur verba οὐδὲ δήσω etc. hic non comparere. Neque profecto comparere poterant, aut debuerant. Ideo adduxit hoc jusjurandum, ut ostenderet, ea verba ibi *non* inesse. Atque ita post recitatam formulam ipse concludit v. 16. ἐνταυθοῖ οὐκ ἔνι. οὐδὲ δήσω etc. Quid apertius? Fons et origo erroris est, quod existimaret ille, a Demosthene recitari jusjurandum βουλευτικὸν, qui tamen disertissime profitetur, se jusjurandum δικαστικὸν adducere: et profecto adducere ea de causa, qua modo dixi. Porro de mutatione ista personæ, idem notatur a Benenato. Cæteri omnes Codd. et impressi, et MSti, constanter ἐπαρᾶται (aut ut mendose in nonnullis ἐπαρᾶσθαι) — ἐαυτῷ — ἐαυτοῦ — παραβαίνοι. Perinde est, utro modo legas: utrinque vim eandem sortiuntur. Inde sunt verba *concepta*, ejus, qui jusjurandum præstat, hinc ἐπεξηγητικὰ, Auctoris. Taylor.

δεσμὸν καταγιγνώσκειν, ταύτῃ ἐπιδείκνυμι· ὡς δὲ τὰ δεδικασμένα ἄκυρα ποιεῖν, καὶ δεινὸν καὶ ἀνόσιόν ἐστι, καὶ δήμου κατάλυσις, πάντας ἂν [1] οἶμαι ὁμολογῆσαι. ἡ γὰρ πόλις ἡμῶν, ὦ ἄνδρες δικασταὶ, νόμοις καὶ ψηφίσμασι διοικεῖται. εἰ δέ τις τὰ ψήφῳ κεκριμένα νόμῳ καινῷ λύσει, τί πέρας ἔσται; ἢ πῶς τοῦτον δίκαιόν ἐστι νόμον προσαγορεῦσαι, ἀλλ' οὐκ ἀνομίαν; ἢ πῶς οὐ τῆς μεγίστης ὀργῆς ὁ τοιοῦτος νομοθέτης ἄξιός ἐστιν; ἐγὼ μὲν γὰρ τῆς ἐσχάτης νομίζω, [2] οὐ μόνον ὅτι τοῦτον τὸν νόμον ἔθηκεν, 748
ἀλλ' ὅτι καὶ τοῖς ἄλλοις ὁδὸν δεικνύει καὶ περὶ δικαστηρίων καταλύσεως, καὶ περὶ τῶν φευγόντων καθόδου, καὶ περὶ τῶν ἄλλων τῶν δεινοτάτων. τί γὰρ κωλύει, ὦ ἄνδρες δικασταὶ, εἰ οὗτος χαίρων ἀπαλλάξει, ὁ τοιοῦτον νόμον θεὶς, ἕτερον φανῆναι ἄλλο τι τῶν τῆς πόλεως ἰσχυροτάτων καταλύσοντα νόμῳ καινῷ; ἐγὼ μὲν γὰρ οἶμαι οὐδέν. ἀκούω δ' ἔγωγε καὶ τὸ πρότερον οὕτω καταλυθῆναι τὴν δημοκρατίαν, παρανόμων πρῶτον γραφῶν καταλυθεισῶν, καὶ τῶν δικαστηρίων ἀκύρων γενομένων. ἴσως μὲν οὖν ἄν τις ὑπολάβοι, ὅτι οὐχ ὁμοίων ὄντων τῶν πραγμάτων νῦν καὶ τότε, λέγω περὶ καταλύσεως τοῦ δήμου. ἀλλ' οὐδὲ σπέρμα δεῖ καταβάλλειν ἐν τῇ πόλει οὐδένα, ὦ ἄνδρες δικασταὶ, τοιούτων πραγμάτων, οὐδ' εἰ μή πω ἂν ἐκφύοι· ἀλλὰ καὶ τὸν ἐγχειροῦντα λέγειν, ἢ ποιεῖν τι τοιοῦτον, δίκην διδόναι.

λζ'. Ὅτι τοίνυν καὶ τέχνῃ κακῶς ἐνεχείρησε ποιεῖν ὑμᾶς, ἄξιόν ἐστιν ἀκοῦσαι. ὁρῶν γὰρ ἑκάστοτε πάντας, καὶ τοὺς πολιτευομένους, καὶ τοὺς ἰδιώτας, τοὺς νόμους τῶν τῆς πόλεως ἀγαθῶν αἰτίους ὑπολαμβάνοντας, ἐσκόπει πῶς λήσει τούτους καταλύσας· κἂν ἄρα ληφθῇ τοῦτο ποιῶν, μὴ δόξῃ δεινὸν μηδ' ἀναιδὲς μηδὲν εἰργάσθαι. εὗρεν οὖν τοῦτο ποιῶν ὃ πεποίηκε, νόμῳ τοὺς νόμους καταλῦσαι, ἵνα τἀδικήματ' αὐτοῦ τὸ τῆς σωτηρίας ὄνομ' ἔχῃ. οἵτε γὰρ σώζοντες τὴν πόλιν εἰσὶ νόμοι· ὅντε οὗτος ἔθηκεν, οὐ-

[1] οἴομαι

[2] οὐχ ὅτι τοῦτον μόνον

Γραφῶν παρανόμων] *Earum accusationum quæ sunt et dicuntur παρανόμων.* Auger.

Οὐδ' εἰ μήπω ἂν ἐκφύοι] *Nec si nondum exuviantur.* Forte οὐδ' εἰ μήποτ', ἂν ἐκφύῃ. Quam lectionem in vertendo sum secutus. Wolf.

λζ'. Καταλύσας] Virgula tantum post καταλύσας, deinde δόξει pro δόξῃ. Auger.

δὲν ἐκείνοις τῶν αὐτῶν ἔχοντα, νόμος. τὴν μὲν οὖν τοῦ ὀνό-
ματος φιλανθρωπίαν, ὅτι ταύτην ἂν μάλιστα προσίεσθε,
749 κατεῖδε· τὴν δὲ χρείαν, ὅτι τἀναντία ἔχουσα φανήσεται,
παρεῖδε φέρε γὰρ, πρὸς Διός, ἐστιν ὅς τις ἂν, ἢ πρόεδρός
ποτ' ἐπειψήφισεν, ἢ πρύτανις τούτων [1]τί τῶν ἐν τῷ νόμῳ
γεγραμμένων; ἐγὼ μὲν [2]οὖν οὐδένα ἂν οἶμαι. πῶς οὖν
τοῦθ' ὑπέδυ; νόμον ἔθετο ὄνομα τοῖς αὐτοῦ κακουργήμα-
σιν. οὐ γὰρ ἁπλῶς, οὐδ' ὅπως ἔτυχε, ποιοῦσι κακῶς ὑμᾶς,
ἀλλ' ἐσκεμμένως, καὶ τοῦτ' αὐτὸ πράττοντες οὐχ οὗτοι
μόνον, ἀλλὰ καὶ πολλοὶ τῶν πολιτευομένων, οἱ τούτῳ,
παριόντες, αὐτίκα δὴ μάλα συναπολογήσονται. οὐ, μὰ
Δί', οὐ Τιμοκράτει χαρίσασθαι βουλόμενοι· πόθεν; ἀλλ'
αὑτῷ συμφέρειν ἕκαστος ἡγούμενος τὸν νόμον. ὥσπερ τοί-
νυν οὗτοι σφίσιν αὐτοῖς βοηθοῦσιν ἐφ' ὑμᾶς, οὕτω δεῖ καὶ
ὑμᾶς ὑμῖν αὐτοῖς βοηθεῖν. καί τοι ἀνερωτῶντός τινος αὐ-
τὸν, ὅτου ἕνεκα τοιαῦτ' ἠθέλησε γράφειν, καὶ διεξιόντος, ὡς
χαλεπὸν [3]ἀγῶνα ὑπολαμβάνοι τόνδε, τετυφῶσθαι τὸν
[4]ταῦτα λέγοντα ἔφη· συμπαρέσεσθαι γὰρ Ἀνδροτίωνα
ἑαυτῷ, καὶ τοιούτους λόγους, σχολὴν [5]ἄγοντας, ἐσκέφθαι
περὶ πάντων, ὥστ' εὖ εἰδέναι ὅτι οὐδὲν [6]αὐτῷ γενήσοιτο
φλαῦρον ἀπὸ τῆς γραφῆς τῆσδε. καὶ δῆτα καὶ τεθαύμακα
τὴν ἀναισχυντίαν τὴν [7]τούτου, κἀκείνου· τοῦ μὲν, εἰ κα-
λεῖ, τοῦ δὲ, εἰ πάρεισι καὶ συναπολογήσεται. μαρτυρία
γὰρ δήπου φανερὰ γενήσεται πᾶσιν ὑμῖν, ὅτι τὸν νόμον
[8]τούτου ἕνεκα ἐτίθει, ἀλλ' οὐκ ἐπὶ πᾶσι τὸν αὐτόν.

λή. Ὅμως δὲ καὶ περὶ τῶν ἐκείνῳ πεπολιτευμένων ὑμᾶς
μικρὰ βέλτιόν ἐστιν ἀκοῦσαι· καὶ τούτων ταῦτα, ὧν κεκοι-
νώνηκεν [9]οὗτος. δι' ἃ τοῦτον οὐδὲν ἧττον ἐκείνου δικαίως
750 ἂν μισοῖτε. λέξω δὲ οὐδὲν πλέον ὧν ἀκηκόαθ' ὑμεῖς, εἰ μή
τινες ἄρα ἐνὶ τοῖς Εὐκτήμονι γιγνομένοις μὴ παρῆσαν
ἀγῶσι. καὶ πρῶτον μὲν ἐφ' ᾧ μέγιστον φρονεῖ, τὴν τῶν

1 τι 2 [οὖν] 3 τὸν ἀγῶνα 4 [ταῦτα] 5 ἄγοντα 6 αὐτῷ
7 τούτου τε κἀκείνου 8 τούτων 9 οὗτος, καὶ δι'

Πολλοὶ τῶν πολιτευομένων] Wolfius: *multi magistratuum.* Potius: *multi ex Rhetoribus.* Jurin.

Τοῦ δὲ, εἰ πάρεισι] Παρέρχεται, ὑπακούει. Wolf.

λή. Δι' ἃ] Rectius ita, quam quod in plurimis Codd. invenio, καὶ διὰ τούτων οὐδὲν ἧττον ἐκείνου δικαίως ἂν μίσοιτο. Taylor.

Καὶ πρῶτον μὲν ἐφ' ᾧ μέγιστον φρονεῖ] Vide hæc eadem in Androtiana, §. ιά. Wolf.

χρημάτων εἴσπραξιν ἐξετάσωμεν αὐτοῦ, ἣν μετὰ τούτου τοῦ χρηστοῦ πάντας εἰσέπραξεν ὑμᾶς. αἰτιασάμενος γὰρ Εὐκτήμονα τὰς ὑμετέρας ἔχειν εἰσφορὰς, καὶ τοῦτ' ἐξελέγξειν, ἢ παρ' ἑαυτοῦ καταθήσειν ὑποσχόμενος, καταλύσας ψηφίσματι κληρωτὴν ἀρχὴν, ἐπὶ τῇ προφάσει ταύτῃ ἐπὶ τὴν εἴσπραξιν παρέδυ, καὶ τοῦτον προὐβάλλετο, εἰπὼν τὴν τοῦ σώματος ἀῤῥωστίαν, ἵν', ἔφη, συνδιοικῇ μοι. δημηγορίας δὲ ἐπὶ τούτοις ποιούμενος, ὡς ἔστι τριῶν αἵρεσις ὑμῖν, ἢ τὰ πομπεῖα κατακόπτειν, ἢ πάλιν εἰσφέρειν, ἢ τοὺς ὀφείλοντας εἰσπράττειν· αἱρουμένων εἰκότως ὑμῶν τοὺς ὀφείλοντας εἰσπράττειν, ταῖς ὑποσχέσεσι κατέχων, καὶ διὰ τὸν καιρὸν, ὃς ἦν τότε, ἔχων [1] ἐξουσίαν, τοῖς μὲν κειμένοις [2] νόμοις οὐκ ᾤετο δεῖν χρῆσθαι, οὐδ', εἰ μὴ τούτους ἐνόμιζεν ἱκανοὺς, ἑτέρους τιθέναι, ψηφίσματα δ' εἶπεν ἐν ὑμῖν δεινὰ καὶ παράνομα, δι' ὧν ἠργολάβει, προσαγωγεῖ τούτῳ χρώμενος τῶν λημμάτων, καὶ πολλὰ τῶν ὑμετέρων κέκλοφε μετὰ τούτου, γράψας τοὺς ἕνδεκα, καὶ τοὺς ἀποδέκτας, καὶ τοὺς ὑπηρέτας, ἀκολουθεῖν μεθ' ἑαυτοῦ. εἶτ' ἔχων τουτουσὶ, [3] ἦγ' ἐπὶ τὰς ὑμετέρας οἰκίας, καὶ σὺ, ὦ Τιμόκρατες, συνηκολούθεις μόνος τῶν συναρχόντων δέκα ὄντων. καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν, ὡς οὐ χρὴν 751
εἰσπράττειν τοὺς ὀφείλοντας. χρῆν γάρ. ἀλλὰ πῶς; ὡς ὁ νόμος ἀγορεύει, τῶν ἄλλων ἕνεκα. τοῦτο γάρ ἐστι δημοτικόν. οὐ γὰρ τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, πέντε ταλάντων ὑμῖν, ὧν οὗτοι τότ' εἰσέπραξαν, τεθέντων ὠφέλησθε, ὅσον βέβλαφθε, τοιούτων ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγομένων. εἰ γὰρ [4] θέλετε ἐξετάσαι, τίνος ἕνεκα μᾶλλον ἄν τις ἕλοιτο ἐν δημοκρατίᾳ ζῆν, ἢ ἐν ὀλιγαρχίᾳ, τοῦτ' ἂν εὕροιτε προχειρότατον, ὅτι πάντα πρᾴοτερά ἐστιν ἐν δημοκρατίᾳ. ὅτι μὲν τοίνυν τῆς [5] ὅποι βούλεσθε ὀλιγαρχίας πολλῷ ἀσελγέστερα καὶ δεινότερα ἐποίουν οὗτοι, παραλείψω· ἀλλὰ παρ' [6] ἡμῖν πότε πώποτε δεινότατα ἐν τῇ πόλει γέγονεν;

1 τὴν ἐξουσίαν 2 νόμοις περὶ τούτων οὐκ 3 ἦγεν 4 ἐθέλοιτ' 5 ὅπου 6 ὑμῖν

Ἦγ' ἐπὶ] Imo ἦγεν ἐπί. Auger.

Ἕνεκα τῶν ἄλλων] F. τῶν ἀδυνάτων, ἢ ἀπόρων. Etsi nec hoc placet, nec τῶν ἀναλωμάτων ἕνεκα. Wolf. Transponenda videntur hæc verba, ut legas: χρῆν γὰρ, τῶν ἄλλων ἕνεκα, quod prius notavimus in Orat. c. Androtionem, §. ιέ. med. Jurin.

Πότε πώποτε δεινότερα κ. τ. λ.] In Androtiana [§. ιέ. fin.] paulo aliter: πότε πώποτε δεινότατα ἐν τῇ πόλει γέγονεν; ἐπὶ

εὖ οἶδ' ὅτι ἐπὶ τῶν τριάκοντα, ἅπαντες ἂν εἴποιτε. τότε τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐδείς ἐστιν ὅς τις [1]ἀπεστερεῖτο τοῦ σωθῆναι, εἴ τις ἑαυτὸν οἴκοι κρύψειεν· ἀλλ' αὐτὸ τοῦτο [2]κατηγορεῖμεν τῶν τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον. οὗτοι τοίνυν τοσαύτην ὑπερβολὴν ἐποιήσαντο [3]ἐκείνων τῆς αὑτῶν πονηρίας, ὥστ' ἐν δημοκρατίᾳ πολιτευόμενοι, τὴν ἰδίαν οἰκίαν ἑκάστῳ δεσμωτήριον καθίστασαν, ἄγοντες τοὺς ἕνδεκα ἐπὶ τὰς οἰκίας. καί τοι, ὦ ἄνδρες δικασταί, τί οἴεσθε ὁπότ' ἄνθρωπος πένης, ἢ καὶ πλούσιος, [4]πολλ' ἀνηλωκὼς, καί τιν' ἴσως τρόπον εἰκότως οὐκ εὐπορῶν ἀργυρίου, μὴ μόνον εἰς τὴν ἀγορὰν φοβοῖτ' ἐμβαλεῖν, ἀλλὰ μηδ' οἴκοι μένειν ἂν ἀσφαλὲς ἡγοῖτο· ὁ δὲ τούτων αἴτιος Ἀνδροτίων εἴη, ὃν οὐδ' ὑπὲρ αὑτοῦ δίκην ἐᾶ λαβεῖν τὰ πεπραγμένα καὶ βεβιωμένα, μή τι γ' ὑπὲρ τῆς
52 πόλεως εἰσπράττειν εἰσφοράς; καί τοι εἴ τις ἔροιτ' αὐτὸν, ἤ σε, ὦ Τιμόκρατες, τὸν ἐπαινέτην τούτων, καὶ συνεργὸν, τὰς εἰσφορὰς πότερον τὰ κτήματα, ἢ τὰ σώματα [5]ὀφείλει, τὰ κτήματα φήσαιτ' ἄν, εἴπερ ἀληθῆ λέγειν βούλοισθε· ἀπὸ γὰρ τούτων εἰσφέρομεν.

λθ'. Τίνος οὖν ἕνεκα, ὦ κάκιστοι πάντων ἀνθρώπων, ἀφέντες τὸ τὰ χωρία δημεύειν, καὶ τὰς οἰκίας, καὶ ταῦτα ἀπογράφειν, ἐδεῖτε καὶ ὑβρίζετε πολίτας ἀνθρώπους, καὶ τοὺς ταλαιπώρους μετοίκους, οἷς ὑβριστικώτερον ὑμεῖς, ἢ τοῖς οἰκέταις τοῖς ἑαυτῶν [6]κέχρησθε; καὶ μὴν, εἰ [7]θέλετε,

[1] ἀπεστερεῖτο [2] κατηγορεῦσι [3] [ἐκείναν] τῆς ἑαυτῶν [4] πολλὰ δ' ἀνηλωκὼς [5] ὀφείλει; [6] κέχρησθε. [7] θέλοιτε σκέψασθαι

τῶν τριάκοντα, πάντες ἂν εἴποιτε. Wolf. Wolfius interpretatur hunc locum cum iis Codd. qui ita scribunt: ἀλλὰ παρ' ἡμῖν πότε πάποτε δεινότερα ἐν τῇ πόλει γέγονεν; οὐδ' εὖ οἶδ' ὅτι ἐπὶ τῶν τριάκοντα. At ubi veram lectionem deprehendit, nam verissima est, quam in textum admisit, versionem recudere et reformare neglexit. Taylor.

Ἀπεστερεῖτο] Ἀπεστερεῖτο Editi, Aldino excepto, et Codd. quamplurimi. Ita pariter in simili loco apud Androtianam, §. ιέ. fin. Idem.

Τοσαύτην ὑπερβολὴν] Deberet legi: τ. ὑ. ἐ. τῆς ἐκείνων πονηρίας τῇ ἑαυτῶν. Auger.

Κατηγορεῦμεν] *Accusabamus.* Fortasse placere potest, quod Bar. Lind. Aug. Obsop. Ital. Vind. et Felicianus, κατηγορεῦσι. Taylor.

Ἐπὶ τῆς οἰκίας] [Ita Ald. aliique] Illic [sc. in Androtiana §. ιέ. fin.] ἐπὶ τὰς οἰκίας. Sed et hoc ferri potest, ut στέλλεσθαι ἐπ' οἴκου. Wolf. τὰς item MSti nostri. Ita emendat Kuhnius ad Poll. L. VIII. C. IX. §. 102. Taylor.

Πολλ' ἀνηλωκὼς] Rescribe πολλὰ δ' ἀνηλωκώς. Ex Bar. Vind. Reg. *a*. Confer Androtianam §. ιζ'. Idem.

λθ'. Τοῖς ἑαυτῶν] Ἢ τοῖς οἰκέταις τοῖς ὑμετέροις αὐτῶν κέχρησθε. Ita Editi et MSti meliores. Idem.

Καὶ μὴν] Lege: καὶ μὴν εἰ θέλετε σκέψασθαι παρ' ὑμῖν αὐτοῖς. Uti in Editis et MStis quibusdam legitur. Ita quoque

σκέψασθε παρ' ὑμῖν αὐτοῖς, ὦ ἄνδρες δικασταί, τί δοῦλον, ἢ ἐλεύθερον εἶναι διαφέρει, τοῦτο μέγιστον ἂν εὕροιτε· ὅτι τοῖς μὲν δούλοις, τὸ σῶμα τῶν ἀδικημάτων ἁπάντων ὑπεύθυνόν ἐστι, τοῖς δ' ἐλευθέροις, ὕστατον τοῦτο προσήκει κολάζειν. οἱ δὲ, τοὐναντίον εἰς τὰ σώματα, ὥσπερ ἀνδραπόδοις, ἐποιήσαντο τὰς [1]τιμωρίας, οὕτω δ' ἀνίσως καὶ πλεονεκτικῶς ἔσχε πρὸς ὑμᾶς Ἀνδροτίων, ὥστε τὸν μὲν [2]αὑτοῦ πατέρα ᾤετο δεῖν δημοσίᾳ δεθέντα ἐπὶ χρήμασιν ἐν τῷ δεσμωτηρίῳ, μήτε ἀποδόντα ταῦτα, μήτε κριθέντα, [3]ἀποδρᾶναι· τῶν δὲ ἄλλων πολιτῶν, τὸν μὴ δυνάμενον τὰ ἑαυτοῦ θεῖναι, οἴκοθεν εἰς τὸ δεσμωτήριον ἀχθέντα ὑφ' ἑαυτοῦ δεδέσθαι. καὶ Τιμοκράτης τῶν μὲν πολλῶν ἡμῶν τότε, ὅτε τὴν διπλασίαν εἰσέπραττεν, οὐδ' ἂν παρ' ἑνὸς λαβεῖν ἠθέλησεν ἐγγυητὰς, μὴ μέχρι τῆς ἐννάτης πρυτανείας, ἀλλ' οὐδὲ μιᾶς ἡμέρας, ἀλλ' ἢ διπλᾶ τὰ χρήματα ἔδει καταβαλεῖν, ἢ παραχρῆμα δεδέσθαι, παρεδίδου δὲ οὗτος τοῖς ἕνδεκα, τὸν οὐκ ὠφληκότα ἐν τῷ δικαστηρίῳ· νῦν δὲ ὅπως ὧν ἂν ὑμεῖς καταγνῶτε, ἄδετοι 753
περιΐασιν, ὑπεύθυνον αὐτὸν ποιήσας, νόμον εἰσενεγκεῖν ἐτόλμησεν. ἀλλ' ὅμως καὶ τάδε κἀκεῖνα φήσουσιν ὑπὲρ ὑμῶν πεπρᾶχθαι. εἶτα ταῦθ' ὑμεῖς ἐφ' ἑαυτοὺς ἀναδέξεσθε ὑπὲρ ὑμῶν πεπρᾶχθαι, καὶ τὰ τῆς τούτων θρασύτητος καὶ πονηρίας ἔργα πράως οἴσετε; ἀλλὰ μισεῖν ὀφείλετε τοὺς τοιούτους, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον ἢ σώζειν. τὸν γὰρ ὑπὲρ τῆς πόλεως πράττοντά τι, καὶ πράων ὑμῶν τευξόμενον, τὸ τῆς πόλεως ἦθος ἔχοντα δεῖ φαίνεσθαι. τοῦτο δ' ἔστι τί; τοὺς ἀσθενεῖς ἐλεεῖν, τοῖς ἰσχυροῖς καὶ δυναμένοις μὴ ἐπιτρέπειν ὑβρίζειν· οὐ τοὺς μὲν πολλοὺς ὠμῶς μεταχειρίζεσθαι, κολακεύειν δὲ τὸν [4]ἀεί τι δύνασθαι δοκοῦντα, ἃ σὺ ποιεῖς, ὦ Τιμόκρατες. δι' ἃ πολλῷ μᾶλλον ἂν εἰκότως [5]μὴ θελήσαντες ἀκοῦσαί σου θάνατον καταψηφίσαιν θ' οὗτοι, ἢ δι' Ἀνδροτίωνα [6]ἀφείησαν.

[1] τιμωρίας. [2] αὐτοῦ [3] ἀποδρᾶναι [4] αἰεί [5] μηδὲ [6] ἀφίεσαν

Noster c. Androt. §. ιϛ'. med. Idem.

Περιΐασιν] Lego περιΐωσιν, quia præcedit ὅπως. Wolf. Ita etiam Codd. Bar. Aug. Vind. alii. Taylor.

Ἐφ' ἑαυτοὺς] Desunt hæc in plurimis: pergunt porro legere: εἶτα ταῦθ' ὑμεῖς ἀνέξεσθε ὑπὲρ ὑμῶν πεπρᾶχθαι. Idem.

Μὴ] Potius ut Aug. et Vindob. μηδέ. μηδὲ θελήσαντες ἀκοῦσαι, quo modo vertit Wolfius. Idem.

μ΄. Ὅτι τοίνυν οὐδὲ τὴν εἴσπραξιν αὐτὴν ὑπὲρ ὑμῶν πεποίηνται, καὶ τοῦτ᾽ αὐτίκα δὴ μάλα ὑμῖν δῆλον ποιήσω. εἰ γάρ τις ἔροιτο αὐτοὺς, πότεροι αὐτοῖς δοκοῦσιν ἀδικεῖν μᾶλλον τὴν πόλιν, οἱ γεωργοῦντες, καὶ φειδόμενοι, διὰ παιδοτροφίας δὲ καὶ οἰκεῖα ἀναλώματα, καὶ λειτουργίας ἑτέρας, [1] λελοιπότες τὰς εἰσφορὰς, ἢ οἱ τὰ τῶν ἐθελησάντων εἰσενεγκεῖν χρήματα, καὶ τὰ παρὰ τῶν συμμάχων κλέπτοντες, καὶ ἀπολλύντες· οὐκ ἂν εἰς τοῦτο δήπου τόλμης, καί περ ὄντες ἀναιδεῖς, ἔλθοιεν, ὥστε φῆσαι τοὺς τὰ ἑαυτῶν μὴ εἰσφέροντας μᾶλλον ἀδικεῖν, ἢ τοὺς τὰ κοινὰ ὑφαιρουμένους. τίνος οὖν ἕνεκα, ὦ Τιμόκρατες, καὶ Ἀνδροτίων, ἐτῶν
54 ὄντων πλείονων ἢ τριάκοντα, ἀφ᾽ οὗ ὅγε ἕτερος ὑμῶν πολιτεύεται, καὶ ἐν τούτῳ τῷ χρόνῳ πολλῶν μὲν στρατηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν δὲ ῥητόρων, οἳ παρὰ τουτοισὶ κέκριται, ὧν οἱ μὲν τεθνᾶσιν ἐφ᾽ οἷς ἠδίκουν, οἱ δ᾽ ὑποχωρήσαντες ᾤχοντο, καταγνόντες ἑαυτῶν, οὐδενὸς πώποτε τούτων ἐξητάσθη κατήγορος ὑμῶν οὐδέτερος, οὐδ᾽ ἀγανακτῶν ὤφθη ὑπὲρ ὧν ἡ πόλις ἔπασχεν, ἀλλ᾽ ἐνταῦθα ἐφάνηθ᾽ ἡμῶν κηδόμενοι, οὗ πολλοὺς ἔδει κακῶς ποιῆσαι; βούλεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τούτων αἴτιον ἐγὼ ὑμῖν εἴπω; ὅτι τούτων μὲν μετέχουσιν, ὧν ἀδικοῦσιν ὑμᾶς τινὲς, ἀπὸ δὲ τῶν εἰσπραττομένων ὑφηροῦντο, δι᾽ ἀπληστίαν δὲ τρόπων, διχόθεν καρποῦνται τὴν πόλιν. οὔτε γὰρ ῥᾷον πολλοῖς, [2] καὶ κατὰ μικρὰ ἀδικοῦσιν ἀπεχθάνεσθαι, ἢ ὀλίγοις [3] καὶ μεγάλα, οὔτε δημοτικώτερον δήπου τὰ τῶν πολλῶν ἀδικήματα ὁρᾶν, ἢ τὰ τῶν ὀλίγων. ἀλλὰ τοῦτ᾽ αἴτιον, ὃ ἐγὼ λέγω. δεῖ τοίνυν ὑμᾶς ταῦτα λογισαμένους, καὶ μεμνημέ-

[1] ἐλλελοιπότες [2] καὶ τὰ μικρὰ [3] * καὶ τὰ μεγάλα

μ΄. Γὰρ] Emendavi ex præscripto Bar. Vind. Ital. et Editionum Par. Manut. et Felic. Vulgo δέ. Recte se habet Androtiana §. ιθ΄. Idem.

Λελοιπότες] Illa altera habet, o. l. consentientibus, ἐλλελοιπότες. Uti et hic habent Aug. et Vind. eodem quidem sensu, sed majore longe proprietate. Idem. M. ἐλλελοιπότες. Auger.

Ἐθελησάντων] Μὴ ἐθελησάντων Lambinus, pariter ut in illa. Mox v. 7. in Regiis quibusdam videtur legi τὰ τῶν συμμάχων, sine præpositione. Taylor.

Ὅτι τούτων μὲν μετέχουσιν] Legendum videtur: ὅτι οὗτοι, vel τοιοῦτοι. Jurin.

Ὑφηροῦντο] Melius cum Ven. Bar. Aug. Ital. Vind. atque ut olim in illa altera contra Androtionem legebatur, ὑφαιροῦνται, §. ιθ΄. Taylor.

Καὶ κατὰ μικρὰ] Ἐν μικροῖς. Sed malim τὰ μικρὰ, quia sequitur ἢ ὀλίγοις καὶ μεγάλα, non κατὰ μεγάλα. Wolf. πολλοῖς καὶ τὰ μικρὰ Cod. Vindob. Similiter in Androtiana, §. ιθ΄. Taylor. Dele κατά. Auger.

νους ὧν ἂν ἕκαστος ἁμάρτῃ, κολάζειν, ὅταν λάβητέ τινα, καὶ μὴ τὸν χρόνον, εἰ πολύς ἐστ' ἀπ' ἐκείνου, σκοπεῖν· ἀλλ' εἰ ταῦτ' ἐποίουν. ὡς εἰ νῦν πράως οἴσετ' ἐφ' οἷς τότε ἠγανακτεῖτε, δόξετε ὀργιζόμενοι κατεγνωκέναι τὰ χρήματα τούτων, οὐκ ἀδικούμενοι. τῶν μὲν γὰρ ὀργιζομένων ἐστὶν, ὀξέως [1]τί κακὸν τὸν λελυπηκότα ἐργάσασθαι· τῶν δὲ ἀδικουμένων, ὅταν ποθ' ὑπ' αὐτοῖς λάβωσι τὸν ἠδικηκότα, τότε τιμωρήσασθαι. οὐκοῦν δεῖ δοκεῖν νῦν μαλακισθέντας, τότε τῶν ὀμωμοσμένων ὅρκων ἀμελήσαντας, ὑμῖν αὐτοῖς χαρίσασθαι παρὰ τὸ δίκαιον· ἀλλὰ μισεῖν, καὶ μηδ' 755
ἀνέχεσθαι φωνὴν, μήτε [2]τούτων, μήτ' [3]ἐκείνων τοιαῦτα πεπολιτευμένων.

μά. Ἀλλὰ, νὴ Δία, ταῦτα μόνον τοιοῦτοι γεγόνασιν, ἐν οἷς πεπολίτευνται, ἄλλα δ' ἔστιν ἃ καλῶς διῳκήκασιν; ἀλλὰ καὶ τἄλλα οὕτω προσεληλύθασι πρὸς ὑμᾶς, ὥστε ἥκιστα, ἐν οἷς ἀκηκόατε, ἄξιόν ἐστι μισεῖν αὐτούς. τί γὰρ βούλεσθε εἴπω, τὰ πομπεῖα ὡς ἐπεσκευάκασι; καὶ τὴν τῶν στεφάνων καθαίρεσιν; ἢ τὴν τῶν φιαλῶν ποίησιν τὴν καλήν; ἀλλ' ἐπὶ τούτοις γε, εἰ μηδὲν ἄλλο ἠδίκουν τὴν πόλιν, τρὶς οὐχ ἅπαξ δικαίως ἄν μοι τεθνάναι δοκοῦσι. καὶ γὰρ ἱεροσυλία, καὶ ἀσεβεία, καὶ κλοπῇ, καὶ πᾶσι τοῖς δεινοτάτοις εἰσὶν ἔνοχοι. τὰ μὲν οὖν πολλὰ, ὧν λέγων ὑμᾶς ἐφενάκιζεν Ἀνδροτίων, παραλείψω. φήσας δὲ ἀπορρεῖν τὰ φύλλα τῶν στεφάνων, καὶ σαπροὺς εἶναι διὰ τὸν χρόνον, ὥσπερ ἴων, ἢ ῥόδων ὄντας, ἀλλ' οὐ χρυσίου, συγχωνεύειν ἔπεισεν. αἱρεθεὶς δὲ ἐπὶ ταῦτα, προσείλετο τουτονὶ τὸν ἁπάντων τῶν κακῶν κοινωνόν. κἄπειτ' ἐπὶ μὲν ταῖς εἰσφοραῖς, τὸν δημόσιον παρεῖναι προσέγραψεν, ὡς δὴ δίκαιος ὤν, ὧν ἕκαστος ἀντιγραφεὺς ἔμελλεν ἔσεσθαι τῶν εἰσενεγκόντων· ἐπὶ τοῖς στεφάνοις δ' οὓς κατέκοπτεν, οὐχὶ [4]προσηγάγετο ταὐτὸ δίκαιον τοῦτο, ἀλλ' αὐτὸς ῥήτωρ,

[1] τι [2] τούτου [3] ἐκείνου, τῶν τοιαῦτα [4] προσήγαγε

Κατεγνωκέναι τὰ χρήματα τούτων] Τὰ χρήματα, τὰ Λυκρατιτικά. τούτων, Ἀνδροτίωνος, Μελανώπου, Γλαυκέτου. Sed pro τὰ χρήματα fortassis legendum παραχρῆμα. Wolf.

Ὑμῖν αὐτοῖς χαρίσασθαι παρὰ τὸ δίκαιον] Sic Isocrates: τὰ μὲν ἐκείνοις, τὰ δ' ἐμαυτῷ χαριοῦμαι. Loquitur autem de Naucratiticæ pecuniæ condemnatione, et non de exactione tributorum, de qua nullum judicium intercessit, ea re ultra privatam indignationem non progressa. Idem.

Μήτε τούτων] L. μήτε τούτου, μήτε ἐκείνου, nempe, *neque Timocratis, neque Androtionis.* Auger.

χρυσοχόος, ταμίας, ἀντιγραφεὺς γέγονε. καὶ μὴν εἰ μὲν
ἅπαντ' ἠξίους ὅσα πράττεις τῇ πόλει σαυτῷ πιστεύειν,
οὐκ ἂν ὁμοίως κλέπτης ὢν ἐφωρῶ· νῦν δ' ἐπὶ ταῖς εἰσφο-
ραῖς, ὃ δίκαιόν ἐσθ', ὁρίσας μὴ σοὶ πιστεύειν, ἀλλὰ τοῖς
αὐτῆς δούλοις τὴν πόλιν, ὅπότ' ἄλλο τι πράττων καὶ χρή-
56 ματα κινῶν ἱερά, ὧν ἔνια οὐδ' ἐπὶ τῆς ἡμετέρας γενεᾶς
ἀνετέθη, μὴ προσγραψάμενος τὴν αὐτὴν φυλακήν, ἥν περ
ἐπὶ τῶν εἰσφορῶν, φαίνῃ, οὐκ ἤδη δῆλον δι' ὃ τοῦτ' ἐποίη-
σας; ἐγὼ μὲν οἶμαι. καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, [1]καὶ
κατὰ παντὸς τοῦ χρόνου σκέψασθε, ὡς καλὰ καὶ ζηλωτὰ
ἐπιγράμματα τῆς πόλεως ἀνελών, ὡς ἀσεβῆ καὶ δεινὰ
ἀντεπέγραψεν. [2]οἶμαι γὰρ ὑμᾶς ἅπαντας ὁρᾶν ὑπὸ τῶν
στεφάνων ταῖς χοινικίσι κάτωθεν γεγραμμένα, οἱ σύμ-
μαχοι τὸν δῆμον [3]τῶν Ἀθηναίων ἀνδραγαθίας
ἕνεκ' ἐστεφάνωσαν καὶ δικαιοσύνης· ἢ, οἱ σύμ-
μαχοι ἀριστεῖον τῇ Ἀθηνᾷ ἀνέθεσαν· ἢ κατὰ
πόλεις, οἱ δεῖνες τὸν δῆμον ἐστεφάνωσαν, σωθέντες ὑπὸ
τοῦ δήμου, οἷον, Εὐβοεῖς σωθέντες καὶ ἐλευθερω-
θέντες ἐστεφάνωσαν τὸν [4]δῆμον. ἐπεγέγραπτό που
πάλιν, Κόνων ἀπὸ τῆς ναυμαχίας τῆς πρὸς Λα-
κεδαιμονίους. Χαβρίας ἀπὸ τῆς ἐν Νάξῳ ναυ-
μαχίας. τοιαῦτα γὰρ ἦν τὰ τῶν στεφάνων ἐπιγράμ-
ματα. ταῦτα μὲν τοίνυν, ἃ πρότερον ζῆλον πολὺν εἶχε καὶ
φιλοτιμίαν ὑμῖν, ἠφάνισται, καθαιρεθέντων τῶν στεφάνων·
ἐπὶ δὲ ταῖς φιάλαις, ἃς ἀντ' ἐκείνων ἐποιήσαθ' ὑμῖν ὁ πόρ-
νος οὗτος, Ἀνδροτίωνος ἐπιμελουμένου ἐποιήθη-
σαν, ἐπιγέγραπται. καὶ οὗ τὸ σῶμα ἡταιρηκότος οὐκ
ἐῶσιν οἱ νόμοι εἰς τὰ ἱερὰ εἰσιέναι, τούτου τοὔνομα ἐν τοῖς
ἱεροῖς ἐπὶ τῶν φιαλῶν ἐπιγεγραμμένον ἐστίν. ὅμοιόν γε —

[1] (καὶ --- σκέψασθε) [2] οἶομαι [3] τὸν [4] δῆμον· ἐπ. που· πάλιν·

μά. Ἠξίους ὅσα πράττεις] Malim ὅσ' ἔπραττες. Wolf.

Τῇ πόλει] Τὴν πόλιν marg. Benenati. Vide Orat. c. Androt. Taylor. Lego et distinguo: ὅσα πράττεις, τὴν πόλιν σαυτῷ. Auger.

Προσγραψάμενος] Ita edendum curavi, motus auctoritate Bar. Aug. Lindenb. Vindob. Editt. Manut. et Felic. et Codd. præterea constantiæ in Androtiana, ubi hæc eadem leguntur, §. κ'. fin. Vulg. προγραψάμενος. Marg. Lutet. γρ. περιγραψάμενος. Taylor.

Καὶ μὴν etc.] Rescribendum arbitror, καὶ μὴν, ὦ ἄ. Ἀ. σκέψασθε, ὡς καλὰ καὶ κατὰ παντὸς τοῦ χρόνου ζηλωτὰ ἐπιγράμματα. Idem mendum alteri Orationi insedit, si mendum sit. Vide Wolf. ibid. §. κά. init. Idem. Tayloro assentitur Augerus.

οὐ γάρ; — τοῦτο τοῖς προτέροις ἐπιγράμμασιν, ἢ φιλοτιμίαν ἴσην ἔχον ὑμῖν. τρία τοίνυν ἐκ τούτων τὰ δεινότατα ἄν τις ἴδοι πεπραγμένα αὐτοῖς. τὴν μὲν γὰρ θεὸν τοὺς στεφάνους σεσυλήκασι· τῆς πόλεως δὲ τὸν ζῆλον ἠφανίκασι 757
τὸν ἐκ τῶν ἔργων, ὧν ὑπομνήματ' ἦσαν, ὄντες οἱ στέφανοι· τοὺς δ' ἀναθέντας δόξαν οὐ μικρὰν ἀφήρηνται, [1]τῷ δοκεῖν ὧν ἂν εὖ πάθωσιν ἐθέλειν μεμνῆσθαι.

μβ'. Καὶ τοιαῦτα καὶ τοσαῦτα τὸ πλῆθος ἐργασάμενοι κακά, εἰς τοῦτ' ἀναισθησίας καὶ τόλμης προεληλύθασιν, ὥσθ' ὁ μὲν οἴεται δι' ἐκεῖνον ὑφ' ὑμῶν σωθήσεσθαι, ὁ δὲ παρακάθηται, καὶ οὐ καταδύεται τοῖς πεπραγμένοις. οὕτω δ' οὐ μόνον εἰς χρήματα ἀναιδής, ἀλλὰ καὶ σκαιός ἐστιν, ὥστ' οὐκ οἶδεν ἐκεῖνο, ὅτι στέφανοι μέν εἰσιν ἀρετῆς σημεῖον, φιάλαι δὲ καὶ ἐκπώματα, καὶ τὰ τοιαῦτα, πλούτου. καὶ στέφανος μὲν ἅπας, κἂν μικρὸς ᾖ, τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ· ἐκπώματα δ', ἢ θυμιατήρια, ἢ τὰ τοιαῦτα κτήματα, ἐὰν μὲν ὑπερβάλῃ τῷ πλήθει, πλούτου τινὰ δόξαν προσετρίψατο τοῖς κεκτημένοις, ἐὰν δ' ἐπὶ σμικροῖς σεμνύνηταί τις, τοσοῦτ' ἀπέχει τοῦ τιμῆς τινὸς διὰ ταῦτα τυχεῖν, ὥστε ἀπειρόκαλος προσέδοξεν εἶναι. οὗτος τοίνυν ἀνελὼν [2]μὲν τῆς δόξης κτήματα, [3]τοῦ πλούτου πεποίηται μικρὰ, καὶ ἀνάξια ὑμῶν. καὶ οὐδὲ ἐκεῖνο οἶδεν, ὅτι πρὸς μὲν χρημάτων κτῆσιν, οὐδὲ πώποτε ὁ δῆμος ἐσπούδασε· πρὸς δὲ δόξης, ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων. τεκμήριον δέ. χρήματα μὲν γὰρ πλεῖστα τῶν Ἑλλήνων ποτὲ σχὼν, πάνθ' ὑπὲρ φιλοτιμίας ἀνήλωσεν· ὑπὲρ δὲ δόξης, εἰσφέρων ἐκ τῶν ἰδίων, οὐδένα πώποτε κίνδυνον ἐξέστη. ἀφ' ὧν κτήματα ἀθάνατα αὐτῷ περίεστι, τὰ μὲν, τῶν ἔργων ἡ μνήμη, τὰ δὲ, τῶν ἀναθημάτων τῶν ἐπ' ἐκείνοις σταθέντων τὸ κάλλος, προπύλαια ταῦτα, ὁ παρθενὼν, νεώσοικοι, στοαί· οὐκ ἀμφο- 758

[1] τὸ [2] μὲν] τὰ [3] τὰ τοῦ

Τῷ δοκεῖν] In Androtiana §. κά. τὸ δοκεῖν. Vide notata ad locum. Cod. Vindob. et hic etiam τὸ habet. TAYLOR. Imo τό. AUGER.

μβ'. Ἐκεῖνον] Ἐκείνων Aug. Vide in Androt. §. κά. TAYLOR.

Ἐὰν μὲν ὑπερβάλῃ τῷ πλήθει] Sequitur, v. 18. ἐὰν δ' ἐπὶ σμικροῖς σεμνύνηταί τις. Antitheseos ratio postulare videtur: ἐὰν μὲν ὑπερβάλῃ τῷ μεγέθει, si sint ingenti magnitudine: nisi ἐπὶ σμικροῖς accipias pro ἐπ' ὀλίγοις. WOLF.

Τῷ πλήθει] Τῷ μεγέθει puto, vel τῷ πλήθει καὶ μεγέθει. Alioqui perit argumentum. JURIN.

Μὲν τῆς δόξης] Lego cum Reiskio. AUGER.

ρίσκοι δύο, οὐδὲ χρυσίδες τέτταρες, ἢ τρεῖς, ἄγουσα ἑκάστη μνᾶν, ἃς, ὅταν σοι δοκῇ, πάλιν [1]γράψεις καταχωνεύειν. οὐ γὰρ ἑαυτοὺς δεκατεύοντες, οὐδ' ἃ καταράσαιντ' ἂν οἱ ἐχθροί, ποιοῦντες, διπλᾶς πράττοντες εἰσφοράς, ταῦτ' ἀνέθεσαν, οὐδ', [2]οἵοις περ σύ, χρώμενοι συμβούλοις ἐπολιτεύοντο· ἀλλὰ τοὺς ἐχθροὺς κρατοῦντες, καὶ ἃ πᾶς τις ἂν εὖ φρονῶν εὔξαιτο, τὴν πόλιν εἰς ὁμόνοιαν ἀγαγόντες, ἀθάνατον κλέος αὐτοῖς λελοίπασι, τοὺς [3]δ' ἐπιτηδεύοντας οἷά σοι βεβίωται, τῆς ἀγορᾶς εἴργοντες. ὑμεῖς δ' εἰς τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, προήχθητ' εὐηθείας, καὶ ῥαθυμίας, ὥστ' οὐδὲ τοιαῦτ' ἔχοντες παραδείγματα, ταῦτα μιμεῖσθε, ἀλλ' Ἀνδροτίων ὑμῖν πομπείων ἐπισκευαστής· [4]Ἀνδροτίων, ὦ γῆ, καὶ θεοί. καὶ τοῦτ' ἀσέβημα ἔλαττόν [5]τινος ἡγεῖσθε; ἐγὼ μὲν γὰρ ἡγοῦμαι δεῖν τὸν εἰς ἱερὰ εἰσιόντα, καὶ χερνίβων, καὶ κανῶν ἁψόμενον, καὶ τῆς πρὸς τοὺς θεοὺς ἐπιμελείας προστάτην ἐσόμενον, οὐχὶ [6]προειρημένων τακτὸν ἡμερῶν ἀριθμὸν ἁγνεύειν, ἀλλὰ τὸν βίον ὅλον ἡγνευκέναι τοιούτων ἐπιτηδευμάτων, οἷα τούτῳ βεβίωται.

μγ'. Καὶ περὶ μὲν τούτων, κατὰ σχολήν· ἃ δὲ Τιμοκράτει συνερεῖ, πολλὰ λέγειν ἔχων [7]ἔτι πρὸς τούτοις, παύσομαι. οἶδα δ', ὅτι ὡς μὲν οὐκ ἀσύμφορος ὑμῖν ἐστὶν ὁ νόμος, καὶ παρὰ πάντας τοὺς νόμους εἰσενηνεγμένος, καὶ κατὰ πάντα ἀδίκως ἔχων, οὐχ ἕξει λέγειν· ἀκούω δ' αὐτὸν λέγειν, ὡς ἐκτέτισται τὰ χρήματα Ἀνδροτίωνι, καὶ Γλαυκέτῃ, καὶ Μελανώπῳ, καὶ ὅτι δεινότατ' ἂν πάθοι πάντων ἀνθρώπων, εἰ πεποιηκότων ἐκείνων τὰ δίκαια, ὑπὲρ ὧν
59 αὐτὸς αἰτίαν ἔχει θεῖναι τὸν νόμον, μηδὲν ἧττον αὐτὸς ἁλίσκοιτο. ἐγὼ δὲ τὸν λόγον ἡγοῦμαι τοῦτον, οὐδὲ καθ' ἓν λέγειν ἐνεῖναι τούτῳ. εἰ μὲν γὰρ ὑπὲρ τούτων, οὓς τὰ προσήκοντα φήσεις πεποιηκέναι, θεῖναι τὸν νόμον ὁμολογεῖς, κατ'

[1] γράφεις [2] οἷόσπερ [3] Decst δ'. [4] Ἀνδροτίων; [5] τίνος
[6] προειρημένον [τακτὸν] [7] ἔτι πρὸς τούτοις, ἔχων

Οἵοισπερ] F. τοῖς οἵοςπερ σύ. Idem.

Ἀλλὰ τὸν βίον ὅλον ἡγνευκέναι] Ἡγνευκέναι ἀντὶ τοῦ κεκαθαρευκέναι dixit. ἁγνεύειν enim et neutrorum verborum, et activorum significationem habet, de quo vide Comment. Ex edit. Hervag.

μγ'. Ἃ δὲ Τιμοκράτει συνερεῖ] Atqui nihil dixisti de suffragatione, sed mores et facta Androtionis perstrinxisti. Wolf. Hic locus paulo est intricatior, hunc quantum in me fuit elucidavi in interpretatione mea. Auger.

Ὁμολογεῖς, κατ' ἐκεῖνό σε προσήκειν] [Ald.] προσήκει. Alii προσῆκεν. Quod si placet, legendum erit ὁμολόγεις: quod et rectius videtur. Neque

ἐκεῖνό σε [1]προσῆκεν ἁλίσκεσθαι φανερῶς, ὅτι μὴ τιθέναι νόμον, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσι τοῖς πολίταις ἄντικρυς οἱ κύριοι νόμοι λέγουσι, καθ' οὓς οὗτοι δικάσειν ὀμωμόκασιν· εἰ δὲ τοῦ πᾶσι συμφέροντος ἕνεκα ταῦτα νομοθετῆσαι φήσεις, μὴ λέγε τὴν ἔκτισιν τὴν τούτων — οὐδὲν γὰρ κοινωνεῖ τῷ νόμῳ τῷδε —, ἀλλ' ὡς ἐπιτήδειός ἐστι καὶ καλῶς ἔχων ὁ νόμος, τοῦτο δίδασκε. τοῦτο γάρ ἐσθ' ὑπὲρ οὗ σὺ μὲν εἰσενεγκεῖν φῆς, ἐγὼ δὲ γέγραμμαι, τἀναντία φάσκων, κρῖναι δὲ προσήκει τουτουσί. καί τοι καὶ τοῦτο οὐκ ἀπορήσαιμ' ἂν δεῖξαι, πάντα μᾶλλον ἢ κατὰ τοὺς νόμους πεποιημένους τὴν ἔκτισιν ἐκείνους τὴν τῶν χρημάτων. ἀλλὰ μὴ περὶ τούτων ὑμῶν οἰσόντων τὴν ψῆφον, τί δεῖ ταῦτα λέγοντα ἐνοχλεῖν με νυνί;

μδ'. [2]Οἶμαι τοίνυν αὐτὸν οὐδ' ἐκείνων ἀφέξεσθαι τῶν λόγων, ὡς δεινὰ ἂν πάθοι, εἰ γράψας, ὅπως Ἀθηναίων μηδεὶς δεδήσεται, αὐτὸς πείσεταί τι κακόν· καὶ, ὅτι τοὺς νόμους ὡς πρᾳοτάτους καὶ μετριωτάτους εἶναι, ὑπὲρ τῶν ἀδυνάτων μάλιστά ἐστι. πρὸς δὲ τοὺς τοιούτους λόγους, βέλτιον προακηκοέναι μικρὰ πάντας ὑμᾶς, ἵν' ἧττον ἐξαπατᾶσθε. ὅταν μὲν γὰρ λέγῃ· ὅπως μηδεὶς δεδήσεται Ἀθηναίων· μὴ λανθανέτω ψευδόμενος ὑμᾶς. οὐ γὰρ τοῦτ' ἔθηκεν, ἀλλ' ὅπως ὑμεῖς ἄκυροι τῶν προστιμημάτων γενήσεσθε, 760
καὶ τὴν μεθ' ὅρκου, καὶ λόγου, καὶ κρίσεως ψῆφον ἐνηνεγμένην, [3]ἄδικον καθίστησι. [4]μηδὲ ταῦθ' ὑμῖν τῶν ἐκ τοῦ νόμου ῥημάτων ἐκλέξας λεγέτω, ἃ φιλανθρωπότατ' ἐστὶν ἀκοῦσαι, ἀλλ' ὅλον δεικνύτω τὸν νόμον ἑξῆς, καὶ τὰ συμβαίνοντ' ἐξ αὐτοῦ σκοπεῖν ἐάτω. εὑρήσετε γὰρ ταῦτα ὄντα, ἃ ἐγὼ λέγω, καὶ οὐχ ἅ φησιν οὗτος. ἀλλὰ μὴν πρός γε [5]τὸ τοῖς πολλοῖς συμφέρειν, τοὺς νόμους πρᾴους καὶ μετρίους εἶναι, τάδε χρὴ σκοπεῖν. ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, δύο εἴδη, περὶ ὧν εἰσὶν οἱ νόμοι κατὰ πάσας τὰς πόλεις. ὧν τὸ μέν

[1] προσήκει [2] οἴομαι [3] ἀνάδικον [4] μὴ δὴ ταῦθ' [5] * τῷ

enim ὁμολογεῖ Τιμοκράτης, ἀλλ' αἰτίαν ἔχει. Wolf. προσήκει Bar. Ven. Vind. Edit. Parisina. προσῆκεν scribitur in margine. Taylor. Imo προσήκει. Auger. Vid. D'Orville ad Charit. Aphrod. Lib. VIII. cap. II. p. 669.

μδ'. Ἄδικον] Illud sane nullo modo tolerari potest, ἂν ἄδικον Bar. Ven. Vindob. Lege itaque ἀνάδικον, *irritum, nullum.* Noster adv. Bœot. de dote matern. p. 1018. 26. ed. R. οὐ μόνον τὴν δίκην ταύτην, περὶ ἧς νῦν δικάζομαι, ἀνάδικον ἐποίησεν, ἀλλὰ — Vide Ulpian. ad Midianam 543. 12. ed. R. Taylor. Malim cum Reiskio ἀνάδικον. Auger.

Ὧν τὸ μέν ἐστι κ. τ. λ.] Hæc est con-

ἐστι δι' ὧν χρώμεθα ἀλλήλοις, καὶ συναλλάττομεν, καὶ περὶ τῶν ἰδίων ἃ χρὴ ποιεῖν διωρίσμεθα, καὶ ζῶμεν ὅλως τὰ πρὸς ἡμᾶς αὐτούς· τὸ δ', ὃν τρόπον δεῖ τῷ κοινῷ τῆς πόλεως ἕνα ἕκαστον ἡμῶν χρῆσθαι, ἐὰν πολιτεύεσθαι βούληται, καὶ φῇ κήδεσθαι τῆς πόλεως. ἐκείνους μὲν τοίνυν [1] τοὺς νόμους περὶ τῶν ἰδίων ἠπίως κεῖσθαι καὶ φιλανθρώπως, ὑπὲρ τῶν πολλῶν ἐστί· τούσδε δὲ τοὺς περὶ τῶν πρὸς τὸ δημόσιον προσιόντων, τοὐναντίον ἰσχυρῶς, καὶ χαλεπῶς ἔχειν, ὑπὲρ ὑμῶν ἐστίν. οὕτω γὰρ ἂν ἥκισθ' οἱ πολιτευόμενοι τοὺς πολλοὺς ὑμῶν ἀδικοῖεν. ὅταν δὴ τούτῳ τῷ λόγῳ χρῆται, ἐπὶ ταῦτα ἀπαντᾶτε· ὅτι τοὺς νόμους, οὐκ ἐκείνους τοὺς ὑπὲρ ὑμῶν πράους ποιεῖ, ἀλλὰ τούσδε, οἳ τοῖς πολιτευομένοις φόβον παρέχουσι.

μέ. Πολλὰ δ' ἄν τις ἔχοι λέγειν, εἰ καθ' ἕκαστον ὧν ἐρεῖ δεικνύναι βούλοιτο, φενακισμοῦ καὶ παρακρούσεως ἕνεκα ῥηθησόμενα. ἀλλὰ τὰ μὲν πολλὰ παρήσω· κεφάλαιον
761 δ' ὑμῖν ὧν [2] μνημονεύετε ἐρῶ. σκοπεῖτ' ἐν ἅπασι τοῖς λόγοις ὁπόσους ἂν λέγῃ, εἴ τι δυνήσεται τοιοῦτον εἰπεῖν, δι' οὗ διδάξει, ὡς ἔστι δίκαιον τὸν τιθέντα τὸν νόμον, ταὐτὰ προστάξαι περὶ τῶν παρεληλυθότων καὶ [3] πρότερον τέλος ἐσχηκότων ποιεῖν, καὶ περὶ τῶν μελλόντων γενήσεσθαι. πάντων γὰρ ὄντων αἰσχρῶν καὶ δεινῶν τῶν γεγραμμένων ἐν τῷ νόμῳ, τοῦτο δεινότατον, καὶ μάλιστα παράνομον γέγραπται. εἰ δὲ τοῦτο μήθ' οὗτος, μήτ' ἄλλος [4] μηδεὶς τούτων δυνήσεται δεῖξαι, εἰδέναι χρὴ καὶ συνιέναι σαφῶς φενακιζομένους ὑμᾶς, καὶ λογίσασθαι πρὸς ὑμᾶς αὐτούς, ἐκ τίνος ποτὲ ἐπῆλθε τούτῳ τοιαῦτα νομοθετεῖν. οὐ προῖκα, ὦ Τιμόκρατες· πόθεν; οὐδ' ὀλίγου [5] δεῖ· τοῦτον ἔθηκας τὸν

[1] τοὺς νόμους τοὺς περὶ [2] μνημονεύσετε [3] [πρότερον]
[4] μηδεὶς τῶν συνηγορούντων τούτῳ δυν. [5] δὲ,

structio: *quorum alterum est, nempe definimus per quæ utamur nobis invicem, contrahamus inter nos, et quæ oportet facere de privatis, et omnino inter nosmet ipsos vivamus* etc. Idem.

Τοὺς νόμους] Lege: τοὺς νόμους τοὺς περὶ τῶν ἰδίων, ut modo v. 7. τούσδε δὲ τοὺς περὶ τῶν πρὸς τὸ δημόσιον προσιόντων. Videtur excidisse per incuriam. Taylor.

Τοὺς ὑπὲρ ὑμῶν] *Quæ vobis defendendis sint.* Perperam Wolfius, *defendendæ*, nisi forte sit erratum preli. Jurin.

μέ. Μνημονεύετε] Wolfius vertit, ac si legeretur μνημονεύσετε. Quæ quidem est scriptura Bar. Lind. Ital. Ibidem, pro ἂν MSti Ven. Bar. Obsop. Aug. Ital. Vind. ὅ. Taylor. μνημονεύετε, in imperativo, nisi malis μνημονεύσετε. Auger.

Πρότερον] Deest in optimis exemplaribus. Et recte mihi deesse videtur. Tayl.

Ποιεῖν] Delendum videtur ut supervacuum. Auger.

Οὐδ' ὀλίγου δὴ] Ἀντὶ τοῦ, οὐδ' ὀλίγων χρημάτων. Neque est, cur τὸ δὴ in δεῖ verbum

νόμον. οὐδεμίαν γὰρ ἂν εἰπεῖν ἔχοις πρόφασιν ἄλλην, δι' ἣν τοιοῦτον ἐπήρθης εἰσενεγκεῖν νόμον, ἢ τὴν σεαυτοῦ θεοῖς ἐχθραν αἰσχροκέρδειαν. οὔτε γὰρ οἰκεῖος, οὔτε συγγενής, οὔτε ἀναγκαῖος ἦν σοι τούτων οὐδείς· οὐδ' ἐκεῖνο ἂν ἔχοις εἰπεῖν, ὡς ἐλεήσας δεινὰ πάσχοντας ἀνθρώπους, εἵλου διὰ ταῦτα βοηθεῖν αὐτοῖς. οὔτε γὰρ τὸ τὰ τούτων πολλοστῷ χρόνῳ μόλις ἄκοντας ἐν τρισὶν ἐξελεγχθέντας δικαστηρίοις καταθεῖναι, τοῦθ' ἡγήσω τὸ δεινὰ πάσχειν εἶναι — ποιεῖν γάρ ἐστι τοῦτό γε δεινά, καὶ παροξύνειε μᾶλλον ἄν τινα μισεῖν, ἢ προτρέψειεν ἐλεεῖν —, οὔτ' ἄλλως πρᾶος καὶ φιλάνθρωπος σύ τις τῶν ἄλλων διαφόρως ὤν, μᾶλλον ἐλεεῖς αὐτούς. οὐ γάρ ἐστι τῆς αὐτῆς ψυχῆς, Ἀνδροτίωνα μὲν, καὶ Γλαυκέτην, καὶ Μελάνωπον ἐλεεῖν, ἃ κλέψαντες εἶχον εἰ καταθήσουσι· τουτωνὶ δὲ, τοσούτων ὄντων, καὶ τῶν ἄλλων πολιτῶν, ὧν ἐπὶ τὰς οἰκίας ἐβάδιζες σὺ, τοὺς ἕνδεκα 762
καὶ τοὺς ἀποδέκτας ἔχων, καὶ τοὺς ὑπηρέτας, μηδένα πώποτε ἐλεῆσαι, ἀλλὰ θύρας [1] ὑφαιρεῖν, καὶ στρώμαθ' ὑποσπᾶν, καὶ διάκονον, εἴ τις ἐχρῆτο, ταύτην ἐνεχυράζειν. ἃ σὺ πάντ' ἐποίεις ἐνιαυτὸν ὅλον μετ' Ἀνδροτίωνος. πολλῷ γὰρ δήπου σχετλιώτερ' ἐπάσχεθ' ὑμεῖς, καὶ πολὺ μᾶλλον ἂν εἰκότως ἠλέεις τούτους, οἳ δι' ὑμᾶς, ὦ κατάρατε, τοὺς λέγοντας οὐδ' ὁτιοῦν εἰσφέροντες παύονται. καὶ οὐκ ἀπόχρη τοῦτο, ἀλλὰ καὶ διπλᾶ πράττονται, καὶ ταῦθ' ὑπό τε σοῦ, καὶ Ἀνδροτίωνος· οἳ μίαν εἰσφορὰν οὐδεπώποτε εἰσενηνόχατε. τηλικοῦτο τοίνυν ἐφρόνησεν οὗτος, ὡς ἄρ' οὐδὲ δίκην τούτων οὐδεμίαν δώσων· ὥς τε μόνος, δέκα τῶν συν-

[1] ἀφαιρεῖν

mutes. Wolf. Atqui mutavi securus. Ita habet Baroc. Cod. Ita etiam excuderunt Parisienses. Taylor. Tayloro assentitur Augerus.

Οὔτε γὰρ τὸ τὰ τούτων] Τὸ καταθεῖναι, Sub. τὸν Ἀνδροτίωνα, τὰ, Sub. χρήματα, τούτων, τῶν δικαστῶν, ἤτοι τὰ Ναυκρατιτικὰ, τὰ δημόσια γενόμενα. Quod si non placet, legi queat, τὸ τὰ χρήματα τούτους. Wolf. Sub. χρήματα, nempe, *pecunias quæ sunt Judicum*, i. e. totius civitatis quam repræsentabant Judices. πολλοστῷ, non minuit, sed auget: *tanto post tempore*. Auger.

Πολλοστῷ χρόνῳ] Πολὺ μετὰ τὸν προσήκοντα χρόνον. Alias contrarium hæc vox significat, ἐν πολλῷ βραχυτέρῳ χρόνῳ. Wolf.

Ὑφαιρεῖν] Minus placet istud ὑφαιρεῖν, de vi et violentia dictum. Melius certe est ἀφαιρεῖν Codd. Aug. Vind. et Parisiensium. Quanquam ne ita quidem hic locus mihi satisfacit. Taylor.

Καὶ διάκονον, εἴ τις ἐχρῆτο, ταύτην ἐνεχυράζειν] In Androtiana §. ιϛ'. Σινώπην καὶ Φανοστράτην πόρνας ἀνθρώπους nominat. Est igitur hic τὸ χρῆσθαι, πωλησιάζειν καὶ συνεῖναι. Wolf.

Ἐπάσχεθ'] Est abrupta et subita ad audientes conversio. Auger.

Τηλικοῦτο κ. τ. λ.] Verte: *tanta vero est istius hominis arrogantia*, quasi *horum facinorum nunquam daturus esset pœnas*, ut *solus — non dubitaret*. Taylor.

αρχόντων ὄντων, κοινῇ τὸν λόγον ἐγγράψαι μετ' Ἀνδροτίωνος ἐτόλμησε. προῖκα γὰρ, οὐδὲν ὠφελούμενος, ὑμῖν Τιμοκράτης ἀπεχθάνεται, καὶ νόμους εἰσφέρει πᾶσιν ἐναντίους, τὸ τελευταῖον δὲ, καὶ ἑαυτοῦ νόμῳ προτέρῳ· [1]ὃν, μὰ τὴν Ἀθηνᾶν, οὐδ' ὑμᾶς [2]οἶμαι λανθάνειν.

μς'. Ὁ τοίνυν ἔμοι γε δοκεῖ μάλιστ' ὀργῆς ἄξιον εἶναι, φράσω, καὶ οὐκ ἀποκρύψομαι· ὅτι ταῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, πράττων ἐπ' ἀργυρίῳ, καὶ προῃρημένος ὡς ἀληθῶς μισθαρνεῖν, οὐκ εἰς ἃ καὶ συγγνώμην ἄν τις ἀκούσας ἔσχε, ταῦτ' ἀναλίσκει. ταῦτα δ' ἔστι τί; ὁ πατὴρ, ὦ ἄνδρες δικασταὶ, ὁ τούτου, τῷ δημοσίῳ ὀφείλει — καὶ οὐκ ὀνειδίζων ἐκείνῳ λέγω, ἀλλ' ἀναγκαζόμενος —, καὶ οὗτος ὁ χρηστὸς περιορᾷ. καί τοι ὅς τις μέλλων κληρονομήσειν τῆς ἀτιμίας, ἂν ἐκεῖνός τι πάθοι, μὴ οἴεται δεῖν ἐκτίσαι, ἀλλὰ κερδαίνειν ὃν ἐκεῖνος ζῇ χρόνον ἀξιοῖ τοῦτο τὸ κέρδος, τίνος ἂν
763 ὑμῖν ἀπροσχέσθαι [3]δοκῇ; καὶ τὸν μὲν πατέρα οὔτ' ἐλεεῖς, οὔτε δεινά σοι πάσχειν δοκεῖ, εἰ σοῦ λαμβάνοντος καὶ χρηματιζομένου, ἀπὸ τῶν εἰσφορῶν ὧν εἰσέπραττες, ἀπὸ τῶν ψηφισμάτων ὧν γράφεις, ἀφ' ὧν εἰσφέρεις νόμων, διὰ μικρὸν ἀργύριον μὴ μετέχει τῆς [4]πόλεως, ἑτέρους δ' ἐλεῆσαί τινας [5]φῄς. ἀλλὰ, νὴ Δία, τὴν ἀδελφὴν καλῶς διῴκηκεν; ἀλλ' εἰ καὶ μηδὲν ἄλλο ἠδίκει, κατὰ τοῦτο ἄξιός ἐστιν ἀπολωλέναι. πέπρακε γὰρ αὐτὴν, καὶ οὐκ ἐκδέδωκε. τῶν γὰρ ὑμετέρων ἐχθρῶν ἑνὶ, Κερκυραίῳ τινὶ, τῶν νῦν ἐχόντων τὴν πόλιν, καταλύοντι παρ' αὐτῷ, ὅτε δεῦρο πρεσβεύοι, καὶ βουληθέντι λαβεῖν αὐτὴν — ἐξ οὗ δὲ τρόπου παραλείψω — λαβὼν ἀργύριον ἔδωκε. καὶ νῦν ἐστὶν ἐν Κερκύρᾳ. ὃς οὖν τὴν μὲν ἀδελφὴν ἐπ' ἐξαγωγῇ φησὶ μὲν ἐκδοῦναι, πέπρακε δὲ τῷ ἔργῳ, τὸν δ' ἑαυτοῦ πατέρα οὕτω γηροτροφεῖ, κολακεύει δὲ, καὶ μισθοῦ γράφει, καὶ πολιτεύεται, τοῦτον ὑμεῖς λαβόντες οὐκ ἀποκτενεῖτε; δόξετε ἄρα, ὦ ἄνδρες Ἀθηναῖοι, κρίσεις βούλεσθαι καὶ πράγματ' ἔχειν, ἀλλ' οὐκ ἀπηλλάχθαι τῶν πονηρῶν.

μζ'. Καὶ μὴν, ὅτι μὲν προσήκει πάντας κολάζειν τοὺς

[1] ὃ [2] οἶμαι [3] δοκεῖ [4] πόλεως; [5] φῄς;

Προῖκα γὰρ, οὐδὲν ὠφελούμενος] Acerba Ironia. WOLF.

ἀδικοῦντας, εὖ οἶδ' ὅτι πάντες ἂν, εἴ τις ἔροιτο, φήσετε· ὅσῳ δὲ μάλιστα τοῦτον, ὃς τὸν νόμον εἰσενήνοχεν ἐπὶ βλάβῃ τοῦ πλήθους, ἐγὼ διδάξαι πειράσομαι. τῶν μὲν γὰρ κλεπτῶν καὶ λωποδυτῶν καὶ τὰ τοιαῦτα κακουργούντων ἕκαστος, πρῶτον μὲν ὡς ἀληθῶς τὸν ἐντυχόντα ἀδικεῖ, καὶ οὐκ ἂν οἷός τ' ἂν ᾖ πάντας ἐκδύειν, οὐδὲ τὰ πάντων ὑφελέσθαι· εἶτα καταισχύνει τὴν ἑαυτοῦ δόξαν, καὶ τὸν βίον μόνον. εἰ δέ τις εἰσφέρει νόμον, ἐξ οὗ τοῖς βουλομένοις ὑμᾶς ἀδικεῖν, ἡ πᾶσα ἐξουσία καὶ ἄδεια γενήσεται, οὗτος ὅλην ἀδικεῖ τὴν πόλιν, καὶ καταισχύνει πάντας. νόμος γὰρ 764
αἰσχρὸς, ὅταν κύριος ᾖ, τῆς πόλεως ὄνειδός ἐστι τῆς θεμένης, καὶ βλάπτει πάντας, ὅσοι περ ἂν αὐτῷ χρῶνται. τὸν οὖν καὶ βλάπτειν ὑμᾶς, καὶ δόξης ἀναπιμπλάναι φαύλης ἐπιχειροῦντα, τοῦτον οὐ τιμωρήσεσθε λαβόντες; καὶ τί φήσετε; γνοίη δ' ἄν τις οὕτω μάλιστα, ἡλίκα πράγματα συσκευάσας, γέγραφεν αὐτὸν, καὶ ταῦθ' ὡς ὑπεναντία τῇ καθεστώσῃ πολιτείᾳ, εἰ λογίσαιτο, ὅτι πάντες οἱ καταλύοντες τὸν δῆμον, ὅταν πράγμασιν ἐγχειρῶσι νεωτέροις, τοῦτο [1]ποιοῦσι. πρῶτον ἁπάντων, ἔλυσαν τοὺς νόμους πρότερον νόμῳ δι' ἁμαρτίαν τινὰ ταύτην [2]ὑπέχοντες τὴν δίκην. πῶς οὖν οὐκ ἄξιος οὗτος, εἰ δυνατόν ἐστι, τρὶς οὐχ ἅπαξ ἀπολωλέναι; ὃς εἷς ὢν, καὶ οὐ δήπου μέλλων καταλύσειν ὑμᾶς, ἀλλὰ τοὐναντίον, αὐτὸς ἐν ὑμῖν, ἂν τὰ δίκαια [3]καὶ προσήκοντα ποιῆτε, ἀπολεῖσθαι, ὅμως ἐμιμήσατο

[1] ποιοῦσι πρῶτον ἁπάντων· ἔλυσαν * εἱρκτῆς τοὺς πρότερον. [2] ὑπέχοντας
[3] καὶ τὰ προσήκοντα

μζ'. Φήσετε] Ita cum Impressis et MSS. plerisque, aut φήσαιτε cum marg. Benenati, potius, quam quod edidit Wolfius φήσατε. TAYLOR. Imo φήσαιτε. et v. 5. post ἐντυχόντα F. add. μόνον. AUGER.

Καὶ τὰ] Καὶ τῶν τὰ τοιαῦτα κακουργούντων Lambinus. TAYLOR.

Καὶ οὐκ ἂν οἷός τ' ἂν ᾖ] Τὸ δυνητικὸν μόριον παρέλκει κατ' Ἀττικισμόν. Sed et prior omitti queat: καὶ οὐχ οἷός τ' ἂν ᾖ. WOLF.

Ὑφελέσθαι] Ἀφελέσθαι potius, uti Bar. Vind. et Aug. TAYLOR.

Καταισχύνει] Male a Wolfio redditur, *injuriam facit*. IDEM.

Γέγραφεν αὐτὸν] Nempe νόμον. AUGER.

Ἔλυσαν τοὺς νόμους — τὴν δίκην] Locus corruptus a Librario primum, deinde et a manu emendatrice. Id vero manifestum fiet, si tecum reputes, quidnam illud sit, quod primo loco faciunt omnes, qui ad remp. evertendam accedunt. Num operam dant legibus novis ferendis, ut hic Timocrates, quibus antiquas leges abrogent? Lentum id, et spei nimis tardæ et incertæ. Refringunt carceres, vinctos solvunt, damnatos liberant, eosque omnes socios adjungunt. Hic est illud πρῶτον ἁπάντων, de quo hic agitur. Fidenter itaque rescribo: ἔλυσαν δεσμοῦ τοὺς πρότερον νόμῳ δι' ἁμαρτίαν τινὰ ταύτην ὑπέχοντας τὴν δίκην. Adstipulatur Obsopœus, qui ὑπέχοντας pro ὑπέχοντες in antiquo Cod. reperit: item ὅρκους pro νόμους, quod satis probat manum emendatricem hic sategisse, infeliciter tamen. JURIN. Jurino prorsus assentitur Augerus.

τοῦτο τἀδίκημα, καὶ διὰ τοῦ νόμου λύειν ἠξίωσεν, οὓς [1]δέδηκε τὰ δικαστήρια· γράψας ἀναιδῶς, εἴ τινι προστετίμηται δεσμοῦ, κἂν τὸ λοιπόν τινι προστιμηθῇ, τοῦτον ἀφεῖσθαι. καὶ μὴν εἰ αὐτίκα δὴ μάλα κραυγὴν ἀκούσαιτε πρὸς τῷ δικαστηρίῳ, εἶτ' εἴποι τις, ὡς ἀνέῳκται τὸ δεσμωτήριον, οἱ δὲ δεσμῶται φεύγουσιν· οὐδεὶς οὔτε νέος, οὔτε γέρων, [2]οὔτ' ὀλίγωρος οὕτως ἐστὶν, ὅς τις οὐχὶ βοηθήσειεν ἂν, καθόσον δύναται. εἰ δὲ δή τις εἴποι παρελθὼν, ὡς ὁ τούτους ἀφιείς ἐστιν οὑτοσὶ, οὐδὲ λόγου τυχὼν, εὐθὺς ἂν ἀπαχθεὶς θανάτῳ ζημιωθείη. νῦν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἔχετε τοῦτον, ὃς οὐχὶ λάθρα πεποίηκε τοῦτο, ἀλλὰ
765 φανερῶς, ὃς οὐκ ἀνοίγνυσι μόνον τὸ δεσμωτήριον, [3]ἀλλὰ καθαιρεῖ, προσπεριείληφε δὲ καὶ τὰ δικαστήρια. τίς γὰρ ἢ τούτων, ἢ ἐκείνων χρεία, ὅταν οἷς τετίμηται δεσμοῦ, λύωνται, κἂν [4]τολοιπὸν τιμήσητέ τῳ, μηδὲν ὑμῖν ᾖ πλεῖον;

μή. Δεῖ τοίνυν ὑμᾶς κἀκεῖνο σκοπεῖν, ὅτι πολλοὶ τῶν Ἑλλήνων πολλάκις εἰσὶν ἐψηφισμένοι τοῖς νόμοις χρῆσθαι τοῖς ὑμετέροις· ἐφ' ᾧ φιλοτιμεῖσθε [5]ὑμεῖς εἰκότως. ὁ γὰρ εἰπεῖν τινά φασιν ἐν ὑμῖν, ἀληθὲς εἶναί μοι δοκεῖ· ὅτι τοὺς νόμους ἅπαντες ὑπειλήφασιν [6]ἐν ὑμῖν, ὅσοι σωφρονοῦσι, τρόπους τῆς πόλεως εἶναι. χρὴ τοίνυν σπουδάζειν ὅπως ὡς βέλτιστοι δόξωσιν εἶναι, καὶ τοὺς λυμαινομένους καὶ διαστρέφοντας αὐτοὺς κολάζειν. ὡς εἰ καταῤῥαθυμήσετε, τῆς φιλοτιμίας τε ταύτης ἀποστερηθήσεσθε, καὶ κατὰ τῆς πόλεως δόξαν οὐ χρηστὴν ποιήσετε. καὶ μὴν εἰ Σόλωνα καὶ Δράκοντα δικαίως ἐπαινεῖτε, οὐκ ἂν ἔχοντες εἰπεῖν οὐδετέρου κοινὸν εὐεργέτημα οὐδὲν, πλὴν ὅτι συμφέροντας ἔθηκαν καὶ καλῶς ἔχοντας νόμους· δίκαιον δήπου καὶ τοῖς

[1] δέδεκε [2] Deest οὔτ'. [3] ἀλλὰ καὶ καθαιρεῖ [4] τὸ λοιπὸν [5] ὑμεῖς. [6] Desunt ἐν ὑμῖν.

Τοῦτο τἀδικήμα] Fortasse τούτων, *eorum*, quorum modo mentionem feci. TAYLOR.

Καὶ μὴν εἰ αὐτίκα] Vide Longinum §. 15. IDEM.

Οὔτ'] Nonnulli codices delent οὔτ' ante ὀλίγωρος, quod ego malim. AUGER.

μή. Ἅπαντες ὑπειλήφασιν ἐν ὑμῖν] Redundare videtur ἐν ὑμῖν. Forte irrepsit ex superiore linea. JURIN. Omnino post similem vocem exeuntem. Wolfius etiam censet abesse *posse*. Abest ab optimo Vindob. TAYLOR. Ἐν ὑμῖν delendum vid. ut male repetitum ex versu proximo. AUGER.

Οὐδετέρου κοινὸν εὐεργέτημα οὐδὲν] Nihil ergo præstitit Solon recuperata Salamine? WOLF.

ὑπεναντίους τιθεῖσιν ἐκείνοις, ὀργίλως ἔχοντας, καὶ κολάζοντας φαίνεσθαι. οἶδα δὲ Τιμοκράτην, ὅτι τὸν νόμον εἰσενήνοχε τοῦτον, οὐχ ἥκιστα ὑπὲρ αὑτοῦ· πολλὰ γὰρ ἡγεῖτο πολιτεύεσθαι παρ' ὑμῖν ἄξια δεσμοῦ.

μθ'. Βούλομαι τοίνυν ὑμῖν κἀκεῖνο διηγήσασθαι· ὃ φασί ποτ' εἰπεῖν Σόλωνα κατηγοροῦντα νόμον τινὸς οὐκ ἐπιτήδειον θέντος. λέγεται γὰρ τοῖς δικασταῖς αὐτὸν εἰπεῖν, ἐπειδὴ τἄλλα κατηγόρησεν, ὅτι νόμος ἐστὶν ἁπάσαις, ὡς ἔπος εἰπεῖν, ταῖς πόλεσιν, ἐάν τις τὸ νόμισμα διαφθείρῃ, θάνατον τὴν ζημίαν εἶναι. ἐπερωτήσας δὲ εἰ δίκαιος αὐτοῖς καὶ καλῶς ἔχων ὁ νόμος φαίνεται, ἐπειδὴ φῆσαι πάντας τοὺς 766
δικαστὰς, εἰπεῖν, ὅτι αὐτὸς ἡγεῖται, ἀργύριον μὲν, νόμισμα εἶναι τῶν ἰδίων συναλλαγμάτων ἕνεκα, τοῖς ἰδιώταις εὑρημένον· τοὺς δὲ νόμους ἡγεῖται τῆς πόλεως νόμισμα εἶναι. δεῖ δὴ τοὺς δικαστὰς, πολλῷ μᾶλλον, εἴ τις, ὃ τῆς πόλεώς ἐστι νόμισμα, τοῦτο διαφθείρει, καὶ παράσημον εἰσφέρει, μισεῖν καὶ κολάζειν, ἢ εἴ τις ἐκεῖνο, ὃ τῶν ἰδιωτῶν ἐστί. προσθεῖναι δὲ τεκμήριον τοῦ καὶ μεῖζον εἶναι τὸ [1] ἀδίκημα, τὸ τοὺς νόμους διαφθείρειν ἢ τὸ ἀργύριον, ὅτι ἀργυρίῳ μὲν, πολλαὶ τῶν πόλεων καὶ φανερῶς πρὸς χαλκὸν καὶ [2] μόλυβδον κεκραμένῳ χρώμεναι σώζονται, καὶ οὐδ' ὁτιοῦν παρὰ τοῦτο [3] πάσχουσιν· ὁμοίως δὲ νόμοις πονηροῖς χρώμενοι, καὶ διαφθείρεσθαι τοὺς ὄντας ἐῶντες, οὐδένες πώποτ' ἐσώθησαν. ταύτῃ μέντοι τῇ κατηγορίᾳ καὶ Τιμοκράτης ἔνοχος καθέστηκε νυνὶ, καὶ δικαίως ἂν ὑφ' ὑμῶν τοῦ προσήκοντος τύχοι τιμήματος.

ν'. Χρῆν μὲν οὖν ἅπασιν ὀργίλως ἔχειν, ὅσοι τιθέασι νόμους αἰσχροὺς καὶ πονηροὺς, μάλιστα δὲ τούτοις, οἳ τοὺς τοιούτους τῶν νόμων διαφθείρουσι, δι' ὧν ἐστὶν, ἢ μι-

[1] Deest articulus. [2] μόλιβδον [3] πάσχουσι, νόμοις δὲ πονηροῖς

μθ'. Εἰπεῖν] Restitui ex Editt. Felic. et Lutetiana, MSS. Aug. Lind. et Vindob. TAYLOR.

Ἐάν τις τὸ νόμισμα διαφθείρῃ] Vide finem Leptineæ, ubi et locus qui sequitur de præmiis et pœnis tractatur. WOLF.

Εὑρημένον] Editi et MSti. Wolfius operarum, credo, negligentia, εὑρημένων. TAYLOR.

Ἡγεῖται] Alii ἡγεῖτο, uti Baroc. Ven. Linden. et Vindob. Mox pro δεῖ, emendes δεῖν cum iisdem, et Ital. et Reg. α. IDEM.

Παράσημον] Credo, hunc locum voluisse Harpocrationem, cum præ nimia festinatione Aristocrateam citavit. Vide in v. Παράσημος. Simile aliquod annotavi ad initium hujus Orationis. IDEM.

Πάσχουσιν] Lego cum Reiskio πάσχουσι, νόμοις δὲ πονηροῖς — AUGER.

κρὰν, ἢ μεγάλην εἶναι τὴν πόλιν. εἰσὶ δ' οὗτοι τίνες; οἵτε τοὺς ἀδικοῦντας τιμωρούμενοι, καὶ ὅσοι τοῖς ἐπιεικέσι τιμὰς διδόασιν. εἰ γὰρ ἅπαντες προθυμηθεῖεν ποιεῖν ἀγαθόν τι τὸ κοινὸν, τὰς τιμὰς καὶ τὰς δωρεὰς τὰς ὑπὲρ τούτων ζηλώσαντες, καὶ πάντες ἀποσταῖεν τοῦ κακουργεῖν, [1] ἢ κακόν τι πράττειν, τὰς βλάβας καὶ τὰς ζημίας τὰς ἐπὶ τούτοις κειμένας φοβηθέντες, ἔσθ' ὅ,τι κωλύει τὴν πόλιν μεγίστην εἶναι; οὐ τριήρεις, ὅσας οὐδεμία ἄλλη πόλις Ἑλληνὶς κέκτηται; οὐχ ὁπλίτας; οὐχ ἱππέας; οὐ προσόδους;
767 οὐ τόπους; οὐ λιμένας; ταῦτα δὲ πάντα τί [2] καὶ σώζει καὶ συνέχει; οἱ νόμοι. κατὰ γὰρ τούτους, οὔσης τῆς πολιτείας, ἔστι ταῦτα χρήσιμα τῷ κοινῷ· εἰ δὲ [3] τοὐναντίον γένοιτο, τοῖς χρηστοῖς μὲν οὐδ' ὁτιοῦν πλέον, τοῖς δ' ἀδικοῦσιν ἄδεια, ὅσην Τιμοκράτης γέγραφε, πόση ταραχὴ γένοιτ' ἂν [4] εἰκότως; εὖ γὰρ ἴστε, ὅτι τούτων ὧν διεξῆλθον κτημάτων, οὐδ' ἂν εἰ [5] δὶς γένοιτο ὅσα νῦν ἐστὶν, οὐδ' ὁτιοῦν ἂν ὄφελος εἴη. οὗτος τοίνυν ἐν τούτῳ τῷ νόμῳ φαίνεται κακῶς ἐπιχειρῶν ὑμᾶς ποιεῖν, δι' οὗ τοῖς ἀδικεῖν ἐπιχειροῦσίν εἰσιν αἱ τιμωρίαι. πάντων οὖν ἕνεκα τῶν εἰρημένων ἄξιόν ἐστιν ὀργισθῆναι, καὶ κολάσαι, καὶ παράδειγμα ποιῆσαι τοῖς ἄλλοις τοῦτον· ὡς τὸ πρᾴως ἔχειν τοῖς τοιούτοις, καὶ καταψηφίζεσθαι μὲν, ὀλίγου δὲ τιμᾶν, ἐθίζειν καὶ προδιδάσκειν [6] ἔσται ἀδικεῖν ὑμᾶς ὡς πλείστους.

[1] [ἢ κακόν τι πράττειν,] [2] Deest καί. [3] τοὐναντίον, γένοιτο τοῖς [4] εἰκότας. [5] δὶς τόσα γένοιθ' [6] ἔστ'

γ'. Τῷ κοινῷ] Nonnulli Codd. has voces substituunt post γένοιτο, nonnulli utrobique dissimulant. TAYLOR.

Δι' οὗ τοῖς ἀδικεῖν ἐπιχειροῦσίν εἰσιν αἱ τιμωρίαι] Ad Benenati marginem subjicitur οὐκ. Malim ἄκυροί εἰσιν. JURIN. Addo μὴ ante εἰσιν. AUGER.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΟΙ

ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ

ΛΟΓΟΙ.

I. TAYLORI

PRÆFATIO

AD

ORATIONEM DEMOSTHENIS

CONTRA ARISTOGITONA.

SEQUUNTUR duæ in Aristogitona: quarum neutram Lectori perplacere posse judico, a Timocratea recenti, cæterisque, quæ modo præivere. Adeo longe distare a Demosthenica vi, atque infra ejus laudem positæ esse mihi videntur. Nam dum Aristogitonis mores insectatur, hominem *increpat*, non *percellit*, ut semper solet noster: dum de Rep. disserit, quod hic, præter solitum, longiuscule facit, (et interea sorex ille suo se indicio prodidit, cum §. δ'. fin. scribat: *δότε καὶ συγχωρήσατέ μοι, ὡς πέφυκα καὶ προῄρημαι, περὶ τούτων διαλεχθῆναι*) aliquando totus friget, qualem dixeris, qui arma non ex Rhetorum officinis sumserit, verum ex Philosophorum umbra atque ambulationibus. Præter ea, sententiis sæpissime durus est et impeditus, turbidus etiam atque lutulentus, et, si compositionem spectes, neque numeris, neque nitore, ad Demosthenis felicitatem unquam fere assurgit. Quanquam probe sentiam, hæc a me non esse magistri ad instar præcipienda, verum omnino ejusmodi esse, ut unumquemque sibi ea domi et in pectore sapere doceat. De me autem quod dicam, Declamatiuncula esse videtur, tanto nomine indigna, sed qualem hodie vix scribimus. Mecum etiam sentit, etsi sciam, quam parum valeat in hisce rebus aliorum opinio, Casaubonus ille magnus, Heraldus, et Duportus noster.

Idem pene erat priorum ætatum judicium, et, si qua sit, auctoritas. Præter Harpocrationem, qui non uno in loco ambigit de earum fide, disertius paulo Iul. Pollux, L. X. C. 34. §. 155. *ἐν τοῖς ἐπιγραφομένοις Δημοσθένους πρὸς Ἀριστογείτονα.* Licet vox, quam ex *suspectis* illis Orationibus citet, in hisce duabus neque exstet, neque unquam ibi locum habere potuisse judico. Singularis plane est de hac re Dionysii Halic. Crisis: *εἰ μέντοι ἔνιοι ψευδεπίγραφοί εἰσι λόγοι ἀηδεῖς, καὶ φορτικαὶ καὶ ἄγροικοι κατασκευαὶ, ὡς ἐν τῇ κατὰ Ἀριστογείτονος* B. — *ἐν ἄλλοις τε συχνοῖς, οὓς ὁ Δημοσθένης οὐκ ἔγραψεν*, cætera. in libro, qui inscribitur *π. Δημοσθ. δεινότητ.* §. 57. Cum tamen videam, *priorem* tantum c. Aristogitona iis vitiis laborare, quæ isti censori displicent, *alteram* illam in neutro genere vel vitii vel virtutis excellere, et, si Demostheni

mediocri esse liceret, plane eam esse, ut potius absolvi potuisset. Quod vero habet Photius Cod. CCLXV. de hoc Dionysii judicio, non minus est notandum: *Εἰσὶ δὲ οἱ καὶ τοὺς δύο κατὰ Ἀριστογείτονος ὡς νόθους παραγράφονται· ἀλλ' οὗτοι καὶ ὀρφανοὺς αὐτοὺς ἀφιᾶσιν, οὐκ ἔχοντες εἰπεῖν τοὺς τεκόντας. ὧν εἷς γέγονε καὶ Διονύσιος ὁ Ἁλικαρνασσεὺς, οὐδὲν μέγα τεκμήριον τῆς ἰδίας ὑπολήψεως παρεχόμενος, οὐδὲ ἐκεῖνο συνιδεῖν ἐθελήσας, ὡς πολλῷ μείζων, ἤπερ ἡ ἐκείνου ἀπόφασις, αὐτὸς Ἀριστογείτων ἀνομολογῶν Δημοσθένην κατ' αὐτοῦ γεγραφέναι.* Deinde citat Aristogitonis orationem cum hac inscriptione: *Ἀπολογία πρὸς τὴν Ἔνδειξιν Λυκούργου καὶ Δημοσθένους.* Quasi necesse esset, aut semper exstare, quod aliquando exstitit: aut neminem unquam fuisse repertum, qui in Vett. monumentis imitandis se exerceret.

Alii contra ea, quæ diximus, has Aristogitonianas in Canonem Demosthenicum non dubitant referre. Longinus §. 27. Sublimitatis non leve exemplum exinde allegat, animi securus et de fide Auctoris parum sollicitus. Deinde in priori legitur §. *é.* med. celeberrima ista Legis Definitio, quam certatim et disertissimis verbis toties ex Demosthene laudant Aphthonius et Hermogenes cum suis Enarratoribus, tum Marcianus demum ICtus lib. 1. Institut. Vide l. 2. D. de Legibus. Præcipue autem omnium, Plinius IX. Epist. 26. horum sermonum elegantiis magnopere delectatur. Quæ autem res sedulo et otiosius paulo est a me animadvertenda. Antiquiores Critici, quibus displicuerunt Aristogitonianæ, (vide Dionysium et Photium in locis a me citatis) cum ob alia, tum eas reprobarunt maxime, propter *ὀνόματα φορτικὰ* et *ἀηδῆ*, ab usu et castitate Demosthenis tam aliena, quam quæ maxime; nempe qui delectu verborum, translationumque felicitate cæteris adeo excelluit, ut lectorem suum nunquam fastidiosum a se dimitteret. In his autem præ cæteris omnibus hæc Oratio se jactitat, et quæ acerrimis judicibus bilem moverunt, eorum nonnulla diligentissima manu, approbanti similis, decerpsit ille Plinius. En florum sparsionem! *τὸν ἀεὶ βουλόμενον εἶναι πονηρὸν τῶν ἐν τῇ πόλει παιδοτριβεῖν* §. *β'.* fin. Et, *ἀπεσχοινισμένος ἅπασι τοῖς ἐν τῇ πόλει δικαίοις* §. *ζ'.* fin. *εἰ δὲ κάπηλός ἐστι πονηρίας, καὶ παλιγκάπηλος καὶ μεταβολεὺς* §. *ί.* med. *τὰ δικαστήρια οἰκοδομῆσαι, ἵνα τοὺς τοιούτους ἐν αὐτοῖς μοσχεύητε* §. *ιά. τούτων οὐδένα ὁρῶ τῶν τόπων βάσιμον ὄντα, ἀλλὰ πάντα ἀπόκρημνα, φάραγγας, βάραθρα* §. *ιζ'. μὴ δὴ πρὸς οὓς αὐτὸς ἔχωσας λιμένας, καὶ προβόλων ἐνέπλησας, πρὸς τούτους προσορμίζου* §. *ή.* fin. Ita dispari ingenio has orationes legerunt summi olim viri, et, ut cum Plinio ipso loquar, quæ aliis *tumida, improba,* aut *nimia,* ea contra, aliis *sublimia, audentia, plena* esse visa sunt. Verum de his satis: sentio enim, quam difficile sit, ne dicam odiosum, dijudicare, *immodicum* sit

illud, an *grande, ardenter*, an *turgide* dictum, quod in Oratione eminere et exstare videtur. Priusquam autem manum de tabula, addam nonnulla his similia. *νεάλης δὲ καὶ πρόσφατος — περιῆν αὐτοῦ τεταριχευμένου* §. *ιγ'*. med. de duobus ergastuli incolis, uno recens hospite facto, altero, qui in eo inveteravit. Et, *τοὺς ἐπιλήπτους φησὶν ἰᾶσθαι, αὐτὸς ὢν ἐπίληπτος πάσῃ πονηρίᾳ* §. *ιζ'*. fin. Deinde, *ἐν κρίσεσι, καὶ ἀγῶσι — ἅπαντας εἶναι βούλεται. ταῦτα γεωργεῖ* etc. §. *ιή*. ante med. *ταῦτ' οὗτος μονονοὺ κώδωνας ἐξαψάμενος διαπράττεται* §. *κ'*. post med. Demum, *ἀθληταὶ τῶν καλῶν ἔργων ἐγένοντο* §. *κβ'*. fin.

ARISTOGITO ille, qui in criminosa hac oratione a Scriptore nostro laceratur, Rhetor erat Athenis, quem habuit in Rep. administranda Demosthenes sibi adversarium. De eo consuli possunt σχ. Hermog. aliquoties, Quintilian. XII. 10. Plutarch. in Phocione, Tzetz. Chil. VI. 95. etc. Maussac. ad Harpocr. p. 117. et quæ jam diximus in aditu Orationis, quam habuit Æschines c. Timarchum. In primis facetum illud de Aristogitone, quod memoratur a Plutarcho in Apophthegm. Cum ille jam cicutam in carcere erat hausturus, Phocionem optimum civem conveniri voluit: eamque rem nonnullis, qui Phocioni studebant, dehortantibus, *καὶ ποῦ τις ἂν, εἶπεν, ἥδιον Ἀριστογείτονι λαλήσειεν*; Si qualis fuerit dicendo, rogas, respondebit Hermogenes, qui omnem orationis formam sedulo et studiosissime investigavit. Ita ille, pag. Edit. Crisp. 368. *Καὶ μὴν καὶ τὸ πρὸ τῶν ἀποδείξεων λοιδορίαις ἢ σφοδρότησιν εἰκῇ κεχρῆσθαι, ἢ ἔνδα ὅλως μηδενὸς τοιούτου δεῖ, καθάπερ εἴωθεν Ἀριστογείτων ποιεῖν, φαινομένη τίς ἐστιν, οὐ μὴν οὖσα δεινότης. ὑπόκενον γὰρ καὶ ψυχρὸν μᾶλλον τὸ τοιοῦτον.* Crederes, hanc fabulam non de Aristogitone, verum nomine mutato, de oratore, qui hic contra Aristogitona verba habuit, dici. Ita concordant cum hac crisi, quæ modo lecturus eris. Neque enim solummodo adversarium proscindit *πρὸ τῶν ἀποδείξεων*, verum per totam fere orationem convicium acre, *ἀπόδειξις* nulla.

Adjicere lubet, quæ de hoc homine Suidas corrasit, non aliena ab iis, quæ in his Orationibus de eo leguntur: *Ἀριστογείτων Κυδιμάχου, ἢ Λυσιμάχου, Ἀθηναῖος, ῥήτωρ, μητρὸς δὲ ἀπελευθερικῆς, ὅστις ἐπεκαλεῖτο Κύων διὰ τὴν ἀναίδειαν αὐτοῦ, ἐφονεύθη δὲ ὑπὸ Ἀθηναίων, λόγους ποιήσας, Ἀπολογίαν πρὸς Δημοσθένην τὸν στρατηγόν. πρὸς Λυκοῦργον. κατὰ Τιμοθέου. κατὰ Τιμάρχου. κατὰ Ὑπερίδου. κατὰ Θρασύλλου. Ὀρφανικόν.* et proxime, nam non est alius, *Ἀριστογείτων Σκυδίμου, συκοφάντης. τούτου ὁ πατὴρ ὀφλήσας τῷ δημοσίῳ τελευτᾷ ἐν τῷ δεσμωτηρίῳ, καὶ αὐτὸς Ἀριστογείτων μετὰ ταῦτα ὡς κληρονόμος τοῦ ὀφλήματος ἐδέθη. ἡ δὲ μήτηρ ἐπράθη ὑπὸ τοῦ δήμου. ἐν δὲ τῷ δεσμωτηρίῳ κλέψας γραμματεῖον κατεγνώσθη ὑπὸ τῶν δεσμωτῶν. καὶ τὴν ῥῖνα, οὗ τὸ γραμματεῖον ἔκλεψεν, ἔφαγεν. καὶ Ζωβίαν ὑποδεξα-*

μένην αὐτὸν φυγόντα, ἀξιοῦσαν εὖ παθεῖν, ὅτε ἴσχυεν, ἐπὶ τὸ τοῦ μετοικίου πωλητήριον ἤγαγεν, καὶ τὴν ἀδελφὴν ἐπ' ἐξαγωγῇ πέπρακεν. Ὑπερίδην δὲ ἐγράψατο παρανόμων ἐπὶ τῷ μετὰ Χαιρώνειαν ψηφίσματι, καὶ οὐχ εἷλεν.

Hujus generis Actio vocatur *Ἔνδειξις*. Ea est, cum quis jure damnatus, in judicatis non maneat, veluti hic obtinet: Lex ait, in judicio convictus debere *τῷ δημοσίῳ*, ille in suggestum ne prodeat, neque coram populo verba habeat: Qui quem ea pervicacia se gerentem in jus duxerit, eum *ἐνδεικνύναι* dicitur, quemadmodum hic Lycurgus et Demosthenes Aristogitona. Vide Harpocr. v. *Ἔνδειξις*. Herald. Animadv. ad Salmas. IV. 9. quæ nos ad Aristocrateam 636. 8. ed. R. Poll. L. VIII. C. 6. §. 49. Petit. LL. Attic. aliquoties, *σχ*. Aristoph. Vesp. 1103. Salmas. de M. U. 780. etc. Vales. ad Maussac. p. 231. Ulpian. ad Androt. Moschop. *π. σχεδ.* p. 152. Ait Harpocratio: *πολλοὶ μέν εἰσι λόγοι Ἐνδείξεως, γνωριμώτατοι δὲ οἱ κατ' Ἀριστογείτονος Δημοσθένους*. Quod sane nescio, quo animo sit accipiendum.

Periit utique, quam priori loco, utpote natu grandior, habuit Lycurgus ille severus orator, quem nuper demereri studui. Conservatur tamen ejus memoria in plurimis locis Grammaticorum aliorumque. Contra autem, causa illa, quam in istius Rhetoris vita memorat Plutarchus, non *Ἐνδείξεως* erat, verum *Δειλίας*, si qua isti Scriptori fides sit habenda. Circumfertur hodie Oratio, quam habuit contra eundem Aristogitona Dinarchus, ob acceptam ab Harpalo pecuniam. Eam in primo Tomo hujus operis consulere juvabit: nam in recensenda Aristogitonis vita plurimum cum Demosthene concordat.

Habita est hæc post Olymp. CX. 3. quo anno ad Chæroneam pugnatum est, cum in oratione memorat res ibi infeliciter gestas, et Hyperidis super ea re rogationem: ante autem Olymp. CXIII. 2. quo in exsilium abiit Demosthenes; nam in literis, quas exsul S. P. Q. A. pro liberis Lycurgi dedit, si tamen dederit, ad hanc causam sæpius alludit, et simul prodit, quam parum prospere a se et Lycurgo fuerit agitata. TAYLOR.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ ΛΟΓΟΥ.

767 ΠΥΘΑΓΓΕΛΟΣ καὶ Σκάφων, ἱδύτες Ἱερακλέα φέροντα ἱερὰ ἱμάτια, ἐφ' οἷς καὶ χρυσῆ γράμματα ἦν, δηλοῦντα τοὺς ἀναθέντας, ἀπάγουσι πρὸς τοὺς πρυτάνεις, ὡς ἱερόσυλον· οἱ δὲ τῇ ὑστεραίᾳ καθιστᾶσιν εἰς τὴν ἐκκλησίαν. κήρυκος ὑπὸ τῆς ἱερείας ἔφη πεμφθεὶς λαβεῖν τὰ ἱμάτια, ἵνα κομίσῃ πρὸς τὸ ἱερὸν κυνηγέσιον. ἐνταῦθα Ἀριστογείτων γράφει ψήφισμα, πρᾶτον μὲν
768 ἀπροβούλευτον, ἔπειτα δὲ δεινότατον, [1] κελεύων, ἐὰν μὲν ὁμολογῇ τὰ ἱμάτια ἐξενεγκεῖν, ἀποθανεῖν αὐτὸν αὐτίκα, ἐὰν δὲ ἀρνῆται, κρίνεσθαι ἐξ οὗ συνέβαινεν αὐτῷ, ὁμολογήσαντι μὲν τἀληθὲς, παραχρῆμα [2] τεθνάναι, ἐξάρχῳ δὲ γενομένῳ, μετ' ὀλίγον τοῦτο παθεῖν. τοῦτο τὸ ψήφισμα γραψάμενος παρανόμων Φανόστρατος [3] ὁ Ἱεροκλέους τοῦ κινδυνεύοντος πατὴρ, συγκατηγορήσαντος [4] αὐτῷ Δημοσθένους, αἱρεῖ παρανόμων, καὶ τιμᾷ τὸ δικαστήριον Ἀριστογείτονι πέντε τάλαντα. τοῦτο μὲν δὴ πρᾶτον ἀπόφλημα Ἀριστογείτονι [5] γίγνεται. ἔπειτα Ἡγήμονα γραψάμενος, καὶ τὸν ἀγῶνα ἀποδόμενος, τὸ πέμπτον μέρος μὴ [6] λαβὼν τῶν ψήφων, ἄφλε χιλίας. οὐκ ἀποδόντος δὲ αὐτοῦ κατὰ τὴν ὡρισμένην περιθεσμίαν, διπλοῦται τὰ ὀφλήματα κατὰ τὸν νόμον, καὶ γίνεται δέκα τάλαντα, καὶ δισχίλιαι δραχμαί. ὑπὲρ τούτων τῶν χρημάτων ἀπογράφει τι εἰς τὸ δημόσιον χαρίεν ἑαυτοῦ, καὶ τὸ χαρίεν τοῦτο Εὐτυμος ὀνεῖται, ὁ ἀδελφὸς αὐτοῦ, τάξιν [7] αἰτησάμενος τοῦ ὀφλήματος, ὥστε ἓν δέκα ἔτεσιν ἐκτίσαι τὸ σύμπαν, καθ' ἕκαστον ἔτος τιθεὶς τὸ ἐπιβάλλον μέρος. δύο μὲν δὴ καταβολὰς ἀπήνεγκε, τάλαντα δύο καὶ δραχμὰς τετρακο-

[1] κελεῦον [2] τεθνᾶναι [3] Deest articulus. [4] αὐτοῦ [5] γίνεται, ἔ. Ἡγέμονα [6] μεταλαβὼν [7] αἰτιασάμενος τοῦ ἀφλήματος

Τὸ ἱερὸν κυνηγέσιον] Videtur esse proprium nomen loci alicujus. Wolf. Dubito valde de isto Wolfii consilio, licet, ut ingenue fatear, nihil in promtu habeam, quod plene opponam. Taylor.

Αὐτοῦ] [Ita enim præter Aldum Editi.] sc. τοῦ ψηφίσματος. Sed malim αὐτῷ, τῷ Φανοστράτῳ. Wolf.

Ἀπόφλημα] F. ὄφλημα. Idem.

Ἡγέμονα] F. Ἡγήμονα. Idem.

Καὶ τὸν ἀγῶνα ἀποδόμενος] Causa vendita, sive prævaricatus. Sed ea, quæ sequuntur, repugnant. Videntur aut hæc verba omitti posse, et legi: γραψάμενος, καὶ τὸ πέμπτον μέρος: aut γραψάμενος, καὶ τὸν ἀγῶνα ὑποδυσάμενος. Sicut dicimus, ὑποδύεσθαι κίνδυνον ἢ πόνον. Quam ego lectionem in vertendo sum secutus. [Et alibi] τὸν ἀγῶνα ἀποδόμενος. Dubito de lectione. Sententia postulare videtur, *cum causam in judicium deduxisset.* Idem. Non video, quomodo *istam lectionem in vertendo sis secutus.* Veruntamen ait Orator §. ί. fin. τὴν καθ' Ἡγήμονος εἰσαγγελίαν μέμνησαι, ὡς ἀπέδοτο: in eo loco, ubi agit de Sycophanta, omnes lites suas et actiones cauponante. Ut nulla dubitatio esse possit de lectione. Interea tamen cum Wolfio miror, quo pacto hæc constare possunt cum iis, quæ sequuntur. Deleto itaque τὸ πέμπτον μέρος μὴ λαβὼν τῶν ψήφων, quæ verba adscripsit aliquis ad oram libri sui, ignarus sc. æque mille drachmis mulctari eum, qui publicam litem transegisset, ac eum, qui causa in judicium adducta, quintam partem suffragiorum non tulerit. Vide argumentum Orationis c. Theocrin. pag. 1321. et orationem ipsam, non longe a principio, p. 1323. 19. ed. Reisk. ἐὰν ἐπεξιών τις μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, χιλίας ἀποτίνειν· κἂν μὴ ἐπεξίῃ, χιλίας ἑτέρας, ἵνα μήτε συκοφαντῇ μηδεὶς, cætera. Hujusmodi homines in jure Romano compescuit SCtum Turpillianum. Taylor. Wolfius: *cum causam in judicium adduxisset.* Immo: *cum pecunia accepta causam prodidisset.* Ita §. ί. fin. τὴν καθ' Ἡγήμονος εἰσαγγελίαν μέμνησαι, ὡς ἀπέδοτο. Ubi, ut etiam hoc in loco, non animum advertisse videtur Wolfius, homo bonus et probus, prodi posse causam, non solum accusationem non prosequendo, sed etiam male accusando. Jurin.

Τάξιν] Dixi ad Timocrateam p. 715. 2. ed. R. quæ Tu consules ibi. Infra in Oratione c. Theocrin. pag. 1327. 5. ed. R. κατετάξατο ὑπὲρ αὐτοῦ καὶ τοῦ ἀδελφοῦ. Quod de eadem re dicitur. Taylor.

Τὸ ἐπιβάλλον μέρος] *Ratam portionem.* Uniuscujusque anni τὸ ἐπιβάλλον μέρος erat Talentum unum cum drachmis ducentis. Ea phrasis explicabit istam D. Lucæ, XV. 12. Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Adde Demosth. π. στεφ. §. ος'. Wolfium nostrum ad Isocratem pag. 75. notarum, I. Christoph. Wolfium in Curis Philolog. ad N.

σίας. τὸ δὲ λοιπὸν [1] ὀφείλεται τάλαντα ἑκτὼ, καὶ δραχμαὶ χίλιαι καὶ ἑξακόσιαι. δοκῶν οὖν ἔχειν ὁ Ἀριστογείτων τοῦ λέγειν ἐξουσίαν, καὶ μηκέτι ὀφείλειν, ἐπειδὴ [2] χρήστην ἀντέδωκε τῇ πόλει, καὶ ἐγράφετο πολλοὺς, καὶ ἐδημηγόρει, τῶν νόμων τὸν ὀφείλοντα τῷ δημοσίῳ, μέχρις ἂν ἐκτίσῃ, ποιούντων ἄτιμον. διόπερ αὐτὸν οἱ περὶ Λυκοῦργον ἐνέδειξαν, ὡς, οὐκ ἐξὸν, λέγοντα. οὐκ ἐξαληλιμμένου τοίνυν ἐξ ἀκροπόλεως Ἀριστογείτονος, ἀλλ' ἔτι τοῦ ὀφειλήματος ἐγγεγραμμένου, [3] χρήστου δὲ καταστάντος τοῦ τὸ χωρίον ἀνησαμένου, ζήτημα συνίσταται· πότερον ὁ περιάμενος τὸ χωρίον ὀφείλει μόνον, ἢ καὶ ὁ πρῶτος ὅφλων, ἄχρις ἂν ἐκτισθῇ τὸ [4] χρέος; περὶ μὲν δὴ τὰ δύο ὀφλήματα τοῦτο συνίσταται τὸ ζήτημα. φασὶ δὲ αὐτὸν οἱ κατήγοροι, καὶ τρίτον ὀφείλειν ὄφλημα τῷ δημοσίῳ. πρὸς τοῦτο Ἀριστογείτων ἀνθιστάμενος φησὶν ἀδίκως ἐγγεγράφθαι, καὶ διὰ τοῦτο δίκην λαχεῖν Ἀρίστωνι τῷ ἐγγράψαντι. Δημοσθένης δὲ καὶ Λυκοῦργος περὶ μὲν τοῦ δικαίαν ἢ μὴ γεγενῆσθαι τὴν ἐγγραφὴν, οὐδὲν λέγουσι, φασὶ δὲ, ὅταν ἕλῃ τὸν Ἀρίστωνα, τότε Ἀριστογείτων μὲν ἐξαλειφθήσεται, ἐκεῖνος δὲ ἐγγραφήσεται κατὰ τὸν νόμον· πρὶν δὲ κριθῆναι τὸ πρᾶγμα, οὐ προσήκει λέγειν τὸν τάχα δικαίως ἐγγεγραμμένον, καὶ ψευδῶς ἐγκαλοῦντα Ἀρίστωνι. ταῦτα μὲν δὴ τὰ ζητήματα τῆς ὑποθέσεως. ἐνηγώνισται δ' αὐτοῖς ὁ Λυκοῦργος ἅτε πρότερος λέγων. τῷ Δημοσθένει δὲ περὶ μὲν τούτων βραχὺς πάνυ λόγος γέγονεν, ὡς προειλημμένων· ὁ δὲ ὅλος αὐτῷ λόγος τοῦ Ἀριστογείτονος βίου κατηγορίαν περιέχει.

769

Διονύσιος δὲ [5] ὁ Ἁλικαρνασσεὺς οὐ δέχεται τούτους τοὺς λόγους Δημοσθένους εἶναι, ἐκ τῆς ἰδέας τεκμαιρόμενος. οἱ δὲ φασὶν ἐπίτηδες τὸν ῥήτορα τοιούτῳ χαρακτῆρι κεχρῆσθαι, ζηλώσαντα Λυκοῦργον, εὐδοκιμοῦντα παρὰ τοῖς Ἀθηναίοις· οἱ δὲ, ἐπειδὴ τὸν κατὰ τῆς ἡλικίας χρόνον εἰς τὴν πρωτολογίαν ἔλαβε Λυκοῦργος, καὶ πᾶσι τοῖς κεφαλαίοις αὐτὸς ἐχρήσατο, ὁ Δημοσθένης ἠναγκάσθη λοιπὸν φιλοσοφώτερον μετελθεῖν καὶ περιοδικῶς. ἄλλοι δὲ, τὸν μὲν πρότερον δέχονται Δημοσθένους εἶναι, τὸν δὲ δεύτερον οὐδαμῶς, οὐδὲν ἄξιον ἔχοντα τοῦ ῥήτορος.

770

[1] ὀφείλεται. [2] χρηστὴν [3] χρηστοῦ [4] χρέος. [5] ἁλικαρνασεὺς

T. ad Lucæ locum. IDEM.

Ἐπειδὴ τὸν κατὰ τῆς] Legendum videtur: ἐπειδὴ κατὰ τὸν τῆς ἡλικίας χρόνον τὴν πρωτολογίαν ἔλαβε Λυκοῦργος. JURIN.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ

ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

---

770 ά. ΠΑΛΑΙ καθήμενος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατηγοροῦντος ἀκούων, ὥσπερ ὑμεῖς, Λυκούργου, τὰ μὲν ἄλλα καλῶς αὐτὸν ἡγούμην λέγειν, ἓν δὲ τεθαύμακα, ὁρῶν ὑπερδιατεινόμενον, εἰ ἀγνοεῖ τοῦθ', ὅτι οὔτε παρὰ τοὺς ὑφ' ἑαυτοῦ λόγους εἰρημένους, οὔτε παρὰ τοὺς ὑπ' ἐμοῦ μέλλοντας ῥηθήσεσθαι, τὰ τουτουὶ τοῦ ἀγῶνος δίκαιά ἐστιν ἰσχυρά· ἀλλ' ὡς ἂν ἕκαστος ὑμῶν [1]ἔχῃ ἢ πρὸς τὸ δυσχεραίνειν, ἢ προσίεσθαι πονηρίαν. καὶ ἔγωγε ὑπολαμβάνω τὴν μὲν κατηγορίαν, καὶ τὸ τῶν λόγων πλῆθος, ἕθους ἕνεκα καὶ τῆς ὑμετέρας ἀκροάσεως δεῖν ποιήσασθαι, κεκρίσθαι δὲ τοῦτο τὸ πρᾶγμα [2]πάλαι ἐπὶ τῆς ἑκάστου φύσεως οἴκοθεν· καὶ νῦν εἰ μέν εἰσιν ὑμῶν οἱ πλείους, οἷοι τοὺς πονηροὺς φιλεῖν καὶ σώζειν, μάτην ἐρραψῳδηκότας ἡμᾶς ἔσεσθαι, εἰ δ' οἷοι μισεῖν, δίκην, ἂν θεὸς θέλῃ, τουτονὶ δώσειν.

β'. Πολλῶν δὲ λόγων εἰρημένων, καὶ πάντων καλῶς, οὐκ ὀκνήσω πρὸς ὑμᾶς εἰπεῖν, ἃ γ' ἐμοὶ φαίνεται. ἐμοὶ γὰρ οὐδ' ὁτιοῦν ἐοικέναι δοκεῖ τοῖς ἄλλοις ὁ παρὼν ἀγών. σκοπεῖτε δ' οὕτωσί. πρὸς ἅπαντ' ἔρχονται τὰ δικαστήρια, οἱ
771 μὲν δικασταὶ, παρὰ τοῦ κατηγόρου καὶ τοῦ φεύγοντος τὸ πρᾶγμα μαθησόμενοι, περὶ οὗ δεήσει τὴν ψῆφον ἐνεγκεῖν αὐτούς· οἱ δ' ἀντίδικοι, μεθ' ἑαυτοῦ δείξων ἑκάτερος ὄντα τὰ τῶν νόμων δίκαια [3]ἰσχυρά. τὰ δὲ τούτου τοῦ ἀγῶνος

[1] ἔχοι πρὸς τὸ ἢ δυσχ. [2] πάλαι τὸ πρᾶγμα [3] [ἰσχυρά.] τὰ δὲ τουτουὶ

ΛΟΓΟΣ] Ex hac oratione, et Libanii argumento intelligere licet, Græcis ἐξ ἀκροπόλεως ἐξαλελιμμένους, id est, *ex arce expunctos* dici, quos Latini *ex ærariis exemptos* vocabant, quemadmodum et hi *in ærarios relatos* vocant, quos illi ἐγγεγραμμένους ἐν ἀκροπόλει, καὶ ὀφλοῦντας, καὶ καταδίκους, καὶ ἐζημιωμένους. de quibus vide lectu digna non pauca in Annotat. priorib. in Pandect. de Censorib. *Ex edit.* HERVAG.

ά. Παρὰ] Διὰ ἢ κατὰ Bodl. Inscite. TAYLOR.

Τὰ τῶν νόμων δίκαια ἰσχυρὰ] Vox illa

πῶς ἔχει; οἱ μὲν δικάζοντες ὑμεῖς ἥκετε μᾶλλον ἡμῶν τῶν κατηγόρων εἰδότες, καὶ ὀφείλοντα τῷ δημοσίῳ τοῦτον, καὶ [1]γεγραμμένον ἐν ἀκροπόλει, [2]καὶ οὐκ ἐξὸν αὐτῷ λέγειν· ὥσθ' ἕκαστον ὑμῶν κατηγόρου τάξιν ἔχειν, καὶ τὰ δίκαια εἰδέναι, [3]καὶ μὴ μαθεῖν δεῖσθαι· ὁ δὲ κρινόμενος τῶν μὲν εἰς σωτηρίαν αὐτῷ [4]φερόντων οὐδ' ὁτιοῦν πάρεστιν ἔχων, οὐχὶ τοὺς ὑπὲρ αὐτοῦ τοῦ πράγματος λόγους δικαίους, οὐ τὸν ἑαυτοῦ βίον ἀνθρώπινον, οὐκ ἄλλο οὐδ' ὁτιοῦν [5]ἀγαθὸν, δι' ἃ δ' ἂν καὶ μηδ' ὁτιοῦν ἀδικῶν τις ἔδεισε, διὰ ταῦθ' οὗτος οἴεται σωθήσεσθαι. ἐν γὰρ τῇ τῆς πονηρίας ὑπερβολῇ τὴν ἐλπίδα τῆς σωτηρίας ἔχει. οὕτω δὲ τούτων ἐχόντων, δοκεῖ μοί τις οὐκ ἂν ἁμαρτεῖν, εἰπὼν, ὅτι νυνὶ κρίνεται μὲν Ἀριστογείτων, δοκιμάζεσθε δὲ καὶ κινδυνεύετε ὑμεῖς περὶ δόξης. εἰ μὲν γὰρ ὀφθήσεσθε ἐπὶ τοῖς οὕτω φανεροῖς καὶ μεγάλοις ἀδικήμασιν ὀργιζόμενοι καὶ τιμωρούμενοι, δόξετε, τοῦθ' ὅπερ ἐστὲ, δικασταὶ καὶ φύλακες τῶν νόμων εἰσεληλυθέναι· εἰ δ' ἕτερόν τι τούτων περιέ-

[1] ἐγγεγραμμένον [2] [καὶ] [3] καὶ τὸ πρᾶγμα, οὐδὲν ἧττον ἐμοῦ, καὶ μὴ μαθεῖν δ. [4] φερόντων, ἀλλ' οὐδ' [5] ἀγαθόν.

suprema impune abesse potest, et abest quidem a Barocciano. *Prodeunt adversarii, uterque palam facturus, causæ æquitatem*, τὰ δίκαια, *ab eo stare*. Juxta mecum interpretatur Phil. Melanchtho: sc. *eorum, qui litigant, uterque adest, ut sua justa exponat*. Scriba nimirum deesse aliquid suspicabatur propter ea, quæ in initio Orationis leguntur; et securus itaque supplevit. Infra §. ιέ. οὕτως ἐξετάσαι τοῦτον, καὶ τὰ τουτουὶ τοῦ ἀγῶνος δίκαια. Et §. δ'. Τὰ μὲν οὖν περὶ τῆς ἐνδείξεως καὶ τῶν νόμων δίκαια αὐτὸν, ὅπερ πεποίηκε, Λυκοῦργον αἰρεῖν ἠγούμην. Theophrast. de Querulo: δίκην νικήσας καὶ λαβὼν πάσας τὰς ψήφους, ἐγκαλεῖν τῷ γράψαντι τὸν λόγον, ὡς πολλὰ παραλελοιπότι τῶν δικαίων. C. 17. Vide Casaub. ad locum, ubi notat, Terentium et Ciceronem ad verbum *justa* interpretari. it. de Coron. §. γ'. fin. §. ιέ. Idem. ἰσχυρὰ del. vid. Auger.

Γεγραμμένον] Malim ἐγγεγραμμένον, ut est in Bodl. et optimo Augustano. Ita Libanius in argumento, p. 350. v. 5. οὐκ ἐξαληλιμμένου ἐξ ἀκροπόλεως Ἀριστογείτονος, ἀλλ' ἔτι τοῦ ὀφειλήματος ἐγγεγραμμένου. et ibid. v. 13. οὐ προσήκει λέγειν τὸν πάλαι δικαίως ἐγγεγραμμένον. Et §. ιέ. οἱ νόμοι, καθ' οὓς ἐγγράφονται πάντες οἱ ἐφηλικιώτοντες. et proxime ibid. οἱ διὰ γραφὴν ἐγγεγραμμένοι μόνον. Vide autem porro Vales. ad Harpocr. v. Βουλεύσεως, et notata a me ad Æsch. c. Timarch. p. 23. v. 6. Taylor. Imo ἐγγεγραμμένον. Auger.

Καὶ τὰ δίκαια εἰδέναι] Præfero καὶ τὸ πρᾶγμα εἰδέναι cum Lindenb. vel, uti adhuc plenius Ven. Aug. Ital. MSti Aldini et Regg. Parisienses, ὥσθ' ἕκαστον ὑμῶν κατηγόρου τάξιν ἔχειν, καὶ τὸ πρᾶγμα εἰδέναι οὐδὲν ἧττον ἡμῶν, καὶ μὴ μαθεῖν δεῖσθαι. Taylor. Hic lego ex libris: ἔχειν, καὶ τὸ πρᾶγμα εἰδέναι οὐδὲν ἧττον ἡμῶν, καὶ μὴ μ. δ. Auger.

Οὐδ' ὁτιοῦν] Nihil est, quod addatur ἀλλ' οὐδοτιοῦν, cum sequatur v. 8. οὐκ ἄλλο οὐδοτιοῦν. Wolf. Qui addunt, sunt MSti Ven. Bar. Bodl. Lind. Obsop. Aug. Ital. Taylor.

Ἀδικῶν] *Quæ etiam* insonti *terrorem incuterent*. Wolf. ἀδικία est ea species *pravitatis*, qua quis latas leges violat. Τὸ ἀδικεῖν, ut ait Aristot. Rhet. IV. ἐστ τὸ βλάπτειν ἑκόντα παρὰ τὸν νόμον. Similiter et Paraphrastes Nicomacheorum V. 1. Λέγεται ἄδικος, ὅ τε παράνομος, καὶ ὁ πλεονέκτης, καὶ ὁ ἄνισος — Καὶ δίκαιον μὲν τὸ νόμιμον καὶ τὸ ἴσον, ἄδικον δὲ, τὸ παράνομον καὶ τὸ ἄνισον. Ait ergo: *Aristogiton ita privatam vitam instituit, ut etiam merito sibi metueret, si leges civitatis non fuisset*

σται, ὃ μηδεὶς [1] μὲν αὐτὸς πεποιηκέναι φήσειεν, ἐν δὲ ταῖς ψήφοις εὑρεθήσεται, δέδοικα μὴ δόξητέ τισι τὸν ἀεὶ βουλόμενον εἶναι πονηρὸν τῶν ἐν τῇ πόλει παιδοτριβεῖν. ἀσθενὴς μὲν [2] γάρ ἐστι πᾶς ὁ πονηρὸς καθ' ἑαυτόν· ᾧ δ' ἂν ὑμεῖς πρόσθησθε, οὗτος ἰσχυρὸς γίγνεται. ἔστι δὲ τοῦτο τῷ μὲν
772 λαβόντι παρ' ὑμῶν, ἐργασία καὶ δυναστεία, ὑμῖν δὲ τοῖς [3] διδοῦσιν, ὄνειδος.

γ'. Βουλοίμην δ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸ τοῦ περὶ τῶν ἰδίων ἐμὲ τῶν τούτου λέγειν, σπουδάσαντας ὑμᾶς ἐξετάσαι διὰ βραχέων, εἰς ὅσην αἰσχύνην καὶ ἀδοξίαν προῆχε τὴν πόλιν δημοσίᾳ πάντα τὰ τοιαῦτα θηρία, ὧν μέσος, καὶ τελευταῖος, καὶ πρῶτός ἐστιν οὗτος. [4] ὧν τὰ μὲν ἄλλα ἐάσω· ἀλλ' εἰς τὰς ἐκκλησίας ἀναβαίνουσιν, ἐν αἷς ὑμεῖς γνώμης ἀπόδειξιν, οὐ πονηρίας, τοῖς λέγουσι προτίθετε, τόλμαν, καὶ κραυγήν, καὶ ψευδεῖς αἰτίας, καὶ [5] συκοφαντίαν, καὶ ἀναισχυντίαν, καὶ πάντα τὰ τοιαῦτα συνεσκευασμένοι. ὧν οὐκ ἂν εὕροι τις ἐναντιώτερα τῷ βουλεύεσθαι· νομίζω [6] δ' οὐδ' ἂν αἰσχίω. καὶ τούτοις τοῖς αἰσχροῖς, πάντων τῶν καλῶν τῶν τῆς πόλεως περίεισι, τῶν νόμων, τῶν προέδρων, τοῦ προγράμματος, τῆς εὐκοσμίας. εἰ μὲν οὖν ὑμεῖς ταῦτα βούλεσθε, καὶ μετὰ τῆς ὑμετέρας γνώμης οὗτοι ταῦτα ποιοῦσιν, ὁδῷ βαδίζειν [7] καὶ ἐᾶν δεῖ· εἰ δ' ἐπανορθώσασθαι ταῦτ' ἔτι καὶ νῦν οἴεσθε χρῆναι, καὶ τὰ [8] προειρημένα πόρρω καὶ πολὺν ἤδη χρόνον

[1] μὲν ἂν αὐτὸς [2] γὰρ πᾶς ἐστὶν [3] δοῦσιν [4] καὶ [5] συκοφαντίας [6] δὲ μὰ τοὺς θεοὺς οὐδ' [7] [καὶ] [8] προειμένα

transgressus. TAYLOR.

Φήσειεν] Rectius omnino φήσει. Error natus est ex voce sequenti. Non tamen dissimulabo, Codd. Bar. Lind. Aug. Ital. legere ὃ μηδεὶς μὲν ἂν αὐτὸς πεποιηκέναι φήσειεν. Id quod cum mea correctione constare non posse arbitror. IDEM.

Δοκοῦσιν] [uti Ald. Man. Felic.] Hic manifestum est, legendum esse τοῖς διδοῦσιν, ex antithesi, cum antecedat, v. 5. τῷ λαβόντι, et τὸ τοῖς δοκοῦσι prorsus sit alienum, nisi quis auguretur, id ἀντὶ τοῦ τοῖς δόξαν ἔχουσιν accipiendum. WOLF. δοῦσιν Ven. Bar. Bodl. Aug. cum Edit. Benenati. TAYLOR.

γ'. Προεῖχε] Lego προῆχε, παρὰ τὸ προάγω, ἀλλὰ μὴ τὸ προέχω. WOLF. προεῖχε Editt. Ald. Man. Felic. προῆγε Ven. Bodl. cum Edit. Paris. προῆχε Bar. Aug. uti Wolfius restituit. προῆκε marg. Par. non insulse. TAYLOR. Vid. D'Orville ad Charit. Aphrod. Lib. V. cap. VIII. p. 481.

Γνώμης ἀπόδειξιν, οὐ πονηρίας] Isocrates captata παρονομασίᾳ fortasse dixisset, οὐ πονηρίας ἐπίδειξιν. WOLF.

Καὶ κραυγὴν] Conjunctio hæc si abesset, minus turbarentur imperiti. Qui ne τόλμαν καὶ κραυγὴν conjungerent, ego τὸ, ἐν αἷς ὑμεῖς etc., parenthesi inclusi. IDEM.

Προγράμματος] Ἐν ᾧ προὐτίθετο, περὶ τίνων συνῆλθον. Vide Annotationes in Areopagiticum Isocratis. IDEM.

Καὶ ἐᾶν] Καὶ del. arbitror et sub. τὰ πράγματα. AUGER.

Προειρημένα] Προειμένα Bar. Bodl.

αἰσχρῶς καὶ κακῶς ὑπὸ τούτων διακείμενα βελτίω ποιῆσαι, πάντα τὰ τοιαῦτα ἔθη [1] παριδόντας τήμερον ὀρθῶς δεῖ δικάσαι, τὴν τὰ δίκαια ἀγαπῶσαν Εὐνομίαν περὶ πλείστου ποιησαμένους, ἣ πάσας καὶ πόλεις καὶ χώρας σώζει, καὶ τὴν ἀπαραίτητον καὶ σεμνὴν Δίκην, ἣν ὁ τὰς ἁγιωτάτας ἡμῖν τελετὰς καταδείξας Ὀρφεὺς παρὰ τὸν τοῦ Διὸς θρόνον φησὶ καθημένην, πάντα τὰ τῶν ἀνθρώπων ἐφορᾶν. ἣν εἰς ἑαυτὸν ἕκαστον [2] νομίσαντα βλέπειν, οὕτω ψηφίζεσθαι, φυλαττόμενον καὶ προορώμενον μὴ καταισχύναι ταύ- 773

[1] παριδόντας ὑμᾶς τήμ. ὀρ. [δεῖ]

[2] νομίσαντα ἂν βλ., οὕτω δὴ * δεῖ ψηφίζεσθαι

Modo v. 2. pro παριδόντας Lambinus mavult παραλιπόντας. Ante τήμερον statim ὑμᾶς substituunt Ven. Bar. Lind. Aug. Hal. TAYLOR.

Πάντα τὰ τοιαῦτα ἔθη παριδόντας τήμερον ὀρθῶς δεῖ δικάσαι] *Vos igitur hujusmodi instituta transmittentes recte atque ordine judicare par est, Eunomiam illam juris amantissimam, urbium regnorumque columen in primis colentes. Simul inexorabilem illam, augustamque Dicen, quam Orpheus ipse qui sacratissimarum nobis ceremoniarum auctor fuit, assessitantem Jovis solio, humanos omnes actus perlustrare oculis ait. Hanc quasi vos omnes (sese quisque) intueri putantes, sic oportet censere judiciis, idque etiam etiamque videre, ne quid eidem pudendum admittatis, cujus gentilis est unusquisque vestrum, judicandi locum quocunque tempore sortitus, si modo justi et honesti, utilitatisque politicæ rationem usquequaque habuerit.* Eleganter duas judiciorum præsides facit, Dicen et Eunomiam. De Dice vero dea, quæ Latinis justitia est, Hesiodus in Ergis:

Ἡ δέ τε, inquit, παρθένος ἐστὶ Δίκη, Διὸς ἐκγεγαυῖα
Κυδνή τ' αἰδοίη τε θεοῖς οἳ Ὄλυμπον ἔχουσι.
κ. τ. λ.

Ejus vero imaginem ex Chrysippi Stoici libris Aul. Gel. transcripsit libro decimotertio: et Homerus Iliad. 16. hujus deæ vim esse ingentem ait, cujus etiam indignationem in judiciis spretæ, magnis terrarum cladibus expiari solere. dicitur eadem etiam δικαιοσύνη. Cæterum Demosthenes hic judices *juris et justitiæ gentiles*, id est, *cognomines* propterea appellat, quod a Dice Dicastæ, ut a jure Judices dicuntur. Est autem Eunomia, sive εὐνομία, *recta juris legumque constitutio.* Unde εὔνομοι populi dicuntur, *qui recta legum institutorumque ratione utuntur.* cui opposita est Dysnomia, *perversa juris legumque constitutio*, quam Hesiodus Atæ, id est, offensionis et noxæ contubernalem appellat, δυσνομίην ἄτην τε συνήθεας ἀλλήλησιν. Bud. in Annotationibus prior. in Pandect. de justitia. *Ex edit.* HERVAG.

Πάντα τὰ τοιαῦτα ἔθη παριδόντας] Quem usum habeant ista verba hoc loco posita, videant eruditi. Mihi videntur turbare et infringere Orationem, cum non id agatur, ut *negligantur* pravæ et turpes hujusmodi consuetudines, sed ut corrigantur et penitus tollantur e Rep. Quod si ea in præcedentem periodi partem v. 21. p. p. transferas, unde puto huc irrepsisse, et hic et illic longe commodiorem et dignam Demosthene lectionem habebis in hunc modum: Εἰ μὲν οὖν ὑμεῖς ταῦτα βούλεσθε, καὶ μετὰ τῆς ὑμετέρας γνώμης οὗτοι ταῦτα ποιοῦσι πάντα τὰ τοιαῦτα ἔθη παριδόντας, ὁδῷ βαδίζειν καὶ ἐᾶν δεῖ· εἰ δὲ — βελτίω ποιῆσαι, τήμερον ὀρθῶς δεῖ δικάσαι κ. τ. λ. JURIN.

Ὀρφεὺς — φησὶ] Leguntur hodie in Orphei hymnis:

Ὄμμα Δίκης μέλπω παλιδερκέος, ἀγλαομόρφου,
Ἣ καὶ Ζηνὸς ἄνακτος ἐπὶ θρόνον ἱερὸν ἵζει,
Οὐρανόθεν καθορῶσα βίον θνητῶν πολυφύλων.
TAYLOR.

Οὕτω ψηφίζεσθαι] Lego οὕτω δεῖ ψηφίζεσθαι. WOLF. Omnino aliquid hujusmodi desiderari quis non videt? Et sane auctoritatem suam addunt Budæus, et maxime Cod. Augustanus. Quod tamen suspicor fuisse scriptum δή. οὕτω δὴ ψηφίζεσθαι, ut sine litura Codd. Ven. et Regg. Parisienses. Nam mihi semper alia medicina adhibenda esse videbatur. Verbum illud quærendum est ex v. 2. ἀπὸ τοῦ κοινοῦ, hoc pacto demum: ὀρθῶς δεῖ δικάσαι, τὴν — Εὐνομίαν περὶ πλείστου ποιησαμένους, — καὶ τὴν — Δίκην — εἰς ἑαυτὸν

τὴν, ἧς ἐπώνυμός ἐστιν ὑμῶν ἕκαστος ὁ ἀεὶ δικάζειν λαχὼν, [1] καὶ τὰ πάντων τῶν ἐν [2] ταύτῃ τῇ πόλει καλὰ καὶ δίκαια καὶ συμφέροντα [3] φυλάττειν, καὶ ταύτην τὴν ἡμέραν παρακαταθήκην ἔνορκον εἰληφὼς παρὰ τῶν νόμων, καὶ τῆς πολιτείας, καὶ τῆς πατρίδος. ὡς εἰ μὴ τοῦτον ἕξετε τὸν τρόπον, ἀλλ' ἀπὸ τῆς συνήθους εὐηθείας εἰσεληλυθότες καθεδεῖσθε, φοβοῦμαι μὴ τὸ πρᾶγμα εἰς τοὐναντίον περιστῇ, καὶ δοκοῦντες ἡμεῖς Ἀριστογείτονος κατηγορεῖν, ὑμῶν κατηγοροῦντες φανῶμεν. ὅσῳ γὰρ ἂν μᾶλλον ἡμῶν δείξάντων τὴν τούτου πονηρίαν, [4] μηδὲν ὑμεῖς φροντίσητε, τοσούτῳ μείζων ἡ καθ' ὑμῶν αἰσχύνη [5] γενήσεται.

δ'. Καὶ περὶ μὲν τούτων ἱκανά. πάνυ δ', ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ πάσης οἰκειότητος ἐρῶ τἀληθῆ πρὸς ὑμᾶς. ἐγὼ γὰρ ἐν ταῖς ἐκκλησίαις ὁρῶν ὑμᾶς κατατάττοντάς με, καὶ προχειριζομένους ἐπὶ τὴν τούτου κατηγορίαν, ἠχθόμην, καὶ, μὰ τὸν Δία καὶ πάντας τοὺς θεοὺς, οὐκ [6] ἐβουλόμην. οὐ γὰρ ἠγνόουν, [7] ὅτι ὁ ποιήσας τι τοιοῦτον παρ' [8] ὑμῖν, καὶ παθὼν ἀπέρχεται, εἰ δὲ μὴ τηλικοῦτον, ὥστε εὐθὺς

[1] Deest καί. [2] [ταύτῃ] [3] ⁂ οὐ φυλάττων, ταύτην [4] μηδὲν μᾶλλον ὑμεῖς [5] γίγνεται [6] ἠβουλόμην [7] ὅ,τι [8] ἡμῖν

ἕκαστον νομίσαντα βλέπειν, οὕτω (vel οὕτω δὴ) ψηφίζεσθαι. *Recte dijudicare* oportet, *Eunomiam maximi facientes, et existimantes Justitiam in unumquemque vestrum oculos defigere, ita demum pronunciare.* Post vocem ἐφορᾶν v. antepen. culpa librarii, enatum est ἦν, quod has turbas dedit. TAYLOR.

Φυλάττων ταύτην] [Ita enim constanter edi solebat, et in MSS. plurimis reperitur] Obsop. φυλάττειν δὲ ταύτην. Sed durum est λαχὼν δικάζειν φυλάττειν. Fortasse legendum v. 2. τά τε συμπάντων, ut sit λαχὼν δικάζειν, καὶ φυλάττειν. WOLF. Vides, hic Wolfium trepide et diffidenter loqui, in Textu vero contra Codd. consensum καὶ post λαχὼν inserere, deinde φυλάττων in φυλάττειν convertere, rursusque conjunctionem καὶ ingeminare. Locus sane præfractus, quem ille emendando præfractiorem reddidit. Utinam sane abesset φυλάττων, cum ita tota hæc refingerem, adjuvantibus nonnihil scriptis Codicibus, sc. φυλαττόμενον — μὴ καταισχύναι ταύτην, ἧς ἐπώνυμός ἐστιν ὑμῶν ἕκαστος ὁ ἀεὶ δικάζειν λαχὼν, καὶ πάντα τὰ ἐν τῇ πόλει καλὰ, καὶ δίκαια, καὶ συμφέροντα, ταύτην τὴν ἡμέραν παρακαταθήκην ἔνορκον εἰληφὼς κ. τ. λ. *caventem, ne eam pudefaciat, a qua cognominati estis* (δικασταὶ sc.) *omnes vos, qui id muneris sortiti estis, atque ideirco omnia Reip. jura et commoditates hodierno die tanquam solenne depositum accepistis.* TAYLOR. L. φυλάττων καὶ ταύτην τὴν δὲ ἡμέραν κ. τ. λ. ita ut ταύτην non referatur ad ἡμέραν sed ad παρακαταθήκην. AUGER.

Ἀπὸ τῆς συνήθους εὐηθείας] Κατὰ τὴν συνήθη εὐήθειαν. WOLF.

Γίγνεται] Obsop. melius et sonantius γενήσεται. IDEM. γενήσεται item Bodl. Editt. etiam Manut. et Felic. φανήσεται Codd. Lindenb. et Ital. γίγνεται habuerunt Editi ab Aldo et Morelio cum scriptis Ven. et Bar. TAYLOR.

δ'. Οἰκειότητος] Nec satis placet, nec occurrit quicquam melius. μετὰ παῤῥησίας, aut μεθ' ὁσιότητος huic loco alienum est. WOLF. οἰκειότητος hic pro παῤῥησίας. AUGER.

Προχειριζομένους] Προβαλλομένους Ven. marg. Morel. haud male. Licet scholion tantummodo esse potuit. Proxime, utra utra istarum lectionum valere judicabitur, ἐπὶ revocavi ex Editt. Ald. Paris. MSS. Ven. Bar. TAYLOR.

αἰσθέσθαι, ἀλλ' ἐὰν πολλὰ τοιαῦτα ποιῇ, καὶ μὴ [1] παύσηται, ταχὺ γνωσθήσεται. ὅμως δὲ ἀναγκαῖον ἡγούμην εἶναι πείθεσθαι τοῖς ὑμετέροις βουλήμασι. τὰ μὲν οὖν περὶ τῆς ἐνδείξεως καὶ τῶν νόμων δίκαια, αὐτὸν, ὅπερ πεποίηκε, Λυκοῦργον [2] αἱρεῖν ἡγούμην, καὶ τοὺς μάρτυρας τῆς πονηρίας τῆς τούτου τοῦτον ἑώρων [3] προκαλούμενον· ἃ δὲ καὶ λογίζεσθαι [4] τοὺς ὑπὲρ πόλεως καὶ νόμων βουλευομένους προσήκει, καὶ σκοπεῖσθαι [5] δεῖ, ταῦτα προηρούμην εἰπεῖν, καὶ 774
νῦν ἐπὶ ταῦτα πορεύσομαι. δότε δ', ὦ ἄνδρες Ἀθηναῖοι, [6] καὶ συγχωρήσατέ μοι, πρὸς Διὸς, ὡς πέφυκα, καὶ προήρημαι, περὶ τούτων διαλεχθῆναι πρὸς ὑμᾶς. καὶ γὰρ οὐδ' ἂν ἄλλως δυναίμην.

ε. Ἅπας ὁ τῶν ἀνθρώπων βίος, ὦ ἄνδρες Ἀθηναῖοι, κἂν μεγάλην πόλιν οἰκῶσι, κἂν μικρὰν, φύσει καὶ νόμοις διοικεῖται. τούτων δ' ἡ μὲν φύσις ἐστὶν ἄτακτον καὶ ἀνώμαλον, καὶ κατ' ἄνδρα [7] ἕκαστον ἴδιον τοῦ ἔχοντος, οἱ δὲ νόμοι, κοινὸν καὶ τεταγμένον, [8] ταὐτὸ πᾶσιν. ἡ μὲν οὖν φύσις, ἂν ᾖ πονηρὰ, πολλάκις φαῦλα βουλεύεται· διόπερ τοὺς τοιούτους ῥᾳδίως ἐξαμαρτάνοντας εὑρήσετε· οἱ δὲ νόμοι τὸ δίκαιον, καὶ τὸ καλὸν, καὶ τὸ συμφέρον βούλονται, καὶ τοῦτο ζητοῦσι, καὶ, ἐπειδὰν εὑρεθῇ, κοινὸν τοῦτο πρόσταγμα ἀπεδείχθη πᾶσιν ἴσον καὶ ὅμοιον. καὶ τοῦτ' ἔστι νόμος, ᾧ πάντας προσήκει πείθεσθαι, διὰ πολλὰ, καὶ

[1] παύεται, ταχὺ γνώσεται
[2] ἐρεῖν
[3] * προσκαλούμενον
[4] τοῖς ὑ. π. κ. ν. βουλευομένοις
[5] * ἀεὶ
[6] δότε καὶ
[7] [ἕκαστον]
[8] καὶ ταὐτὸ

Καὶ τῶν νόμων] L. καὶ τὰ τῶν νόμων. Deinde ἐρεῖν, et paulo inferius προσκαλούμενον. AUGER.

Αἱρεῖν] Lycurgum esse *evicturum*. Ferri potest: sed non dubito, quin legendum sit ἐρεῖν, *expositurum*. WOLF. Ita quoque Bodl. et Aug. Interea tamen, quid illud *evicturum?* Deduco ego ab αἱρέω, *electurum*. *Existimavi, Lycurgum, qui priore loco dixit, eam partem Accusationis prælaturum fuisse, quam prætulisse video.* Et hoc fortasse ferri non solum *potest*, sed etiam *debet*. Ita paulo post, v. 8. ταῦτα προηρούμην εἰπεῖν. TAYLOR. "Sed αἱρεῖν sincerum est. αἱρεῖν δίκην obvium. nollem nuper acceptum pro *eligere*." D'Orville ad Charit. Aphrod. Lib. VII. cap. VI. p. 646. V.

Νῦν ἐπὶ ταῦτα πορεύσομαι] Tropus familiaris, inquit D'Orvillius, et nihil aliud quam Ciceroniana locutio *ingredi ad rationem explicandam*. Fam. 11. 3. et alias.

ε. Κοινὸν καὶ τεταγμένον] Rectius Felicianus, κοινὸν καὶ τεταγμένον, καὶ ταὐτὸ πᾶσι. Nam conjunctio addenda videtur etiam ante ταὐτό. WOLF. Præter Felicianum Manutius quoque, Lind. Aug. Bodl. et Codd. Lutet. Conjunctionem addunt Bar. Aug. et Ven. TAYLOR. Lego et distinguo: καὶ τεταγμένον, καὶ ταὐτὸ πᾶσιν. AUGER.

Βουλεύεται] Βούλεται potius. Ita Cod. Lind. Infra pariter legimus in eadem causa, v. 19. οἱ δὲ νόμοι τὸ δίκαιον — βούλονται. TAYLOR.

Καὶ τοῦτ' ἔστι νόμος ᾧ πάντας προσήκει πείθεσθαι] *Lex est, cui omnes homines obtemperare convenit, cum ob alia multa, tum*

μάλιστα, ὅτι πᾶς ἐστὶ νόμος εὕρημα μὲν καὶ δῶρον θεῶν, δόγμα δὲ ἀνθρώπων φρονίμων, ἐπανόρθωμα δὲ τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων, πόλεως δὲ συνθήκη κοινή, καθ' ἣν πᾶσι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει. ἀλλὰ μὴν ὅτι νῦν Ἀριστογείτων τοῖς μὲν τῆς ἐνδείξεως δικαίοις πᾶσιν ἐάλωκεν, ἕτερος δὲ οὐδείς ἐστιν ἀνεκτὸς αὐτῷ λόγος, περὶ τούτων ῥᾴδιον διδάξαι. δυοῖν γὰρ ὄντοιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν ἕνεκα πάντες τίθενται [1] οἱ νόμοι, τοῦ, τε μηδένα μηδὲν ὃ μὴ δίκαιόν ἐστι ποιεῖν, καὶ τοῦ, τοὺς παραβαινόντας ταῦτα κολαζομένους βελτίους τοὺς ἄλλους ποιεῖν· ἀμφοτέροις τούτοις οὗτος ἔνοχος ὢν φανήσεται. ἐπὶ μὲν γὰρ οἷς ἐξ ἀρχῆς παρέβη τοὺς νόμους, τὰ ὀφλήματ' [2] αὐτῶν
775 γέγονεν, ἐπὶ δ' οἷς οὐκ ἐμμένει τούτοις, νῦν ἐπὶ τὴν παρ' ὑμῶν ἄγεται τιμωρίαν. ὥστε μηδεμίαν καταλείπεσθαι προφασιν, δι' ἣν ἄν τις αὐτὸν ἀφίῃ. οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἄρ' ἐκ τούτων ἡ πόλις οὐδὲν βλάπτεται. ἐγὼ γάρ, ὅτι μὲν πάντα [3] ἀπόλλυται τὰ τῆς πόλεως ὀφλήματα, εἰ τὰ τούτου σοφίσματα προσδέξεσθε, καὶ ὅτι, εἰ ἄρα δεῖ τινὰς ἐκ τῶν ὀφειλόντων [4] ἀφεῖναι, τοὺς

[1] οἱ νόμοι τίθενται [2] αὐτῷ [3] ἀπολεῖται [4] ἀφιέναι

vel eo maxime, quod Lex omnis, inventum quidem ac munus deorum est, decretum vero prudentum hominum, ad hæc flagitiorum consultorum inconsultorumque emendatio, conspirantis denique civitatis conventum, ad cujus præscriptum omnes in civitate agentes vitam instituere par est. Plura de lege ex Aristotele, Cicerone, etc. Bud. in Annotat. prioribus in Pandect. Ad hoc autem, quod dicit ἐπανόρθωμα τῶν ἁμαρτημάτων, alludit Græcum illud elegans distichon in sicarium:

Κἂν με κατακρύπτῃς, ὡς οὐδενὸς ἀνδρὸς ὁρῶντος;
Ὄμμα δίκης καθορᾷ πάντα τὰ γιγνόμενα.

Me sepelis tanquam nemo conspexerit? atqui
Justitiæ ipse oculus omnia facta videt.

Fit hujus loci Demosth. mentio in Digest. L. 11. de Legib. plura Alciat. lib. 2. Prætermissorum. *Ex edit.* Hervag.

Συνθήκη] Libet adscribere Enarratoris Aphthonii verba [pag. 25.] ἢ ὅτι πολλῶν συνελθόντων εἰς ταὐτὸ συνετέθη· ἢ ὅτι, κἂν ὑφ' ἑνὸς, τῇ συνθήκῃ καὶ συμφανίᾳ τῶν ἄλλων κυρεῦται. τῶν δὲ νόμων οἱ μέν εἰσι κοινοὶ, οἱ καθόλου περὶ τῶν τῆς πόλεως, οἱ δὲ ἴδιοι, οἱ περὶ τῶν πρὸς ἀλλήλους συμβολαίων. καὶ οἱ μὲν τῶν ἀγαθῶν ἀμοιβοὶ, οἱ δὲ τῶν ἀδικημάτων τιμωρηταί. Wolf.

Ἐν τῇ πόλει] Articulum debes Codd. Bar. Lind. Ital. cum editione Parisiensi. Taylor.

Ἐπὶ μὲν οἷς — ἐπὶ δ' οἷς] Ἀντὶ τοῦ, διότι. Wolf.

Αὐτῶν] Τὰ ὀφλήματ' αὐτῷ γέγονεν lege, et, [v. 13.] οὐκ ἐμμένει τούτοις, S. τοῖς ὀφλήμασι, μᾶλλον δὲ τοῖς ἐγγωσμένοις. Idem. αὐτῷ similiter habent Ven. Bar. Bodl. Et recte habent. Quod superest, bene a Wolfio explicatur. Ad eamque normam, consentientibus optimis libris, et edi et pungi curavimus. Taylor. Vix dubitandum puto, quin scripserit Demosthenes αὐτῷ γέγονεν. Jurin. Auger.

Ἐγὼ γάρ] Est παράλειψις, longius ducta periodo, propter insertas αἰτιολογίας; ante cujus ἀπόδοσιν verbum ἐάσω ponitur, v. 8. p. 358. ut sit ἐγὼ—ἐάσω. Etsi fortasse principio etiam legi possit: ἐῶ γάρ, ὅτι μὲν πάντα — Wolf.

Ἀπόλλυται] M. ἀπολεῖται. Auger.

ἐπιεικεστάτους, καὶ τοὺς βελτίστους, καὶ τοὺς ἐπὶ τοῖς ἥκιστα δεινοῖς ὠφληκότας, τούτους ἀφιέναι δεῖ, οὐχὶ τὸν πονηρότατον, καὶ πλεῖστα ἡμαρτηκότα, καὶ δικαιότατα ὠφληκότα, καὶ ἐπὶ δεινοτάτοις, — τί γὰρ ἂν γένοιτο συκοφαντίας καὶ παρανομίας δεινότερον, ἐφ' οἷς ἀμφοτέροις οὗτος ὤφληκε; — καὶ ὅτι, οὐδ' εἰ πᾶσι τοῖς ἄλλοις ἀφίετε, οὐχὶ τῷ βιαζομένῳ δήπου συγχωρῆσαι προσήκει, — ὕβρις γὰρ τοῦτό γε —· καὶ πάντα τὰ τοιαῦτα ἐάσω. ἀλλ' ὅτι καὶ πᾶς ὁ τῆς πόλεως, καὶ τῶν νόμων κόσμος, ὦ ἄνδρες Ἀθηναῖοι, συνταράττεται καὶ διαφθείρεται κατὰ τοῦτον, καὶ τοῦτ' οἶμαι σαφῶς ὑμῖν ἐπιδείξειν. λέξω δὲ οὔτε καινὸν, οὔτε περιττὸν οὐδὲν, οὔτ' ἴδιον· ἀλλ' ὃ πάντες ὑμεῖς ἴστε ὁμοίως ἐμοί.

ς'. Εἰ γάρ τις ὑμῶν ἐξετάσαι βούλεται, τί ποτ' ἐστὶ τὸ αἴτιον, καὶ τὸ ποιοῦν τὴν βουλὴν συλλέγεσθαι, τὸν δῆμον εἰς τὴν ἐκκλησίαν ἀναβαίνειν, τὰ δικαστήρια πληροῦσθαι, τὰς ἕνας ἀρχὰς ταῖς νέαις ἐκούσας ὑπεξιέναι, πάντα δι' ὧν ἡ πόλις [1] διοικεῖται καὶ σώζεται, γίγνεσθαι, τοὺς νόμους εὑρήσει, καὶ τὸ τούτοις ἅπαντας πείθεσθαι. ἐπεὶ λυθέντων γε τούτων, καὶ ἑκάστῳ δυθείσης ἐξουσίας ὅ,τι βούλεται ποιεῖν, οὐ μόνον ἡ πολιτεία οἴχεται, ἀλλ' 776
οὐδ' ὁ βίος ἡμῶν τοῦ τῶν θηρίων οὐδὲν ἂν διενέγκοι. τί γὰρ ἂν τοῦτον αὐτὸν οἴεσθε [2] ποιεῖν, λυθέντων τῶν νόμων, ὃς ὄντων κυρίων τοιοῦτός ἐστιν; ἐπειδὴ τοίνυν οἱ νόμοι

[1] οἰκεῖται [2] ποιήσειν

Ἀφίετε] Qui nuperrime dixerat εἰ δεῖ τινὰς ἀφεῖναι, et τούτους ἀφιέναι δεῖ, cum quarto casu, ut mos est Græcis Scriptoribus, non utique habens statim subjiceret, εἰ πᾶσι τοῖς ἄλλοις ἀφίετε, constructione adeo insolenti. Dele ergo vocem ἀφίετε. En! οὐδ', εἰ πᾶσι τοῖς ἄλλοις, οὐχὶ τῷ βιαζομένῳ δήπου συγχωρῆσαι προσήκει. Infercivit homo otiosus, et ineruditus, qui hujusmodi tibicine indigere orationem suspicabatur. TAYLOR.

Καὶ πάντα] F. ταῦτα καὶ πάντα τὰ κ. τ. λ. AUGER.

Κοινὸν] [Ita enim Ald. et cum Aldo Ven. et Par.] Antiquum exemplar καινὸν, nihil novum, neque supervacuum. Atque ita legendum esse probant verba sequentia: *sed quod omnes vos mecum juxta tenetis.* OBSOPŒUS.

Κοινὸν] Sequitur quidem ἴδιον illi contrarium. Sed rectius utique καινὸν, ut ostendit sententia: et sic habet Obsop. WOLF. Præstantiores item libri et vulgati, et manu exarati. TAYLOR.

ς'. Τὰς ἕνας ἀρχὰς ταῖς νέαις] Τὰς παλαιὰς ταῖς καιναῖς. WOLF. Vide Suid. in v. Ἕνη, Harpocrat. et σχ. Aristoph. Acharn. v. 171. qui omnes hunc locum citant. TAYL.

Εὑρήσει] Plenius MS. Ven. εὑρήσει τούτους αἰτίους. At melius etiam Obsop. Bodl. Lind. Ital. εὑρήσει τούτων αἰτίους. IDEM.

Τί γὰρ κ. τ. λ.] Rescribo: τί γὰρ ἂν τοῦτον αὐτὸν οἴεσθε ποιήσειν, λυθέντων τῶν νόμων, ὃς, ὄντων αὐτῶν κυρίων, τοιοῦτός ἐστιν; Illud jubent Codd. Bar. Aug. hoc idem Baroc. cum Ven. et marg. Benenati. IDEM.

μετὰ τοὺς θεοὺς ὁμολογοῦνται σώζειν τὴν πόλιν, δεῖ πάντας ὑμᾶς τὸν αὐτὸν τρόπον, [1] ὥσπερ εἰ ἐκάθησθε ἐράνου πληρωταὶ, τὸν μὲν πειθόμενον τούτοις, ὡς φέροντα τὴν τῆς σωτηρίας φορὰν πλήρη τῇ πατρίδι, τιμᾶν καὶ ἐπαινεῖν, τὸν δὲ ἀπειθοῦντα κολάζειν. ἔρανος γάρ ἐστι πολιτικὸς καὶ κοινὸς πάνθ' ὅσα τάττουσιν τῶν νόμων ἕκαστος ὑμῶν ποιεῖ. ὃν ὁ λείπων, ὦ ἄνδρες Ἀθηναῖοι, πολλὰ, καὶ καλὰ, καὶ σεμνὰ, καὶ μεγάλα ὑμῶν ἀφαιρεῖται, καὶ διαφθείρει τὸ καθ' αὑτόν. ὧν ἓν ἢ δύο ἐρῶ παραδείγματος ἕνεκα τὰ γνωριμώτατα. τὸ, τὴν βουλὴν τοὺς πεντακοσίους, ἀπὸ τῆς ἀσθενοῦς ταυτησὶ κιγκλίδος τῶν ἀπορρήτων κυρίαν εἶναι, καὶ μὴ τοὺς ἰδιώτας ἐπεισιέναι· τὸ, τὴν ἐξ Ἀρείου πάγου βουλὴν, ὅταν ἐν τῇ βασιλείῳ στοᾷ καθεζομένη περισχοινίσηται, κατὰ πολλὴν ἡσυχίαν ἐφ' ἑαυτῆς εἶναι, καὶ ἅπαντας ἐκποδὼν ὑποχωρεῖν· τὸ, τὰς ἀρχὰς ἁπάσας, ὅσας οἱ λαχόντες ἄρχουσιν ὑμῶν, ἅμα τῷ τὸν ὑπηρέτην εἰπεῖν μετάστητε ἔξω, τῶν νόμων κρατεῖν, ἐφ' οἷς εἰσεπέμφθησαν, καὶ μὴ τοὺς ἀσελγεστάτους βιάζεσθαι·

[1] ὥσπερ ἂν εἰ

Ὥσπερ εἰ] MSti ὥσπερ ἂν, et melius adhuc, ὥσπερ ἂν εἰ. Idem.

Ἐράνου πληρωταὶ] Vide eandem hanc similitudinem bis in Midiana tractatam. Πληρωταὶ autem hic dicuntur, (contra quam nominis significatio ferre videtur: πληρόω enim est *compleo*, et πληρωτὴς, *is, qui complet*) non qui conferunt stipem, sed qui collatam ab aliis colligunt, quasi ἀποδέκται ἢ εἰσπράκτορες τῶν ἐράνων. Wolf. De hoc loco vide Herald. Observatt. cap. 44. Salmas. ad Jus Attic. pag. 27. seq. Herald. rursus Animadv. ad Salmas. L. VI. C. V. §. 4. Taylor. Non *collatores*, sed *collectores collectæ*. Auger.

Ὃν] Refertur ad ἔρανος. Idem.

Τὸ, τὴν βουλὴν τοὺς πεντακοσίους] Hic ordo est: οἱ νόμοι σώζουσι τὸ, τὴν βουλὴν, κ. τ. λ. Quæ duo verba [οὗτοι φυλάττουσιν v. 2. p. 360.] in prima Hervagiana editione prætermissa me perturbarunt. Wolf. Prætermittuntur etiam in AM. Ven. Bar. et Aug. Taylor.

Βασιλείῳ στοᾷ] Vide Harpocrat. et Meurs. Attic. Lect. VI. 17. Idem.

Περισχοινίσηται] Τὸ δὲ δικαστήριον περιεσχοινίζετο, τοῦ μὲν βασιλέως παραγγείλαντος, τῶν δὲ θεσμοθετῶν κληροῦντων τὸ δικαστήριον. τὸ δὲ περισχοίνισμα ἀπὸ πεντήκοντα ποδῶν ἐγίγνετο, καὶ οἱ ὑπηρέται ἐφεστήκεισαν, ὅπως μηδεὶς ἀνεπόπτευτος προσῇ. αἱ μὲν οὖν τῶν δικαστηρίων θύραι, κιγκλίδες ἐκαλοῦντο cætera. Pollux L. VIII. C. X. §. 123. Add. Meurs. Attic. Lect. VI. 14. Idem.

Εἰπεῖν] Sub. τοῖς λαχοῦσι. μετάστητε ἔξω, S. τοῦ ὄχλου τῶν λοιπῶν πολιτῶν τῶν κληρωσαμένων. Sequitur non multo post, p. 361. v. 12. ὅτι ἐλάχετε· εἶτα ἀπεκληρώθητε. τουτέστι διὰ τοῦ κλήρου ἐχωρίσθητε τῶν ἄλλων. Wolf.

Μετάστητε] *Eos egredi foras jusserit.* Immo: *cæteros omnes egredi foras jusserit.* Jurin.

Τῶν νόμων κρατεῖν] Antiquum multo emendatius sic legit: ἅμα τῷ τὸν ὑπηρέτην εἰπεῖν, μετάστητε ἔξω, τοὺς νόμους κρατεῖν etc. Obsopœus.

Τῶν νόμων] Κυρίους εἶναι τῶν νόμων, καθ' οὓς ἐκληρώσαντο, ἢ εἰσῆλθον εἰς τὸ βουλευτήριον. Τὸ τῶν νόμων κρατεῖν queat etiam intelligi, τοὺς νόμους οὐκ ἐμποδίζεσθαι ἐπ' αὐτοῖς, ἢ κατὰ τοὺς νόμους ἄρχειν ἐξεῖναι αὐτοῖς. Wolf. τοὺς νόμους etiam Bodl. marg. Paris. Suspicor legendum esse τῶν νομίμων. Vide ad Timocrateam, 733. 10. ed. R. potissimum vero ea, quæ dixi ad Lycurgum p. 183. Not. 17. Taylor. ἐφ' οἷς pro καθ' οὓς. Auger.

ἄλλα μυρία. πάντα [1]γὰρ καλὰ, καὶ σεμνὰ, καὶ δι' ὧν ἡ πόλις κοσμεῖται καὶ σώζεται, [2]οὗτοι φυλάττουσιν. ἡ [3]σωφροσύνη πρὸς τοὺς γονέας, καὶ τοὺς πρεσβευτέρους ὑμῶν, [4]ἡ παρὰ τῶν νέων αἰσχύνη, ἡ εὐταξία, τῇ τῶν νόμων 777
προσθήκῃ, τῶν αἰσχρῶν περίεστι, τῆς ἀναισχυντίας, τῆς θρασύτητος, τῆς ἀναιδείας. ἰταμὸν γὰρ ἡ πονηρία, καὶ [5]τολμηρὸν, καὶ πλεονεκτικόν· καὶ τοὐναντίον ἡ καλοκἀγαθία, ἡσύχιον, καὶ ὀκνηρὸν, καὶ βραδὺ, καὶ δεινὸν ἐλαττωθῆναι. τοὺς νόμους οὖν δεῖ τηρεῖν, καὶ τούτους ἰσχυροὺς ποιεῖν τοὺς ἀεὶ δικάζοντας ὑμῶν· μετὰ γὰρ τούτων οἱ χρηστοὶ τῶν πονηρῶν περίεισιν· εἰ δὲ μὴ, λέλυται πάντα, [6]ἀνέῳκται, συγκέχυται, τῶν πονηροτάτων καὶ ἀναιδεστάτων ἡ [7]πόλις γίγνεται.

ζ'. Φέρε γὰρ, πρὸς θεῶν, [8]εἰ ἕκαστος τῶν ἐν τῇ πόλει τὴν Ἀριστογείτονος τόλμαν καὶ ἀναισχυντίαν λαβὼν, καὶ διαλογισάμενος ταῦθ' ἅπερ οὗτος, ὅτι ἔξεστι καὶ λέγειν καὶ ποιεῖν μέχρι τινὸς ὅ,τι ἂν βούληταί τις ἐν δημοκρατίᾳ, ἐάν περ τοῦ ποῖός τις εἶναι δόξῃ ὁ ταῦτα ποιῶν ὀλιγωρήσῃ, καὶ οὐδεὶς ἐπ' οὐδενὶ τῶν ἀδικημάτων εὐθὺς ἀποκτενεῖ· εἰ ταῦτα διανοηθεὶς ὁ μὴ λαχὼν τῷ λαχόντι, καὶ ὁ μὴ χειροτονηθεὶς τῷ χειροτονηθέντι [9]ἐξ ἴσου ζητοίη εἶναι,

[1] γὰρ τὰ καλὰ [2] [οὗτοι φυλάττουσιν·] [3] σωφροσύνη, ἡ πρὸς [4] Deest articulus.
[5] σεμνὸν [6] ἀνέῳκται, ὁ βίος συγκέχυται, [7] πόλις μεστὴ γίγνεται
[8] εἰ εἷς ἕκαστος [9] ἐξίσου

Ἄλλα μυρία] Ea, quæ sequuntur (πάντα γὰρ καλὰ, δι' ὧν ἡ πόλις κοσμεῖται καὶ σώζεται) parenthesi claudenda, sunt αἰτιολογία τῶν μυρίων. Obsop. pro ἡ σωφροσύνη, habet οὗτοι φυλάττουσιν, ut et Felicianus. Wolf.

Ἡ παρὰ τῶν νέων αἰσχύνη, ἡ εὐταξία] F. καὶ εὐταξία. Alioqui certe salebrosa est collocatio: videturque aliquid deesse, cujusmodi sit, ἡ κατὰ τὸν βίον εὐταξία. Est hæc præclara et plane philosophica Oratio. Sed vereor, ne pluribus mendosa locis, quam qui aut collocatione codicum, aut nostra divinatione possint corrigi. Wolf. Immo quidem satis sana. Licet non recte intelligam, quid sit ἡ σωφροσύνη πρὸς τοὺς γονέας. In MStis Aug. Lind. Ital. post σωφροσύνη additur articulus ἡ. Lege itaque: ἡ σωφροσύνη· Id unum est. deinde: ἡ πρὸς τοὺς γονέας καὶ τοὺς πρεσβυτέρους ὑμῶν παρὰ τῶν νέων αἰσχύνη· additur tertium, ἡ εὐταξία. *Temperantia, Reverentia, Disciplina.* Taylor.

Τῆς ἀναιδείας] Αἰσχύνη, *pudor*, Αἰδὼς, *reverentia*. Illa turpitudinis metus est: hæc dignitati, virtuti, auctoritati, ætati honorem habet. Possunt ergo ἀναισχυντία καὶ ἀναίδεια habere locum; sed quia præcedit εὐταξία, quid si legatur τῆς ἀταξίας? Wolf.

Δεινὸν ἐλατταθῆναι] *Damni patiens*, Wolfius. *nec facile a suo statu dejicitur*, Melanchtho. Δεινὸν ἐλαττωθῆναι, ait ille ad Theophrastum, sive Stanleius sit, sive Duportus, mirifice dictum, ac si diceres: *apta fraudari*. Sed frigidum hoc præ Græco. Et certe ea mihi videtur esse hujus phraseos elegantia, ut Latine exprimi non possit. Καλοκἀγαθία δεινὸν ἐλαττωθῆναι vult dicere: *morum probitas ita comparata est, ut facile in damnum incidat.* Hæc Vir summus. Taylor.

ζ'. Μέχρι τινὸς] S. χρόνου, εἰ καὶ μὴ ἀεί. Wolf.

Εὐθὺς] Post εὐθὺς f. add. αὐτόν. Auger.

καὶ τῶν αὐτῶν μετέχειν, καὶ ὅλως μὴ νέος, μὴ πρεσβύτερος τὰ προσήκοντα πράττοι, ἀλλὰ πᾶν τὸ τεταγμένον ἐξελάσας ἕκαστος ἐκ τοῦ βίου, τὴν ἑαυτοῦ βούλησιν, νόμον, ἀρχήν, πάνθ' ὑπολαμβάνοι, εἰ ταῦτα ποιοῖμεν, ἔστιν ἔτι τὴν πόλιν οἰκεῖσθαι; τί δέ; τοὺς νόμους κυρίους εἶναι; πόσην δ' ἂν οἴεσθε βίαν, καὶ ὕβριν, καὶ παρανομίαν ἐν ἁπάσῃ τῇ πόλει καθ' ἑκάστην ἡμέραν γίγνεσθαι, καὶ βλασφημίαν, ἀντὶ τῆς νῦν εὐφημίας καὶ τάξεως; καὶ τί δεῖ λέ-
778 γειν, ὅτι τοῖς νόμοις ἅπαντα κοσμεῖται, καὶ τῷ τούτοις πείθεσθαι; ἀλλ' ὑμεῖς αὐτοὶ πάντων ἄρτι κληρουμένων Ἀθηναίων, καὶ πάντων εὖ οἶδ' ὅτι βουλομένων εἰς τουτὶ λαχεῖν τὸ δικαστήριον, μόνοι δικάζεθ' ἡμῖν. διὰ τί; ὅτι ἐλάχετε, εἶτα ἀπεκληρώθητε. ταῦτα γὰρ οἱ νόμοι λέγουσιν. εἶθ' ὑμεῖς αὐτοὶ κατὰ τοὺς νόμους εἰσεληλυθότες τὸν παρὰ τοὺς νόμους λέγειν ἢ πράττειν τι βιαζόμενον λαβόντες ἀφήσετε; καὶ οὐδεὶς ὑμῶν χολὴν, οὐδὲ ὀργὴν ἔχων φανήσεται, ἐφ' οἷς ὁ βδελυρὸς καὶ ἀναιδὴς ἄνθρωπος οὑτοσὶ βιάζεται τοὺς νόμους; ὃς, ὦ μιαρώτατε πάντων τῶν ὄντων ἀνθρώπων, κεκλεισμένης [1] σου τῆς παῤῥησίας οὐ κιγκλίσιν, οὐδὲ θύραις, ἃ καὶ παρανοίξειεν ἄν τις, ἀλλὰ τοσούτοις καὶ τηλικούτοις ὀφλήμασι, καὶ τούτων παρὰ τῇ θεῷ κειμένων, ἐς [2] τὸ ἐντὸς τούτων βιάζῃ, καὶ προσέρχῃ πρὸς ταῦ-

[1] σοι [2] τὰ

Οἰκεῖσθαι] *Incoli*, Wolfius. Immo: *regi, administrari.* Dixi alibi et plenius. Verum, priusquam hunc locum dimittamus, examinemus id, quod sequitur. ἔστιν ἔτι τὴν πόλιν οἰκεῖσθαι; τί δέ; τοὺς νόμους κυρίους εἶναι; non facile memini, me aliquid aliud unquam legisse otiosius, aliquid aliud importunius. Comprehendit tota hæc Perioche disputationem satis honestam de Legum necessitate, earumque auctoritate: atque ad eam rem conficiendam graphice depingit, qualis futura esset Resp. si Leges, earumque auctoritas tolleretur. Concludit demum: *quid? dicemusne, hanc esse Remp.?* Hic quid infelicius, quam ut adderet *quid? dicemusne, leges esse ratas?* Nam omnis ea, quæ præteriit, argumentatio sita est in supponendo, quod *Leges non essent ratæ.* Quid homine sapiente indignius, quam ut nihil aliud *concludat*, præter ea, quæ *præmisit?* Nimirum animadvertit lector aliquis curiosus, οἰκεῖσθαι non esse *incoli*, verum *legibus contineri atque administrari*, quod ut alios quoque admoneret, allevit ista ridicula; quibus rursus deletis, vide porro, ut pergat sententia: εἰ ταῦτα ποιοῖμεν, ἔστιν ἔτι τὴν πόλιν οἰκεῖσθαι; τί δέ; πόσην ἂν οἴεσθε βίαν, et quæ sequuntur. TAYLOR.

Εἶτα ἀπεκληρώθητε] Wolfius non recte cepit hujus loci mentem, quantum ejus interpretationem intelligo. Λαχεῖν est, *sortiri, sortes ducere*, quod omnium, ἀποκληρωθῆναι, *sortibus vincere*, quod paucorum. Vertas itaque liberius: *Quod omnes voluerunt, vos soli hodie jus dicitis. Id quo modo se habet? Quia vos cum cæteris una civibus ad sortes accessistis, deinde vobis solis sortito obtigit, ut huic judicio præficeremini. id enim legum præscripto fit.* IDEM.

Ὃς, ὦ μιαρώτατε] Longinus §. 27. ubi agit de personæ in aliam personam commutatione, locum istum citat et illustrat. IDEM.

τα, ἀφ' ὧν ἀπελαύνουσί σε οἱ νόμοι, ἀπεσχοινισμένος πᾶσι τοῖς ἐν τῇ πόλει δικαίοις, γνώσεσι τριῶν δικαστηρίων, [1] τῇ γραφῇ θεσμοθετῶν, ἑτέρᾳ πρακτόρων, τῇ τῆς βουλεύσεως, ἣν αὐτὸς διώκεις, γραφῇ, καὶ [2] μονονουχ' ἁλύσει σιδηρᾷ δεδεμένος, ὑποδύῃ παρὰ ταῦτα, καὶ διασπᾷς, καὶ προφάσεις πλάττων, καὶ ψευδεῖς αἰτίας συντιθεὶς, τὰ [3] κοινὰ ἀνατρέψειν οἴει;

ἡ. Καὶ μὴν μέγα καὶ σαφὲς ὑμῖν ἐρῶ παράδειγμα, ὅτι ταῦτα οὐδὲ καθ' ἓν προσήκει παριδεῖν. εἰ γάρ τις αὐτίκα δὴ μάλα εἴποι, ὡς ἐκ τῶν νεωτάτων, ἢ τῶν πλουσιωτάτων, ἢ τῶν λελειτουργηκότων, ἢ τῶν τοιούτων τινὸς μερῶν ἀφορίσας, τοὺς λέγοντας εἶναι δεῖ, ἀποκτείναιτ' ἂν αὐτὸν εὖ οἶδ' ὅτι, ὡς καταλύοντα τὸν δῆμον· καὶ δικαίως ἂν τοῦ-

[1] ἐγγραφῇ [2] μονονοὺχ [3] κοινὰ δίκαι' ἀνατρ. οἴει.

Ἀπεσχοινισμένος] Vide Harpocration. Maussac. ad locum, Plin. IX. Epist. 26. Idem.

Γνώσεσι] Harpocratio: Γνῶσις, ἀντὶ τοῦ Κρίσις. Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος. Codd. interea Ven. Ital. et Parisienses hic κρίσεσι legunt, quod puto aliquando ex scholio oriundum. Idem.

Τῇ γραφῇ] Laudo Ven. Bar. Bodl. Aug. et Regg. Paris. ἐγγραφῇ. Thesmothetæ, et similiter exactores, non *dicam scribebant*, verum *nomina* obæratorum *in codices retulerunt*. Id quod hoc loco agitur. Oratio contra Theocrinem hæc omnia complanabit. Quod Wolfius infra ad §. θ'. ineptum est, et a mente hujus loci alienum. Idem. Imo ἐγγραφῇ. Auger.

Βουλεύσεως] Antiquum exemplar sic habuit: ἐν γραφῇ [istud est ἐγγραφῇ. vide notam superiorem] θεσμοθετῶν, ἑτέρᾳ πρακτόρων, τῇ τῆς βουλήσεως, ἣν αὐτὸς διώκεις, γραφῇ etc. Quam lectionem cum Aldina conferens, utra melior sit, mox videbis. Obsopœus.

Τῷ τῆς βουλήσεως, ἣν αὐτὸς διώκεις γραφὴν] [uti Aldus edidit] Alii: Τῇ τῆς βουλεύσεως, ἣν αὐτοὺς διώκεις (παρὰ τὸ διοικέω) γραφῇ. Alii τῇ τῆς βουλῆς. Mihi placet: τῇ τῆς βουλεύσεως, ἣν αὐτὸς διώκεις, γραφῇ. De hoc crimine vide Suidam. Accusavit autem Aristogito quendam Aristonem, ut a quo falso fuerit in ærarios relatus: accusatus et ipse est, quod Pythangeli vitæ falsa accusatione struxerit insidias. Wolf.

Βουλεύσεως] Harpocr. Βουλεύσεως. ἐγκλήματος ὄνομα ἐπὶ δυοῖν παττόμενον πραγμάτων. τὸ μὲν γάρ ἐστιν, ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον — τὸ δ' ἕτερον, ὅταν ἐγγεγραμμένος, ὡς ὀφείλων τῷ δημοσίῳ, αὐτὸς δικάζηται τινι, ὡς οὐ δικαίως αὐτὸν ἐγγεγραφότι. τοῦ μὲν οὖν πρότερου μάρτυς Ἰσαῖος — περὶ δὲ τοῦ ἑτέρου ἐγκλήματος, Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος πρώτῳ. Vide infra §. ιέ. fin. Si quæras, quantum intersit inter γραφὴν βουλεύσεως, et ψευδεγγραφῆς (nam et istius quoque actio dabatur) consulas Suid. in v. Ψευδὴς ἐγγραφή. Petit. LL. Attic. p. 467. Edit. Nov. Poll. L. VIII. C. 6. §. 43. et 88. virosque doctos ad loca. Vales. ad p. 301. Harpocrationis, H. Steph. Thes. Gr. L. T. IV. p. 720. Taylor. γραφὴ βουλεύσεως, erat actionis id genus, cum homo inscriptus quasi debens reipublicæ, se injuria inscriptum quereretur. Auger.

Τὰ κοινὰ] Lege confidenter cum bonis exemplaribus, Ven. Baroc. Lind. Aug. Ital. et marg. Morel. τὰ κοινὰ δίκαια ἀνατρέψειν οἴει; Taylor.

ἡ. Λελειτουργηκότων] Vide Fr. Luisini Parerg. III. 43. qui nova et insolita mente hunc locum intelligit de hominibus infimæ sortis et conditionis, de fæce populi. Nihil minus. Contendit tantum Orator, in libera Rep. qui patriæ prodesse et consulere vellent, non ex uno tantum ordine aut collegio sumi debere, qualecunque demum sit, verum id omnibus patere. Idem.

Τινὸς] Fortasse τι, uti Ald. Ven. Bar. Aug. Ital. τῶν τοιούτων τι μέρος ἀφορίσας. Credo sane. Idem. τινος, sub. μέρους, vel f. del. Auger.

779 το ποιήσαιτε. καὶ μὴν ὅ,τι βούλεσθε τούτων, ἧττόν ἐστι δεινὸν, ἢ εἴ τις, ἐξ ὧν ἐστὶν οὗτος μερῶν, εἴποι τοῖς βιαζομένοις ἐξεῖναι λέγειν, ἢ τοῖς ἐκ τοῦ δεσμωτηρίου, ἢ τοῖς ὧν ὁ δῆμος ἀπέκτεινε τοὺς πατέρας, ἢ τοῖς ἀποδεδοκιμασμένοις ἄρχειν λαχοῦσιν, ἢ τοῖς ὀφείλουσι τῷ δημοσίῳ, ἢ τοῖς καθάπαξ ἀτίμοις, ἢ τοῖς πονηροτάτοις καὶ οὖσι καὶ δοκοῦσι. πάντα γὰρ ταῦτα ὑπάρχει τούτῳ, καὶ [1] πρόσεστι τοῖς, οἷος οὗτός ἐστι τὴν φύσιν. ἐγὼ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω μὲν αὐτὸν καὶ ἐφ᾽ οἷς νῦν ποιεῖ, δικαίως ἂν ἀποθανεῖν· πολὺ μέν τοι μᾶλλον, ἢ οὐδέν γε ἧττον ἐφ᾽ οἷς δῆλός ἐστι ποιήσων, εἰ τὴν παρ᾽ ὑμῶν ἐξουσίαν λήψεται, καὶ καιρὸν, ὃ μὴ γένοιτο. ὃ καὶ θαυμαστόν ἐστιν, εἴ τις ὑμῶν ἀγνοεῖ, ὅτι ἐπὶ μὲν καλὸν ἢ χρηστὸν, ἢ τῆς πόλεως ἄξιον πρᾶγμα οὐδὲν οὗτός ἐστι χρήσιμος, — μὴ γὰρ, ὦ Ζεῦ καὶ θεοὶ, τοσαύτη σπάνις ἀνδρῶν γένοιτο τῇ πόλει, ὥστε παρὰ Ἀριστογείτονος τῶν καλῶν τι ποιήσασθαι —, ἐφ᾽ ἃ δ᾽ ἂν καὶ χρήσαιτό τις τοιούτῳ θηρίῳ, ἀπεύχεσθαι τοῖς θεοῖς μὴ γενέσθαι δεῖ. εἰ δ᾽ ἄρα καὶ συμβαίη, μεῖζόν ἐστιν εὐτύχημα τῇ πόλει ἀπορῆσαι τοὺς βουλομένους ἐξαμαρτεῖν, δι᾽ οὗ τοῦτο ποιήσουσιν, ἢ τοῦτον ἀφειμένον αὐτοῖς ἕτοιμον ὑπάρξαι. τί γὰρ οὗτος ὀκνήσειεν ἂν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀνηκέστων ἢ δεινῶν, ἄνθρωπος μιαρὸς καὶ πατρικῆς ἔχθρας πρὸς τὸν δῆμον ἀνάμεστος; τίς δ᾽ ἂν ἄλλος μᾶλλον, ὃ μὴ [2] γένοιτο, ἀνατρέψειε τὴν πόλιν, εἰ λάβοιτο ἐξουσίας; οὐχ ὁρᾶτε, ὅτι τῆς φύσεως αὐτοῦ καὶ τῆς πολιτείας οὐ λογισμὸς, οὐδ᾽ αἰδὼς οὐδεμία, ἀλλ᾽ ἀπόνοια ἡγεῖται; μᾶλλον δὲ ὅλον ἐστὶν ἀπόνοια ἡ τούτου πολιτεία;
780 ἢ μέγιστον μέν ἐστιν αὐτῷ τῷ ἔχοντι κακὸν, δεινὸν δὲ καὶ

[1] * πρόσετι τοῖς οἷόσπερ

[2] γένοιτο, πᾶσαν ἀνατρ.

Ἐξ ὧν] Sensus, quem mihi non assequi videtur Interpres, hujusmodi fere est: *Si quis contenderet, dicendi faciendam esse potestatem iis hominibus, quorum in numero est Aristogito, violentis nempe, carceris effractoribus* etc. TAYLOR.

Τοῖς, οἷος κ. τ. λ.] Τοῖς τὴν φύσιν dura est ellipsis. Quid si legas: τοῖς, οἷος οὗτός ἐστιν, οὖσι τὴν φύσιν, aut, τοῖς τοιούτοις, οἷος οὗτός ἐστιν, οὖσι τὴν φύσιν? Etsi τὸ τοιούτοις abesse potest ἐξαχυλογίᾳ Graeca. WOLF. Deest τοῖς in Codd. Lind. et Ital. non recte. Et pro οἷος, οἷόσπερ habent Ven. Bar. Aug. marg. Morel. TAYLOR. F. add. οὖσι ante φύσιν. AUGER.

Ποιήσασθαι] Nae id praeter fidem Grammaticae. Legendum saltem videtur πεποιῆσθαι, ni ulcus late pateat. Quid si ἐλπίσασθαι? TAYLOR. ποιήσασθαι, sub. αὐτὴν, nempe, πόλιν. AUGER.

Μεῖζόν ἐστιν] Plura hic textui adjeci ut sensus aliquis nitidus constaret; vide interpretationem meam. IDEM.

Εἰ λάβοιτο ἐξουσίας] Ἐξουσίαν. JURIN.

χαλεπὸν πᾶσι, τῇ πόλει δ' [1] οὐδ' ἀνεκτέον. ὁ γὰρ ἀπονενοημένος ἅπας αὑτὸν μὲν προεῖται, καὶ τὴν ἐκ λογισμοῦ σωτηρίαν· ἐκ δὲ τοῦ παραδόξου, καὶ τοῦ παραλόγου, ἐὰν ἄρα σωθῇ, σώζεται. [2] τίς οὖν εὖ φρονῶν ἑαυτὸν ἂν ἢ τὰ τῇ πατρίδι συμφέροντα τούτῳ ἐπιτρέψειε; τίς δ' οὐκ ἂν, εἰς ὅσον δυνατὸν, φύγοι, καὶ τὸν ἔχοντα ταύτην ἐκποδὼν ποιήσαιτο, ἵνα [3] μηδὲ ἄκων αὐτῷ ποτὲ περιπέσῃ; οὐκ ἀπωνοίας, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ὑπὲρ [4] τῆς πατρίδος βουλευομένους δεῖ ζητεῖν ὅτῳ [5] κοινωνήσουσιν, ἀλλὰ νοῦ, καὶ φρενῶν ἀγαθῶν, καὶ προνοίας πολλῆς. ταῦτα μὲν γὰρ εἰς εὐδαιμονίαν ἄγει πάντας ἀνθρώπους· [6] ἐκεῖνα δὲ, οἳ τοῦτον ἀπελθεῖν δεῖ. θεωρεῖτε δὲ μὴ πρὸς τὸν ἐμὸν λόγον, ἀλλ' [7] εἰς πάντα τὰ τῶν ἀνθρώπων ἔθη βλέποντες. εἰσὶ ταῖς πόλεσι πάσαις βωμοὶ καὶ [8] νεὼ πάντων τῶν θεῶν, ἐν δὲ τούτοις καὶ Προνοίας Ἀθηνᾶς, ὡς μεγάλης καὶ ἀγαθῆς θεοῦ, καὶ παρὰ τῷ Ἀπόλλωνι ἐν Δελφοῖς κάλλιστος καὶ μέγιστος νεὼς εὐθὺς εἰσιόντι εἰς τὸ ἱερὸν, ὃς ὢν θεὸς καὶ

[1] οὐκ ἀνεκτὸν [2] τίς ἂν οὖν [3] μηδ' ἂν ἄκων αὐτῇ [4] Deest articulus. [5] κοινωνήσουσιν; [6] ἐκεῖνη [7] εἰς * τὰ πάντων ἀνθρώπων [8] νεῷ

Ἀνεκτέον] Malim οὐδ' ἀνεκτόν. Wolf. Ita MSti. Fortasse: δεινὸν δὲ καὶ χαλεπὸν πάσῃ τῇ πόλει, καὶ οὐκ ἀνεκτέον, vel ἀνεκτόν. Taylor. M. ἀνεκτόν. Auger.

Τούτῳ ἐπιτρέψειε] Γρ. ταύτῃ, et in nonnullis ταύτῃ συνάψειε. Recte sane, ut mea fert sententia. *Vecordiæ*, ut loquitur Schola, in abstracto. Proinde enim dicitur: τίς δ' οὐκ ἂν, εἰς ὅσον δυνατὸν, φύγοι, καὶ τὸν ἔχοντα ταύτην (vel αὐτὴν, ut exemplaria plurima) ἐκποδὼν ποιήσαιτο; Perges porro emendando, v. 7. ἵνα μηδὲ ἄκων αὐτῇ ποτὲ περιπέσῃ. Uti MSti Ven. Bar. Bodl. Lind. Ital. Adhuc autem. Istius rei nescius, comma, quod sequitur, male interpretatur Wolfius, aut certe minus accurate. Et v. 11. pro ἐκεῖνα δὲ, legendum est, ἐκείνη δὲ, cum Codd. Ven. Bodl. Lind. Ital. et marg. Benenati. *Vecordia* sc. quæ ubique in hoc loco *personæ* vicem sustinet. Taylor. τὸν ἔχοντα ταύτην, vel mihi superfluum videtur et recidendum, vel quicquid dicitur de homine vecordi, de ipsa vecordia dici debet. Et v. 11. imo ἐκείνη. Auger.

Καὶ Προνοίας Ἀθηνᾶς] Hinc etiam Æschinis locus [videtur innuere ista Æschinis c. Ctesiph. §. λς'. λή. fin. et sæpius] explicari potest. Opponit Ἀθηνᾶν Πρόνοιαν τῇ Ἀριστογείτονος Ἀπωνοίᾳ. Wolf. Recte hoc, et tuetur ea, quæ nuper dixi. Taylor.

Νεὼς] F. βωμὸς, *ara*. Wolf. Non habeo necesse. *Ædiculam* intelligere potuit seu Cellam (cujusmodi fere hodie sunt Capellæ in Ecclesiis Romanensium, privatis sacris destinatæ, et suis quoque Ædituis instructæ) quarum plurimas unum Fanum complecti solebat. Nam in templo, Jovis puta, aut Apollinis, cætera quoque numina hospitio non prohibebantur. Verbi gratia: In uno Capitolio Romæ plurimorum Deorum *ædiculæ* erant. Livius XXXV. 41. Ædes duæ *Jovi eo anno* in Capitolio *dedicatæ sunt — de mulcta damnatorum quadrigæ inauratæ in Capitolio positæ in* cella Jovis *supra fastigium* ædiculæ. De contubernalibus Diis plurima habet consulenda Cl. G. D'Arnaud in commentario, quem inscripsit de Diis Παρέδροις, et quæ attulerunt viri docti ad explicanda illa Act. Apostol. XIX. 24. Adeo ut nihil mirum esse poterit, si in templo Apollinis Delphici, Minerva quoque suam ædiculam, ritus, et antistites etiam haberet. Immo Minervæ Προνοίας cellam Delphis memorat Pausanias in Phocicis: ὁ τέταρτος δὲ Ἀθηνᾶς καλεῖται Προνοίας, p. 623. Edit. Hanov. 1613. et deinde χρυσοῦ δὲ ἀσπίδα ὑπὸ Κροίσου τοῦ

μάντις κατ' ἀμφότερα οἶδε τὸ βέλτιστον· ἀλλ' οὐκ Ἀπονοίας, οὐδ' Ἀναιδείας. καὶ Δίκης γε, καὶ Εὐνομίας, καὶ Αἰδοῦς εἰσὶν ἅπασιν ἀνθρώποις βωμοὶ, οἱ μὲν κάλλιστοι καὶ ἁγιώτατοι ἐν αὐτῇ τῇ ψυχῇ ἑκάστου καὶ τῇ φύσει, οἱ δὲ καὶ κοινοὶ, τοῖς πᾶσι τιμᾶν ἱδρυμένοι· ἀλλ' οὐκ Ἀναισχυντίας, οὐδὲ Συκοφαντίας, οὐδ' Ἐπιορκίας, οὐδ' Ἀχαριστίας, ἃ πάντα τούτῳ πρόσεστιν.

θ'. Οἶδα τοίνυν, ὅτι τὴν μὲν ὀρθὴν καὶ δικαίαν ὁδὸν τῆς ἀπολογίας οὗτος φεύξεται· ἔξωθεν δὲ κύκλῳ περίεισι
781 λοιδορούμενος, καὶ διαβάλλων, καὶ ὑπισχνούμενος κρινεῖν, εἰσάξειν, παραδώσειν, τὰ τοιαῦτα δή. ἔστι δὲ πάντ' αὐτῷ

Θεωρίδα] Harpocratio: Θεωρίς. Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος, εἰ γνήσιος. Μάντις ἦν ἡ Θεωρὶς, καὶ ἀσεβείας κριθεῖσα ἀπέθανεν, ὡς καὶ Φιλόχορος ἐν ἑκτῃ γράφει. Qui eam ream fecit, fuit noster ipse Demosthenes, ut docemur a Plutarcho; Κατηγόρησε δὲ καὶ τῆς ἱερείας Θεωρίδος, ὡς ἄλλα τε ῥᾳδιουργούσης πολλὰ, καὶ τοὺς δούλους ἐξαπατᾶν διδασκούσης, καὶ θανάτου τιμησάμενος ἀπέκτεινε. Codd. Bar. et Aug. legunt Θεοδωρίδα. TAYLOR.

Φαρμακὸς] Vide Hermog. p. 255. et 257. Didymum Demosthenis Scholiasten apud Harpocr. in v. Etym. M. p. 788. ubi scribitur mendose: οὕτως οὖν αὐτὸν ἐξαιρήσει ὁ φαρμακός; Suid. etiam et Harpocr. legit ἐξαιρήσεται. IDEM.

Ὃς αὐτὸς αὐτὸν θανάτου τετίμηκεν] Lego αὐτῷ θανάτου. WOLF. αὐτὸν Ald. αὐτῷ Bar. Aug. TAYLOR.

ιή. Τί οὖν λοιπὸν, ὦ ἄνδρες Ἀθηναῖοι; ἃ κοινὰ, νὴ Δία, πᾶσιν ὑπάρχει τοῖς ἀγωνιζομένοις παρὰ τῆς τῶν ἄλλων ὑμῶν φύσεως, καὶ οὐδεὶς αὐτὸς ἑαυτῷ ταῦτα φέρει τῶν κρινομένων, ἀλλ' ὑμῶν ἕκαστος ἔχων οἴκοθεν ἔρχεται, ἔλεον, συγγνώμην, [1] καὶ φιλανθρωπίαν. ἀλλὰ τούτων γε οὐδ' ὅσιον, οὐδὲ θέμις τῷ μιαρῷ τούτῳ μεταδοῦναι. διὰ τί; ὅτι ὃν ἂν αὐτὸς ἕκαστος νόμον τῇ φύσει δῆλος ᾖ καθ' ἁπάντων ἔχων, τούτου τυγχάνειν παρ' ἑκάστου δίκαιός ἐστι καὶ αὐτός. τίνα οὖν νόμον ὑμῖν, ἢ τίνα βούλησιν ἔχειν Ἀριστογείτων κατὰ πάντων δοκεῖ; [2] πότερον εὐτυχοῦντας ὁρᾶν, καὶ ἐν εὐδαιμονίᾳ καὶ χρηστῇ δόξῃ διάγοντας; καὶ τί ποιῶν ζήσεται; τὰ γὰρ τῶν ἄλλων κακὰ τοῦτον τρέφει. οὐκοῦν ἐν κρίσεσι, καὶ ἀγῶσι, καὶ πονηραῖς αἰτίαις ἅπαντας εἶναι βούλεται. ταῦτα γεωργεῖ, ταῦτα ἐργάζεται. ὁ [3] καὶ δὴ παμπόνηρος ἄνθρωπος, ποῖός τις, ὦ ἄνδρες Ἀθηναῖοι, καλοῖτ' ἂν [4] δικαίως, ὁ τρισκατάρατος, ὁ κοινὸς ἐχθρὸς, ὁ πᾶσι δυσμενὴς, ὅτῳ μήτε γῆ καρπὸν φέροι, μήτ' ἀποθανόντα δέξαιτο; οὐχ ὁ τοιοῦτος; ἔγωγε νομίζω. τίνος δὲ συγγνώμης ἢ ποίων ἐλέων οἱ σεσυκοφαντημένοι παρ' αὐτοῦ τετυχήκασιν; οἷς οὗτος θανάτου πᾶσιν ἐτιμᾶτο ἐν τουτοισὶ τοῖς δικαστηρίοις, καὶ ταῦτα πρὶν τὴν πρώτην ψῆφον 795
[5] διενεχθῆναι. καὶ ἐφ' οἷς ὁ βάσκανος οὗτος [6] οὕτως ὠμῶς καὶ πικρῶς εἶχε, τούτους ὑμῶν οἱ λαχόντες, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δίκαια ποιοῦντες, ἔσωζον, τοὺς ὑπὸ τούτου συκοφαντουμένους, καὶ ἀπεψηφίζοντο, καὶ τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μετεδίδοσαν τούτῳ· ἀλλ' ἥ γε τούτου πικρία, καὶ μιαιφονία, καὶ ὠμότης παρῆν καὶ ἐζητάζετο. οὐχὶ παιδία, οὐχὶ μητέρας τῶν κρινομένων, ἐνίων γραῦς, προσεστηκυίας ὁρῶν οὗτος [7] ἠλέει. εἶτά σοι συγγνώμη; πόθεν;

[1] Deest καί. [2] πότερ' [3] καὶ] δὲ [4] δικαίως; [5] διενεχθῆναι; [6] [οὕτως] [7] ἠλέει;

ιή. Ἔλεον etc.] Ἔλεος, συγγνώμη καὶ φιλανθρωπία, Lambinus. Idem.

Ὁ καὶ δὴ] Impedita satis et obscurior sententia. In MStis legitur: ὁ δὲ τοιοῦτος ποῖός τις καλοῖτ' ἂν δικαίως; ὁ τρισκατάρατος, etc. Quod probo. Tum autem inducenda sunt illa in exitu orationis, οὐχ ὁ τοιοῦτος; Idem.

Πρὶν τὴν πρώτην ψῆφον διενεχθῆναι] Περὶ τοῦ ἐγκλήματος, πότερον ἔνοχος ἦν τούτῳ, ἢ μή· ἡ δὲ δευτέρα, ἐπειδὴ κατακριθῇ, ὅ,τι χρὴ παθεῖν ἢ ἀποτίσαι. Wolf. Deest πρώτην in MStis Ven. et Bar. Taylor.

Προσεστηκυίας] Melius esse credo παρεστηκυίας Codicum Lind. et Ital. vel παρεστώσας plurimorum, Ven. Bar. Bodl. Obsop. Aug. MSS. Fel. et Man. cum marg. Benenati. Idem. Imo παρε-

ἢ [1] παρά του; ἢ τοῖς σοῖς παιδίοις ἔλεος; πολλοῦ γε καὶ δεῖ. σὺ τὸν εἰς ταῦτα ἔλεον προδέδωκας, Ἀριστόγειτον, μᾶλλον δ' ἀνῄρηκας ὅλως. μὴ δὴ πρὸς οὓς αὐτὸς ἔχωσας λιμένας, καὶ προβόλων ἐνέπλησας, πρὸς τούτους προσορμίζου. οὐ γὰρ δίκαιον.

ιθ'. Εἰ τοίνυν [2] ἀκούσετε καὶ τὰς βλασφημίας, ἃς κατὰ τὴν ἀγορὰν περιϊὼν καθ' ὑμῶν ἔλεγεν, ἔτι μᾶλλον ἂν αὐτὸν μισήσετε· καὶ δικαίως. φησὶ γὰρ πολλοὺς ὀφείλειν τῷ δημοσίῳ, τούτους δὲ πάντας ὑπάρχειν ὁμοίους ἑαυτῷ. ἐγὼ δὲ πολλοὺς μὲν εἶναι τοὺς ἠτυχηκότας, εἰ καὶ δὴ εἰσὶ μόνοι, συγχωρῶ, — [3] πάντη γὰρ πλείους εἰσὶ τοῦ δέοντος, καὶ οὐδένα τῶν [4] ἄλλων ὀφείλειν ἔδει —, οὐ μέν τοι, μὰ τοὺς θεούς, τούτῳ γε ὑπάρχειν οἶμαι τούτους [5] ὁμοίους, — οὐδὲ πολλοῦ δεῖ —, ἀλλὰ καὶ πᾶν τοὐναντίον. οὑτωσὶ δὲ λογίζεσθε. καὶ μή με ὑπολάβητε, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς πρὸς ὀφείλοντας ὑμᾶς τῷ δημοσίῳ διαλέγεσθαι. οὔτε [6] γάρ ἐστι — μὴ γένοιτο τοῦτο — οὔτ' ἐγὼ νομίζω. ἀλλ' εἴ τῳ τις ἄρα, ἢ φίλος, ἢ γνώριμός
796 ἐστιν ἐν τούτοις, ὡς ὑπὲρ τούτου τοῦτον προσήκει μισεῖν, τοῦτο βούλομαι δεῖξαι. πρῶτον μὲν ὅτι ἀνθρώπους ἐπιεικεῖς, οἷς [7] αἱ ἐγγύαι καὶ φιλανθρωπίαι γίγνονται [8] ὀφλήματα ἴδια, οἷς οὐ πρόσεστι κοινὰ ἀδικήματα, ἠτυχηκέναι δὲ συμβέβηκεν, εἰς τὴν ὁμοίαν τάξιν [9] αὐτῷ καὶ βλασφημίαν ἄγει, οὐκ ὀρθῶς, οὐδὲ προσηκόντως. οὐ γάρ ἐστιν ὅμοιον, Ἀριστόγειτον, οὐδὲ πολλοῦ δεῖ, γράψαντά σε τῶν πολιτῶν τρεῖς ἀκρίτους ἀποκτεῖναι, γραφὴν ἁλῶναι παρα-

[1] παρὰ τοῦ; [2] * ἀκούσαιτε τὰς --- μισήσαιτε [3] παντὶ
[4] ἄλλων, πλὴν τοῦτον, ὀφείλειν [5] ὁμοίους οἶομαι τούτους. ο. π. δεῖ. ἀλλὰ πᾶν
[6] γὰρ * ἔστε [7] Deest articulus. [8] καὶ ὀφλήματα [9] αὐτῷ

στηκυίας. Auger.

ιζ'. Μισήσετε] Morelius dedit μισήσαιτε. In Cod. autem Italico ita scribitur hic locus: ἔτι μᾶλλον ἂν αὐτὸν μισήσετε, καὶ δικαίως ἀ ποκτείνετε. Taylor. M. ἀκούσαιτε, et μισήσαιτε. et v. 17. ἔστε. Auger.

Τῶν ἄλλων] Addunt Ven. et marg. Paris. πλὴν τούτων. Bar. autem et Aug. πλὴν τοῦτον. Legendum est autem πλὴν τούτου. Taylor.

Οὐδὲ πολλοῦ δεῖ] Interpretare, πολλοῦ γε καὶ δεῖ. Si minus placet, οὐδὲ πολλοῦ λόγου δεῖ. Wolf.

Ἐν τούτοις] *Inter hos qui circumstant.* ὑπὲρ τούτου, *hujus sui amici causa.* Auger.

Γίγνονται, καὶ ὀφλήματα ἴδια] Lego: γίγνονται ὀφλήματα ἴδια, et p. 384. v. 30. ταῦθ' οὗτος μονονοῦ. Wolf. Amplector potius vulgatam lectionem Impressorum Feric. Manut. et Lutec. γίγνονται, καὶ ὀφλήματα. Eamque satis bene reddit Versio Wolfiana. Taylor.

Οὐδὲ πολλοῦ δεῖ] *Neque multis verbis est opus.* Vide supra ad v. 14. Tu vertes: *neque enim idem est; longe abest.* Idem.

νόμων, καὶ δέον σε ἐπὶ ταύτῃ τεθνᾶναι, τιμήματος τυχεῖν· καὶ φίλον ἐγγυησάμενον, μὴ δύνασθαι ζημίαν ἀπροσδόκητον ἐνεγκεῖν. οὐχ ὅμοιον, οὔ.

κ'. Ἔπειθ', ὅτι τὴν κοινὴν φιλανθρωπίαν, ἣν ὑμεῖς ἔχετε ἐκ φύσεως πρὸς ἀλλήλους, οὗτος ἀναιρεῖ καὶ διαφθείρει τὸ καθ' αὑτὸν, ἴδοιτ' ἂν ἐντεῦθεν. ὑμεῖς γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ τῆς φύσεως πρὸς ἀλλήλους, ὅπερ εἶπον, χρώμενοι φιλανθρωπίᾳ, ὥσπερ αἱ συγγένειαι τὰς ἰδίας οἰκοῦσιν οἰκίας, οὕτω τὴν πόλιν οἰκεῖτε δημοσίᾳ. πῶς οὖν ἐκεῖναι; ὅπου πατήρ ἐστι, καὶ υἱεῖς ἄνδρες, τυχὸν δὲ καὶ τούτων παῖδες, ἐνταῦθα ἀνάγκη πολλὰς καὶ μηδὲν ὁμοίας εἶναι βουλήσεις. οὐ γὰρ τῶν αὐτῶν οὔτε λόγων, οὔτ' ἔργων ἐστὶν ἡ νεότης τῷ γήρᾳ. ἀλλ' ὅμως οἵ τε νέοι πάνθ' ὅσα ἂν πράττωσιν, ἄν περ ὦσι μέτριοι, οὕτω ποιοῦσιν, ὡς τε μάλιστα μὲν πειρᾶσθαι λανθάνειν, εἰ δὲ μὴ, φανεροί γ' εἶναι τοῦτο βουλόμενοι ποιεῖν· οἵ τε πρεσβύτεροι πάλιν, ἂν ἄρα ἴδωσιν ἢ δαπάνην, ἢ πότον, ἢ παιδιὰν πλείω τῆς μετρίας, οὕτω ταῦθ' ὁρῶσιν, ὡς τε μὴ δοκεῖν ἑωρακέναι. ἐκ δὲ τούτων γίγνεταί τε πάντα ἃ φέρουσιν αἱ φύσεις, καὶ καλῶς γίγνεται. τὸν αὐτὸν τοίνυν τρόπον τοῦτον καὶ ὑμεῖς, 797
ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πόλιν οἰκεῖτε συγγενικῶς καὶ φιλανθρώπως· οἱ μὲν οὕτως ὁρῶντες τὰ τῶν ἠτυχηκότων ἔργα, ὥστε, τὸ τῆς παροιμίας, ὁρῶντας μὴ ὁρᾶν, καὶ ἀκούοντας μὴ ἀκούειν, οἱ δ' οὕτω ποιοῦντες ἃ πράττουσιν, ὥστ' εἶναι φανεροὶ [1] φυλαττόμενοι καὶ αἰσχυνόμενοι. ἐκ δὲ τούτων ἡ κοινὴ καὶ πάντων τῶν ἀγαθῶν αἰτία τῇ πόλει μένει, καὶ συνέστηκεν ὁμόνοια. ταῦτα τοίνυν Ἀριστογείτων τὰ καλῶς οὕτω πεπηγότα τῇ φύσει, καὶ τοῖς ἤθεσι τοῖς ὑμετέροις, κινεῖ, καὶ ἀναιρεῖ, καὶ [2] μεταῤῥίπτει· καὶ ἃ τῶν ἄλλων τῶν ἠτυχηκότων ἕκαστος ἀψοφητὶ ποιεῖ, ταῦθ' οὗτος μονονοὺ κώδωνας ἐξαψάμενος διαπράττεται. οὐ πρύτανις, οὐ κήρυξ, οὐκ ἐπιστάτης, οὐχ ἡ προεδρεύουσα φυλὴ τούτου κρατεῖν δύναται. ἐπειδὰν οὖν τις ὑμῶν ἐφ' οἷς οὗτος ἀσελ-

[1] καὶ φυλαττόμενοι

[2] μεταῤῥιπτεῖ

κ'. Ὁρῶντας μὴ ὁρᾶν] *Seeing ye shall see and not understand.* Ita N. T. scriptores. Plutarch. de liberorum educat. circa finem ὡς ἔνια τῶν πραττομένων ὁρῶντας μὴ ὁρᾶν καὶ μὴ ἀκούειν ἀκούοντας. Idem *In schedis.* Οὗτος] Ita Bar. Bodl. marg. Paris. cum Lambino. Editi οὕτω. Vide supra ad p. 383. v. 21. Idem.

γαίνει, [1] λυπηθεὶς, τουτονὶ ταῦτα ποιεῖν εἴπῃ, καὶ ταῦτα, ὀφείλοντα τῷ δημοσίῳ, τί δ' ; οὐ καὶ ὁ δεῖνά, φησιν, ὀφείλει ; τὸν ἐχθρὸν ἕκαστος [2] εἰπὼν τὸν ἑαυτοῦ. ὥστε τὴν πονηρίαν τὴν τούτου αἰτίαν εἶναι τῶν βλασφημιῶν, αἳ περὶ τῶν οὐχ ὁμοίων τούτῳ διὰ τοῦτον γίγνονται.

κά. Λοιπὸν τοίνυν ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἀπαλλαγῆναι βουλομένοις τούτου, παράδειγμα σαφὲς καὶ ἐναργὲς ἔχοντας ἐκ τῶν νόμων, μάλιστα μὲν θανάτου αὐτῷ τιμῆσαι· εἰ δὲ μὴ, τοσοῦτον ἐπιθεῖναι τίμημα χρημάτων, ὅσον οὐ δυνήσεται φέρειν. ἄλλη γὰρ οὐκ ἔστιν ἀπαλλαγὴ τούτου, σαφῶς ἐπίστασθε. καὶ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι,
798 τῶν μὲν ἄλλων ἀνθρώπων ἄν τις ἴδοι τοὺς μὲν βελτίστους καὶ μετριωτάτους αὐτῇ τῇ φύσει πάντα ποιοῦντας ἑκόντας ἃ δεῖ· τοὺς δὲ χείρους μὲν τούτων, ἔξω δὲ τοῦ πονηροὺς ἄγαν κληθῆναι, τῷ φόβῳ τῷ πρὸς ὑμᾶς, καὶ τῷ τοῖς αἰσχροῖς, καὶ λόγοις, καὶ ὀνείδεσιν ἀλγεῖν, εὐλαβουμένους ἐξαμαρτάνειν· τοὺς δὲ πονηροτάτους καὶ τοὺς ἐξαγίστους ὀνομαζομένους, τάς γε συμφορὰς σωφρονίζειν λέγουσιν. οὗτοσὶ τοίνυν Ἀριστογείτων τοσοῦτον ὑπερῆρκε πάντας ἀν-

[1] λυπηθεὶς· τουτονὶ δὲ ταῦτα ποιεῖν; εἴπῃ, καὶ ταῦτ' ὀφ. τῷ δημοσίῳ; [2] ὑπειπὼν

Ταῦτα] *Eum* talia et talia *dicat agere, cum debeat ærario,* Wolfius. Parum exacte. *Si quis igitur vestrum motus ejus petulantia, conqueratur, eum istiusmodi facinora patrare,* adeoque, vel, atque etiam, *cum sit ærario obstrictus,* cætera. Atque ad eum sensum exemplaria nostra pungi curavimus. Idem. Lego et distinguo: λυπηθεὶς, τουτονὶ ταῦτα ποιεῖν, εἴπῃ, καὶ ταῦτα ὀφείλοντα τῷ δημοσίῳ; *ita ne istum hæc facere, dicit, cum debeat ærario?* Deinde: τί δ' ; οὐ καὶ ὁ δεῖνά, φησιν, ὀφείλει ; addo: καὶ ὁ δεῖνα, οὔ, φησιν, ὀφείλει, τὸν - - - - ἑαυτοῦ ; Auger.

Τί δ' ; οὐ καὶ ὁ δεῖνα] Apparet, hunc locum esse mutilatum. Sententia certe est: *Aristogitonis exemplo cives sua crimina communicare cum aliis, et ita propagari lites.* ad quam planius exprimendam verba quædam desunt. Wolf. Nihil simplicius loci hujus vera mente: Nihil Wolfii explicatione et suspicionibus futilius. *Cum Cives Aristogitoni petulantiam exprobrant, atque insuper, petulantiam hominis, qui publico erat obæratus, ibi, arrepta occasione inimicos suos sugillandi, quid? ait, Egone debeo solus? annon obæratus est quoque Simo, et Pamphilus et Charidemus?* Lege autem, τὸν ἐχθρὸν ἕκαστον εἰπὼν (vel ὑπειπὼν ut MSti fere omnes, cordate sane et feliciter!) τὸν ἑαυτοῦ. Taylor.

Τοῦτον] Restitui ex Editis et MStis. τούταν Wolfius. Idem.

κά. Παράδειγμα] Mihi quidem nec παράδειγμα, nec παράγγελμα, nec ἀδίκημα satis placet. Ac fieri potest, ut aliquid desit. Wolf. ἀδίκημα MSti Ven. Bar. Bodl. Lind. Obsop. Ital. marg. Benenati. Tayl.

Τοὺς δὲ πονηροτάτους καὶ τοὺς ἐξαγίστους] Ἐξαγίστους vocat *sceleratos ac diros,* qui etiam ἐναγεῖς, καὶ ἀλιτήριοι, καὶ ἐπάρατοι, καὶ τῇ ἀρᾷ ἔνοχοι, ἀλάστορές τε καὶ παλαμναῖοι, id est, *exsecrabiles, devoti manibus, impuri, et sacri, sanguinarii, sicarii, conscelerati.* Æschines κατὰ Κτησιφ. καὶ λιμὴν ὁ νῦν ἐξάγιστος καὶ ἐπάρατος ὠνομασμένος, id est, *sceleratus ac dirus portus. Ex edit.* Hervag.

Τάς τε συμφορὰς] Forte addendum καὶ τὰς τιμωρίας. Nisi legas τάς γε. Wolf. Recte sane. Et quanquam Baroc. habeat τάς γε, cæteri tamen omnes, credo, constanter, τάς τε, et marg. Paris. addit, quod Wolfius addi voluit. Taylor.

θρώπους πονηρία, ὡς τε οὐδὲ παθὼν ἐνουθετήθη, ἀλλ' ἐπὶ τοῖς αὐτοῖς ἀδικήμασι καὶ πλεονεκτήμασι πάλιν εἴληπται. καὶ τοσούτῳ πλείονος ὀργῆς ἄξιός ἐστι νῦν ἢ πρότερον, ὅσῳ τότε μὲν γράφειν μόνον ᾤετο δεῖν παρὰ τοὺς νόμους· νυνὶ δὲ [1] ταῦτα ποιεῖν, αἰτιᾶσθαι, λέγειν, διαβάλλειν, [2] ἄγειν, βλασφημεῖν, θανάτου τιμᾶσθαι, εἰσαγγέλλειν, κακολογεῖν τοὺς ἐπιτίμους, αὐτὸς ὀφείλων τῷ δημοσίῳ. τούτου γὰρ οὐδέν ἐστι δεινότερον. τὸ μὲν οὖν νουθετεῖν τοῦτον, μανία. ὃς γὰρ, οἷς ὁ δῆμος [3] ἅπαντας τοὺς ἐνοχλοῦντας ἑαυτὸν νουθετεῖ θορύβοις, μηδὲ πώποθ' ὑπεῖξε, μηδὲ διετράπη, ταχύ γ' ἂν φροντίσειέ τι τοῦ παρ' ἑνὸς λόγου. [4] ἀνίατον, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμά ἐστι τὸ τούτου. δεῖ δὴ πάντας, ὥσπερ [5] ἰατροὶ, ὅταν καρκῖνον, ἢ φαγέδαιναν, ἢ [6] τῶν ἀνιατωτάτων τί κακῶν ἴδωσιν, ἀπέκαυσαν, ἢ ὅλως ἀπέκοψαν, οὕτω τοῦτο τὸ θηρίον ὑμᾶς ἐξορίσαι, ῥίψαι ἐκ τῆς πόλεως, ἀνελεῖν, μὴ περιμείναντάς τι παθεῖν, ὃ [7] μήτε δημοσία γένοιτο, ἀλλὰ προευλαβηθέντας. ὧδὶ γὰρ ὁρᾶτε. οὐδένα πώποθ' ὑμῶν ἴσως ἔχις ἔδακεν, οὐδὲ φαλάγγιον, μήτε δάκοι [8] ποτέ· ἀλλ' ὅμως [9] πάντα τὰ τοιαῦτα 799
ἐπὰν ἴδητε, εὐθὺς [10] ἀποκτενεῖτε. τὸν αὐτὸν τοίνυν τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὅταν συκοφάντην, καὶ πικρὸν, καὶ ἔχιν τὴν φύσιν ἄνθρωπον ἴδητε, μή ποτε ἕκαστον ὑμῶν δήξεται, περιμένετε, ἀλλ' ὁ προστυχὼν ἀεὶ τιμωρείσθω.

κβ'. Λυκοῦργος μὲν οὖν τὴν Ἀθηνᾶν ἐμαρτύρετο, καὶ τὴν μητέρα τῶν θεῶν, καὶ καλῶς γ' ἐποίει· ἐγὼ δὲ τοὺς προγόνους τοὺς ὑμετέρους, καὶ τὰς ἀρετὰς ἐκείνων ἀνα-

[1] πάντα [2] [ἄγειν,] [3] ἅπας [4] ἀνίατον, ἀνίατον, ἄνδρες [5] οἱ ἰατροὶ, ὅ. καρκίνον
[6] τῶν ἄλλων ἀνιάτων τι [7] μήτ' ἰδία, μήτε δημ. [8] [ποτέ·] [9] ἅπαντα
[10] ἀποκτείνετε

Γράφειν μόνον] Post γράφειν, addo καὶ λέγειν, et deleo λέγειν v. seq. Pro ἄγειν lego ἀπάγειν. AUGER.

Ταῦτα] Vel πάντα potius, ut Ven. Bar. Aug. marg. Benen. Quod haud paulo melius. TAYLOR.

Ὁ δῆμος ἅπας] Obsop. ἅπαντας. WOLF. Cum Obsopœo excudit, cum cæteris omnibus (ἅπας enim omnes mordicus tenent) interpretatur Wolfius noster. TAYLOR.

Ἀνίατον] Ἀνίατον, ἀνίατον, majori cum vehementia et spiritu, legunt Ald. Ven. Bar. Lind. Aug. IDEM. Gemino. AUGER.

Φαγέδαιναν] Vid. Valckenaer. Animad. ad Ammon. Lib. III. cap. XVII. p. 225.

Ὅ μήτε δημοσία γένοιτο] Forte addendum μήτ' ἰδία. WOLF. ὃ μήτε ἰδίᾳ μήτε δημοσία γένοιτο, MSS. Ven. Bar. Lind. Aug. Ital. cum Editione Luteciana. TAYLOR. Wolfio quoque assentitur Augerus.

Μή ποτε] Pro μὴ ἕως. WOLF.

καλῶ, ὧν [1] οὐδὲ χρόνος τὴν μνήμην ἠφάνικεν. εἰκότως. ἐπολιτεύοντο γὰρ, οὐχὶ τοῖς πονηροτάτοις [2] καὶ συκοφάνταις συνεργεῖν διδόντες ἑαυτοὺς, οὐδὲ τὸν ἐντὸς τείχους φθόνον ἀσκοῦντες ἐπ' ἀλλήλους, ἀλλὰ καὶ τῶν ῥητόρων καὶ τῶν ἰδιωτῶν τοὺς μὲν σώφρονας καὶ χρηστοὺς τιμῶντες, τοὺς δὲ πονηροὺς καὶ θρασεῖς μισοῦντες καὶ κολάζοντες· ἐξ ὧν [3] πάντες ἀθληταὶ τῶν καλῶν ἔργων ἐγένοντο.

κγ'. Ἓν δ' εἰπὼν ἔτι, παύσασθαι βούλομαι. ἔξιτε αὐτίκα δὴ μάλα ἐκ τοῦ δικαστηρίου· θεωρήσουσι δ' ὑμᾶς οἱ περιεστηκότες, καὶ ξένοι καὶ πολῖται, καὶ κατ' ἄνδρα εἰς ἕκαστον τὸν παριόντα βλέψονται, καὶ φυσιογνωμονήσουσι τοὺς ἀποψηφισαμένους. τί οὖν [4] ἐρεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ προέμενοι τοὺς νόμους ἕξιτε; ποίοις προσώποις, ἢ τίσιν ὀφθαλμοῖς πρὸς ἕκαστον τούτων ἀντιβλέψεσθε; πῶς δ' εἰς τὸ μητρῷον βαδιεῖσθε, ἄν τι βούλησθε; οὐ γὰρ [5] δήπου καθ' ἕνα ὑμῶν ἕκαστος ὥσπερ ἐπὶ κυρίους τοὺς νόμους πορεύσεται, εἰ νῦν μὴ βεβαιώσαντες αὐτοὺς ἕξιτε ἅπαντες κοινῇ. πῶς δὲ ταῖς νουμηνίαις εἰς τὴν ἀκρόπολιν ἀναβαί-
800 νοντες, τἀγαθὰ τῇ πόλει διδόναι, καὶ ἕκαστος ἑαυτῷ τοῖς θεοῖς εὔξεται, ὅταν ὄντος τούτου ἐκεῖ, καὶ τοῦ πατρὸς αὐτοῦ τοῦ χρηστοῦ, τἀναντία τοῖς ὅρκοις, καὶ τοῖς ἐκεῖ γράμμασιν ἐγνωκότες ἦτε; ἢ τί ἐρεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι; τί ἐρεῖτε, ἄν τις ὑμᾶς ἐρωτᾷ, γνωρίσας τοὺς ἀποψηφισαμένους; τί φήσετε; ἀρέσκειν τοῦτον ὑμῖν; καὶ τίς ὁ τοῦτο τολμήσων εἰπεῖν; τίς ὁ τῆς τούτου πονηρίας μετ' ἀρᾶς καὶ κακῆς δόξης κληρονομεῖν βουλησόμενος, ἀλλ' οὐκ αὐτὸς ἕκαστος [6] καταψηφίσασθαι; οὐκοῦν καταρᾶσθαι τοῖς ἀποψηφισαμένοις, τοῦτο τὸ πιστὸν ἕκαστος διδοὺς, ὡς οὐκ αὐτὸς οὗτός ἐστι. καὶ τί δεῖ ταῦτα ποιεῖν, ἐξὸν εὐφημεῖν, καὶ ἅπαντας ἅπασι πάντα τἀγαθὰ εὔχεσθαι, καὶ ὑμᾶς ὑμῖν αὐτοῖς, καὶ τοὺς ἄλλους Ἀθηναίους ἅπαντας ὑμῖν;

[1] οὐδ' ὁ χρόνος [2] καὶ τοῖς συκοφάνταις [3] ἅπαντες [4] ἐρεῖτε; τί ἐρεῖτε, ὦ [5] δήπου γε καθ' [6] ἀποψηφίσασθαι; οὐκοῦν καταράσεσθε

κδ'. Συνεργεῖν διδόντες ἑαυτοὺς] Οὐ παρέσχον ἑαυτοὺς συμπράττοντας τοῖς συκοφάνταις. Idem.

Ἀθληταὶ τῶν καλῶν ἔργων] Vide Victor. Var. Lect. XXIV. 9. Taylor.

κγ'. Ἕκαστος] Add. φήσων. Deinde lego καταράσεσθε. Auger.

Καταρᾶσθαι] Lege καταρᾶσθε, ut marg. Morelii habet. Codd. Bar. Bodl. et Aug. καταράσεσθε. Taylor.

προσθήσω δὲ καὶ τοὺς ξένους, καὶ παῖδας, καὶ γυναῖκας. ἐφῖκται γὰρ, ἐφῖκται πάντων ἡ τούτου κακοπραγμοσύνη, καὶ πᾶσι βουλομένοις ἐστὶν ἀπαλλαγῆναι τῆς τούτου πονηρίας, καὶ δίκην δεδωκότα αὐτὸν ἐπιδεῖν.

Ἐφῖκται] Pro ἐφῖκται γὰρ πάντων, in antiquo vehementius sic: ἐφῖκται γὰρ, ἐφῖκται πάντων ἡ τούτου κακοπραγμοσύνη. *Pervenit enim*, pervenit *ad omnes hujus improbitas.* Facere autem eam repetitionem ad epitasin obscurum opinor esse nemini. Obsopœus.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ

ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

ά. Ὅτι μὲν [1] τοίνυν ὀφείλει τῷ δημοσίῳ Ἀριστογείτων οὑτοσὶ, καὶ οὐκ ἔστιν ἐπίτιμος, καὶ οἱ νόμοι διαῤῥήδην ἀπαγορεύουσιν [2] ἐν τῷ δήμῳ μὴ ἐξεῖναι τοῖς τοιούτοις λέ-
301 γειν, φανερῶς ἐπιδέδεικται, ἄνδρες δικασταί· δεῖ δ' ὑμᾶς ἅπαντας μὲν ἀπείργειν καὶ κωλύειν τοὺς παρανομοῦντας, πολὺ δὲ μάλιστα τοὺς ἐν ταῖς ἀρχαῖς ὄντας, καὶ τοὺς πολιτευομένους. διὰ γὰρ τούτους τὰ κοινὰ καὶ βλάπτεσθαι πέφυκεν, ἂν ὦσι φαῦλοι, καὶ τὰ μέγιστα πάλιν ὠφελεῖσθαι, ἐὰν ὦσιν ἐπιεικεῖς, καὶ θέλωσιν ἐμμένειν τοῖς νόμοις. ὡς ἂν ἅπαξ δῶτε τοῖς ὑπὲρ τῶν κοινῶν [3] ἐγχειροῦσι πράττειν τὸ παρανομεῖν καὶ καταφρονεῖν τῶν ὡρισμένων δικαίων, ἀναγκαῖόν ἐστιν ἅπαντας ἀπολαύειν τῆς τούτων κακίας τοὺς μετέχοντας τῆς πόλεως. ὥσπερ γὰρ τῶν ἐν ταῖς ναυσὶν ἁμαρτημάτων, ἃ συμβαίνει περὶ τοὺς πλοῦς, ὅταν μὲν τῶν ναυτῶν τις [4] ἁμάρτῃ, βραχεῖαν τὴν βλάβην ἤνε-

[1] τοίνυν καὶ ὀφείλει [2] [ἐν τῷ δήμῳ] [3] ἐγχειροῦσί τι πράττειν [4] ἁμάρτῃ * τι,

ΛΟΓΟΣ] Quanquam hanc Orationem multi negent esse Demosthenis, quod in ea nihil dignum sit Demosthenis eloquentia, de qua meum non est pronunciare, aut judicium facere, tamen cum multis in locis apud Aldum corruptissime excusa legatur, nolui illam qualemcunque præterire. Itaque quicquid invenire potui, libens et diligenter annotavi, inque medium contuli. Sic enim de Græcis Scriptoribus sentio, nullius Orationes sine aliquo fructu legi posse; ideoque nullas respuendas. OBSOPŒUS.

ά. Βλάπτεσθαι] Interpres recte ad sensum: *per hos* maximas *resp. clades accipit.* Uti profecto eum decebat. Sed Græca vitiosa sunt, et perquam incommode abest vox necessaria. Repone itaque μάλιστα. διὰ γὰρ τούτους τὰ κοινὰ καὶ μάλιστα βλάπτεσθαι πέφυκεν, ἂν ὦσι φαῦλοι, καὶ τὰ μέγιστα πάλιν ὠφελεῖσθαι, ἐὰν ὦσιν ἐπιεικεῖς. Vix satis erat dicere βλάπτεσθαι, ubi quæritur de gradu et intensione βλάβης, et unde Resp. *gravissimum* vulnus acciperet. TAYLOR. Cui assentitur Augerus.

Ὑπὲρ τῶν κοινῶν — πράττειν] Alii dicerent τὰ κοινὰ πράττειν, credo. Auscultabis ergo Codd. Bar. Bodl. Aug. τοῖς ὑπὲρ τῶν κοινῶν ἐγχειροῦσί τι πράττειν. TAYLOR.

γκεν, ὅταν δ' ὁ κυβερνήτης ἀποσφαλῇ, [1] ἢ διαμάρτῃ, κοινῇ τὴν ἀτυχίαν ἅπασι τοῖς συμπλέουσι κατεσκεύασεν· ὡσαύτως τὰ μὲν τῶν ἰδιωτῶν ἁμαρτήματα, οὐκ εἰς τὸ πλῆθος, εἰς δ' [2] αὐτοὺς ἤνεγκε τὰς βλάβας, τὰ δὲ τῶν ἀρχόντων καὶ πολιτευομένων εἰς ἅπαντας ὑμᾶς ἀφικνεῖται. διὸ καὶ τὰς τιμωρίας ὁ Σόλων τοῖς μὲν ἰδιώταις βραδείας ἐποίησε, ταῖς δ' ἀρχαῖς, καὶ τοῖς δημαγωγοῖς, ταχείας· ὑπολαμβάνων, τοῖς μὲν ἐνδέχεσθαι καὶ παρὰ τὸν χρόνον τὸ δίκαιον λαβεῖν, [3] τοῖς δ' οὐκ εἶναι περιμεῖναι τὸ ἐκδικούμενον. τὸ γὰρ τιμωρησόμενον οὐχ ὑπέσται, τῆς πολιτείας καταλυθείσης.

β'. Καὶ τούτοις τοῖς δικαίοις οὐδεὶς οὕτως οὔτε ἀναιδής, οὔτε ὑπὲρ ὑμᾶς φρονῶν ἐστιν, ὅστις ἀντιλέγειν ἐπιχειρήσει, πλὴν Ἀριστογείτονος [4] τούτου, καὶ τῆς τούτου τόλμης καὶ πονηρίας· ἀλλὰ πάσας τὰς ἀρχὰς, καὶ τοὺς πολιτευομένους εὑρήσομεν, ἐπειδὰν ἅπαξ [5] τί καταγνῶτε ὑμεῖς, τούτοις ἐμμένοντας. τοῦτο μὲν γὰρ, ὅταν ἀποχειροτονηθῶσί τινες τῶν ἐν ταῖς ἀρχαῖς, παραχρῆμα πέπαυνται ἄρχοντες, καὶ τοὺς στεφάνους περιῄρηνται· τοῦτο δὲ, ὅσοις τῶν θεσμοθετῶν εἰς Ἄρειον πάγον οὐχ οἷόν τ' ἐστὶν ἀνελθεῖν, παρέντες τὸ βιάζεσθαι, στέργουσιν [6] ἐμμένοντες ταῖς ὑμετέραις γνώσεσι. καὶ ταῦτ' εἰκότως ποιοῦσιν. ὥσπερ γὰρ, ὅταν ἄρχωσι, τοὺς ἰδιώτας οἴονται δεῖν αὐτοῖς πειθαρχεῖν, ὡσαύτως ὅταν αὐτοὶ ἰδιῶται γένωνται πάλιν, τοῖς τῆς πόλεως ἄρχουσι νόμοις δικαίως ἂν [7] ἀκολουθεῖεν. ἔτι τοίνυν οἱ πολιτευόμενοι πάντες, ἐκ τῶν παλαιῶν εἰ βούλεσθε ἀρξά- 802

[1] [ἢ διαμάρτῃ,] κοινὴν
[2] αὐτοὺς
[3] * τοὺς δ' ο. ε. περιμεῖναι [τὸ ἐκδικούμενον.]
[4] τουτοῦ
[5] τινὸς
[6] [ἐμμένοντες]
[7] ἀκολουθοῖεν

Κοινῇ] Obsop. κοινὴν τὴν ἀτυχίαν τοῖς ἐμπλέουσι, hoc est, τοῖς πλέουσιν ἐν τῇ νηί. Wolf.

Αὐτοὺς] Lege cum accuratius impressis αὐτοὺς, se ipsos. Taylor. Auger.

Τοῖς μὲν ἐνδέχεσθαι] Videtur ἀκυρολογία esse: quasi homines privati pœnas sumant de aliis, cum sententia sit, privatos quovis tempore licere ulcisci. Quid si legas: ὑπολαμβάναν παρὰ τῶν μὲν ἐνδέχεσθαι καὶ μετὰ χρόνον τὸ δίκαιον λαβεῖν· ἐπὶ τῶν δ' οὐκ εἶναι περιμεῖναι τὸ ἐκδικούμενον? Nota τὸ ἐκδικούμενον, τὸ τιμωρησόμενον, ἀντὶ ἐκδικήσεως, καὶ τιμωρίας. Wolf. Pro παρὰ M. μετά. Deinde leg. ἐπὶ τοῖς δ'. Auger.

Τὸ ἐκδικούμενον] In nonnullis exemplaribus desunt ea verba. Et sane nullo cum detrimento abesse posse judico. Enata sunt nimirum e margine. Taylor.

Τὸ γὰρ] Lege omnino: τὸν γὰρ τιμωρησόμενον οὐχ ὑπολείπεσθαι. Illud suppeditavit Bar. utrumque Ven. Aug. et marg. Benenati. Γρ. etiam ὑπολείπεσθαι ἔτι. Idem.

β'. Τούτοις ἐμμένοντας] Malim τούτοις, sub. τοῖς κατεγνωσμένοις. Wolf. Cum Wolfio, Ven. Bar. Aug. et marg. Benenati. Taylor. τούτοις pro τούτῳ, *judicio vestro*. Auger.

μενοι χρόνων θεωρεῖν, ὡσαύτως φαίνονται καὶ αὐτοὶ εἴκοντες τοῖς ὑμετέροις δικαίοις. Ἀριστείδην μὲν γάρ φασιν ὑπὸ τῶν προγόνων [1] μετατεθέντα, ἐν Αἰγίνῃ διατρίβειν, ἕως αὐτὸν [2] ὁ δῆμος κατεδέξατο· Μιλτιάδην δὲ καὶ Περικλέα ὄφλοντας, τὸν μὲν τριάκοντα, τὸν δὲ πεντήκοντα τάλαντα, ἐκτίσαντας οὕτω δημηγορεῖν. ὃ καὶ δεινότατον ἂν εἴη συμβαῖνον, τοὺς μὲν πολλὰ καὶ μεγάλα ποιήσαντας ὑμᾶς ἀγαθὰ μὴ τυχεῖν ταύτης τῆς δωρεᾶς, ὥστε παρὰ τοὺς νόμους τοὺς κειμένους τι παρ' ὑμῖν πράξαι· τὸν δὲ μηδὲν μὲν ἀγαθὸν εἰργασμένον, παμπληθῆ δ' ἐξημαρτηκότα, τοῦτον οὕτω προχείρως φαίνεσθαι, καὶ παρὰ τὸ συμφέρον, [3] καὶ τὸ δίκαιον, ἐξουσίαν παρ' ὑμῶν τοῦ παρανομεῖν εἰληφότα.

γ'. Καὶ τί δεῖ λέγειν περὶ τῶν παλαιῶν; ἀλλὰ τοὺς
803 ἐφ' ὑμῶν αὐτῶν ἀναλογίσασθε, εἴ τις οὕτως ἀναιδὴς γέγονε πώποτε. οὐδένα [4] γὰρ εὕροιτε, εἰ βούλησθε ἀκριβῶς ἐξετάζειν. χωρὶς τοίνυν τούτων, ὅταν τις ψηφίσματος ἢ νόμου γραφὴν ἀπενέγκῃ πρὸς τοὺς θεσμοθέτας, ὁ μὲν νόμος, ἢ τὸ ψήφισμα ἄκυρόν ἐστιν, ὁ δὲ θεὶς ἢ γράψας, οὐδὲν ἀναισχυντεῖ διαζόμενος, ἀλλ' ὅ,τι ἂν ὑμεῖς ψηφίσησθε, τούτῳ ἐμμένει, κἂν ἧ πρῶτος [5] τῷ δύνασθαι λέγειν, ἢ πράττειν ἐν ὑμῖν. καί τοι πῶς οὐκ ἄτοπον, ἃ μὲν ἅπαντες ὑμεῖς συλλεγέντες ἐψηφίσασθε κατὰ τοὺς νόμους, ἄκυρα εἶναι· τὴν δὲ Ἀριστογείτονος βούλησιν εἰς τὸ παρανομεῖν κυριωτέραν οἴεσθαι δεῖν [6] νόμων αὐτῶν καταστῆσαι; πάλιν τοίνυν, ὅταν τις ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἐφ' οἷς οἱ νόμοι κελεύουσι τὸ λοιπὸν μὴ γράφεσθαι, μηδ' ἀπάγειν, μηδ' ἐφηγεῖσθαι, τὸν αὐτὸν τρό-

[1] μετασταθέντα [2] ὁ δῆμος αὐτὸν [3] καὶ παρὰ τὸ [4] γὰρ ἂν εὕροιτε, εἰ βούλοισθε [5] τὸ [6] τῶν νόμων

Μετατεθέντα] Lege μεταστάθέντα auctoritate Codd. meliorum. TAYLOR. AUGER.

Ἐκτίσαντας] De Pericle esto. Miltiadem vero in carcere computruisse tradunt. WOLF. Ante ἐκτίσαντας in Cod. Baroc. scribitur ἀποδόντας. Nemini certe dubium esse possit, id olim aut scholion fuisse, aut variam demum lectionem. TAYLOR.

γ'. Τούτῳ ἐμμένει] Nempe, judicio Themothetarum; τούτῳ non cohæret cum ὅ,τι quod præcedit. AUGER.

Κατὰ τοὺς νόμους] In editis male distingui solitum, ἃ μὲν ἅπαντες ὑμεῖς συλλεγέντες ἐψηφίσασθε, κατὰ τοὺς νόμους ἄκυρα εἶναι. Tu corriges mecum. Et acerrima sane est oppositio. *Irrita ergo fient, quæ vos olim legitime sanxistis: Ejus voluntas ad malefaciendum magis rata erit, quam Leges ipsæ.* Pro κατὰ hic MSti διὰ, non recte. TAYLOR.

πον παρὰ ταῦτ' οὐδεὶς οἴεται δεῖν πράττειν τῶν ἐνόχων ὄντων τούτοις τοῖς ἐπιτιμίοις· Ἀριστογείτονι δ', ὡς ἔοικε, μόνῳ τῶν [1] πάντων οὐδὲν οὔτε δικαστήριον, οὔτε νόμος [2] κυριώτερόν ἐστι τῆς αὐτοῦ βουλήσεως. καὶ ταῦτα πάντα οὕτω διαφυλάττουσιν, οὐδὲ πώποτε οὐθ' ὑμῖν, οὔτε τοῖς προγόνοις μετεμέλησεν. ἔστι γὰρ δημοκρατίας φυλακή, τὸ τῶν μὲν ἐχθρῶν ἢ βουλευομένους, ἢ μαχομένους περιεῖναι· τῶν δὲ νόμων, ἢ προαιρουμένους, ἢ [3] ἀναγκαζομένους ἡττᾶσθαι.

δ'. Καὶ ταῦθ' ὅτι τοῦτον τὸν τρόπον προσήκει πράττεσθαι, καὶ παρ' αὐτοῦ τούτου φανερῶς συνωμολόγηται. ὅτε γὰρ Ὑπερίδης ἔγραψε, τῶν περὶ Χαιρώνειαν ἀτυχημάτων τοῖς Ἕλλησι γενομένων, καὶ τῆς πόλεως ὑπὲρ αὐτῶν τῶν ἐδαφῶν εἰς κίνδυνον μέγιστον [4] κατακεκλιμένης, εἶναι τοὺς ἀτίμους ἐπιτίμους, ἵν' ὁμονοοῦντες ἅπαντες ὑπὲρ τῆς 304
ἐλευθερίας προθύμως ἀγωνίζωνται, ὅταν τις κίνδυνος τηλικοῦτος καταλαμβάνῃ τὴν πόλιν· τούτου τοῦ ψηφίσματος γραφὴν παρανόμων ἀπενέγκας ἠγωνίζετο ἐν τῷ δικαστηρίῳ. καί τοι πῶς οὐ δεινὸν εἰς μὲν τὴν [5] ὑπὲρ τῆς πατρίδος σωτηρίαν μηδενὶ τῶν πολιτῶν Ἀριστογείτονα τουτονὶ συγχωρῆσαι τυχεῖν τῆς ἐπιτιμίας· εἰς δὲ τὴν αὐτοῦ παρανομίαν παρὰ πάντων ὑμῶν ἀξιοῦν λαμβάνειν τὴν αὐτὴν δωρεάν; καί τοι πολύ γε νομιμώτερον καὶ δικαιότερον τὸ ψήφισμα ἐκεῖνο ἦν, οὗ σὺ νῦν ἀξιοῖς ψηφίσασθαί σοι τουτουσί. τὸ μὲν γὰρ ἴσον καὶ κοινὸν ἅπασι τοῖς πολίταις ἦν· τὸ δὲ ἄνισον, καὶ σοὶ μόνῳ τῶν ἐν τῇ πόλει τὴν πλεονεξίαν κατασκευάζον. καὶ τὸ μέν, ὑπὲρ τοῦ μὴ γενέσθαι τὴν εἰρήνην, ἐφ' ᾧ τε ἕνα κύριον τῆς ὅλης πολιτείας καταστῆναι·

[1] ἁπάντων [2] κυριώτερός [3] συναναγκαζομένους [4] κατακεκλημένης [5] [ὑπὲρ]

δ'. Παρ' αὐτοῦ τούτου] Nempe, Ἀριστογείτονος. AUGER.

Ἔγραψε] Vide notata ad initium Orationis Lycurgi c. Leocratem. Hanc rogationem memorat et judicium propter eam ab Aristogitone institutum Plutarchus in vita Hyperidis. Κριθεὶς δ' ὑπὸ Ἀριστογείτονος παρανόμων, ἐπὶ τῷ γράψαι μετὰ Χαιρώνειαν — ἀπέφυγεν· αἰτιωμένων δέ τινων αὐτὸν, ὡς παριδόντα πολλοὺς νόμους ἐν τῷ ψηφίσματι, εἰ μὴ ἐπεσκότει, ἔφη, μοι τὰ Μακεδόνων ὅπλα, οὐκ ἐγὼ τὸ ψήφισμα ἔγραψα, ἡ δ' ἐν Χαιρωνείᾳ μάχη. Similiter Longinus §. 15. Ὡς, νὴ Δία, καὶ ὁ Ὑπερίδης κατηγορούμενος, ἐπειδὴ τοὺς δούλους μετὰ τὴν ἧτταν ἐλευθέρους ἐψηφίσατο, εἶπεν, οὐχ ὁ ῥήτωρ ἔγραψεν, ἀλλ' ἡ ἐν Χαιρωνείᾳ μάχη. TAYLOR.

Κατακεκλιμένης] Imo κατακεκλεισμένης. AUGER.

Ἐφ' ᾧ τε ἕνα] Marg. Benenati habet ἐφ' ᾧ τε μὴ ἕνα. Sed inutiliter. Mentem Scriptoris satis expressit Wolfius in in-

τὸ δ', ὑπὲρ τοῦ τὰ τουτωνὶ δόγματα καὶ νόμιμα ἐκ παλαιοῦ παραδοθέντα ὑπὸ τῶν προγόνων σοὶ μόνῳ δεδόσθαι ἐξουσίαν ἀδεῶς παραβαίνοντι καὶ πράττοντι, ὅ,τι ἂν βουληθῇς. ἡδέως δ' ἂν ἔγωγε αὐτὸν ἐρωτήσαιμι, ᾧτέρα ἔννομον καὶ δικαίαν ἐποιήσατο τοῦ ψηφίσματος τὴν γραφὴν, ἢ τοὐναντίον, ἄδικον καὶ παράνομον. εἰ μὲν γὰρ ἀσύμφορον, καὶ τῷ δήμῳ βλαβερὰν, δι' αὐτὸ τοῦτο δικαίως ἂν ἀποθάνοις· εἰ δὲ συμφέρουσαν, καὶ τοῖς πολλοῖς ὠφέλιμον, διὰ τί νῦν τἀναντία, οἷς αὐτὸς ἔγραψας, ψηφίζεσθαι τούτους ἀξιοῖς; ἀλλ' οὔτ' ἐκεῖνα δίκαια, οὔτε ταῦτα ἔννομα, οὐδὲ συμφέροντά ἐστιν ὑμῖν.

ε. Ὁρῶ δ' ὑμᾶς ἔγωγε, ὦ ἄνδρες δικασταὶ, ταύτην ἔχοντας τὴν γνώμην καὶ περὶ ὑμῶν αὐτῶν· πολλὰς γὰρ
805 ἐνδείξεις ἤδη κατεψηφίσασθε ἰδιωτῶν ἀνθρώπων. καί τοι πῶς οὐ δεινὸν, ἐφ' ὑμῶν μὲν αὐτῶν ἐξετάζεσθαι ἀκριβῶς τοὺς νόμους, ἐπὶ δὲ τῶν περιεργαζομένων [1] τι, καὶ κοινῇ πάντας ἐνοχλούντων, καὶ προσποιουμένων ὑπὲρ τοὺς ἄλλους εἶναι, ῥᾳθύμως οὕτως ἔχειν; οὐ γὰρ δή τινες ὑμῶν οὕτως ἔχουσιν, ὡς [2] προσήκειν μὲν ταῦθ' οὕτως ἔχειν, ὡς ἐγὼ λέγω, διὰ δὲ τὴν ἐπιείκειαν τὴν Ἀριστογείτονος, καὶ τὸ χρήσιμον αὐτὸν ὑμῖν εἶναι, παροπτέον [3] τί καὶ παρανομοῦντα αὐτόν. ὅτι μὲν γὰρ πονηρὸς, καὶ τὸν τρόπον ἄδικος, ἱκανῶς ὑμῖν, ὡς ἔγωγ' οἶμαι, ἐκ τῶν προειρημένων Λυκοῦργος ἐπέδειξεν· ὅτι δὲ οὐδὲ χρήσιμος, ἐξ αὐτῶν τῶν πολιτευμάτων ἂν τις [4] αὐτὸν θεωρήσειε. τίνα γὰρ παραγαγὼν εἰς τὸ δικαστήριον ὧν ἠτιᾶτο, τούτων ἤρηκε κατηγορῶν; ἢ ποῖον πόρον ὑμῖν πεπόρικεν; ἢ τί ψήφισμα γέγραφεν, ᾧ πεισθέντες ὑμεῖς οὐ πάλιν μετανοῆσαι προείλεσθε; καὶ γὰρ ταῦτα οὕτω σκαιός ἐστι, καὶ βάρβαρος τὸν τρόπον, ὥσθ', ὅταν ὑμᾶς ἴδῃ παροργισθέντας [3] τί πρός τινας, καὶ μᾶλλον τοῦ δέοντος παροξυνθέντας, τηνικαῦτα παρὰ τὴν ὀργὴν ὑμῶν τὰ βουλήματα λαβὼν, τοῖς καιροῖς ἐναντιοῦται. δεῖ

[1] τε [2] προσήκει [3] τι [4] * αὐτοῦ

terpretatione. TAYLOR.

Τουτωνὶ] *Atheniensium.* AUGER.

ε. Τι] L. τε. et v. 25. αὐτοῦ. et v. 26. τοῦτον pro τούτων. IDEM.

Προσήκειν] Προσήκει Ven. Baroc. ὡς οἴεσθαι προσήκειν Bodl. Melius sane, ὡς προσῆκον. TAYLOR.

Καὶ γὰρ ταῦτα] Τὸ ταῦτα non video quid faciat ad sensum. WOLF. καὶ γὰρ παρὰ ταῦτα Bodl. Quod fere interpretatur Wolfius. TAYLOR.

Τοῖς καιροῖς ἐναντιοῦται] *Age vero,* inquit

δὲ τὸν πολιτευόμενον ὑπὲρ ὑμῶν, οὐχὶ τοῖς ἐξαίφνης μετ᾽ ὀργῆς πάθεσιν ὑμῖν συμπίπτουσιν ἐπακολουθεῖν, ἀλλὰ τοῖς λογισμοῖς, καὶ τοῖς πράγμασι, καὶ τοῖς ὑπάρχουσι καιροῖς ἀκολουθεῖν. τὰ μὲν γὰρ, ταχὺ μεταπίπτειν εἴθισται· τὰ δὲ, διαμένειν καὶ πλείονα χρόνον ὑπάρχειν. ὧν οὗτος οὐδὲν ἐνθυμούμενος ἐλέγχει τὰ ἀπόῤῥητα τῆς πολιτείας, ὥστε ταὐτὰ ἀναγκάζεσθαι καὶ κύρια, καὶ πάλιν ἄκυρα ποιεῖν. 806

ς'. Ἀλλ᾽ ἴσως, ὅτι πρὸς ἅπαντας ἀεὶ προαιρεῖται λοιδορεῖσθαι, καὶ μέμφεσθαι, καὶ διασπᾶσθαι τὰ λεγόμενα, διὰ ταῦτα περιποιῆσαι νῦν αὐτὸν ἁρμόττει; ἀλλὰ ταῦτά γε, νὴ τὴν Ἀθηνᾶν, ὄνειδός ἐστιν, ἄνδρες δικασταὶ, [1] τὰ γιγνόμενα τῇ πόλει ἐπὶ τοῦ βήματος, καὶ διὰ τὰς τούτων ἀπονοίας ἐπονείδιστον ἤδη τὸ πολιτεύεσθαι παρὰ τοῖς ἐπιεικέσιν ὑμῶν ἐστίν. εἰ δ᾽ [2] οὖν τινὶ ὑμῶν τοῦτ᾽ ἐν ἡδονῇ συμβέβηκεν, οὐκ ἀπορήσετε τῶν τὰ τοιαῦτα ποιησόντων· ἐπεὶ καὶ νῦν μεστὸν τὸ βῆμά ἐστιν. οὐ γὰρ ἐπιτιμᾷν τοῖς συμβουλευομένοις χαλεπὸν, ἀλλὰ συμβουλεῦσαί τι καὶ πεῖσαι τῶν δεόντων ὑμᾶς ψηφίσασθαι. πρὸς δὲ τούτοις, εἰ μὲν μὴ καὶ πρότερον τοῖς αὐτοῖς τούτοις χρώμενος λόγοις ἐξηπάτησεν ὑμᾶς, ὅτ᾽ ἠγωνίζετο τὴν προτέραν ἔνδειξιν, ἦν μὲν οὐδ᾽ οὕτω δίκαιον τὸ παρὰ τοὺς ὑπάρχοντας νόμους τι συγχωρεῖν· οὐ δεῖ [3] γὰρ παρανομεῖν δόντας τισὶ, τοὺς ἄλλους κατὰ τοὺς νόμους ἀξιοῦν πράττειν· οὐ μὴν ἀλλ᾽

[1] τῇ πόλει γιγνόμενα [2] οὖν ταὐτά τισιν ὑμῶν ἐν [3] γὰρ, τὸ παρανομεῖν

Ille, *si hic non satis insanit sua sponte, instiga.* Irati placandi sunt potius, quam inflammandi. Hoc enim illud tempus postulat. Si non placet, *occasionibus adversetur*, repone, *omnem excedat modum.* Wolf. Nescio sane, annon rectius ita distinguere et legere : τυνικαῦτα παρὰ τὴν ὀργὴν ὑμᾶν, τὰ βουλεύματα λαβὰν cætera. *accommodans sua consilia vestræ iracundiæ.* Taylor. Taylorum exscribit Augerus.

Ἀκολουθεῖν] Optimi Codd. non agnoscunt, et certe minus est necessarium. Immo profecto ingrata est admodum horum vocabulorum repetitio in eodem fere commate. Taylor.

Ὑπάρχειν] Ὑπάρχει Wolfius, errore, ut puto, operarum. Idem.

Ἐλέγχει τὰ ἀπόῤῥητα τῆς πολιτείας] Obsop. ἐλέγχεται. Τὰ ἀπόῤῥητα utrum arcana, an vero, quæ interdicta sunt? Vetitæ fuerunt ἀντινομίαι, cædemque nimis fuere manifestæ, quod ex multis Demosthenis locis apparet. Wolf.

ς'. Καὶ διασπᾶσθαι] Annotatum est καὶ διαβοᾶσθαι. Sed prius magis probo. Sequitur enim, οὐ γὰρ ἐπιτιμᾷν τοῖς συμβουλευομένοις etc. Idem. διαβοᾶσθαι habet auctoritatem eorum Codd. qui ætate et fide vincunt. Quorum nonnulli ita collocant : λοιδορεῖσθαι, καὶ διαβοᾶσθαι, καὶ μέμφεσθαι τὰ λεγόμενα. Id utique unice verum est. Taylor.

Τῇ πόλει] Emendatius multo Cod. Bar. si bona fide verterit hæc Wolfius, quod sane puto : sc. ὄνειδός ἐστιν, ἄνδρες δικασταὶ, τῇ πόλει τὰ γινόμενα ἐπὶ τοῦ βήματος. Idem. Transpone. Auger.

Ἐν ἡδονῇ] Idem fere sonat, quod πρὸς ἡδονὴν et πρὸς ἡδονῆς. Vid. D'Orville ad Charit. Aphrod. Lib. VI. cap. IV. p. 554.

Παρανομεῖν] Τὸ παρανομεῖν, omnino, ut

ἴσως γε εὐλογώτερον ἦν τὸ πιστεῦσαι, καὶ καταχαρίσασθαι, καὶ προέσθαι τι τῶν τοιούτων. ἐπειδὴ δὲ τότ' ἀφέντες ἐπὶ ταῖς μελλούσαις ἐλπίσι, μικρὸν ὕστερον τὸν αὐτὸν τοῦτον ὡς πράττοντα, καὶ λέγοντα, μὴ τὰ ἄριστα τῷ δήμῳ πάλιν ἐκολάσατε, τίς ὑπολείπεται σκῆψις ὑμῖν ἁρμόττουσα, ἂν νῦν παρακρουσθῆτε; ὧν μὲν γὰρ ἔργῳ πεῖραν εἰλήφατε, τί δεῖ τοῖς λόγοις πιστεύειν; ὧν δὲ μηδέπω τὴν δοκιμασίαν ἔχετε ἀκριβῆ παρ' ὑμῖν αὐτοῖς, ἐκ τῶν λεγομένων ἴσως ἀναγκαῖόν ἐστι κρίνειν.

ζ'. Θαυμάζω δ' ἔγωγε τῶν οὕτως ἐχόντων, ὥστε τὰ μὲν ἴδια τοῖς ἐκ τῶν παρεληλυθότων χρόνων οὖσιν ἐπιεικέσι, τούτοις παρακατατίθεσθαι· τὰ δ' ἐν τῇ πολιτείᾳ κοινὰ τοῖς [1]ὁμολογουμένως ἐξεληλεγμένοις οὖσι φαύλοις ἐπιτρέπειν. καὶ κύνα μὲν ἐπὶ ποίμνιον ἀγεννῆ καὶ φαῦλον οὐδ' ἂν εἷς ἐπιστήσειε φυλάττειν· ἐπὶ δὲ τοὺς τὰ κοινὰ πράττοντας τοὺς τυχόντας ἀνθρώπους φασὶν ἔνιοί [2]τινες δεῖν φύλακας ἐφιστάνειν, οἳ προσποιούμενοι μηνύειν τοὺς [3]ἁμαρτάνοντας, αὐτοὶ τῆς μεγίστης εἰσὶ φυλακῆς δεόμενοι. ὧν, ἐὰν ἔχητε νοῦν, ἐνθυμούμενοι τοὺς μὲν φάσκοντας [4]τούτῳ τῷ λόγῳ φιλεῖν ὑμᾶς, χαίρειν [5]ἐάσατε· αὐτοὶ δὲ τοῦτ' ἐκ παντὸς τρόπου παραφυλάξατε, ὅπως μηδενὶ δῶτ' ἐξουσίαν, ἀκύρους τοὺς νόμους ποιεῖν, ἄλλως τε, καὶ τῶν [6]πολλῶν ὑπὲρ τοῦ πλήθους καὶ λέγειν, καὶ γράφειν δύνασθαι προσποιουμένων. ὡς πάνδεινόν ἐστι, τοὺς

807

[1] ὁμολογουμένοις καὶ ἐξεληλ. ο. φ., τούτοις ἐπιτρέπειν [2] [τινες] [3] ἐξαμαρτάνοντας
[4] τούτους [5] ἐάσετε [6] * πολλὰ

optimi habent. TAYLOR.

Τὸ πιστεῦσαι καὶ καταχαρίσασθαι] Forte τό τε πιστεῦσαι. WOLF. Wolfium credo rem recta via reputasse, et, si per typothetam licuisset, id ipsum dixisse, quod res est: τότε nimirum, *tunc, eo tempore*, cum nondum vos deceperat: in primo aditu. TAYLOR.

Μελλούσαις] Obsop. ὁμολογουμέναις. Quod non placet. WOLF. Scripti etiam libri cuncti. TAYLOR.

ζ'. Παρακατατιθεμένων] Rectius παρακατατίθεσθαι, et v. 14. ἐπιτρέπειν. Et sic Obsopœus. WOLF. Felicianus etiam, aliique. TAYLOR.

Ὁμολογουμένως] Cusi ante Wolfium, ὁμολογουμένοις καὶ ἐξεληλεγμένοις. Melius fortasse disjunctive: ἢ ἐξελ. *quorum improbitas* vel *manifeste ab omnibus deprehenditur*, vel *in judicio ita visa est*. IDEM.

Ἐπιτρέπειν] Lege τούτοις ἐπιτρ. ut Ven. IDEM.

Ἔνιοί τινες] Τινες delendum, et v. 20. M. ἐάσετε, et v. seq. παραφυλάξετε, et v. pen. L. καὶ τῶν πολλὰ, ita ut τῶν cohæreat cum μηδενί. AUGER.

Ἄλλως τε] Forte ἄλλως τε τῶν πολιτευομένων καὶ ὑπὲρ τοῦ πλήθους. Verti: *præsertim cum vulgares etiam homines populi suscipere causam et dicendo et decernendo non recusent*. Nunc hanc lectionem sequor. WOLF. Lambinus legit ἄλλως τε καὶ πολλῶν, sine articulo: *præsertim cum multi sint, qui profitentur, se dicere et decernere posse pro Rep.* TAYLOR.

μὲν προγόνους ὑπὲρ τοῦ μὴ καταλυθῆναι τοὺς νόμους ἀποθνήσκειν τολμᾷν· ὑμᾶς δὲ μηδὲ τοὺς ἁμαρτάνοντας εἰς [1] αὐτοὺς τιμωρεῖσθαι προελέσθαι. καὶ τὸν μὲν γράψαντα τοὺς νόμους Σόλωνα ψηφίσασθαι χαλκοῦν ἐν ἀγορᾷ στῆσαι· αὐτῶν δὲ τῶν νόμων οὕτως ὀλιγωροῦντας φαίνεσθαι, δι' οὓς κἀκεῖνον ὑπερβαλλόντως συμβέβηκε τιμᾶσθαι. πῶς [2] καὶ οὐκ ἂν εἴη τὸ συμβαῖνον ἄλογον, εἰ νομοθετοῦντες μὲν ὀργίζεσθε τοῖς πονηροῖς, [3] ἐπ' αὐτοφώρῳ δέ τινας εἰληφότες ἀθῴους ἐάσετε· καὶ τὸν μὲν νομοθέτην ἕνα ὄντα πᾶσιν ὑπὲρ ὑμῶν ἀπεχθάνεσθαι τοῖς φαύλοις, ὑμᾶς δὲ μηδ' ὑπὲρ ὑμῶν αὐτῶν κοινῇ συλλεγέντας ἐπιδείξασθαι μισοῦντας τοὺς πονηροὺς, ἀλλ' ὑφ' ἑνὸς ἀνδρὸς πονηρίας ἡττηθῆναι; καὶ θάνατον μὲν ὡρικέναι ζημίαν, ἐάν τις οὐκ ὄντα νόμον παράσχηται· τοὺς δὲ [4] ὄντας εἰς τὴν τῶν οὐκ ὄντων νόμων 808
τάξιν ἄγοντας, τούτους ἀτιμωρήτους περιορᾶν;

ἡ. Οὕτω δ' ἂν ἀκριβέστατα [5] συνθεωρήσετε τὸ τοῖς κειμένοις νόμοις πείθεσθαι ἡλίκον ἀγαθόν ἐστι, καὶ τὸ καταφρονεῖν καὶ μὴ πειθαρχεῖν αὐτοῖς ἡλίκον κακὸν, εἰ [6] τὰ ἐκ τῶν νόμων ἀγαθὰ χωρὶς, καὶ τὰ διὰ τῆς παρανομίας συμβαίνοντα [7] πρὸ ὀφθαλμῶν ὑμῖν αὐτοῖς ποιησάμενοι [8] θεωρήσετε. εὑρήσετε γὰρ τὴν μὲν, τὰ τῆς μανίας καὶ τῆς ἀκρασίας καὶ τῆς πλεονεξίας, τοὺς δὲ, τὰ τῆς φρονήσεως, καὶ σωφροσύνης, καὶ δικαιοσύνης ἔργα διαπραττομένους. δῆλον δέ· τῶν γὰρ πόλεων ταύτας [9] ἄριστ' ἂν οἰκουμένας ἴδοιμεν ἂν, ἐν αἷς ἄριστοι νομοθέται γεγόνασι. τὰ μὲν γὰρ ἐν τοῖς σώμασιν ἀῤῥωστήματα τοῖς τῶν ἰατρῶν εὑρήμασι καταπαύεται· τὰς δ' ἐν ταῖς ψυχαῖς ἀγριότητας, αἱ τῶν νομοθετῶν ἐξορίζουσι διάνοιαι. ὅλως δὲ

[1] αὐτοὺς [2] καὶ] δ' [3] ἐπαυτοφώρῳ [4] τοὺς δὲ τοὺς ὄντας νόμους εἰς [5] συνθεωρήσαιτε [6] τά τε ἐκ [7] πρὸ τῶν ὀφθαλμῶν [8] *θεωρήσαιτε [9] ἄριστ' ἴδοιμεν ἂν οἰκουμένας, ἐν

Προελέσθαι] Deest in exemplaribus Linden. Obsop. et Ital. Id quod non arbitror esse verum. Nam quicunque hæc scripsit, instituit sane, quemadmodum inter ἀποθνήσκειν et τιμωρεῖσθαι, ita etiam oppositionem inter τολμᾷν et προελέσθαι. IDEM.

Ψηφίσασθαι] Ante ψηφίσασθαι sub. ὑμᾶς. AUGER.

Πῶς καὶ] Πῶς δὲ οὐκ ἂν εἴη κ. τ. λ. Editi. TAYLOR.

Τοὺς δὲ ὄντας] Lege, ut emendatiora exemplaria, τοὺς δὲ τοὺς ὄντας νόμους εἰς τὴν τῶν οὐκ ὄντων τάξιν ἄγοντας, vel τῶν ὥσπερ οὐκ ὄντων. IDEM. τοὺς δὲ τοὺς ὄντας. AUGER.

ἡ. Συνθεωρήσετε] Lege cum Lambino et Bodl. συνθεωρήσαιτε. TAYLOR.

οὐδὲν οὔτε σεμνὸν, οὔτε σπουδαῖον εὑρήσομεν, ὃ μὴ νόμου κεκοινώνηκεν. ἐπεὶ καὶ τὸν ὅλον κόσμον καὶ τὰ θεῖα, καὶ τὰς καλουμένας ὥρας, νόμος καὶ τάξις — εἰ χρὴ τοῖς ὁρωμένοις πιστεύειν — διοικεῖν φαίνεται. παρακαλέσαντες οὖν ὑμᾶς αὐτοὺς, ὦ ἄνδρες Ἀθηναῖοι, βοηθήσατε μὲν τοῖς νόμοις, καταψηφίσασθε δὲ τῶν εἰς τὸ θεῖον ἀσεβεῖν προῃρημένων. καὶ ταῦτα ἐὰν πράξητε, τὰ δέοντα ποιήσετε, καὶ τὰ κράτιστα ψηφιεῖσθε.

Διοικεῖν φαίνεται] Forte διοικῶν φαίνεται, sub. ὁ νόμος. WOLF.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΕΠΙΤΡΟΠΙΚΟΙ.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΑΦΟΒΟΥ ΕΠΙΤΡΟΠΗΣ ΛΟΓΟΥ.

Pag. ed. Reisk.

311 ΔΗΜΟΣΘΕΝΗΣ ὁ Παιανιεὺς, Δημοσθένους τοῦ ῥήτορος πατὴρ, τελευτῶν ἐπὶ δύο παισὶ, τῷ τε Δημοσθένει καὶ θυγατρὶ, ἐπιτρόπους καθίστησι καὶ τῶν παίδων καὶ τῶν χρημάτων τρεῖς. δύο μὲν συγγενεῖς, Ἄφοβόν τε καὶ Δημοφῶντα· ἕνα δὲ φίλον ἐκ παίδων, Θηριππίδην. καὶ Θηριππίδῃ μὲν δίδωσιν ἑξδομήκοντα καρποῦσθαι μνᾶς, ἄχρις ἂν Δημοσθένης εἰς ἄνδρας ἐγγραφῇ. Δη-
312 μοφῶντι δὲ ἐγγυᾷ τὴν θυγατέρα, προστάξας αὐτὸν πρεῖκα δύο τάλαντα λαβεῖν. Ἀφόβῳ δὲ, τὴν ἑαυτοῦ μὲν γυναῖκα, τῶν δὲ παίδων μητέρα, Κλεοβούλην τὴν Γύλωνος, ἀξιοῖ γήμασθαι, μνᾶς ἐπιδοὺς ὀγδοήκοντα· κεχρῆσθαι δὲ κελεύει τῇ τε οἰκίᾳ, καὶ τοῖς ἐν αὐτῇ σκεύεσι, μέχρι τῆς Δημοσθένους εἰς ἄνδρας ἐγγραφῆς. οὗτοι τὰ μὲν δοθέντα χρήματα αὐτοῖς εὐθὺς λαμβάνουσι· γαμεῖ δὲ οὔτε Ἄφοβος τὴν γυναῖκα τοῦ τελευτήσαντος, οὔτε Δημοφῶν τὴν θυγατέρα. διαχειρίσαντες δὲ τὴν οὐσίαν τεττάρων καὶ δέκα ταλάντων, ὡς ὁ ῥήτωρ ἐπιδείκνυσιν, ὀφείλοντες τριάκοντα τάλαντα ἐκτίσαι ἐπικαρπίας καὶ ἀποδοῦναι, μικρὰ παντελῶς παρέδωκαν εἰς ἄνδρας ἐγγραφέντι τῷ Δημοσθένει. διὸ πρὸς τὸν Ἄφεβον εἰςελήλυθεν ἐπιτροπῆς δέκα ταλάντων τὴν δίκην λαχὼν, ἐπειδὴ, τρίτος ὢν ἐπίτροπος, τὸ τρίτον ὀφείλει τῶν χρημάτων· ἃ καὶ συντίθησιν ὁ ῥήτωρ ἔκ τε τῶν ἀρχαίων, καὶ τῆς ἐπικαρπίας κατὰ Ἀφόβου, πρός τινας ἀντιῤῥήσεις, ἀγομένας ὑπὸ τοῦ Ἀφόβου. οὗτος ὁ λόγος ἐπηγώνισται. ἔχει δὲ καὶ τῶν προειρημένων ἐπανάμνησιν.

Ἐπιτρόπους] Erant Ἐπίτροποι, vel testamento, vel ab Archonte dati. Testamento datos fuisse constat e Demosthenis Orationibus contra Aphobum et Onetorem, unde eidem ἐν τῷ κ. Στεφ. ψευδομ. α. dicuntur ἐπιτροπεύεσθαι κατὰ τὴν διαθήκην. Ab Archonte dari scribit Pollux L. VIII. et Legem habes π. Μακάρτ. p. 1076. ed. R. quæ incipit ὁ Ἄρχων ἐπιμελείσθω τῶν ὀρφάνων κ. τ. λ. Tutores autem isti, sive testamento, sive ab Archonte dati, potestatem habebant in pupillos, qui illis erant crediti: nam *tutela est*, ut Servius definit, *vis ac potestas in capite libero, ad tuendum eum, qui propter ætatem suam sponte se defendere nequit.* L. 1. de tutelis:—habebant quoque potestatem in bona, et ea omnia faciebant, quæ pupilli facere tenebantur, donec adolevissent. Quare tutoris patrimonium obligatum erat pupillo. *Petit. Leg. Attic.* l. VI. t. VII. p. 591-2.

Ἐπιτροπῆς — τὴν δίκην] Vid. Herald. Animadv. in Salmas. Obss. ad Jus A. et R. l. II. c. VI. §. IV. sqq.

Καὶ συντίθησιν] F. συνίστησιν. et v. pen. τῆς ἐπικαρπίας κατ' Ἀφόβου, τὸ, κατ' Ἀφόβου, videtur abundare. Wolf.

Οὗτος ὁ λόγος ἐπηγώνισται] Hæc clausula pertinet ad secundam orationem. Idem.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ ΑΦΟΒΟΥ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

ά. Εἰ μὲν ἐβούλετο Ἄφοβος, ὦ ἄνδρες δικασταί, τὰ δί- 813
καια ποιεῖν ἢ περὶ ὧν διαφερόμεθα [1] τοῖς οἰκείοις ἐπιτρέ-

[1] τοῖς *γε οἰκείοις

ΚΑΤΑ ΑΦΟΒΟΥ] Consultus Chirius Fortunatianus libro Rhetoricorum 3. folio 102. In adoxo, id est, in humili genere materiæ proxima sermoni debent esse principia, neque sententiis alte petitis, neque verbis ultra modum ornatis, nec structura graviore, sed quasi resoluta et simplici. Vis autem omnium sententiarum, quam his principiis adhibemus, ea esse debet, ut rem a proprietate revocet ad communitatem, et dicat, omnium interesse illam rem vindicari, propterea quod quanto quæque minora sint, tanto crebrius et magis inter multos cadere possint: nec tam oportere spectari magnitudinem rerum et personarum, quam rationem æqui et iniqui, veri atque falsi. Eandem enim esse horum in minimis vim, quam in maximis. Talia principia sunt pleraque apud Demosthenem in his libris, qui inscribuntur Idiotici, et magis apud Lysiam, et apud quosdam ex nostris veteribus. Certe M. Tullius, quum pro Archia diceret, non aliter exorsus est. Wolf.

ΑΦΟΒΟΥ] In hac oratione circumventum se esse Demosthenes a tribus tutoribus dicit, et bona sua fraude eorum suppressa et interversa, quæ illi pauca a patre relicta esse dicebant, ipse vero ad quatuordecim talenta fuisse contenderat. Statim igitur post narrationem [§. γ'.] ita inquit, τὸ δὲ πλῆθος τῆς οὐσίας, ὅτι τοῦτ' ἦν τὸ καταλειφθὲν, etc. *Quod vero tantæ facultates a patre meo relictæ, maximi mihi testes iidem ipsi facti sunt. Siquidem in classibus ordinandis ipsi pro me professi sunt, ut in vicenas quinas minas quingenas ipsi drachmas conferrent, quantum scilicet conferebat Timotheus Cononis, et ii qui maximos tunc census possidebant.* His verbis Orator hujusmodi facere enthymema videtur. Cum nomine meo tutores ipsi mei in classes divitum relati, et tantum conferre professi sint, quantum qui plurimum, planum fit me quoque divitem ab eis æstimatum. Deinde recitatis testimoniis [§. γ'. fin.] ita subdit, δῆλον μὲν τοίνυν καὶ ἐκ τούτων ἐστὶ τὸ πλῆθος τῆς οὐσίας. πεντεκαίδεκα ταλάντων γὰρ τρία τάλαντα τίμημα, ταύτην ἠξίουν εἰσφέρειν τὴν εἰσφοράν. Id est, *Manifesta est igitur per ea quæ audistis relictarum mihi fortunarum copia, siquidem quindecim talentorum censum tria talenta, collationem pro me profitendam censuerunt.* Ex duobus his locis collatis intelligendum relinquitur, quod Demosthenes de sex millibus talentûm dixit, de mille ac ducentis dixisse: et quod illi quinis talentis censi in capita dicuntur, exæquatis tenuiorum cum copiosorum fortunis, ita intelligendum, ut quinta tantum parte bonorum censi essent, ut Demosthenes facultates suas quindecim talentûm fuisse ex eo argumentatur, quod tutorum professione pupillari nomine facta, tribus talentis census sit. Qua ratione et ditissimi cujusque substantia censebatur, ea lege ut hactenus conferre teneretur, si ratio ita posceret belli administrandi. Hoc est enim quod dixit, in vicenas quinas minas, quingenas drachmas conferre, hoc est, quintum quemque denarium, ut more nostro loquar. Vigintiquinque enim minæ duo millia et quingentas drachmas valent, sic fit ut sex millia talentûm ad triginta millia crescant: ne temerarium sit quod Demosthenes dixit, de pecuniarum copia, quæ Athenis erant, et intelligimus immunem plebem esse inopem; quod confirmari et certius constitui ex oratione ejus pro Cte-

πειν, οὐδὲν ἂν ἔδει δικῶν οὐδὲ πραγμάτων. [1]ἀπέχρη γὰρ ἂν τοῖς ὑπ' ἐκείνων γνωσθεῖσιν ἐμμένειν, ὥστε μηδεμίαν ἡμῖν εἶναι πρὸς τουτονὶ διαφοράν. ἐπειδὴ δὲ οὗτος τοὺς μὲν σαφῶς εἰδότας τὰ ἡμέτερα ἔφυγε μηδὲν διαγνῶναι περὶ αὐτῶν, εἰς δ' ὑμᾶς τοὺς οὐδὲν τῶν ἡμετέρων ἀκριβῶς ἐπισταμένους ἐλήλυθεν, ἀνάγκη ἐστὶν ἐν ὑμῖν παρ' αὐτοῦ πειρᾶσθαι τῶν δικαίων τυγχάνειν. οἶδα μὲν οὖν, ὦ ἄνδρες δικασταί, ὅτι, πρὸς ἄνδρας καὶ λέγειν ἱκανοὺς καὶ παρασκευάσασθαι δυναμένους, χαλεπόν ἐστιν εἰς ἀγῶνα καθίστασθαι περὶ τῶν [2]ὄντων ἁπάντων, ἄπειρον ὄντα παντάπασι πραγμάτων διὰ τὴν ἡλικίαν. ὅμως δὲ, καί περ πολὺ τούτων καταδεέστερος ὤν, πολλὰς ἐλπίδας ἔχω καὶ παρ' ὑμῖν τεύξεσθαι τῶν δικαίων, καὶ [3]μέχρι τοῦ τὰ γεγενημένα διεξελθεῖν καὶ αὐτὸς ἀρκούντως ἐρεῖν, ὥςθ' ὑμᾶς μήτ' ἀπολειφθῆναι τῶν πραγμάτων μηδὲ καθ' ἕν, μήτ'
14 ἀγνοῆσαι περὶ ὧν δεήσει τὴν ψῆφον διενεγκεῖν. δέομαι δ' ὑμῶν, ὦ ἄνδρες δικασταὶ, μετ' εὐνοίας [4]γέ μου ἀκοῦσαι, κἂν ἠδικῆσθαι δοκῶ βοηθῆσαί μοι τὰ δίκαια. ποιήσομαι δ' ὡς ἂν δύνωμαι διὰ βραχυτάτων τοὺς λόγους. [5]ὅθεν οὖν ῥᾷστα μαθήσεσθε περὶ αὐτῶν, ἐντεῦθεν ὑμᾶς καὶ ἐγὼ πρῶτον πειράσομαι διδάσκειν.

β'. Δημοσθένης γὰρ ὁ ἐμὸς πατὴρ, ὦ ἄνδρες δικασταὶ, κατέλιπεν οὐσίαν μὲν σχεδὸν τεττάρων καὶ δέκα ταλάντων· ἐμὲ δὲ ἑπτὰ ἐτῶν ὄντα, καὶ τὴν ἀδελφὴν πέντε· ἔτι δὲ τὴν ἡμετέραν μητέρα, πεντήκοντα μνᾶς εἰς τὸν οἶκον εἰσενηνεγμένην. βουλευσάμενος δὲ περὶ ἡμῶν, ὅτ' [6]ἔμελλε τελευτᾷν, ἅπαντα ταῦτα ἐνεχείρισεν Ἀφόβῳ τε τούτῳ καὶ Δημοφῶντι τῷ Δήμωνος υἱεῖ, τούτοιν μὲν ἀδελφιδοῖν ὄντοιν, τῷ μὲν ἐξ ἀδελφοῦ, τῷ δὲ ἐξ ἀδελφῆς γεγονότοιν· ἔτι δὲ Θηριππίδῃ τῷ Παιανιεῖ, γένει μὲν οὐδὲν προσήκοντι, φίλῳ δ' ἐκ παιδὸς ὑπάρχοντι. κἀκείνῳ μὲν ἔδωκεν

[1] ἀπέχρην [2] ὄντων, ἁπάντων ἄπειρον [3] μέχρι γε τοῦ [4] τ' ἐμοῦ [5] ὅθεν δ' οὖν [6] ἤμελλε

siphonto potest, in qua se rem trierarchicam lege lata præclare constituisse gloriatur, ut in eandem annotatum est, eo loco ubi ait: τοὺς τριηράρχους αἱρεῖσθαι ἐπὶ τὴν τριήρη, etc. Budæus libro quinto de Asse. Ex *edit.* Hervag.

β'. Ἐνεχείρησεν] Ab ἐγχειρέω perperam, ἐνεχείρισεν ab ἐγχειρίζω recte. Wolf. Imo ἐνεχείρισεν. Auger.

Θηριππίδῃ μὲν Παιανιεῖ] F. τῷ Παιανιεῖ. Wolf.

ἐκ τῶν ἐμῶν ἑβδομήκοντα μνᾶς καρπώσασθαι τοσοῦτον χρόνον, ἕως ἂν ἐγὼ ἀνὴρ εἶναι δοκιμασθείην, ὅπως μὴ δι' ἐπιθυμίαν χρημάτων χεῖρόν τι τῶν ἐμῶν διοικήσειε· Δημοφῶντι δὲ τὴν ἐμὴν ἀδελφὴν καὶ δύο τάλαντα εὐθὺς ἔδωκεν ἔχειν· αὐτῷ δὲ τούτῳ τὴν [1] μητέρα καὶ προῖκα ὀγδοήκοντα μνᾶς καὶ τὴν οἰκίαν, καὶ σκεύεσι χρῆσθαι τοῖς ἐμοῖς, ἡγούμενος, εἰ καὶ τούτους ἔτι οἰκειοτέρους ἐμοὶ ποιήσειεν, οὐκ ἂν χεῖρον ἐμὲ ἐπιτροπευθῆναι ταύτης τῆς οἰκειότητος προσγενομένης. λαβόντες δὲ οὗτοι ταῦτα πρῶτον σφίσιν αὐτοῖς ἐκ τῶν χρημάτων, καὶ τὴν ἄλλην οὐσίαν ἅπασαν 815
διαχειρίσαντες, καὶ δέκα ἔτη ἡμᾶς ἐπιτροπεύσαντες, τὰ μὲν ἄλλα πάντα ἀπεστερήκασι, τὴν οἰκίαν δὲ καὶ ἀνδράποδα τέτταρα καὶ δέκα καὶ ἀργυρίου μνᾶς τριάκοντα, μάλιστα σύμπαντα ταῦτα, εἰς ἑβδομήκοντα μνᾶς παραδεδώκασι.

γ'. Καὶ τὸ μὲν κεφάλαιον τῶν ἀδικημάτων, ὡς ἂν συντομώτατα εἴποι τις, τοῦτ' ἔστιν, ὦ ἄνδρες δικασταί· τὸ δὲ πλῆθος τῆς οὐσίας, ὅτι τοῦτ' ἦν τὸ καταλειφθέν, μέγιστοι μὲν αὐτοὶ μάρτυρές μοι γεγόνασιν. εἰς γὰρ τὴν συμμορίαν ὑπὲρ ἐμοῦ συνετάξαντο, κατὰ τὰς πέντε καὶ εἴκοσι μνᾶς, πεντακοσίας δραχμὰς εἰσφέρειν, ὅσον περ Τιμόθεος ὁ Κόνωνος καὶ οἱ τὰ μέγιστα κεκτημένοι [2] τιμητὰ εἰσέφερον.

[1] μητέρα τὴν ἡμετέραν καὶ π. ὀ. μ. καὶ * τῇ οἰκίᾳ

[2] τιμήματα

Δοκιμασθείην] Ex hoc aliisque locis harum Orationum, quibus Tutores suos male gestæ tutelæ reos agit Demosthenes, Corsinus Fast. Att. P. I. Diss. XI. §. 6. repudiata Dionysii hypothesi, Plutarchi sententiam defendit, atque Demosthenis ortum ad exeuntem Scirophorionem anni 4. Olymp. IIC. refert.

Καὶ τὴν οἰκίαν καὶ σκεύεσι] Mihi vid. leg. καὶ τῆς οἰκίας σκεύεσι. Auger.

γ'. Εἰς γὰρ τὴν συμμορίαν—] Quibus e verbis docemur, eos qui in reditibus haberent annuis viginti quinque minas, contulisse εἰς τὴν συμμορίαν illarum viginti quinque minarum partem quintam, nempe quingentas drachmas; atque ita, puto, pro hoc modulo majus vel minus: quanquam injuriam sibi factam hac in re testatur Demosthenes, cum ex illis quatuordecim ferme talentis, quos pater in bonis reliquerat, superessent tantum talenta novem et semis, reliquis talentis quatuor et semis erogatis prout tabulis testamenti cautum fuerat. *Petit. Leg. Attic.* L. III. T. IV. p. 360.

Κατὰ τὰς πέντε καὶ εἴκοσι μνᾶς πεντακοσίας δραχμὰς εἰσφέρειν] Hoc est, ut existimo, de aureis 250. aureos 50. de 15. talentis 3. talenta, quintam partem rei familiaris. Sed utrum soli divites tantum contulerunt, tenuiores minus? cum videatur æqualis esse solere tributorum ratio. 2. oratione legitur: οὐκ ἐπὶ τοῖς μικροῖς τιμήμασι, etc. Deinde quæ ratio est 25. minas particulatim nominandi prius, cum mox totus census commemoretur? Wolf.

Καὶ οἱ τὰ μέγιστα κεκτημένοι τιμητὰ εἰσέφερον] Τιμητὰ dixit ἀντὶ τοῦ τιμήματα. Est autem τίμημα *census*. unde πρῶτον, δεύτερον, τρίτον τίμημα dicunt, hoc est, *classes*. Circa finem autem hujus primæ κατὰ Ἀφόβου ubi dicit, ἐὰν γὰρ ἀποφύγῃ με οὗτος, ὃ μὴ γένοιτο, τὴν ἐπωβελίαν ὀφλήσω, μνᾶς ἑκατόν. καὶ τοῦτο μὲν ἐὰν καταψηφίση-

δεῖ δὲ καὶ καθ' ἕκαστον ὑμᾶς ἀκοῦσαι, τά τε ἐνεργὰ αὐτῶν καὶ ὅσα ἦν ἀργά, καὶ ὅσου ἦν ἄξια ἕκαστα. ταῦτα γὰρ μαθόντες ἀκριβῶς εἴσεσθε, ὅτι τῶν πώποτε ἐπιτροπευσάντων οὐδένες ἀναιδέστερον οὐδὲ περιφανέστερον, ἢ οὗτοι τὰ ἡμέτερα, διηρπάκασι. πρῶτον μὲν οὖν, ὡς συνετιμήσαντο ὑπὲρ ἐμοῦ ταύτην τὴν εἰσφορὰν εἰς τὴν συμμορίαν, παρέξομαι τούτων μάρτυρας· ἔπειτα, ὅτι οὐ πένητα κατέλιπέ με ὁ πατὴρ οὐδὲ ἑβδομήκοντα μνῶν οὐσίαν κεκτημένον, ἀλλὰ τοσαύτην ὅσην οὐδ' αὐτοὶ οὗτοι ἀποκρύψασθαι διὰ τὸ μέγεθος πρὸς τὴν πόλιν ἠδυνήθησαν. καί μοι ἀναγίνωσκε λάβων [1] ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

δῆλον μὲν τοίνυν καὶ ἐκ τούτων ἐστὶ τὸ πλῆθος τῆς οὐσί-
816 ας. πεντεκαίδεκα ταλάντων [2] γάρ. τρία τάλαντα τίμημα. ταύτην [3] ἠξίουν εἰσφέρειν τὴν εἰσφοράν.

δ'. Ἔτι δ' ἀκριβέστερον εἴσεσθε, τὴν οὐσίαν αὐτὴν

[1] ταυτηνὶ [2] γὰρ τρία [3] * δ' ἠξίουν

σθε τιμητὸν, etc. τιμητὸν appellat *litis æstimationem*, hoc est, decem talenta quæ a tutore petebat, tantum enim fuisse tutelæ suæ censum aiebat, hoc est, tanti se censum sub tutoribus, cujus sexta pars ἐπωβελία ab eo dicitur, hoc est, centum minæ: decem enim talenta sexcentas minas continent, quod verbum etiam libro quinto de Asse interpretatum est in mentione census Demosthenis facultatum; quem locum si cui adire vacet, superiora verba Oratoris facile intellexerit. Est enim ἐπωβελία *sexta pars æstimationis litis*, pœna calumniosi actoris in judiciis ignominiosis. Ubi autem legitur, καὶ τούτῳ μὲν ἐὰν καταψηφίσησθε τιμητὸν fortasse τούτου legendum in genitivo, hoc sensu: *quod si hunc in æstimationem litis damnaveritis, non ex sua pecunia judicatum facturus est, sed ex mea, quam ipse domum suam avertit. Et cum mihi minor sit census ejus summæ sexta parte, non modo paternis bonis eversus, sed præterea ignominia notatus ero propter famosum judicium, et ob id quod facere judicatum non potero.* Ubi rursum προσηνιμωμένος dixit a προσατιμῶσαι verbo, quod est, præter cætera incommoda, *infamia* etiam *notari*, unde ἄτιμοι *ignominia notati* dicuntur. Sequitur autem τάτε ἐνεργὰ αὐτῶν καὶ ὅσα ἦν ἀργά. Ubi notandum ἀργὰ χρήματα dici, sicut et δάνεια ἀργὰ, quæ compendium nullum usurarum afferunt, hoc est, ἀεργὰ καὶ μὴ ἐργαζόμενα: contra vero χρήματα ἐνεργὰ, quæstuosæ fœnusque pensitantes pecuniæ, Latinis *pecunia fœnore occupata*. Est enim ἔργον *lucrum*, ut in hac eadem, τὸ δ' ἔργον τούτων τῶν χρημάτων πεντήκοντα μναῖ τοῦ ἐνιαυτοῦ ἑκάστου, hoc est, *quæstus et usura*, et τόκος, ut supra dixerat. et rursus, καὶ πότερον οὗτος ἐπιτροπευθεὶς ἀπεδέξαιτ' ἂν τοῦτον τὸν λόγον παρὰ τῶν ἐπιτρόπων, ἢ τἀρχαῖα ἀπολαβεῖν ἂν ἠξίου σὺν τοῖς ἔργοις τοῖς γεγενημένοις; *An potius æquum esse contenderet, sortem usurasque legitimas a tutoribus se accipere? Ex edit.* HERVAG.

ΚΕΚΤΗΜΕΝΟΙ ΤΙΜΗΤΑ] F. τιμήματα. WOLF.

ΔΗΛΟΝ κ. τ. λ.] Nam si quintam bonorum æstimatorum partem pendebant, ita ut pro XXV. minis quingenas penderent, Demosthenis autem tutores tria talenta contulerant, bona ejus necesse fuisse quindecim talentis æstimata. Ergo εἰσφοραὶ divitum proprie erant, nisi quandoque ea ingrueret tempestas, quæ omnes omnino huic muneri obligaret, præter eos, qui extrema inopia laborarent. *Herald. Animadv. in Salmas. Obss. ad Jus A. et R.* l. VI. c. I. §. VII. p. 409. Vid. plura in l.

ΠΕΝΤΕΚΑΙΔΕΚΑ ΤΑΛΑΝΤΩΝ] Ἠξίουν ταύτην (τὴν οὐσίαν) εἰσφέρειν εἰσφορὰν τρία τάλαντα, ἀπὸ τῶν ιέ. WOLF.

ἀκούσαντες. ὁ γὰρ πατὴρ, ὦ ἄνδρες δικασταὶ, κατέλιπε δύο ἐργαστήρια, τέχνης οὐ μικρᾶς ἑκάτερον· μαχαιροποιοὺς μὲν τριάκοντα καὶ δύο ἢ τρεῖς, τοὺς μὲν ἀνὰ πέντε μνᾶς ἢ καὶ ἓξ, τοὺς δ' οὐκ ἐλάττονος ἢ τριῶν μνῶν ἀξίους, ἀφ' ὧν τριάκοντα μνᾶς ἀτελεῖς ἐλάμβανε τοῦ ἐνιαυτοῦ τὴν πρόσοδον· κλινοποιοὺς δὲ εἴκοσι τὸν ἀριθμὸν, τετταράκοντα μνῶν ὑποκειμένους, οἳ δώδεκα μνᾶς ἀτελεῖς αὐτῷ προσέφερον· ἀργυρίου δ' εἰς τάλαντον ἐπὶ δραχμῇ [1] δεδανεισμένου, οὗ τόκος ἐγίγνετο τοῦ ἐνιαυτοῦ ἑκάστου πλεῖον ἢ ἑπτὰ μναῖ. καὶ ταῦτα μὲν ἐνεργὰ κατέλιπεν, ὡς καὶ αὐτοὶ οὗτοι ὁμολογήσουσιν· ὧν γίγνεται τοῦ μὲν ἀρχαίου [2] κεφαλαίου, τέτταρα τάλαντα καὶ πεντακισχίλιαι, τὸ δ' ἔργον αὐτῶν, πεντήκοντα μναῖ τοῦ ἐνιαυτοῦ ἑκάστου. χωρὶς δὲ τούτων, ἐλέφαντα μὲν καὶ σίδηρον, [3] ὧν κατειργάζοντο, καὶ ξύλα κλίνεια, εἰς ὀγδοήκοντα μνῶν [4] ἄξια· κηκίδα δὲ καὶ χαλ-

[1] δεδανεισμένον [2] κεφάλαιον [3] ὃν [4] * ἀξίαν

δ'. Τριάκοντα, καὶ δύω, ἢ τρεῖς] Post τριάκοντα est interpungendum. Neque enim dubitat, utrum 32. an 33. fuerint: sed ex illis 30. dicit, duos vel tres potuisse quinis aut senis minis æstimari, cæteros ternis: quibus illi vel ætate, vel artificio, præstiterint. Observa, ἀξίους μνᾶς πέντε ἢ ἕξ, nisi forte legendum sit μνῶν. Idem. VV. ἢ τρεῖς mera forsan corruptio vv. τοὺς μὲν, quæ in nonnullis MSS. et Editt. desiderantur.

Μνᾶς ἀτελεῖς] Forte *ultra omnem sumtum, demto victu.* Lalamantius: *Subductis omnibus.* Nostratibus proceribus quantum de reditibus decedit, quo sustentandi sunt procuratores et ministri, utinam abstinentes et integri? Si non triens, at certe quadrans: ut cujus vectigalia sunt 1200. is vix percipiat 900. Sed iidem illi præsto sunt domino, quoties opus est, et ad usum et ad ornamentum aulæ: et hac ratione aluntur multi inopes, utinam homines frugi. Wolf.

Ἐπὶ δραχμῇ δεδανεισμένου] Τῆς μνᾶς δραχμὴν ἑκάστου μηνὸς τόκον τελούσης. Talentum minas habet 60. hinc ergo singulis mensibus pendendæ fuerunt 60. drachmæ, quæ conficiunt aureos 6. duodecies 6. sunt 72. aurei, hoc est minæ 7. Ita de centenis aureis numerandi fuerunt pene duodecim, quæ Romanorum centesimis non absimilis usurarum ratio fuit. Idem. Intelligo ἑκάστης ἡμέρας, ut talentum produceret drachmam unoquoque die, et sic erat mediocre fœnus. Nam annus Atticus erat dierum 360, qui numerus drachmarum pars est totius summæ capitalis $16\frac{2}{3}$, et sic centum nummi sex tantum annuos producebant. Sed paucis infra lineis [sc. v. 12.] pro τέτταρα τάλαντα καὶ πεντακισχίλια lege καὶ πεντακισχίλιαι, supple δραχμαὶ, et sic erunt omnia plana, quæ aliter non possunt intelligi. Palmer.

Καὶ ταῦτα μὲν ἐνεργὰ κατέλιπεν] Χρήματα ἀργὰ, *pecunia ignava*, ἐνεργὰ, *quæstuosa, fœnore occupata, collata in usuras*, δεδανεισμένα: quibus vocibus utar, dum invenero meliores. Wolf.

Τοῦ μὲν ἀρχαίου κεφαλαίου] ἀ. Ολ. τῶν ἀρχαίων ἀπέστησαν absolute, hic adjective. Paulo post τό, τε ἀρχαῖον καὶ τὸ τῶν δώδεκα ἐτῶν, S. γιγνόμενον. Idem.

Τοῦ μὲν ἀρχαίου κεφαλαίου] Probo lectionem, quæ in margine quorundam librorum est annotata, τοῦ μὲν ἀρχαίου κεφάλαιον: quasi dicat, *bonorum principalium*, sive *eorum æstimationis summa.* Nam τὸ κεφάλαιον dicebatur, quæ exsistebat summa quasi principalis, summis omnibus singularibus computatis; et idcirco differentia est inter ἀρχαῖον et κεφάλαιον, sæpe tamen τὸ κεφάλαιον et τὰ κεφάλαια acceperunt ἀντὶ τῶν ἀρχαίων. *Herald. Animadv. in Salmas. ad Jus A. et R.* l. VII. c. XXIV. §. XV. p. 585.

Τὸ δ' ἔργον αὐτῶν] Οἱ τόκοι οἱ γιγνόμενοι. Wolf.

Εἰς ὀγδοήκοντα μνῶν] Aut τὸ εἰς abundare, aut μνᾶς legendum esse videtur. Idem.

κὸν, ἑβδομήκοντα μνῶν ἐωνημένα. ἔτι δὲ οἰκίαν τρισχιλίων· ἔπιπλα δὲ καὶ ἐκπώματα καὶ χρυσία καὶ ἱμάτια καὶ κόσμον τῆς μητρὸς, ἄξια [1]σύμπαντα εἰς μυρίας δραχμάς· ἀργυρίου δ' ἔνδον ὀγδοήκοντα μνᾶς. καὶ ταῦτα μὲν οἴκοι κατέλιπε πάντα. ναυτικὰ δὲ ἑβδομήκοντα μνᾶς, ἔκδοσιν παρὰ Ξούθῳ· τετρακοσίας δὲ καὶ δισχιλίας ἐπὶ τῇ τραπέζῃ τῇ Πασίωνος, ἑξακοσίας δὲ ἐπὶ τῇ Πυλάδου· παρὰ δὲ [2]Δημομέλει τῷ Δήμωνος υἱεῖ, χιλίας καὶ ἑξακοσί-
317 ας· κατὰ διακοσίας δὲ καὶ τριακοσίας ὁμοῦ τι τάλαντον διακεχρημένον. καὶ τούτων αὖ τῶν χρημάτων τὸ κεφάλαιον πλέον ἢ ὀκτὼ τάλαντα καὶ τριάκοντα μναῖ γίγνεται. συμπάντων δὲ εἰς τέτταρα καὶ δέκα τάλαντα εὑρήσετε σκοποῦντες. καὶ τὸ μὲν πλῆθος τῆς οὐσίας τοῦτ' ἦν τὸ καταλειφθὲν, ὦ ἄνδρες δικασταί· ὅσα δ' αὐτῆς διακέκλεπται, καὶ ὅσα ἰδίᾳ ἕκαστος εἴληφε, καὶ ὁπόσα κοινῇ πάντες ἀποστεροῦσιν, οὐκ ἐνδέχεται πρὸς τὸ αὐτὸ ὕδωρ εἰπεῖν, ἀλλ' ἀνάγκη χωρὶς ἕκαστον διελεῖν ἐστίν. ἃ μὲν οὖν Δημοφῶν καὶ Θηριππίδης ἔχουσι τῶν ἐμῶν, τότε ἐξαρκέσει περὶ αὐτῶν εἰπεῖν, ὅταν κατ' αὐτῶν τὰς γραφὰς ἀπενέγκωμεν· ἃ δὲ τοῦτον ἔχοντα ἐλέγξουσιν ἐκεῖνοι, καὶ [3]ἐγὼ

[1] σύμπαντα ταῦτα εἰς [2] Δημομέλει δε [3] ἔγωγ'

Οἰκίαν τρισχιλίων] S. δραχμῶν, non μνῶν. Idem.

Καὶ κόσμον] Τὸν κόσμον magis placet, ut addatur κατ' ἐπεξήγησιν. Idem.

Εἰς μυρίας δραχμὰς] Ἑκατὸν μνᾶς 1000. aureorum. Lalamantius χιλίας vertit, et ego sic legendum existimo. Idem.

Ἀργυρίου δ' ἔνδον] S. ἀποκειμένου, ἀργοῦ, τεθησαυρισμένου. Idem.

Ναυτικὰ (S. χρήματα) δὲ ἑβδομήκοντα μνᾶς ἔκδοσιν παρὰ Ξούθῳ] Δάνειον ναυτικὸν, usuras nauticas, sive maritimas, trajectitiam pecuniam: cujus usuræ majores fuere cæteris, ut alibi videbimus. Lalamantius: *LXX. vero minas in classis apparatum expendendas.* Idem.

Ἔκδοσιν] Forsitan melius esset scribere κατ' ἔκδοσιν. Ita enim Pollux vocat l. VIII. c. 12. δάνεισμα, ἔγγυον, ναυτικὸν, κατ' ἔκδοσιν, vel κατ' ἐκδόσεις, sic potius scribendum, quam, sicut vulgatum est, κατεκδόσεις. In Demosthene nihil muto. Sic alibi locutus est, in orat. c. Callip. p. 1241. v. 26. ed. R.—Ergo δάνεισμα κατ' ἔκδοσιν, vel ἔκδοσις, idem quod fœnus nauticum. *Salmas. de M. U.* p. 192.

Κατὰ διακοσίας] Ὁμοῦ τι τάλαντον διακεχρημένον, τοῖς δεομένοις χορηγηθὲν ἄνευ τόκου κατὰ διακοσίας, τοῖς μὲν διακόσιαι δραχμαὶ, τοῖς δὲ τριακόσιαι. αἱ κατὰ τὰ ἀνὰ προθέσεις explent Græcis penuriam distributivorum. Wolf.

Διακεχρημένον] Legendum omnino διακεχρησμένον. Quod est, *per partes variis creditum.* Nam, ut aliud κεχρημένον, aliud est κεχρησμένον, idem in compositis obtinet. Κεχρησμένον ἀργύριον est *mutuo datum*, unde χρηστὴς, *creditor*: κεχρημένος est *indigens*, qui aliqua re opus habet. *Salmas. de M. U.* p. 191.

Τριάκοντα μναῖ γίγν.] Imo πεντήκοντα. Auger.

Συμπάντων] Sc. τὸ κεφάλαιον, σύμπαντα sc. τὰ χρήματα. Wolf.

Διακέκλεπται] Παθητικῶς, διὰ κλοπῆς ἠφάνισται. Idem.

Πρὸς τὸ αὐτὸ ὕδωρ] S. πρὸς τοῦτο τὸ κατ' Ἀφόβου μόνου ἐγκεχυμένον ἐμοί. Lal. *Unius horulæ spatio dici non potest.* Idem.

Χωρὶς ἕκαστον διελεῖν] Non est opus mutari hoc in διελθεῖν. Idem.

Ἃ δὲ τοῦτον ἔχοντα ἐλέγχουσιν] Hoc

οἶδα αὐτὸν εἰληφότα, περὶ τούτων ἤδη ποιήσομαι τοὺς λόγους πρὸς ὑμᾶς. πρῶτον [1] μὲν ὡς ἔχει τὴν προῖκα, τὰς ὀγδοήκοντα μνᾶς, τοῦθ' ὑμῖν ἐπιδείξω· μετὰ δὲ ταῦτα καὶ περὶ τῶν ἄλλων ὡς ἂν δύνωμαι διὰ βραχυτάτων.

ε. Οὗτος γὰρ εὐθὺς μετὰ τὸν τοῦ πατρὸς θάνατον ᾤκει τὴν οἰκίαν εἰσελθὼν κατὰ τὴν ἐκείνου διαθήκην, καὶ λαμβάνει τά τε χρυσία τῆς μητρὸς καὶ τὰ ἐκπώματα τὰ καταλειφθέντα, καὶ ταῦτα μὲν ὡς εἰς πεντήκοντα μνᾶς εἶχεν. ἔτι δὲ τῶν ἀνδραπόδων τῶν πιπρασκομένων παρά τε Θηριππίδου καὶ Δημοφῶντος τὰς τιμὰς ἐλάμβανεν, ἕως ἀνεπληρώσατο τὴν προῖκα, τὰς ὀγδοήκοντα μνᾶς· καὶ, ἐπειδὴ εἶχεν, ἐκπλεῖν μέλλων εἰς Κέρκυραν τριήραρχος, ἀπεγράψατο ταῦτα πρὸς Θηριππίδην ἔχοντα ἑαυτὸν καὶ ὡμολόγει κεκομίσθαι τὴν προῖκα. καὶ τούτων μὲν πρῶτον 818
Δημοφῶν καὶ Θηριππίδης, οἱ τούτου συνεπίτροποι, μάρτυρές εἰσιν· ἔτι δὲ καὶ, ὡς αὐτὸς ὡμολόγει ταῦτα ἔχειν, Δημοχάρης τε ὁ Λευκονοεὺς, ὁ τὴν τηθίδα τὴν ἐμὴν ἔχων, καὶ ἄλλοι πολλοὶ μάρτυρες γεγόνασιν. οὐ γὰρ διδόντος τούτου σῖτον τῇ μητρὶ, τὴν δὲ προῖκα ἔχοντος, οὐδὲ τὸν οἶκον μισθοῦν ἐθέλοντος, ἀλλὰ μετὰ τῶν ἄλλων ἐπιτρόπων διαχειρίζειν ἀξιοῦντος, ἐποιήσατο λόγους περὶ τούτων ὁ Δημοχάρης. [2] αὐτὸς δ' ἀκούσας οὔτ' ἠμφισβήτησε μὴ ἔχειν, οὔτε χαλεπῶς ἤνεγκεν ὡς οὐκ εἰληφὼς, ἀλλ' ὡμολόγει· [3] καί τι μικρὸν ἔφη πρὸς τὴν ἐμὴν μητέρα περὶ χρυσιδίων ἀντιλέγεσθαι. τοῦτο οὖν διευκρινησάμενος, καὶ περὶ τῆς τροφῆς καὶ περὶ τῶν ἄλλων ποιήσειν οὕτως, ὥστ' ἔχειν μοι πάντα καλῶς. καί τοι, εἰ φανήσεται, πρός τε τὸν Δημοχάρην ταῦθ'

[1] μὲν οὖν ὡς [2] οὗτος [3] καὶ ἔτι

malo, quam ἐλέγξουσι. IDEM. AUGER.

ε. Ὡς εἰς πεντήκοντα μνᾶς εἶχεν] Alii εἶλκεν, *pendebant*. WOLF.

Ἀπεγράψατο — ἑαυτὸν ἔχοντα] *Se habere scripsit*. ἀπογράφω, *in tabulas refero, perscribo, expensum fero*, vel *acceptum refero*. BUDÆUS.

Λευκονοεὺς] Vid. Rutgersii Var. Lect. L. V. c. 4. Harpocrat. et Suid. in v. Λευκονοιεύς.

Οὐ γὰρ διδόντος τούτου σῖτον τῇ μητρὶ] Σῖτος est *annua pensitatio ad alimentum viduarum et pupillorum*, quæ dabatur a curatoribus bonorum, vel a viris uxoribus repudiatis. Cujus rei exemplum est in oratione κατὰ Νεαίρας, ubi et de κυρίοις dicetur. Meminit Harpocration. Hinc σίτου δίκη appellatur *rei uxoriæ actio*. *Ex edit.* HERVAG.

Σῖτον] Σῖτος est proprie τόκος dotis non restitutæ. *Salmas. de M. U.* p. 160.

Οὐδὲ τὸν οἶκον μισθοῦν ἐθέλοντος] Elocutio ædium intelligatur cum omni instrumento et facultatibus. WOLF.

Καί τι μικρὸν ἔφη πρὸς τὴν ἐμὴν μητέρα] Utrum ἔφη πρὸς τὴν μητέρα: an μικρόν τι ἀντιλέγεσθαι (S. ὑφ' ἑαυτοῦ) πρὸς τὴν μητέρα? *Inter se et matrem parvam esse quandam*

ὡμολογηκὼς καὶ πρὸς τοὺς ἄλλους οἳ παρῆσαν, παρά τε τοῦ Δημοφῶντος καὶ τοῦ Θηριππίδου τῶν ἀνδραποδῶν εἰς τὴν προῖκα [1] καὶ τὰς τιμὰς εἰληφὼς, αὐτός τε ἑαυτὸν ἔχειν τὴν προῖκα ἀπογράψας πρὸς τοὺς συνεπιτρόπους, οἰκῶν τε τὴν οἰκίαν ἐπειδὴ τάχιστα ἐτελεύτησεν ὁ πατὴρ, πῶς οὐκ ἐκ πάντων ὁμολογουμένου τοῦ πράγματος εὑρεθήσεται φανερῶς τὴν προῖκα, τὰς ὀγδοήκοντα μνᾶς, κεκομισμένος, καὶ λίαν ἀναιδῶς μὴ λαβεῖν ἐξαρνούμενος; ἀλλὰ μὴν, ὡς ἀληθῆ λέγω, λάβε τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

τὴν μὲν τοίνυν προῖκα τοῦτον τὸν τρόπον [2] εἶχε λαβών· μὴ γήμαντος δ' αὐτοῦ τὴν μητέρα τὴν ἐμὴν, ὁ μὲν νόμος κε-
819 λεύει τὴν προῖκα ὀφείλειν ἐπ' ἐννέα ὀβολοῖς, ἐγὼ δ' ἐπὶ δραχμῇ μόνον τίθημι. γίγνεται δὲ, ἄν τις [3] συνθῇ, τό τε ἀρχαῖον καὶ τὸ ἔργον τῶν δώδεκα ἐτῶν μάλιστα τρία τάλαντα. καὶ ταῦτα μὲν οὕτως ὑμῖν ἐπιδείκνυμι λαβόντα καὶ ἔχειν ὁμολογήσαντα μαρτύρων ἐναντίον τοσούτων.

[1] Deest καί. [2] ἔχει [3] συντιθῇ

controversiam. IDEM.

Τὴν μέν τοι προῖκα τοῦτον τὸν τρόπον εἶχε λαβών] *Verum iste dotem hujuscemodi pacto habuit: quare cum matrem meam uxorem non duxerit, lege quidem jubente debet dotem cum usuris novenum obolum restituere. Sed fac drachmales tantum usuras eum debere. Has si cum sorte aliquis supputaverit, duodecim annorum spatio tria large talenta inveniet.* Ait patrem suum Demosthenem Aphobo quem tutorem sibi dederat, in testamento octoginta minas reliquisse dotis nomine, ut uxorem suam, Demosthenis matrem, uxorem duceret: quas cum ille accepisset, matrem tamen uxorem non habuit, unde debere eum dicit dotem cum usuris restituere. Summam ergo exacte colligere volens, large vel prolixe tria talenta dixit, pro tribus talentis et quadrante, novem autem obolos pro sesquidrachma posuit, qua ratione sesquicentesima usura procederet, quam ipse, ut omnino adversario defensionis ansam præcideret, ad centesimam retraxit. Plura libro 1. de Asse, ubi copiose etiam de usura centesima. *Ex edit.* HERVAG.

Μὴ γήμαντος — τίθημι] Demosthenes, de suo jure decedens, has CL. drachmas nonnisi unam drachmam menstruam vult parere. Quod sequitur, γίγνεται - - - τρία τάλαντα, verum non est de fœnore et sorte LXXX. minarum, tot enim minarum dos erat, quoquo te vertas modo: itaque et his domus suæ obventionem, quam locare tenebatur Aphobus tutor Demostheni testamento datus, adjungere necesse est, ut sua his constet Oratoris verbis veritas. Actio hæc τῆς προικὸς σίτου dabatur apud Prætorem in Odeo. *Petit. Leg. Attic.* L. VI. T. II. p. 557. Solens aberrat. Centum et quinquaginta drachmæ usura ἐπὶ δραχμῇ pariunt drachmam cum dimidia menstruam, sive decem atque octo annuas. At usura ἐπὶ ἐννέα ὀβολοῖς ex sorte CL. drachmarum dat viginti septem annuas. Quo usurarum genere confuso, descendit doctissimus Petitus ad Demosthenem corrigendum, qui ea opera non indiget, sicuti operose probare ingreditur Salmasius de Modo Usur. c. 4. p. 154. quem hæc examinantem, si videtur, adi. *Wesseling.* In l. l. reponi vult Salmasius: καὶ τὸ τῶν δώδεκα ἐτῶν ἔργον, *et usura duodecim annorum.*

Ἐπ' ἐννέα ὀβολοῖς] Ἐπὶ δραχμῇ καὶ ἡμισείᾳ. 6. oboli drachmam, 10. drachmæ aureum, 10. aurei minam, 60. minæ talentum conficiunt. WOLF.

ς'. Ἄλλας τοίνυν ἔχει τριάκοντα μνᾶς, τοῦ ἐργαστηρίου λαβὼν τὴν πρόσοδον· καὶ ἀναισχυντότατ' ἀνθρώπων ἀποστερεῖν ἐπικεχείρηκεν. ἐμοὶ δ' ὁ πατὴρ κατέλιπε τριάκοντα μνᾶς [1] ἁπάντων τὴν πρόσοδον. ἀποδομένων τούτων τὰ ἡμίσεα τῶν ἀνδραπόδων, [2] πεντεκαίδεκα μνᾶς γίγνεσθαι κατὰ λόγον προσῆκε. Θηριππίδης μὲν οὖν, ἑπτὰ ἔτη τῶν ἀνδραπόδων ἐπιμεληθεὶς, ἑνδεκα μνᾶς τοῦ ἐνιαυτοῦ ἀπέφηνε, τέταρσι μναῖς καθ' ἕκαστον ἐνιαυτὸν ἔλαττον, ἢ ὅσον προσῆκε, λογιζόμενος· οὗτος δὲ, δύ' ἔτη τὰ πρῶτα ἐπιμεληθεὶς, οὐδ' ὁτιοῦν ἀποδείκνυσιν. ἀλλ' ἐνίοτε μέν φησιν ἀργῆσαι τὸ ἐργαστήριον· ἐνίοτε δ' ὡς αὐτὸς μὲν οὐκ ἐπεμελήθη τούτων, ὁ δ' ἐπίτροπος Μιλύας ὁ ἀπελεύθερος ὁ ἡμέτερος διώκησεν αὐτὰ, καὶ παρ' ἐκείνου μοι προσήκει [3] ἔργον λαβεῖν. ἂν οὖν καὶ νῦν εἴπῃ τινὰ τούτων τῶν λόγων, ῥᾳδίως ἐλεγχθήσεται ψευδόμενος. ἐὰν μὲν οὖν ἀργὸν φῇ γενέσθαι, λόγον αὐτὸς ἀπενήνοχεν ἀναλωμάτων οὐκ εἰς σιτία τοῖς ἀνθρώποις, ἀλλ' εἰς ἔργα, τὸν [4] εἰς τέχνην ἐλέφαντα καὶ μαχαιρῶν λαβὰς καὶ ἄλλας ἐπισκευὰς, ὡς ἐργαζομένων τῶν δημιουργῶν. ἔτι δὲ Θηριππίδῃ τριῶν ἀνδραπόδων, ἃ ἦν αὐτῷ ἐν τῷ ἐμῷ ἐργαστηρίῳ, μισθὸν ἀποδεδωκέναι λογίζεται. καίτοι γε, μὴ γενομένης ἐργασίας, οὔτε ἐκείνῳ λαβεῖν μισθὸν, οὔτε ἐμοὶ τὰ ἀναλώματα ταῦτα λογισθῆναι, προσῆκεν. εἰ δ' αὖ γενέσθαι [5] μέν φησι, τῶν δ' ἔργων ἀπρασίαν εἶναι, δεῖ δήπου τά γε ἔργα αὐτὸν ἀποδεδωκότα μοι φαίνεσθαι καὶ, ὧν ἐναντίον ἀποδέδωκε, παρασχέσθαι μάρτυρας. εἰ δὲ μηδὲν τούτων πεποίηκε, πῶς οὐκ ἔχει τὴν πρόσοδον δυοῖν ἑτοῖν τὴν ἐκ τοῦ ἐργαστηρίου, [6] τριάκοντα μνᾶς, φανερῶς οὕτω τῶν ἔργων γεγενημένων; εἰ δ' αὖ τούτων μὲ νμηδὲν ἐρεῖ, Μιλύαν δ' αὐτὰ φήσει πάντα διωκηκέναι, πῶς χρὴ πιστεύειν, ὅταν φῇ τὰ μὲν ἀναλώματα αὐτὸς ἀνηλωκέναι πλέον ἢ πεντακοσίας δραχμὰς, λῆμμα δ' εἴ τι γέγονεν ἐκεῖνον ἔχειν. ἐμοὶ μὲν γὰρ δοκεῖ τοὐναντίον ἂν γενέσθαι τούτων, εἰ καὶ Μιλύας αὐτῶν ἐπεμελεῖτο, τὰ μὲν ἀναλώματα ἐκεῖνος ἀναλῶσαι, τὰ δὲ 820

[1] ἀπ' αὐτῶν τ. πρόσοδον, ἀποδομέναν δὲ τούταν [2] πεντεκαίδεκά μοι μνᾶς [3] λόγον [4] εἰς τὴν τέχνην [5] μὲν φήσει [6] τὰς τριάκοντα

ς'. Ἀποδομένων τούτων] M. ἀποδομένων δὲ τούτων. IDEM.
Παρ' ἐκείνου προσήκει ἔργον λαβεῖν] M. τὸ ἔργον, τὰ χρήματα τὰ παρὰ τῶν ἀνδραπόδων. IDEM.
Γενέσθαι] Sub. τὰ ἔργα. AUGER.

λήμματα οὗτος λαβεῖν, εἴ τι δεῖ τεκμαίρεσθαι πρὸς τὸν ἄλλον αὐτοῦ τρόπον καὶ τὴν ἀναίδειαν. λάβε οὖν τὰς μαρτυρίας ταύτας, καὶ ἀνάγνωθι [1] αὐτάς.

ΜΑΡΤΥΡΙΑΙ.

ταύτας τοίνυν ἔχει τὰς τριάκοντα μνᾶς ἀπὸ τοῦ ἐργαστηρίου, καὶ τὸ ἔργον αὐτῶν ὀκτὼ ἐτῶν, ὃ, ἐὰν ἐπὶ δραχμῇ τις τιθῇ μόνον, ἄλλας ὁμοῦ τριάκοντα μνᾶς εὑρήσει. καὶ ταῦτα μὲν ἰδίᾳ μόνος εἴληφεν, ἃ συντεθέντα πρὸς τὴν προῖκα μάλιστα τέτταρα τάλαντα γίγνεται σὺν τοῖς ἀρχαίοις· ἃ δὲ μετὰ τῶν ἄλλων ἐπιτρόπων κοινῇ διήρπακε καὶ ὅσα ἔνια μηδὲ καταλειφθῆναι παντάπασιν ἠμφισβήτηκε, ταῦθ' ὑμῖν ἤδη ἐπιδείξω καθ' ἕκαστον.

ζ'. Πρῶτον μὲν οὖν περὶ τῶν κλινοποιῶν, οὓς [2] κατέλιπεν ὁ πατήρ, ἀφανίζουσι δ' οὗτοι, τετταράκοντα μὲν μνῶν
821 ὑποκειμένους, εἴκοσι δὲ ὄντας τὸν ἀριθμὸν, ἐπιδείξω ὑμῖν ὡς λίαν ἀναιδῶς καὶ φανερῶς με ἀπεστεροῦσι. τούτους γὰρ καταλειφθῆναι μὲν οἴκοι παρ' ἡμῖν πάντες ὁμολογοῦσι, καὶ τὰς δώδεκα μνᾶς ἑκάστου τοῦ ἐνιαυτοῦ τῷ πατρὶ γίγνεσθαί φασιν· αὐτοὶ δὲ λῆμμα μὲν παρ' αὐτῶν [3] ἑνδεκα ἔτεσιν οὐδὲν ἐμοὶ γεγενημένον ἀποφαίνουσιν, ἀλλ' οὐδὲ μικρὸν, ἀναλώματος δὲ κεφάλαιον εἰς αὐτοὺς οὗτος ὀλίγου δεῖν λογίζεται χιλίας, εἰς τοῦτο ἀναιδείας ἐλήλυθεν. αὐτοὺς δὲ τοὺς ἀνθρώπους, εἰς οὓς [4] πάντα ἀνηλωκέναι φησὶν, οὐδαμοῦ μοι παραδεδώκασιν, ἀλλὰ πάντων [5] καινότατον λόγον λέγουσιν, ὡς ὁ ὑποθεὶς τῷ πατρὶ [6] τὰ ἀνδράποδα πονηρότατος ἀνθρώπων πάντων ἐστὶ, καὶ ἐράνους τε λέλοιπε πλείστους καὶ ὑπέρχρεως γέγονε, καὶ τούτων οὐκ ὀλίγους

[1] αὐτοῖς [2] κατέλιπε μὲν ὁ [3] ἐν δέκα [4] ταῦτα [5] κενότατον [6] τἀνδράποδα

Μάλιστα τέτταρα τάλαντα] Lalamantius: *cumulate in 4. talentorum summam consurgunt.* Wolf. *μάλιστα maxime*, i. e. cumulate. Auger.

ζ'. Πάντων καινότατον] Πάνυ ἄτοπον καὶ ἀπεικότα, καὶ πιθανότητος μηδεμιᾶς μετέχοντα. Legi etiam queat κενότατον per ε in prima. Wolf. M. κενότατον. Auger.

Καὶ ἐράνους τε λέλοιπε πλείστους] Lalamantius: *Tantaque debita pulcrarum collationum nomine, et tantum æris alieni reliquisse.* λιπεῖν ἐράνους videtur dici is, qui non utitur liberalitate adversus eos, quos debet, aut non præstat officia debita, nec refert gratiam. φέρειν, εἰσφέρειν, λείπειν ἐράνους, πληρωτὴν ἐράνου γενέσθαι, sæpius apud Demosthenem reperias. Ego verti liberius: *cum sæpe solvisse fidem, tum*, etc. Wolf. Quid hic significet ἐράνους valde dubitatur et ego plane ignoro; Wolfii versionem secutus sum. v. seq. *τούτων horum, harum rerum.* Auger.

κεκλήκασι κατ' ἐκείνου μάρτυρας· τὰ δὲ ἀνδράποδα ὅστις ἐστὶν ὁ λαβὼν, ἢ ὅπως ἐκ τῆς οἰκίας ἐξῆλθεν, ἢ ὡς ἀφείλετό τις, ἢ πρός τινα δίκην [1] ἥττηνται, περὶ αὐτῶν οὐκ ἔχουσιν εἰπεῖν. καί τοι, εἴ τι ἔλεγον ὑγιὲς, οὐκ ἂν κατὰ τῆς ἐκείνου πονηρίας παρείχοντο μάρτυρας, [2] οἷς οὐδὲν προσήκει φροντίζειν· ἀλλὰ τούτων ἂν ἀντελαμβάνοντο, καὶ τοὺς λαβόντας ἀπεδείκνυσαν, καὶ οὐδὲν ἂν αὐτῶν παρέλειπον. νῦν δὲ ὠμότατ' ἀνθρώπων ὁμολογοῦντες καταλειφθῆναι, καὶ λαβόντες ὡς αὐτοὺς, καὶ καρπωσάμενοι δέκα ἔτη τοὺς ἀνθρώπους, ἄρδην ὅλον τὸ ἐργαστήριον ἀφανίζουσι. καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, λάβε μοι τὰς μαρτυρίας καὶ ἀναγίγνωσκε.

ΜΑΡΤΥΡΙΑΙ. 822

ὅτι τοίνυν οὐκ ἄπορος ἦν ὁ Μοιριάδης, οὐδ' ἦν τῷ πατρὶ τοῦτο τὸ συμβόλαιον εἰς τἀνδράποδα ἠλιθίως συμβεβλημένον, μεγίστῳ τεκμηρίῳ γνώσεσθε. λαβὼν γὰρ ὡς ἑαυτὸν Ἄφοβος τοῦτο τὸ ἐργαστήριον, ὡς αὐτοὶ τῶν μαρτύρων ἠκούσατε, καὶ δέον αὐτὸν, εἰ καί τις ἄλλος ἐβούλετο εἰς ταῦτα συμβάλλειν, τοῦτον διακωλύειν, ἐπίτροπόν γε ὄντα, αὐτὸς ἐπὶ τούτοις τοῖς ἀνδραπόδοις τῷ Μοιριάδῃ πεντακοσίας δραχμὰς ἐδάνεισεν, ἃς ὀρθῶς καὶ δικαίως παρ' ἐκείνου κεκομίσθαι ὡμολόγηκε. καί τοι πῶς οὐ δεινὸν, εἰ ἡμῖν μὲν, πρὸς τῷ [3] λῆμμα ἀπ' αὐτῶν μηδὲν γεγονέναι, καὶ αὐτὰ τὰ ὑποτεθέντα ἀπόλωλεν, [4] οἷ πρότερον συνεβάλομεν· τῷ δ' εἰς τὰ ἡμέτερα δανείσαντι καὶ τοσούτῳ χρόνῳ ὕστερον πράξαντι καὶ οἱ τόκοι καὶ τἀρχαῖα ἐκ τῶν ἡμετέρων ἀποδέδονται, καὶ οὐδεμία ἀπορία γέγονεν. ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, λάβε μοι τὴν μαρτυρίαν καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑ.

σκέψασθε τοίνυν, ὅσον ἀργύριον οὗτοι παρὰ τοὺς κλινοποι-

[1] ἥττηνται περὶ αὐτῶν, [2] ἧς οὐδὲν * προσῆκε [3] λῆμμά τι ἀπ' [4] οἳ

Εἷς οὐδὲν προσήκει φροντίζειν] Οἷς, S. τοῖς ἐπιτρόποις. Sed quod si ἧς αὐτοῖς, S. πονηρίας. Wolf.

Καὶ οὐδὲν ἂν αὐτῶν παρέλειπον] F. οὐδένα ἂν αὐτῶν, S. τῶν λαβόντων. Hoc malo, quam ut verti: *Sic utique omni officio fungerentur.* Lalamantius: *et nihil horum reliquissent.* Idem. Lego οὐδέν' cum apostropho pro οὐδένα. Auger.

Σκέψασθε τοίνυν, ὅσον ἀργύριον οὗτοι etc.]

οὺς κλέπτουσι. τετταράκοντα μὲν μνᾶς αὐτὸ τὸ ἀρχαῖον, δέκα δὲ ἐτῶν τὸ ἔργον αὐτῶν δύο τάλαντα· δώδεκα γὰρ μνᾶς ἑκάστου τοῦ ἐνιαυτοῦ τὴν προσόδον αὐτῶν ἐλάμβανον. ἆρα μικρόν τι καὶ ἐξ ἀφανοῦς; πόθεν; καὶ παραλογίσασθαι ῥᾴδιον; ἀλλ' οὐ φανερῶς οὑτωσὶ μικροῦ δεῖν τρία τάλαντα ταῦτα ἀνηρπάκασιν; ὧν κοινῇ διαπεφορημένων, τὸ τρίτον δήπου μέρος παρὰ τούτου μοι προσήκει κεκομίσθαι.

323 ἡ. Καὶ μήν, ὦ ἄνδρες δικασταί, καὶ τὰ περὶ τοῦ ἐλέφαντος καὶ σιδήρου τοῦ καταλειφθέντος παραπλήσιά πως τούτοις πεποιήκασιν· οὐδὲ γὰρ [1] τοῦτο ἀποφαίνουσι. καί τοι κεκτημένον μὲν τοσούτους κλινοποιοὺς, κεκτημένον δὲ μαχαιροποιοὺς, οὐχ οἷόν τε μὴ οὐχὶ καὶ σίδηρον καὶ ἐλέ-

[1] Φ τοῦτον

Considerate igitur quantam isti pecuniam ex lectariis fabris intervertunt. Primum pro sorte quadraginta minas pono, deinde per quæstum decennii eorum opificii duo talenta, siquidem duodenas minas quotannis accipiebant ejus mercedis nomine, quam servi meruerunt. Quibus verbis enumerat fraudes tutorum suorum, et ostendere vult, tribus propemodum talentis uno nomine se ab eis circumscriptum: atque hinc apparet, decies duodenas minas duo talenta valere: qua ratione sexaginta minæ centenariæ talentum Atticum faciunt. Eodem pertinet locus superior, cum de usuris centesimis loqueretur. His enim exemplis et aliis permultis hujus orationis, planum fit, quicquid aliqui scripserint de mina Attica, minam tamen Atticam semper centenariam intelligi, et hujusmodi minas sexaginta talentum efficere. Demosthenes enim non modo Athenis et ad Athenienses orationem illam habuit, sed etiam Atticissime locutus est, ut infra in eadem hac oratione, [§. ιά.] ὅστις γὰρ ἐκ τεττάρων ταλάντων καὶ τρισχιλίων, τοῖς μὲν τρία τάλαντα καὶ δισχιλίας προῖκα δέδωκε, etc. Ubi argumentatur ex verbis testamenti patris sui, hoc pacto: qui enim ex quatuor talentis et tribus millibus, his quidem tria talenta et bis millena doti dedit, illi vero septuaginta minarum usumfructum reliquit, nimirum hunc clarum est apud omnes non a tenuibus fortunis ea legata decerpsisse, sed a summa altero tanto majore, atque eo etiam pleniore quam mihi reliquerat. Quam autem summam his verbis Orator intellexerit, ex narratione ejus orationis supra non longe a principio [§. β'.] apparet, his verbis, κἀκείνῳ μὲν ἔδωκεν ἐκ τῶν ἐμῶν ἑβδομήκοντα μνᾶς καρπώσασθαι τοσοῦτον χρόνον, ἕως ἂν ἐγὼ ἀνὴρ εἶναι δοκιμασθείην, etc. *Et illi quidem* (hoc est Therippidæ) *usumfructum ex bonis meis septuaginta minarum dedit, quoad ego inter viros censerer:* id est, quoad tutelæ meæ factus essem. *Demophontem autem voluit apud se sororem meam habere cum duobus talentis. Huic autem ipsi, qui cum ago, matrem meam uxorem ducendam cum dote octoginta minarum reliquit.* Ex quibus verbis intelligimus duo talenta octoginta minas, et septuaginta, id est, centum et quinquaginta minas, tantum valere quantum quatuor talenta et ter millenas: ubi subintelligendum drachmas, ut ex Græco apparet, propter quod millenas pro mille transtuli. Sic fit, ut talentum sexaginta sit minarum, et mina centum drachmarum: minam enim Atticam ad centum drachmas auxisse Solonem, Plutarchus in ejus vita tradidit, utque ubi Græci millia dicunt ex sua persona, drachmarum semper intelligere debeamus. Quod eo pertinet, quod legitur apud Plutarchum in Pompeio, de vectigalib. Rom. imperii, et in Antonio, de decies sestertio. Quam multus autem Demosthenes in eo loquendi modo fuerit, licet ex eadem oratione perlecta intelligere, cujus loca vertere necesse nunc non habui. Hactenus Bud. de Asse lib. 3. *Ex edit.* Hervag.

Αὐτῷ] Αὐτῶν. F. αὐτὸ τὸ ἀρχαῖον. Wolf.

Ῥᾴδιον] Dele punctum interrogationis post ῥᾴδιον. καὶ παραλογίσασθαι ῥᾴδιον est responsio ad interrogationem præcedentem. Auger.

ἡ. Τοῦτο] M. ταῦτα. Idem.

φαντα καταλιπεῖν, ἀλλ᾽ ἀνάγκη ταῦτά γε ὑπάρχειν. τίνα γὰρ ἂν εἰργάζοντο, τούτων μὴ ὑπαρξάντων; τὸν τοίνυν πλέον ἢ πεντήκοντα ἀνδράποδα κεκτημένον καὶ δυοῖν τέχναιν ἐπιμελούμενον, ὧν θάτερον ἐργαστήριον εἰς τὰς κλίνας ῥᾳδίως δύο μνᾶς τοῦ μηνὸς ἀνήλισκεν ἐλέφαντος, τὸ δὲ [1] μαχαιροποιῶν οὐκ ἔλαττον ἢ τοσοῦτον ἕτερον σὺν σιδήρῳ, τοῦτον οὔ φασι καταλιπεῖν οὐδὲν τούτων· εἰς τοῦτ᾽ ἀναιδείας ἐληλύθασιν. ὅτι μὲν οὖν οὐ πιστὰ λέγουσι, καὶ ἐκ τούτων αὐτῶν ῥάδιόν ἐστι μαθεῖν· ὅτι δ᾽ ἐκεῖνος κατέλιπε τοσοῦτον τὸ πλῆθος, ὥστε μὴ μόνον ἱκανὸν εἶναι κατεργάζεσθαι τοῖς ἑαυτοῦ δημιουργοῖς, ἀλλὰ καὶ τῷ βουλομένῳ προσωνεῖσθαι τῶν ἄλλων, ἐκεῖθεν φανερόν, ὅτι αὐτός τε ἐπώλει ζῶν, καὶ Δημοφῶν, καὶ οὗτος, τοῦ πατρὸς ἤδη τετελευτηκότος, ἐκ τῆς οἰκίας τῆς ἐμῆς [2] ἀπεδίδοτο τοῖς βουλομένοις. καί τοι πόσον τινὰ χρὴ τὸν καταλειφθέντα νομίζειν εἶναι, ὅταν φαίνηται τηλικούτοις τε ἐργαστηρίοις ἐξαρκῶν, καὶ χωρὶς ὑπὸ τῶν ἐπιτρόπων πιπρασκόμενος; ἆρ᾽ ὀλίγον; ἀλλ᾽ οὐ πολλῷ πλείω τῶν ἐγκεκλημένων; λάβε τοίνυν τὰς μαρτυρίας [3] ταύτας, καὶ ἀνάγνωθι αὐτοῖς.

ΜΑΡΤΥΡΙΑΙ. 824

τούτου τοίνυν τοῦ ἐλέφαντός ἐστι πλέον ἢ τάλαντον, ὃν οὔτε αὐτὸν οὔτε τὸ ἔργον μοι ἀποφαίνουσιν, ἀλλὰ καὶ τοῦτον ἄρδην ἀφανίζουσιν ὅλον.

θ΄. Ἔτι τοίνυν, ὦ ἄνδρες δικασταί, παρὰ τὸν λόγον, ὃν ἀποφέρουσιν, ἐξ ὧν αὐτοὶ λαβεῖν ὁμολογοῦσιν, ἐπιδείξω

[1] μαχαιροποιεῖον [2] ἀπεδίδοντο [3] ταυτασὶ

Τὸ δὲ μαχαιροποιεῖν] Alii μαχαιροποιῶν. F. τὸ δὲ μαχαιροποιοῦν, S. ἐργαστήριον, aut τὸ τῶν μαχαιροποιῶν. Nota obiter et gladios et lectulos ebore fuisse ornatos. Wolf. Adde τῶν post τὸ δέ. Auger.

Ἀλλὰ καὶ τῷ βουλομένῳ προσωνεῖσθαι τῶν ἄλλων] Ἀντὶ τοῦ ἀνεῖσθαι. Wolf.

Τούτου τοίνυν τοῦ ἐλέφαντός ἐστι πλέον ἢ τάλαντον, ὃν οὔτε αὐτὸν, οὔτε ἔργον μοι ἀποφαίνουσιν] Id est, τούτου ἐν τοῖς λόγοις τῆς ἐπιτροπῆς οὐδὲν οὐδ᾽ ὅλως ἔργον ἀποφέρουσιν. Est autem verbum ad rationes tutelares pertinens τὸ ἀποφαίνειν. Idem [§. ς΄.] Θηριππίδης μὲν οὖν ἑπτὰ ἔτη τῶν ἀνδραπόδων ἐπιμεληθεὶς, ἕνδεκα μνᾶς τοῦ ἐνιαυτοῦ ἀπέφηνε, *in rationes retulit, acceptas tutelæ retulit.* τέσσαρσι μναῖς καθ᾽ ἕκαστον ἐνιαυτὸν ἔλαττον ἢ ὅσον προσῆκε λογιζόμενος. λογίζεσθαι et ἀποφαίνειν pro eodem posuit. Et rursus, ἔργον μὲν οὐδὲν ἀποφαίνουσι τοῖς χρήμασι, *nullum quæstum pecuniarum referunt, nullum exhibent fœnus.* Δημοφῶν δὲ καὶ προσοφείλοντας ἡμᾶς ἐνέγραψε, vel ut alibi, ἀπέγραψε. Unde τῶν ὄντων ἀπόφασις ἐν ταῖς ἀντιδόσεσιν, *annotatio est bonorum*, et *commentarius*, et *recensio*, indexque *eorum quæ reperta sunt.* Juriscoss. *inventarium* vocant, et *repertorium*, quod ἀπογραφὴ proprie dicitur. *Ex edit.* Hervag.

ὑμῖν τρεῖς μὲν ὄντας αὐτοὺς πλέον ἢ ὀκτὼ τάλαντα ἐκ τῶν ἐμῶν ἔχοντας, ἰδίᾳ δ' ἐκ τούτων Ἄφοβον τρία τάλαντα καὶ χιλίας εἰληφότα, τά τε ἀναλωμένα χωρὶς τούτων πλείω τιθεὶς καὶ ὅσα ἐκ τούτων ἀπέδοσαν ἀφαιρῶν· ἵν' εἰδῆτε, ὅτι οὐ μικρᾶς ἀναιδείας τὰ ἐγχειρήματα αὐτῶν ἐστί. λαβεῖν γὰρ ἐκ τῶν ἐμῶν ὁμολογοῦσιν, οὗτος μὲν ὀκτὼ καὶ ἑκατὸν μνᾶς, χωρὶς ὧν ἔχοντα αὐτὸν ἐγὼ ἐπιδείξω νῦν, Θηριππίδης δὲ δύο τάλαντα, Δημοφῶν δὲ ἑπτὰ καὶ ὀγδοήκοντα μνᾶς. τοῦτο δέ ἐστι πέντε τάλαντα καὶ πεντεκαίδεκα μναῖ. [1]τοῦτο τοίνυν, ὃ μὲν οὐκ ἀθρόον ἐλήφθη, σχεδόν εἰσιν ἑβδομήκοντα μναῖ καὶ ἑπτά, ἡ προσόδος ἡ ἀπὸ τῶν ἀνδραπόδων, ὃ δ' εὐθὺς ἔλαβον οὗτοι, μικροῦ δέον τέτταρα τάλαντα· οἷς τὸ ἔργον ἂν [2]προσθηταί ἐπὶ δραχμῇ μόνον τῶν δέκα ἐτῶν, ὀκτὼ τάλαντα εὑρήσετε σὺν τοῖς ἀρχαίοις καὶ χιλίας γιγνομένας. τὴν μὲν τοίνυν τροφὴν ἀπὸ τῶν ἑβδομήκοντα καὶ ἑπτὰ μνῶν λογιστέον, τῶν ἀπὸ τοῦ ἐργαστηρίου γιγνομένων. Θηριππίδης γὰρ ἑπτὰ μνᾶς ἐδίδου καθ' ἕκαστον ἐνιαυτὸν εἰς ταῦτα, καὶ ἡμεῖς τοῦτο λαβεῖν ὁμολογοῦμεν. ὥστε, ἑβδομήκοντα [3]μνῶν ἐν
25 τοῖς δέκα ἔτεσι τροφὴν τούτων ἡμῖν ἀνηλωκότων, τὸ περιὸν τὰς ἑπτακοσίας προστίθημι αὐτοῖς καὶ τούτῳ πλείω εἰμὶ τεθεικώς. ὃ δέ μοι δοκιμασθέντι παρέδοσαν καὶ ὅσον εἰς τὴν πόλιν εἰσενηνόχασι, τοῦτο ἀπὸ τῶν ὀκτὼ ταλάντων καὶ τοῦ [4]προστεθέντος ἀφαιρετέον ἐστίν. [5]ἀπέδοσαν τοίνυν

[1] τούτου [2] προσθῆτε [3] μνᾶς ἐ. τ. δ. ἔτεσιν εἰς τροφὴν [4] προσόντος [5] ἀπέδοσαν μὲν τοίνυν

θ'. Ὀκτὼ τάλαντα] Lege ἑπτὰ, ut sibimet ipsi constet Demosthenes. Vide p. 416. v. 5. Auger.

Τά τε ἀναλωμένα, χωρὶς τούτων, πλείω τιθεὶς] Χωρὶς τούτων, τῶν τριῶν ταλάντων. Lal. *tum quod diario suo plures, quam cæteri, adscribit impensas.* τὸ πλείω τιθεὶς refertur ad ἐπιδείξω et personam Demosthenis, qui videri vult, ἐκ περιουσίας adversariis largiri aliquid. Locus sane obscurus est, et facilis offensio. Wolf.

Ἑπτὰ καὶ ὀγδοήκοντα μνᾶς] Sequitur ἑπτὰ καὶ ἑβδομήκοντα. An ea alia summa est? Sed quid laboramus, ubi nobis neque seritur, neque metitur? Fides istarum rationum sit penes Demosthenem et judices hujus controversiæ. Nostrum est, verba auctoris interpretari, ut quimus, (corrupta si sunt,) quando ut volumus non licet. Idem.

Τοῦτο τοίνυν] Subjicitur ἐξηγητικῶς, ἡ πρόσοδος. Idem.

Ὃ δ' εὐθὺς ἔλαβον] S. μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἐκ τῆς διαθήκης. Idem.

Τὴν μὲν τοίνυν τροφὴν] Cujus? Mancipiorum? ergo post patris obitum non fuerunt αἱ λ' μναῖ ἀτελεῖς. An τροφὴν matris et Demosthenis et sororis. Idem.

Ἑπτὰ μνᾶς ἐδίδου καθ' ἕκαστον ἐνιαυτὸν εἰς ταῦτα] Εἰς τίνα; τὴν τροφὴν, τῶν ἀνδραπόδων; Atqui reditus fuit tantum 7. minarum. Idem. εἰς ταύτην, nempe τροφήν. Auger.

Καὶ ἡμεῖς τοῦτο λαβεῖν ὁμολογοῦμεν] Alii τοῦτον, hunc, τὸν Θηριππίδην. Wolf.

Τὰς ἑπτακοσίας] S. δραχμὰς, τουτέστι τὰς ζ' μνᾶς. Idem.

Καὶ τοῦ προστεθέντος] Utrum τῶν τόκων,

οὗτος καὶ Θηριππίδης μίαν καὶ τριάκοντα μνᾶς, εἰσφορὰς δὲ εἰσενηνοχέναι λογίζονται δυοῖν δεούσας εἴκοσι μνᾶς· ἐγὼ δ' ὑπερβαλὼν καὶ τοῦτο ποιήσω τριάκοντα μνᾶς, ἵνα πρὸς ταῦτα μηδ' ἀντειπεῖν ἔχωσιν. οὐκ οὖν ἂν [1] ἀφέληται τὸ τάλαντον ἀπὸ τῶν ὀκτὼ ταλάντων, ἑπτὰ τὰ λειπόμενά ἐστι· καὶ ταῦτα, ἐξ ὧν αὐτοὶ ὁμολογοῦσι λαβεῖν, [2] ἃ τούτους ἔχειν ἐστὶν ἀναγκαῖον. τοῦτο τοίνυν, εἰ καὶ τἆλλα πάντα ἀποστεροῦσιν ἀρνούμενοι μὴ ἔχειν, ἀποδοῦναι προσῆκεν, ὁμολογοῦντά γε λαβεῖν ταῦτα ἐκ τῶν ἐμῶν. νῦν δὲ τί ποιοῦσιν; ἔργον μὲν οὐδὲν ἀποφαίνουσι τοῖς χρήμασιν, αὐτὰ δὲ τὰ ἀρχαῖα πάντα ἀναλωκέναι φασὶ σὺν ταῖς ἑπτὰ καὶ ἑβδομήκοντα μναῖς· Δημοφῶν δὲ καὶ προσοφείλοντας ἡμᾶς ἐνέγραψε. ταῦτ' οὐ μεγάλη καὶ περιφανὴς ἀναισχυντία; ταῦτ' οὐχ ὑπερβολὴ δεινῆς αἰσχροκερδείας; τί οὖν ποτ' ἐστὶ τὸ δεινὸν, εἰ μὴ ταῦτα δόξει τηλικαύτας ὑπερβολὰς ἔχοντα; οὗτος τοίνυν τὸ καθ' αὑτὸν, ὀκτὼ καὶ ἑκατὸν μνᾶς λαβεῖν ὁμολογῶν, ἔχει καὶ αὐτὰς, καὶ τὸ ἔργον [3] δέκα ἐτῶν μάλιστα τρία τάλαντα καὶ χιλίας. καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, καὶ, ἐν τοῖς λόγοις τοῖς τῆς ἐπιτροπῆς τὸ λῆμμα τοῦθ' ἕκαστος ὁμολογῶν λαβεῖν, ἅπαν 826
ἀναλωκέναι λογίζεται, λάβε τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

ι'. Νομίζω τοίνυν, ὦ ἄνδρες δικασταὶ, περὶ τούτων [4] ἱκανῶς μεμαθηκέναι ὑμᾶς καὶ ὅσα κλέπτουσι καὶ ὅσα κακουργοῦσιν ἕκαστος αὐτῶν· ἔτι δ' ἀκριβέστερον ἔγνωτ' ἂν, εἴ μοι τὰς διαθήκας, ἃς ὁ πατὴρ κατέλιπεν, οὗτοι ἀποδοῦναι ἠθέλησαν. ἐν γὰρ ἐκείναις ἐγέγραπτο, ὡς φησιν ἡ μήτηρ, ἃ κατέλιπεν ὁ πατὴρ [5] πάντα, καὶ ἐξ ὧν ἔδει τούτους λαβεῖν τὰ δοθέντα, καὶ τὸν οἶκον ὅπως [6] μισθώ-

[1] ἀφέληται [2] Deest ἃ. [3] τῶν δέκα [4] ἱκανῶς μὲν ὑμᾶς μεμαθηκέναι [5] ἅπαντα [6] * μισθώσουσι

usura adjecta, an iis, quæ ego illis ultra debitum concessi? Idem.

Ἀπέδοσαν οὖν τοίνυν] Aut est ἐκ παραλλήλου, aut (quod magis credo) παρέλκον τυπογραφικόν: cum sit alterum satis, et οὐκοῦν ἂν ἀφέληται. Idem.

Ἀφέληται] Pro ἀφαιρεθῇ. F. ἀφέλητε, sc. ὑμεῖς δικασταί. Idem.

Τοῦτο τοίνυν] F. ταῦτα τοίνυν, S. τὰ ζ' τάλαντα. Idem.

Ἀρνούμενοι μὴ ἔχειν] S. τὰ ἐμά. Lal. Se solvendo esse neguntes. Idem.

ι'. Τὸν οἶκον ὅπως μισθώσοιτο] Ἀντὶ τοῦ μισθωθῇ, παθητικῶς. Sequitur: οὐδὲ τὸν οἶκον ὅπως μισθώσουσι, F. ὅπως μισθώσοιντο, S. εἰ ἐπίτροποι, ἀντὶ τοῦ μισθώσειεν. Idem.

σοιτο. νῦν δ' ἀπαιτοῦντός μου, καταλειφθῆναι μὲν ὁμολογοῦσιν, αὐτὰς δ' οὐκ ἀποφαίνουσι. ταῦτα δὲ ποιοῦσι, τό τε πλῆθος οὐ βουλόμενοι καταφανὲς ποιῆσαι τῆς οὐσίας τὸ καταλειφθὲν, ὃ διηρπάκασιν οὗτοι, τάς τε δωρεὰς ἵνα μὴ δοκῶσιν ἔχειν, [1] ὥς περ ἐξ αὐτοῦ τοῦ πράγματος ἐλεγχθησόμενοι ῥᾳδίως. λάβε δ' αὐτοῖς τὰς μαρτυρίας [2] ὡς ἀπεκρίναντο, καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

οὗτος διαθήκην μὲν γενέσθαι φησὶ, καὶ τὰ δύο τάλαντα Δημοφῶντι καὶ τὰς ὀγδοήκοντα μνᾶς τούτῳ δοθῆναι μαρτυρεῖ· τὰς δὲ ἑβδομήκοντα μνᾶς, ἃς Θηριππίδης ἔλαβεν, οὐ προσγραφῆναί φησιν, οὐδὲ τὸ πλῆθος τῆς οὐσίας τὸ καταλειφθὲν, οὐδὲ τὸν οἶκον ὅπως μισθώσουσιν. οὐ γὰρ αὐτῷ συμφέρει προσομολογῆσαι ταῦτα. λάβε δὴ τὴν τούτου [3] μαρτυρίαν.

827 ## ΜΑΡΤΥΡΙΑ.

οὗτος [4] αὐτὴν μὲν τὴν διαθήκην γενέσθαι φησὶ τὸ ἀργύριον ἐκ τοῦ χαλκοῦ καὶ τῆς κηκίδος ἀποδοθῆναι τῷ Θηριππίδῃ, ὃ ἐκεῖνος οὔ φησι, καὶ τὰ δύο τάλαντα τῷ Δημοφῶντι· περὶ δὲ τῶν αὐτῷ δοθέντων γραφῆναι μέν φησιν, οὐχ ὁμολογῆσαι δ' αὐτὸς, ἵνα μὴ δοκῇ λαβεῖν. τὸ δὲ πλῆθος τῆς οὐσίας οὐδ' οὗτος ἀποφαίνει [5] καθόλου, οὐδὲ τὸ μισθοῦν τὸν οἶκον· οὐδὲ γὰρ οὐδὲ τούτῳ συμφέρει προσομολογῆσαι ταῦτα.

ιά. Δῆλον τοίνυν ἐστὶν οὐδὲν ἧττον τὸ πλῆθος τῶν καταλειφθέντων, καί περ ἀφανιζόντων τούτων τὴν οὐσίαν, ἐκ τῶν διαθηκῶν, ἐξ ὧν τοσαῦτα χρήματα ἀλλήλοις φασὶ

[1] ὥσπερ οὐκ ἐκ
[2] ὧν ἐναντίον ἀπεκρίναντο
[3] ἀπόκρισιν
[4] αὖ τὴν μὲν δ. γ. φησὶ καὶ τὸ
[5] καθόλου τὸ καταλειφθὲν, οὐδὲ

"Ωσπερ ἐξ αὐτοῦ τοῦ πράγματος ἐλεγχθησόμενοι ῥᾳδίως] F. ὡς ἂν ἐξ αὐτοῦ τοῦ γράμματος, quod ipso scripto (testamenti tabulis) facile convincerentur. Idem.

Μαρτυρίαν] i. e. ἀπόκρισιν, responsionem Aphobi quæ contra Aphobum testimonium erat. Auger.

Γραφῆναι μέν φησιν, οὐχ ὁμολογῆσαι δ' αὐτὸς] Se non consensisse: se noluisse legatum id accipere. Felicianus * non sine causa apposuit: etsi infra denuo legitur: οὐδ' ὁμολογῆσαι περὶ τούτων οὐδενός. Wolf.

Οὐδ' οὗτος ἀποφαίνει] Οὐδ' αὐτὸς ἀποφαίνει καθόλου τὸ καταλειφθὲν, οὐδὲ κ. τ. λ. et ipse prorsus non declarat quæ relicta sit, nec etc. Idem.

δοθῆναι. ὅστις γὰρ ἐκ τεττάρων ταλάντων καὶ τρισχιλίων, τοῖς μὲν τρία τάλαντα καὶ δισχιλίας προῖκα δέδωκε, τῷ δ' ἑβδομήκοντα μνᾶς καρποῦσθαι, φανερὸν δήπου πᾶσιν, ὅτι οὐκ ἀπὸ μικρᾶς οὐσίας, ἀλλὰ πλέον ἢ διπλασίας ἧς ἐμοὶ κατέλιπε, ταῦτα ἀφεῖλεν. οὐ γὰρ δήπου τὸν μὲν υἱὸν ἐμὲ πένητα ἐβούλετο καταλιπεῖν, τούτους δὲ, πλουσίους ὄντας, ἔτι πλουσιωτέρους ποιῆσαι ἐπεθύμησεν, ἀλλ' ἕνεκα τοῦ πλήθους τῶν ἐμοὶ καταλειπομένων, Θηριππίδῃ τε τοσοῦτον ἀργύριον, καὶ Δημοφῶντι τὰ δύο τάλαντα οὕτω μέλλοντι τῇ ἀδελφῇ τῇ ἐμῇ συνοικήσειν, καρποῦσθαι ἔδωκεν, ἵνα δυοῖν θάτερον διαπράξαιτο, ἢ διὰ τὰ διδόμενα βελτίους αὐτοὺς εἶναι περὶ τὴν ἐπιτροπὴν προτρέψειεν, ἢ, εἰ κακοὶ γίγνοιντο, μηδεμιᾶς συγγνώμης παρ' ὑμῶν τυγχάνοιεν, εἰ, τοσούτων ἀξιωθέντες, τοιαῦτ' εἰς ἡμᾶς ἐξα- 828
μαρτάνοιεν. οὗτος τοίνυν καὶ αὐτὸς πρὸς τῇ προικὶ καὶ τὰς θεραπαίνας λαβὼν καὶ τὴν οἰκίαν οἰκῶν, ἐπειδὴ δεῖ λόγον αὐτὸν δοῦναι τούτων, τὰ αὑτοῦ πράττειν φησί· καὶ εἰς τοσοῦτον αἰσχροκερδείας ἦλθεν, ὥστε καὶ τοὺς διδασκάλους [1] καὶ τοὺς μισθοὺς ἀπεστέρηκε, καὶ τῶν εἰσφορῶν ἐστὶν ἃς οὐ κατέθηκεν, ἐμοὶ δὲ λογίζεται. λάβε δὴ καὶ ταύτας τὰς μαρτυρίας [2] αὐτοῖς καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

πῶς οὖν ἄν τις σαφέστερον ἐπιδείξειε πάντα διηρπακότα καὶ μηδὲ τῶν μικρῶν ἀπεσχημένον, ἢ τοῦτον τὸν τρόπον ἐπιδεικνὺς μετὰ τοσούτων μαρτύρων καὶ τεκμηρίων [1] καὶ τὴν μὲν προῖκα λαβεῖν ὁμολογήσαντα καὶ ἔχειν αὐτὸν πρὸς τοὺς ἐπιτρόπους ἀπογράψαντα, τὸ δ' ἐργαστήριον κεκαρπωμένον αὐτὸν καὶ τὴν πρόσοδον οὐκ ἀποφαίνοντα, τῶν δ' ἄλλων τὰ μὲν πεπρακότα καὶ τὰς τιμὰς οὐκ ἀποδεδωκό-

[1] Deest καί.

[2] αὐτοῖς τὰς μαρτυρίας

ιά. Ὅστις γὰρ ἐκ τεττάρων ταλάντων] Hæc integra summa est: quam dividit in dotes et usumfructum. IDEM.

Τὰ αὑτοῦ πράττειν φησὶ] Utrum ædes se administrasse pro suis? an suis negotiis occupatum, non potuisse curare Demosthenica? IDEM.

Ὥσστε καὶ τοὺς διδασκάλους καὶ τοὺς μισθοὺς ἀπεστέρηκε] Posterius καὶ παρέλκει. Ad rem quod attinet: hinc est apud Plutarchum: τὸν ὡρισμένον μισθὸν Ἰσοκράτει τελέσαι μὴ δυπάμενος, τὰς δέκα μνᾶς, διὰ τὴν ὀρφανίαν, et in vita Isocratis: διακοσίας δὲ μόνας δώσειν, etc. Lal. *ut et præceptores et mercenarios fraudaverit:* quasi scriptum esset καὶ τοὺς μισθωτούς. IDEM.

τα, τὰ δ' ὡς ἑαυτὸν λαβόντα καὶ ταῦτ' ἠφανικότα, ἔτι δὲ παρὰ τὸν λόγον, ὃν αὐτὸς [1] ἀπέδωκε, τοσαῦτα κλέπτοντα; πρὸς δὲ τούτοις τὴν διαθήκην ἠφανικότα, τὰ ἀνδράποδα πεπρακότα, καὶ [2] τἆλλα οὕτω πάντα διῳκηκότα, ὡς οὐδ' ἂν οἱ ἔχθιστοι διοικήσαιεν; ἐγὼ μὲν οὐκ οἶδ' ὅπως ἄν τις σαφέστερον ἐπιδείξειεν.

ιβ'. Ἑτόλμα τοίνυν πρὸς τῷ διαιτητῇ λέγειν, ὡς ἀπὸ τῶν χρημάτων χρέα τε [3] πολλὰ ἐκτέτικεν ὑπὲρ ἐμοῦ Δημοφῶντι καὶ Θηριππίδῃ τοῖς συνεπιτρόποις, καὶ ὡς πολλὰ τῶν ἐμῶν λάβοιεν, [4] οὐδέτερα ἔχων ἐπιδεικνύναι τούτων.
829 οὔτε γὰρ ὡς ὀφείλοντά με [5] καταλιπεῖν ὁ πατὴρ, ἐν τοῖς γράμμασιν [6] ἀπέφηνεν, οὔθ', οἷς ἀποδεδωκέναι ταῦτ' ἔφη, παρέσχηται μάρτυρας, οὔτ' αὖ τὸν ἀριθμὸν τῶν χρημάτων εἰς τοὺς συνεπιτρόπους ἐπανέφερεν, ὅσον περ αὐτὸς φαίνεται λαβὼν, ἀλλὰ πολλοῖς ἐλάττω χρήμασιν. ἐρωτηθεὶς δ' ὑπὸ τοῦ διαιτητοῦ ταῦτά τε καθ' ἕκαστον, καὶ τὴν οὐσίαν τὴν αὐτοῦ πότερον ἐκ τῶν ἐπικαρπιῶν, ἢ τἀρχαῖα ἀναλίσκων, διῴκηκε· καὶ πότερον [7] οὗτος ἐπιτροπευθεὶς ἀπεδέξατ' ἂν τοῦτον τὸν λόγον παρὰ τῶν ἐπιτρόπων, ἢ τἀρχαῖα ἀπο-

[1] ἐπέδωκε [2] τἆλλα passim [3] πάμπολλα [4] οὐδέτερον
[5] κατέλιπεν [6] * ἀναπέφηνεν [7] οὗτος

Πεπρακότα [ἔτι - - desunt in edit. Wolf. - - ἠφανικότα].

Καὶ τἆλλα] *Atque etiam in rationibus, quas ipse retulit, tantum fruatur: prætereaque testamentum delevit: et reliqua.* Wolf.

ιβ'. Ἐρωτηθεὶς κ.τ.λ.] Ἀρχαῖα vocabant, non sortem tantum, et veluti caput debiti, quod nos dicimus *fundum, et summam principalem;* sed etiam omnium omnino bonorum, sive partorum, sive avitorum, veluti summam, bona ipsa, unde fructus et reditus percipiuntur, et percipi possunt, ἐπικαρπίας, et πρόσοδον. Τόκος est τοῦ δανείου· ἐπικαρπίαι et πρόσοδοι etiam aliorum bonorum, quæ ἀρχαῖα vocantur, non quod sint avita et πατρῷα, quod doctissimi homines existimarunt, sed quod sint, veluti ἀρχαὶ, et fontes, unde τόκοι, πρόσοδοι, et ἐπικαρπίαι manant. Opponit autem Demosthenes h. l., ἐπικαρπίας τοῖς ἀρχαίοις. Nempe ἐπικαρπία erat πρόσοδος, fructus et reditus, qui e bonis percipi poterat. Dixi e bonis generaliter, non simpliciter ex pecunia, aut ex nummis. Vox igitur generalis est, quæ restringitur secundum subjectam materiam ut loquuntur. Dicuntur quoque generaliter omnes ἐπικαρπίαι ἔργα, nec fœnus tantum. Ita appellat Demosthenes quæ tam e servorum operis et artificiis, quam quæ e pecunia fœnore data a patre suo percipiebantur. *Herald. Animadv. in Salmas. Obss. ad Jus A. et R.* l. VII. c. XXIV. §. XIV. p. 585.

Ἢ τἀρχαῖα ἀναλίσκων διῴκηκε] Τἀρχαῖα appellat τὰ πατρῷα, id est, *sortem et caput unde fructus et reditus manat,* eamque accessionem ἔργον et πρόσοδον et ἐπικαρπίαν vocat. Sic etiam accipitur in princ. Olynth. significat etiam *sortem usurarum:* et in eadem hac Demosthenes κεφάλαιον addidit, τοῦ μὲν ἀρχαίου κεφαλαίου τέτταρα τάλαντα, etc. Lysias tamen sine additamento dixit, ut Isocrates, et ipse Demosthenes κατὰ Διονυσοδ. quare fit, ut quodammodo suspicer illud verbum κεφαλαίου e margine in paginam irrepsisse ignorantia librariorum, ut fit interdum. *Ex edit.* Hervag.

Οὗτος ἐπιτροπευθεὶς] F. αὐτὸς οὕτως. Wolf.

λαβεῖν ἂν ἠξίου σὺν τοῖς ἔργοις τοῖς γεγενημένοις; πρὸς μὲν ταῦτ' ἀπεκρίνατο οὐδέν, προὐκαλεῖτο δὲ ἐθέλειν ἐπιδεῖξαί μοι τὴν οὐσίαν δέκα ταλάντων οὖσαν· εἰ δέ τι ἐλλείποι, αὐτὸς ἔφη προσθήσειν. κελεύοντος δέ μου πρὸς τὸν διαιτητὴν ἐπιδεικνύναι ταῦτα, οὐκ [1]ἐδείξεν, οὐδ' ὡς οἱ συνεπίτροποι παρέδοσαν,— οὐ γὰρ ἂν αὐτοῦ κατεδιήτησε—, μαρτυρίαν δ' ἐνεβάλετο τοιαύτην, περὶ ἧς πειράσεταί τι λέγειν. ἐὰν μὲν οὖν καὶ νῦν ἔχειν με φῇ, τίνος παραδόντος ἐρωτᾶτε αὐτόν, καὶ καθ' ἕκαστον παρασχέσθαι μάρτυρας ἀξιοῦτε· ἐὰν δ' εἶναί μοι φῇ, τοῦτον τὸν τρόπον καταλογιζόμενος τὰ παρ' [2]ἑκάτερα τῶν ἐπιτρόπων, δισχιλίοις ἐλάττω φανήσεται λέγων, ἔχοντα δ' οὐδὲν μᾶλλον ἀποφαίνων. ἐγὼ γὰρ ὥσπερ καὶ τοῦτον τοσαῦτ' ἔχοντα ἐξήλεγξα, οὕτω κἀκείνων ἑκάτερον οὐκ ἐλάττω τούτων ἔχοντα ἐπιδείξω. ὥστε οὐ τοῦτ' αὐτῷ λεκτέον, ἀλλ' ὡς ἢ αὐτὸς, ἢ οἱ συνεπίτροποι παρέδοσαν. εἰ δὲ μὴ τοῦτ' ἐπιδείξει, πῶς χρὴ ταύτῃ τῇ [3]παρακλήσει προσέχειν ὑμᾶς τὸν νοῦν; οὐδὲν γὰρ μᾶλλον ἔχοντά με ἐπιδείκνυσι. 830

ιγ'. Πολλὰ τοίνυν ἀπορηθεὶς πρὸς τῷ διαιτητῇ περὶ πάντων τούτων, καὶ καθ' ἕκαστον ἐξελεγχόμενος, ὥσπερ νῦν παρ' ὑμῖν, ἐτόλμησε ψεύσασθαι πάντων δεινότατον, ὡς τέτταρά μοι τάλαντα ὁ πατὴρ κατέλιπε κατορωρυγμένα καὶ τούτων κυρίαν τὴν μητέρα ἐποίησε. ταῦτα δ' εἶπεν, ἵν', εἰ μὲν καὶ νῦν αὐτὸν προσδοκήσαιμι ἐρεῖν, ἀπολογούμενος περὶ αὐτῶν διατρίβοιμι, δέον ἑτέρα αὐτοῦ με κατηγορεῖν πρὸς ὑμᾶς, εἰ δ' ὡς μὴ ῥηθησομένων παραλείποιμι, νῦν αὐτὸς εἴποι· ἵνα δοκῶν εἶναι πλούσιος, ἧττον ὑφ' ὑμῶν ἐλεοίμην. καὶ μαρτυρίαν μὲν οὐδεμίαν [4]ἐνεβάλλετο τούτων ὁ ταῦτ' εἰπεῖν ἀξιώσας, ψιλῷ δὲ λόγῳ χρησάμενος ὡς πιστευθησόμενος ὑπ' ἐκείνων. καὶ, ὅταν μὲν ἔρηταί τις αὐτὸν,

[1] ἐπέδειξεν [2] ἑκατέρῳ [3] προκλήσει [4] ἐνεβάλετο

Οὐδ' ὡς συνεπίτροποι παρέδοσαν] F. οὐδ' ὡς τοῖς συνεπιτρόποις παρέδωκεν: vel, οὐδ', ὡς οἱ συνεπίτροποι παρέλαβον. Lal. *Nec apud arbitrum demonstravit, quod tutelæ collegæ reddidissent.* In farrag. F. οἱ συνεπίτροποι παρέλαβον οὐδ' ἠσχύνθησαν οὐδ' ἔδεισαν. Idem. παρέδοσαν sub. τὰ ἐμά. Auger.

Μαρτυρίαν δ' ἐνεβάλετο τοιαύτην] F. ψευδῆ. Wolf.

Τοῦτον τὸν τρόπον] *Hoc quo dicit modo.* Mox διπλασίοις sub. μέρεσιν. Auger.

Τὰ παρ' ἑκάτερα τῶν ἐπιτρόπων] F. παρ' ἑκατέρου. et v. 17. ταύτῃ τῇ προκλήσει. Wolf.

Ἀποφαίνων] F. ἐμαυτὸν ἀποφαίνων. Idem.

ιγ'. Ὑπ' ἐκείνων] Imo ἐπ' ἐκείνῳ nempe τῷ λόγῳ. Auger.

εἰς τί τῶν ἐμῶν τοσαῦτα χρήματ' ἀνήλωκε; χρέα φησὶν ὑπὲρ ἐμοῦ ἐκτετικέναι, καὶ πένητα ἐνταυθοῖ ζητεῖ ποιεῖν· ὅταν δὲ βούληται, πλούσιον, ὡς ἔοικεν, εἴπερ καὶ τοσοῦτον ἀργύριον ἐκεῖνος οἴκοι κατέλιπεν. ὡς δ' οὐκ ἀληθῆ λέγειν οἷόν τε αὐτὸν, ἀλλ' ἀδύνατόν τι γενέσθαι τούτων, ἐκ πολλῶν ῥάδιον μαθεῖν.

ιδ'. Εἰ μὲν γὰρ ὁ πατὴρ ἠπίστει τούτοις, δῆλον ὅτι οὔτ' ἂν τἆλλα ἐπέτρεπεν, οὔτ' ἂν ταῦθ' οὕτω καταλιπὼν αὐτοῖς ἔφραζε, μανία γὰρ δεινὴ τὰ κεκρυμμένα εἰπεῖν μηδὲ τῶν φανερῶν μέλλοντα ἐπιτρόπους καταστήσειν· εἰ δ' ἐπίστευεν, οὐκ ἂν δήπου τὰ μὲν πλεῖστ' αὐτοῖς τῶν χρημάτων ἐνεχείρισε, τούτων δ' οὐκ ἂν κυρίους ἐποίησεν. οὐδ' ἂν τῇ μὲν μητρί μου ταῦτα φυλάττειν ἔδωκεν, αὐτὴν [1] δ' ἑνὶ τῶν
331 ἐπιτρόπων τούτων γυναῖκα ἔδωκεν· οὐ γὰρ ἔχει λόγον, σώζειν μὲν τὰ χρήματα διὰ τῆς ἐμῆς μητρὸς ζητεῖν, ἕνα δὲ τῶν ἀπιστουμένων καὶ αὐτῆς καὶ τῶν χρημάτων κύριον ποιεῖν. ἔτι δὲ, τούτων εἴ τι ἦν ἀληθὲς, οἴεσθ' οὐκ ἂν αὐτὴν λαβεῖν, δοθεῖσαν ὑπὸ τοῦ πατρὸς, ὃς τὴν μὲν προῖκα αὐτῆς ἤδη, τὰς ὀγδοήκοντα μνᾶς, ἔχων, ὡς συνοικήσων αὐτῇ, τὴν Φιλωνίδου τοῦ Μελιτέως θυγατέρα ἔγημε· τεττάρων δὲ ταλάντων ἔνδον ὄντων, καὶ ταῦτ' ἐκείνης ἐχούσης, ὡς οὗτός φησιν, οὐκ ἂν ἡγεῖσθε αὐτὸν [2] καὶ ἐπιδραμεῖν, ὥστε γενέσθαι μετ' ἐκείνης [3] αὐτὸν κύριον; ἢ τὴν μὲν φανερὰν οὐσίαν, ἣν καὶ ὑμῶν πολλοὶ συνῄδεσαν ὅτι κατελείφθη, μετὰ τῶν συνεπιτρόπων οὕτως αἰσχρῶς διήρπασεν, ὧν δ' οὐκ ἠμέλλεθ' ὑμεῖς ἔσεσθαι μάρτυρες, [4] ἀπέσχητ' ἂν ἐξὸν αὐτῷ λαβεῖν; καὶ τίς ἂν πιστεύσειεν; οὐκ ἔστι ταῦτα, ὦ ἄνδρες δικασταὶ, οὐκ ἔστιν. ἀλλὰ τὰ μὲν χρήματα, ὅσα κατέλιπεν ὁ πατὴρ, πάντα τούτοις παρέδωκεν· οὗτος δ', ἵνα ἧττον ἐλεηθῶ παρ' ὑμῖν, τούτοις τοῖς λόγοις χρήσεται. πολ-

[1] δ' ἐκείνην ἑνὶ τ. ἐ. τούτῳ γ. [2] κᾶν [3] * αὐτῶν [4] ἀπέσχετ'

ιδ'. Οὐ γὰρ ἔχει λόγον κ. τ. λ.] *Neque enim consentaneum est patrem qui matris opera servare res suas cupiebat, in ejus potestate, quem suspectum habebat, et matrem ipsam et suas facultates constituere voluisse.* ἀπιστούμενος ἐπίτροπος dicitur *tutor suspectus.* BUDÆUS.

Τὴν Φιλωνίδου τοῦ Μελιτέως θυγατέρα ἔγημεν]. Hac de causa videtur a matre contemta incitatus Demosthenes, Aphobum potissimum accusasse, cum cæteris transegisse: nisi forte interciderint scriptæ contra illos orationes, aut eo scriptæ non sint, quod eodem prorsus essent argumento. WOLF.

Αὐτὸν κύριον] F. αὐτῶν κύριον, sc. τῶν τεττάρων ταλάντων. WOLF. αὐτῶν, np. quatuor talentorum defossorum. AUGER.

λὰ μὲν οὖν ἔγωγ' ἔχω καὶ ἄλλα τούτου κατηγορεῖν· ἐν δὲ περὶ πάντων κεφάλαιον εἰπὼν, πάσας αὐτοῦ διαλύσω τὰς ἀπολογίας. τούτῳ γὰρ ἐξῆν, μηδὲν ἔχειν τούτων τῶν πραγμάτων, μισθώσαντι τὸν οἶκον κατὰ τουτουσὶ τοὺς νόμους. λάβε τοὺς νόμους καὶ ἀνάγνωθι.

ΝΟΜΟΙ.

κατὰ τούτους τοὺς νόμους Ἀντιδώρῳ μὲν ἐκ τριῶν ταλάντων καὶ τρισχιλίων ἐν ἓξ ἔτεσιν ἓξ τάλαντα καὶ πλεῖον ἐκ 832
τοῦ μισθωθῆναι παρεδόθη, καὶ ταῦτα ὑμῶν τινὲς εἶδον. Θεογένης γὰρ ὁ Προβαλίσιος, ὁ μισθωσάμενος αὐτοῦ τὸν οἶκον, ἐν τῇ ἀγορᾷ ταῦτα τὰ χρήματα ἐξηρίθμησεν. ἐμοὶ δ' ἐκ τεττάρων καὶ δέκα ταλάντων [1] ἕνδεκα ἔτεσι πρὸς τὸν χρόνον τε καὶ τὴν ἐκείνου μίσθωσιν πλεῖον ἢ τριπλάσια κατὰ τὸ εἰκὸς [2] προσῆκε γενέσθαι. τοῦτο δὲ διὰ τί οὐκ ἐποίησεν, ἐρωτᾶτε αὐτόν. εἰ μὲν γάρ φησιν [3] βέλτιον εἶναι μὴ μισθωθῆναι τὸν οἶκον, δειξάτω μὴ διπλάσια μηδὲ τριπλάσιά μοι γεγενημένα, ἀλλ' αὐτὰ τὰ ἀρχαῖά μοι πάντα [4] ἀποδεδομένα· εἰ δ' ἐκ τεττάρων καὶ δέκα ταλάντων ἐμοὶ μὲν μηδ' ἑβδομήκοντα μνᾶς παραδεδώκασιν, ὁ δὲ καὶ προσοφείλοντά με αὐτῷ ἀπέγραψε, πῶς ἀποδέξασθαί τι προσήκει τούτων λεγόντων; οὐδαμῶς δήπουθεν.

ιέ. Τοσαύτης τοίνυν οὐσίας μοι καταλειφθείσης, ὅσην ἐξ ἀρχῆς ἠκούσατε, καὶ τοῦ τρίτου μέρους πρόσοδον [5] αὐτῇ φερούσης πεντήκοντα μνᾶς, ἐξὸν τούτοις, [6] τοῖς ἀπλησιστοτά-

[1] ἐν δέκα [2] προσῆκον γενέσθαι, τοῦτο διὰ [3] βέλτιόν φησιν [4] ἀποδεδομένα πάντα
[5] αὐτῆς [6] Deest articulus.

Μισθώσαντι τὸν οἶκον] Id fiebat in hunc modum. Tutores sive testamento sive ab Archonte dati, Archonti indicabant locandas esse pupillorum ædes: auctoritate itaque Archontis, et e judicum, qui assidebant, consilio, per præconem locabantur. Ii vero, qui orphanorum ædes ab Archonte conducebant, aliquid pignori opponebant ob obventionem. Atque hæc locatio fiebat novo ineunte anno, mense Hecatombæone, tunc enim migrabant ex ædibus in alias. Dicuntur enim Hecatombæone mense: tunc primum quoque judices sorte erant capti. Qui hæc non fecisset, scribebatur illi δίκη μισθώσεως οἴκου, cujus L. VIII. §. 31. meminit Pollux, quod fieri poterat a quolibet Atheniensi: Scribebatur quoque, si tanti non locaretur, quanti debebat locari. *Petit. Leg. Attic.* L. VI. T. VII. p. 592-3. Hoc nimis angustum. οἶκον JSti Attici non *ædes* tantum, sed universas pupilli facultates appellare solent. Ipsemet Isæus οὐσίαν interpretatur Or. de Philoctem. Hered. p. 59. Imo quam alias μίσθωσιν τοῦ οἴκου, eam μίσθωσιν τῶν χρημάτων vocat Or. de Hagn. Hered. p. 87. Quæ Oratoris loca non neglexit Heraldus Animadv. ad J. A. et R. l. III. 6. §. 10. *Wesseling.*

Ὁ δὲ καὶ προσοφείλοντα] Nempe, Aphobus. Auger.

τοις οὖσι χρημάτων, καὶ εἰ μὴ μισθοῦν τὸν οἶκον [1] ἐβούλοντο, ἀπὸ μὲν τούτων τῶν προσιόντων ἐῶντας, ὥςπερ εἶχε, κατὰ χώραν, ἡμᾶς τε τρέφειν, καὶ τὰ πρὸς τὴν πόλιν διοικεῖν, καὶ ὅσα ἐξ αὐτῶν περιεγίγνετο, ταῦτα [2] προσποιεῖν, τὴν δ' ἄλλην οὐσίαν ἐνεργὸν ποιήσασιν, οὖσαν ταύτης διπλασίαν, [3] αὐτούς τε, εἰ χρημάτων ἐπεθύμουν, μέτρια ἐξ αὐτῶν λαβεῖν, ἐμοί τε σὺν τοῖς ἀρχαίοις ἐκ τῶν προσόδων τὸν οἶκον μείζω ποιῆσαι. τούτων μὲν οὐδὲν ἐποίησαν, ἀποδόμενοι δὲ ἀλλήλοις τὰ πλείστου ἄξια τῶν ἀνδραπόδων,
33 τὰ δὲ καὶ παντάπασιν ἀφανίσαντες, ἐμοῦ μὲν ἀνεῖλον καὶ τὴν ὑπάρχουσαν πρόσοδον, σφίσι δ' αὐτοῖς οὐ μικρὰν ἐκ τῶν ἐμῶν κατεσκευάσαντο. [4] λαβόντες δὲ καὶ τἆλλα αἰσχρῶς οὕτω πάντα, πλέον ἢ τὰ ἡμίσεα τῶν χρημάτων μηδὲ καταλειφθῆναι κοινῇ πάντες ἀμφισβητοῦσιν, ὡς πεντεταλάντου δὲ μόνον τῆς οὐσίας οὔσης, ἐκ τοσαύτης τοὺς λόγους ἀπενηνόχασι, πρόσοδον μὲν ἐξ αὐτῶν οὐκ ἀποφαίνοντες, τὰ δὲ κεφάλαια φανερὰ [5] ἀποδεικνύντες· ἀλλ' αὐτὰ τὰ ἀρχαῖα οὕτως ἀναιδῶς ἀνηλῶσθαι φάσκοντες, καὶ οὐδὲ αἰσχύνονται, ταῦτα τολμῶντες.

ις'. Καί τοι τί ποτ' ἂν ἔπαθον, ὑπ' αὐτῶν εἰ πλείω χρόνον ἐπετροπεύθην; οὐκ ἂν [6] ἔχοιεν εἰπεῖν. ὅπου γὰρ δέκα ἐτῶν διαγενομένων, παρὰ μὲν τῶν οὕτω μικρὰ κεκόμισμαι, τῷ δὲ καὶ προσοφείλων ἐγγέγραμμαι, πῶς οὐκ ἄξιον ἀγανακτεῖν; δῆλον δὲ [7] παντάπασιν, εἰ κατελείφθην μὲν ἐνιαύσιος, ἓξ ἔτη δὲ προσεπετροπεύθην ὑπ' αὐτῶν, οὐδ' ἂν τὰ μικρὰ ταῦτα παρ' αὐτῶν ἀπέλαβον. εἰ γὰρ ἐκεῖνα ἀνήλωται ὀρθῶς, οὐδὲν ἂν τῶν νῦν παραδοθέντων ἐξήρκεσεν εἰς ἕκτον ἔτος, ἀλλ' ἢ παρ' αὐτῶν ἄν με ἔτρεφον, ἢ τῷ λιμῷ περιεῖδον [8] ἀπολόμενον. καίτοι πῶς οὐ

[1] ἠβούλοντο [2] προσπεριποιεῖν [3] αὐτοῖς [4] * διαλαβόντες
[5] ἀποδεικνύντες, - - - φάσκοντες. [6] ἔχαιμ' ἂν εἰπεῖν [7] παντάπασιν· εἰ γὰρ κατελείφθην
[8] ἀπολλύμενον

Ἐξὸν αὐτοῖς εἰ καὶ μισθοῦν τὸν οἶκον ἐβούλοντο, ἀπὸ μὲν τούτων τῶν προσιόντων] *Cum interim facile esset e reditibus, sive ab his obvenientibus patrimonii nostri, ita ut nihil e sorte absumerent, et nos alere, et munera civilia agnoscere, et quæ inde superfuissent, in rem suam vertere.* Est enim προσιέναι etiam *quotannis redire et obvenire*, unde πρόσοδος et προσοδεύομαι. At προσποιεῖν *sibi quærere* est. κατὰ χώραν autem ἐᾶν ὡς εἶχε significat *loco non movere, non attingere.* Ex edit. HERVAG.

Ἐνεργὸν οὖσαν ποιήσασιν. AUGER.

ις'. Ἢ τῷ λιμῷ περιεῖδον ἀπολόμενον] *Vel fame intereuntem neglexissent*, hoc est, fame perire passi essent. WOLF.

δεινὸν, εἰ ἕτεροι μὲν οἶκοι ταλαντιαῖοι καὶ διτάλαντοι καταλειφθέντες, ἐκ τοῦ μισθωθῆναι, διπλάσιοι καὶ τριπλάσιοι γεγόνασιν, ὥστε ἀξιοῦσθαι λειτουργεῖν· ὁ δ' ἐμὸς τριηραρχεῖν εἰθισμένος καὶ μεγάλας εἰσφορὰς εἰσφέρειν, μηδὲ μικρὰς δυνήσεται διὰ τὰς τούτων ἀναισχυντίας;

ιζ'. Τίνας δ' οὗτοι λελοίπασιν ὑπερβολὰς εἰπεῖν; οἳ καὶ τὴν διαθήκην ἠφανίκασιν, ὡς λήσοντες, καὶ τὰς μὲν 834
σφετέρας [1] αὐτῶν οὐσίας ἐκ τῶν ἐπικαρπιῶν διῳκήκασι, καὶ τἀρχαῖα τῶν ὑπαρχόντων ἐκ τῶν ἐμῶν πολλῷ μείζω πεποιήκασι· τῆς δ' ἐμῆς οὐσίας, ὥσπερ τὰ μέγιστα ὑφ' ἡμῶν ἀδικηθέντες, ὅλον τὸ κεφάλαιον ἀνῃρήκασι; καὶ ὑμεῖς μὲν, οὐδὲ τῶν εἰς ὑμᾶς ἁμαρτανόντων ὅταν τινὸς καταψηφίσησθε, οὐ πάντα τὰ ὄντα ἀφείλεσθε· ἀλλ', ἢ γυναῖκας ἢ παιδία αὐτῶν ἐλεήσαντες, μέρος τι κἀκείνοις ὑπελείπετε. οὗτοι δὲ τοσοῦτον διαφέρουσιν ὑμῶν, ὥστε καὶ δωρεὰς παρ' ἡμῶν προσλαβόντες, ἵνα δικαίως ἐπιτροπεύσωσι, τοιαῦτα εἰς ἡμᾶς ὑβρίκασι, καὶ οὐδὲ ἠσχύνθησαν, εἰ μὴ [2] ἤδεισαν, οὐδ' ἠλέησαν τὴν ἐμὴν ἀδελφὴν, εἰ, δυοῖν ταλάντοιν ὑπὸ τοῦ πατρὸς ἀξιωθεῖσα, μηδενὸς τεύξεται τῶν προσηκόντων, ἀλλ' ὥσπερ ἐχθιστοί τινες, ἀλλ' οὐ φίλοι καὶ συγγενεῖς καταλειφθέντες, [3] οὐδὲ τῆς οἰκειότητος ἐφρόντισαν. ἀλλ' ἐγὼ μὲν ὁ πάντων ταλαιπωρότατος, πρὸς

[1] αὐτῶν [2] Desunt ἤδεισαν, οὐδ'. [3] οὐδὲν

Καί τοι πῶς οὐ δεινὸν, εἰ ἕτεροι μὲν οἶκοι ταλαντιαῖοι καὶ διτάλαντοι καταλειφθέντες] *Atqui non acerbum mihi esse non potest, quod cum reliquorum civium domus talentares et ditalentares tutoribus oblocantibus duplo triploque copiosiores factæ sunt, ita ut dignæ tandem viderentur, quæ muneribus publicis obeundis adscriberentur, mea autem domus quæ olim trierarchiæ muneri assueverat et collationibus pensitandis, nunc ne tantulam quidem collationem ferre poterit istorum impudentia.* οἶκον, id est, *domum* Oratores Græci pro universis facultatibus et censu accipere solent: quem loquendi morem lingua Francorum refert. Verum ex his verbis intelligimus et trierarchiam, et collationem iisdem capitibus incubuisse, ac ignominiosum fuisse munera ista dispendiosa non obire. Huc etiam pertinet, quod ex hac et altera in eundem oratione colligere possumus, quædam esse bona, quæ in censum non venirent, quæ ἀτελῆ, id est, *immunia* a Græcis appellantur. Quod autem de locatione domum Demosthenes dixit, de omnibus instructis intelligendum est, ut diximus, ut de officinis cum servis opificibus ex libro quinto de Asse. Quod autem dicit, τίνας δ' οὗτοι λελοίπασιν ὑπερβολὰς εἰπεῖν, id est, *a quo superari isti possunt dicendi facultate*, notanda locutio, οὐδεμίαν λείπω ὑπερβολήν. Lucian. σκέψασθε εἴ τινα ὑπερβολὴν ἀδικίας ἀπολέλοιπεν, *si quid reliquit sibi quo sceleratior fieri posset.* ὑπερβάλλω enim τὸ ὑπερέχω καὶ ὑπερβαίνω, *excello et supero.* ὅθεν ὑπερβολὴ, quæ ἐλλείψει opponitur. Plura vide in Comment. Budæi. *Ex edit.* Herv.

ιζ'. Καὶ οὐδὲ ἠσχύνθησαν, εἰ μὴ ἤδεισαν] Παρὰ τὸ εἴδω, quod huc non pertinet. F. καὶ οὐδὲ ἠσχύνθησαν, οὐδὲ ἔδεισαν. Nisi placeat, ἤδεσαν, παρὰ τὸ αἰδέω, αἰδέσω, ἤδεσα. etsi potius ἠδέσθησαν esset legendum. In farrag. F. εἰ μὴ ἔδεισαν, S. ὑμᾶς τοὺς δικαστάς. Wolf. F. εἴ μοι ἐνδείσει.

ἀμφότερα ἀπορῶ, ταύτην θ' ὅπως [1]ἐκδῷ, καὶ τἆλλ' ὁπόθεν διοικῶ· προσεπίκειται δ' ἡ πόλις ἀξιοῦσα εἰσφέρειν, δικαίως. οὐσίαν γὰρ ἱκανὴν πρὸς ταῦτα κατέλιπέ μοι ὁ πατήρ· τὰ δὲ χρήματα τὰ καταλειφθέντα οὗτοι πάντα εἰλήφασι. καὶ νῦν, κομίσασθαι τἀμαυτοῦ ζητῶν, εἰς κίνδυνον καθέστηκα τὸν μέγιστον. ἐὰν γὰρ ἀποφύγῃ με οὗτος, ὃ μὴ γένοιτο, τὴν ἐπωβελίαν ὀφλήσω μνᾶς ἑκατόν. καὶ τούτῳ μὲν, ἐὰν καταψηφίσησθε, τιμητὸν, [2]οὐκ ἐκ τῶν ἑαυτοῦ χρημάτων, ἀλλ' ἐκ τῶν ἐμῶν [3]ποιήσετε τὴν ἔκτισιν· ἐμοὶ δὲ ἀτίμητον τοῦτ' ἔστιν. ὥςτ' οὐ μόνον ἔσομαι
835 τῶν πατρῴων ἐστερημένος, ἀλλὰ καὶ προσητιμωμένος, ἐὰν μὴ νῦν ὑμεῖς με ἐλεήσητε.

ιή. Δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταὶ, καὶ ἱκετεύω καὶ ἀντιβολῶ, μνησθέντας καὶ τῶν νόμων καὶ τῶν ὅρκων, οὓς ὀμόσαντες δικάζετε, βοηθῆσαι ἡμῖν τὰ δίκαια, καὶ μὴ περὶ πλείονος τὰς τούτου δεήσεις, ἢ τὰς ἡμετέρας, ποιήσασθαι. δίκαιοι δ' ἔστ' ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ τοὺς παραλόγως δυστυχοῦντας, οὐδὲ τοὺς ὠμῶς οὕτως τἀλλότρια ἀποστεροῦντας, ἀλλ' ἡμᾶς τοὺς πολὺν χρόνον ὧν ὁ πατὴρ ἡμῖν κατέλιπε στερουμένους, καὶ πρὸς ὑπὸ τούτων

[1] ἐκδῶ [2] καὶ οὐκ [3] ποιήσεται

Προσεπίκειται δ' ἡ πόλις] Videtur ante hæc verba aliquid deesse. F. προσεπίκειται γὰρ ἡ π. Idem.

Ἀπορῶ προσεπίκειται] Animadverti olim deesse aliquid, quod hæc editio supplet: ἀπορῶ, ταύτην θ' ὅπως ἐκδῶ, καὶ τἆλλ' ὁπόθεν διοικῶ: *utrumque dubito, tum quemadmodum hanc elocem, tum cetera unde administrem.* Idem.

Τὴν ἐπωβελίαν] Erat ἐπωβελία, qua actor mulctabatur, nisi judicio vicisset, et reo cedebat, idque in pecuniariis causis, (ne putes cum magno Budæo in judiciis ignominiosis tantum) eratque sexta pars pecuniæ illius, de qua lis erat, et controvertebatur: quanquam nonnulli decimam esse existiment. Hesych. ἐπωβελία· ἔστι δὲ τὸ ἀκόλουθον τὸ τῆς καταδίκης τίμημά τι ὅλημα (l. τιμήματι ὁ λῆμμα) ἂς Δίδυμος, τὸ ἕκτον μέρος τοῦ τιμήματος, οἱ δὲ τὸ δέκατον. Cui accedit Eustath. ad Odyss. A. καὶ ἐπωβελία, τὸ ἐπιδέκατον κατὰ τοὺς παλαιούς. Sed sexta pars est Demosth. [V. Suidas et Etym. Mag. in v. ἐπωβελία.] — Repetebat ab Aphobo tutore Demosthenes decem talenta: atqui si secundum Aphobum pronunciatum fuisset, Demosthenes tenebatur Aphobo ἐπωβελίαν pendere, nempe minas centum, quæ sunt sexta pars X talentûm. E sequentibus vero Demosthenis verbis, ἐμοὶ δ' - - - - ἐλεήσητε, docemur eum, qui non posset solvere τὴν ἐπωβελίαν, ignominiosum fuisse. Nam Demosthenes queritur, siquidem secundum se judicium non obtinuerit, non habere unde solvat τὴν ἐπωβελίαν, centum minas: ἐμοὶ δ' ἀτίμητον τοῦτ' ἔστιν, itaque, inquit, et paternis bonis fraudabor, et ignominiosus ero, nisi succurritis, ut qui non habeam domi, unde τὴν ἐπωβελίαν exsolvam. *Petit. Leg. Attic.* L. V. T. I. p. 486. Vid. etiam *Herald. Animadv. in Salmas. Observ. ad Jus A. et R.* l. III. c. IV. p. 210. sq.

Ἐὰν καταψηφίσησθε τιμητὸν] F. τὸ τετιμημένον, τὰ δέκα τάλαντα, aut τὸ τιμητὸν, quia sequitur παρανομασία, ἐμοὶ δ' ἀτίμητον τοῦτ' ἔστι, hoc est, ἀτιμωθήσομαι, ὀφείλων τῷ δημοσίῳ, τίμημα οὐδὲν ἔχων. Wolf.

ὑβριζομένους καὶ νῦν περὶ ἀτιμίας κινδυνεύοντας. μέγα δ' ἂν [1] οἶμαι στενάξαι τὸν πατέρα ἡμῶν, εἰ αἴσθοιτο τῶν προικῶν καὶ τῶν δωρεῶν, ὧν αὐτὸς τούτοις ἔδωκεν, ὑπὲρ τούτων τῆς ἐπωβελίας τὸν [2] αὐτοῦ υἱὸν ἐμὲ κινδυνεύοντα, καὶ ἄλλους μέν τινας ἤδη τῶν πολιτῶν οὐ μόνον συγγενῶν, ἀλλὰ καὶ φίλων ἀνδρῶν ἀπορούντων, θυγατέρας παρὰ σφῶν αὐτῶν ἐκδόντας· Ἀφοβον δὲ μηδ', ἣν ἔλαβε προῖκα, ἐθέλοντα ἀποδοῦναι, καὶ ταῦτα ἔτει δεκάτῳ.

[1] οἴομαι [2] αὐτοῦ

ιή. Τῆς ἐπωβελίας] Sexta pars æstimatæ litis mulctæ nomine solvenda erat. Cum autem 10. talenta peteret, et singula talenta sexagenas minas contineant, 100. minarum periculo certabat. Idem.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ ΑΦΟΒΟΥ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Pag. ed. Reisk.

835 α΄. ΠΟΛΛΑ καὶ [1]μεγάλα ψευσαμένου πρὸς ὑμᾶς Ἀφόβου, τοῦτ' αὐτὸν [5]ἐλέγξαι πειράσομαι πρῶτον, ἐφ' ᾧ μάλιστα ἠγανάκτησα τῶν ῥηθέντων. εἶπε γάρ, ὡς ὁ πάππος
836 ὤφειλε τῷ δημοσίῳ, καὶ διὰ ταῦθ' ὁ πατὴρ οὐκ ἐβούλετο μισθωθῆναι τὸν οἶκον, ἵνα μὴ κινδυνεύσῃ. καὶ τὴν μὲν πρόφασιν ποιεῖται ταύτην. ὡς δὲ ὀφείλων ἐτελεύτησεν ἐκεῖνος, οὐδεμίαν παρέσχετο μαρτυρίαν· ἀλλ', ὡς μὲν [2]ὤφλεν, ἀνεβάλετο, τηρήσας τὴν τελευταίαν ἡμέραν· ταύτην δὲ εἰς τὸν ὕστερον λόγον ὑπελείπετο, ὡς [3]διαβαλεῖν τὸ πρᾶγμα ἐξ αὐτῆς δυνησόμενος. ἐὰν οὖν ἀναγνῶ, προσέχετ' αὐτῇ τὸν νοῦν· εὑρήσετε γάρ, οὐχ ὡς ὀφείλει μεμαρτυρημένην, ἀλλ' ὡς [4]ὤφλε. τοῦτ' οὖν [5]ἐλέγξαι πειράσομαι πρῶτον, ἐφ' ᾧ φρονεῖ μάλιστα· ὃ καὶ ἡμεῖς ἀμφισβητοῦμεν. εἰ μὲν οὖν τότ' ἐξεγένετο, καὶ μὴ τῷ χρόνῳ τοῦτ' ἐνηδρεύθημεν, παρεσχόμεθ' ἂν μάρτυρας ὡς ἐξετίσθη τὰ χρήματα καὶ πάντ' αὐτῷ διελέλυτο τὰ πρὸς τὴν πόλιν· νῦν δὲ τεκμηρίοις μεγάλοις ἐπιδείξομεν, ὡς οὔτε ὤφειλεν, οὔτε ἦν κίνδυνος ἡμῖν οὐδεὶς φανερὰ κεκτημένοις τὰ ὄντα.

β΄. Πρῶτον μὲν γὰρ Δημοχάρης, ἔχων ἀδελφὴν τῆς ἐμῆς μητρὸς, θυγατέρα δὲ Γύλωνος, οὐκ ἀποκέκρυπται τὴν οὐ-

[1] μεγάλ' ἐψευσμένου [2] ὤφειλεν, ἐνεβάλετο [3] διαβάλλειν [4] ὤφειλε [5] ἐξελέγξαι

α΄. Ἀλλ' ὡς μὲν ὤφλεν] Τὸ μὲν abundare videtur, et hic locus paucis mutatis sic legendus: ἀλλ' ὡς ὤφλεν. ἀνεβάλετο δὲ, τηρήσας τὴν τελευταίαν ἡμέραν· ταύτην τε (S. τὴν μαρτυρίαν) εἰς τὸν ὕστερον λόγον ἀπελείπετο. Lal. *Et solvere distulit, extremum vitæ suæ diem prævidens.* Wolf.

β΄. Οὐκ ἀποκέκρυπται τὴν οὐσίαν] Id est, φανερὰ κέκτηται τὰ ὄντα ἑαυτοῦ. ἀποκρύπτω enim καὶ ἀποκρύπτομαι, *celo, condo, occulo,* hoc est, συγκρύπτω, συγκαλύπτω. *Ex edit.* Hervag.

σίαν· ἀλλὰ χορηγεῖ καὶ τριηραρχεῖ καὶ τὰς ἄλλας λειτουργίας λειτουργεῖ καὶ οὐδὲν τῶν τοιούτων δέδοικεν. ἔπειτα αὐτὸς ὁ πατὴρ τήν τε ἄλλην οὐσίαν καὶ τέτταρα τάλαντα καὶ τρισχιλίας φανερὰς ἐποίησεν, ἃς οὗτοι [1] γραφῆναι ἐν ταῖς διαθήκαις καὶ λαβεῖν [2] σφᾶς αὐτοὺς κατ' ἀλλήλων καταμαρτυροῦσιν. ἔτι δὲ καὶ αὐτὸς Ἄφοβος μετὰ τῶν συνεπιτρόπων τῇ πόλει τὸ πλῆθος τῶν καταλειφθέντων χρημάτων ἐμφανὲς ἐποίησεν, ἡγεμόνα με τῆς συμμορίας καταστήσας οὐκ ἐπὶ μικροῖς τιμήμασιν, ἀλλ' ἐπὶ τηλικούτοις, ὥστε, κατὰ τὰς πέντε καὶ εἴκοσι μνᾶς, πεντα- 837
κοσίας εἰσφέρειν. καίτοι τούτων εἴ τι ἦν ἀληθὲς, οὐδὲν ἂν αὐτῶν ἐποίησεν, ἀλλὰ πάντα ταῦτα εὐλαβήθη. νῦν δὲ καὶ Δημοχάρης καὶ ὁ πατὴρ καὶ αὐτοὶ οὗτοι φαίνονται φανερὰ ποιοῦντες, καὶ οὐδένα τοιοῦτον κίνδυνον δεδιότες.

γ'. Πάντων δ' ἀτοπώτατόν ἐστι, λέγοντας, ὡς ὁ πατὴρ οὐκ εἴα μισθοῦν τὸν οἶκον, τὴν μὲν διαθήκην μηδαμοῦ ταύτην ἀποφαίνειν, ἐξ ἧς ἦν εἰδέναι τἀκριβές· τηλικαύτην δ' ἀνελόντας μαρτυρίαν, οὕτως [3] οἴεσθαι εἰκῆ πιστεύεσθαι παρ' ὑμῖν. ἀλλ' ἐχρῆν, ἐπειδὴ τάχιστα ἐτελεύτησεν ὁ πατὴρ, [4] εἰσκαλέσαντα μάρτυρας πολλοὺς, παρασημήνασθαι κελεῦσαι τὰς διαθήκας, ἵν', εἴ τι ἐγένετο ἀμφισβητήσιμον, ἦν εἰς τὰ γράμματα ταῦτ' ἐπανελθεῖν, καὶ τὴν ἀλήθειαν πάντων εὑρεῖν. νῦν δὲ ἕτερα μὲν παρασημήνασθαι ἠξίωσαν, ἐν οἷς πολλὰ τῶν καταλειπομένων οὐκ ἐγέγραπτο, ὑπομνήματα δ' ἦν· αὐτὴν δὲ τὴν διαθήκην, δι' ἧς [5] τούτων ἐνεσημήνατο γραμμάτων, καὶ τῶν ἄλλων ἁπάντων χρημάτων, [6] ὧν ἐγίγνοντο κύριοι, καὶ τοῦ μὴ μισθοῦν τὸν οἶκον τῆς αἰτίας ἀπελέλυντο, ταύτην δ' οὐκ ἐσημήναντο, οὐδ' αὐτὴν ἀπέδοσαν. ἄξιόν γε πιστεύειν αὐτοῖς, ὅ τι ἂν περὶ τούτων [7] λέγουσιν. ἀλλ' ἔγωγε οὐκ οἶδ' ὅ τι τοῦτ' ἔστιν. οὐκ εἴα μισθοῦν τὸν οἶκον, οὐδ' ἐμφανῆ τὰ χρήματα ποιεῖν ὁ πατήρ. πότερον ἐμοὶ ταῦτα, ἢ τῇ πόλει; φαίνεσθε μὲν γὰρ τοὐναντίον, ἐκείνῃ μὲν φανερὰ ποιήσαντες, ἐμοὶ δὲ

[1] γραφῆναί τε ἐν [2] σφᾶς [3] οἴεσθαι δεῖν εἰκῆ [4] εἰσκαλέσαντας
[5] τούτων, ὧν ἐσημήναντο, [6] Deest ὧν. [7] λέγωσιν

γ'. Παρασημήνασθαι κελεῦσαι] *Alios etiam addere sua sigilla jubere.* Wolf.

Δι' ἧς τούτων ἐνεσημήνατο γραμμάτων] Locus mihi obscurus et suspectus. Lal. *Tabulas veras, quarum beneficio hos codicillos obsignarunt.* Idem.

παντάπασιν ἀφανῆ πεποιηκότες, καὶ οὐδὲ ταῦτα ἀποφαίνοντες, ἐξ ὧν τιμησάμενοι τὰς εἰσφορὰς [1] εἰσφέρετε.
338 δείξατε γὰρ ταύτην τὴν οὐσίαν τίς ἦν, καὶ ποῦ [2] παραδέδοταί μοι, καὶ τίνος ἐναντίον. τὰ μὲν γὰρ δύο τάλαντα, καὶ τὰς ὀγδοήκοντα μνᾶς, ἀπὸ τῶν τεττάρων ταλάντων, καὶ τρισχιλίων ἐλάβετε. ὥστε οὐδὲ [3] ταύτας τὰς ὑπὲρ ἐμοῦ εἰς τὸ δημόσιον ἐτιμήσασθε· ὑμέτεραι γὰρ ἦσαν ἐν ἐκείνοις τοῖς χρόνοις. ἀλλὰ μὴν ἔκ γε τῆς οἰκίας καὶ τῶν τεττάρων καὶ δέκα ἀνδραπόδων καὶ τῶν τριάκοντα μνῶν, ἅ μοι παρεδώκατε, τὴν εἰσφορὰν οὐχ οἷόν τε γενέσθαι τοσαύτην, ὅσην ὑμεῖς συνετάξασθε πρὸς τὴν συμμορίαν. ἀλλ' ἀνάγκη μεγάλη τὰ καταλειφθέντα, πολλῷ πλείονα ὄντα τούτων, πάντα ὑμᾶς ἔχειν ἐστίν· ἃ φανερῶς, ὅτι διηρπάκατε, ἐξελεγχόμενοι, τοιαῦτα πλάττεσθαι τολμᾶτε. καὶ ποτὲ μὲν εἰς ἀλλήλους ἀναφέρετε· πάλιν δ' εἰληφέναι κατ' ἀλλήλων μαρτυρεῖτε. φάσκοντες δὲ οὐ πολλὰ λαβεῖν, μεγάλων ἀναλωμάτων λόγους ἀπενηνόχατε. πάντες δὲ κοινῇ [4] μὲν ἐπιτροπεύσαντες, ἰδίᾳ [5] δὲ μετὰ ταῦτα ἕκαστοι μηχανᾶσθε. καὶ τὴν μὲν διαθήκην ἠφανίκατε, ἐξ ἧς ἦν εἰδέναι περὶ πάντων τὴν ἀλήθειαν· φαίνεσθε δὲ οὐδέποτε [6] ταῦτα περὶ ἀλλήλων λέγοντες. λάβε δὴ τὰς μαρτυρίας, καὶ ἀνάγνωθι αὐτοῖς πάσας ἐφεξῆς, ἵνα μνησθέντες καὶ τῶν μεμαρτυρημένων, ἀκριβέστερον [7] γιγνώσκωσι περὶ αὐτῶν.

ΜΑΡΤΥΡΙΑΙ.

ταῦθ' οὗτοι πρὸς [8] πεντεκαίδεκα τάλαντα τοὺς οἴκους συνετιμήσαντο ὑπὲρ ἐμοῦ, μνῶν δὲ οὐδ' ἑβδομήκοντα ἀξίαν

[1] εἰσεφέρετε [2] παρέδοτέ [3] ταῦθ' ὑπὲρ [4] με [5] Deest δέ.
[6] ταὐτὰ [7] διαγνῶσι [8] πεντεκαιδεκαταλάντους οἴκους

Μιμησάμενοι] Μνησάμενοι, utrumque falsum. legendum τιμησάμενοι. Idem.

Ταύτας τὰς ὑπὲρ] F. ταύτας τὰς εἰσφορὰς ὑπέρ. Idem. M. ταῦτα ὑπέρ, et v. seq. ὑμέτερα. Auger.

Ἔστιν ἃ φανερῶς] F. ἔπειτα φανερῶς. et, p. 430. v. 14. ὡς αὐτὸν λαβὼν, ἀντὶ τοῦ πρὸς ἑαυτόν. Wolf.

Μεγάλων ἀναλωμάτων λόγους ἀπενηνόχατε] Ex hoc loco satis apparet, ἀποφέρειν λόγον καὶ λόγους de privatis etiam rationibus dici, cum debitor cum creditore, tutor cum pupillo *rationes subducit*. alibi, ut πρὸς Τιμόθεον, *rationes ad ærarium referre* significat. *Ex edit.* Hervag.

Πεντεκαίδεκα τάλαντα τοὺς] Composita voce legendum πεντεκαιδεκαταλαντιαίους, ut π. Συμμορ. πεντεκαιδεκαναία. Ecce hic quatuordecim codices mutos et consentientes, cum mendum sit manifestum: in aliis minutiis ac potius ineptiis et ψευδογραφήμασι loquaces et controversos. Wolf.

μοι παραδεδώκασι τὴν οὐσίαν τρεῖς ὄντες. λέγε τὰς ἐφεξῆς.

ΜΑΡΤΥΡΙΑΙ. 839

ταύτην τὴν προῖκα, ἣν οἵ τε [1] ἐπίτροποι καταμαρτυροῦσιν αὐτὸν λαβεῖν, ἄλλοι τε πρὸς οὓς ἔχειν ὡμολόγησε, ταύτην οὔτε αὐτὴν οὔτε τὸν σῖτον ἀποδέδωκε. λάβε ἄλλας καὶ ἀναγίγνωσκε.

ΜΑΡΤΥΡΙΑΙ.

δύο ἔτη τὸ ἐργαστήριον διοικήσας, Θηριππίδῃ μὲν ἀποδέδωκε τὴν μίσθωσιν, ἐμοὶ δὲ, δυοῖν ἐτοῖν λαβὼν τὴν πρόσοδον τριάκοντα μνᾶς, οὔτε αὐτὰς οὔτε τὸ ἔργον ἀποδέδωκε. λάβε ἑτέραν καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑ.

ταῦτα [2] τὰ ἀνδράποδα ὡς αὐτὸν λαβὼν οὗτος καὶ τἆλλα τὰ μετὰ τούτων ὑποτεθέντα ἡμῖν, ἀνάλωμα μὲν εἰς αὐτὰ τοσοῦτον λελόγισται, λῆμμα δὲ ἀπ' αὐτῶν οὐδ' ὁτιοῦν· καὶ αὐτοὺς δὲ τοὺς ἀνθρώπους ἠφάνικεν, οἳ δώδεκα μνᾶς ἀτελεῖς ἑκάστου τοῦ ἐνιαυτοῦ προσέφερον. λέγ' ἑτέραν.

ΜΑΡΤΥΡΙΑ.

τοῦτον τὸν ἐλέφαντα καὶ τὸν σίδηρον πεπρακὼς, οὐδὲ καταλειφθῆναί φησιν· ἀλλὰ καὶ τούτων τὴν τιμὴν ἀποστερεῖ με, μάλιστα τάλαντον. λέγε ταυτασί.

ΜΑΡΤΥΡΙΑΙ.

ταῦθ' οὗτος τρία τάλαντα καὶ χιλίας ἔχει χωρὶς τῶν ἄλλων, τοῦ μὲν ἀρχαίου πέντε τάλαντα, ἃ [3] οὗτος εἴληφε· σὺν δὲ τοῖς ἔργοις, ἐὰν ἐπὶ δραχμῇ τις τιθῇ μόνον, πλέον ἢ δέκα τάλαντα ἔχει. λέγε τὰς ἐφεξῆς.

ΜΑΡΤΥΡΙΑΙ.

ταῦθ' οὗτοι γραφῆναι μὲν ἐν ταῖς διαθήκαις, καὶ λαβεῖν [4] σφὰς αὐτοὺς, κατ' ἀλλήλων μαρτυροῦσιν. οὗτος δὲ, καὶ

[1] συνεπίτροποι [2] τἀνδράποδα [3] [οὗτος] [4] σφᾶς

Ἃ οὗτος] Superflua videntur et delenda. AUGER.

μεταπεμφθῆναι φάσκων ὑπὸ τοῦ πατρὸς καὶ ἐλθὼν εἰς
840 τὴν οἰκίαν, εἰσελθεῖν μὲν οὔ φησιν ὡς τὸν μεταπεμψάμε-
νον, οὐδ' ὁμολογῆσαι περὶ τούτων οὐδενός· Δημοφῶντος δ'
ἀκοῦσαι γραμματεῖον ἀναγιγνώσκοντος, καὶ Θηριππίδου λέ-
γοντος, ὡς ἐκεῖνος ταῦτα [1] διέθετο, καὶ προεισεληλυθὼς καὶ
ἅπαντα διωμολογημένος πρὸς τὸν πατέρα, ὅσα περ ἐκεῖ-
νος γράψας κατέλιπεν.

δ'. Ὁ γὰρ πατὴρ, ὦ ἄνδρες δικασταὶ, ὡς ᾔσθετο τὴν
νόσον οὐκ [2] ἀποφευξόμενος, συγκαλέσας τούτους τρεῖς
ὄντας καὶ συμπαρακαθισάμενος Δήμωνα τὸν ἀδελφὸν, τὰ
σώματα ἡμῶν εἰς τὰς χεῖρας ἐνέθηκε, παρακαταθήκην
ἐπονομάζων· τὴν μὲν ἀδελφὴν Δημοφῶντι καὶ δύο τάλαντα
προῖκα διδοὺς εὐθὺς καὶ γυναῖκα αὐτῷ ταύτην ἐγγυῶν,
ἐμὲ δὲ πᾶσι κοινῇ μετὰ τῶν χρημάτων παρακατατιθέμε-
νος καὶ ἐπισκήπτων μισθῶσαί τε τὸν οἶκον καὶ συνδιασῶ-
σαί μοι τὴν οὐσίαν, διδοὺς ἅμα Θηριππίδῃ τε τὰς [3] ὀγδοή-
κοντα μνᾶς, καὶ τούτῳ τήν τ' ἐμὴν μητέρα ἐγγυῶν ἐπὶ
ταῖς ὀγδοήκοντα μναῖς κἀμὲ εἰς τὰ τούτου γόνατα ἐντιθείς.
ὧν οὗτος, ὁ πάντων ἀνθρώπων ἀνοσιώτατος, οὐδενὸς [4] λόγον
δέδωκε, κύριος τῶν ἐμῶν γενόμενος ἐπὶ τούτοις· ἀλλὰ, τὰ
[5] χρήματα πάντα ὠπεστερηκὼς μετὰ τῶν συνεπιτρόπων,
ἐλεεῖσθαι νῦν ὑφ' ὑμῶν ἀξιώσει, μνῶν οὐδ' ἑβδομήκοντα
ἄξια τρίτος αὐτὸς ἀποδεδωκώς· εἶτα καὶ τούτοις [6] αὐτὸς
πάλιν ἐπιβεβουλευκώς. ὡς γὰρ τὰς δίκας ταύτας ἔμελλον
εἰσιέναι κατ' αὐτῶν, ἀντίδοσιν ἐπ' ἐμὲ παρεσκεύασαν, ἵνα,
εἰ μὲν ἀντιδώῃν, μὴ [7] ἐξῇν μοι πρὸς αὐτοὺς ἀδικεῖν, ὡς καὶ
841 τῶν δικῶν τούτων τοῦ ἀντιδόντος γινομένων· εἰ δὲ μηδὲν τού-
των ποιοίην, ἵνα ἐκ βραχείας οὐσίας λειτουργῶν παντάπα-
σιν ἀναιρεθείην. καὶ τοῦτο αὐτοῖς ὑπηρέτησε Θρασύλοχος ὁ
Ἀναγυράσιος. ἐγὼ δὲ, τούτων οὐδὲν ἐνθυμηθεὶς, ἀντέδωκα

[1] διέθετο, [Lacuna] καὶ [2] ἀποφευξούμενος [3] ἑβδομήκοντα
[4] λόγον * ἑαυτῷ δέδωκε [5] χρήματά με πάντα [6] * αὐτοῖς [7] ἐξεῖν --- ἀντιδικεῖν

Καὶ προεισεληλυθὼς] L. ὁ καὶ προεισ. i. e. hæc, inquam, dicit, is qui etc. Idem.

δ'. Ἵνα, εἰ μὲν ἀντιδώῃν, μὴ ἐξῇ μοι πρὸς αὐτοὺς ἀδικεῖν] F. ἀντιδικεῖν. Wolf.

Εἰ δὲ μηδὲν τούτων] F. μηδὲ τοῦτο. Idem.

Ἀντέδωκα μὲν, ἀπέκλεισα δὲ] In oratione κατὰ Μειδ. p. 540. 2. ed. R. καὶ πρῶτον μὲν κατέσχισαν τὰς θύρας τῶν οἰκημάτων, ὡς αὐτῶν ἤδη γιγνομένας. et post, v. 18. δίδωμι εἴκοσι μνᾶς τούτοις, ὅσου τὴν τριηραρχίαν ἦσαν μεμισθωκότες. Ad verbum: *Permutavi quidem, sed exclusi*, vel *inclusi, ut disceptationem consecuturus.* Lal. *Bonorum quidem feci commutationem: ea tamen lege, et cum hac exceptione, ut eos mihi ju-*

μὲν, ἀπέκλεισα δὲ, ὡς διαδικασίας τευξόμενος. οὐ τυχὼν δὲ ταύτης, τῶν χρόνων ὑπογύων ὄντων, ἵνα μὴ στερηθῶ τῶν δικῶν, ἀπέτισα τὴν λειτουργίαν, ὑποθεὶς τὴν οἰκίαν καὶ τἀμαυτοῦ πάντα, βουλόμενος εἰς ὑμᾶς [1]ἐνθεῖναι τὰς πρὸς τουτουσὶ δίκας.

ε. Ἆρ' [2]οὖν μεγάλα μὲν ἐξ ἀρχῆς ἠδίκημαι, μεγάλα δὲ, ὅτι δίκην ζητῶ νῦν [3]λαβεῖν, ὑπ' αὐτῶν βλάπτομαι; τίς δ' οὐκ ἂν ὑμῶν, τούτῳ μὲν φθονήσειε δικαίως, ἡμᾶς δ' ἐλεήσειεν, ὁρῶν τῷ μὲν πρὸς τῇ οὐσίᾳ τῇ παραδοθείσῃ πλεῖον ἢ [4]δέκα ταλάντων τὴν ἐμὴν τοσαύτην οὖσαν προσγεγενημένην, ἡμᾶς δὲ μὴ μόνον τῶν πατρῴων διημαρτηκότας, ἀλλὰ καὶ τῶν νῦν παραδοθέντων διὰ τὴν τούτων πονηρίαν ἀπεστερημένους; ποῖ δ' ἂν τραποίμεθα, εἴ [5]τι ἄλλο ψηφίσεσθε ὑμεῖς περὶ αὐτῶν; εἰς τὰ ὑποκείμενα τοῖς δανείσασιν; ἀλλὰ τῶν ὑποθεμένων ἐστίν. ἀλλ' εἰς τὰ περιόντ' αὐτῶν; ἀλλὰ τούτου γίγνεται, τὴν ἐπωβελίαν ἐὰν ὄφλωμεν. μηδαμῶς, μηδαμῶς, ὦ ἄνδρες δικασταὶ, [6]γένησθε ἡμῖν τοσούτων αἴτιοι κακῶν, μηδὲ τὴν μητέρα κἀμὲ καὶ τὴν ἀδελφὴν ἀνάξια παθόντας περιίδητε· οὓς ὁ πατὴρ οὐκ ἐπὶ ταύταις ταῖς ἐλπίσι κατέλιπεν, ἀλλὰ τὴν μὲν ὡς Δημοφῶντι συνοικήσουσαν ἐπὶ δυοῖν ταλάντοιν προικὶ, τὴν δὲ ἐπὶ ὀγδοήκοντα μναῖς τούτῳ τῷ σχετλιωτάτῳ 842
πάντων ἀνθρώπων, ἐμὲ δ' ὑμῖν διάδοχον [7]ἀντ' αὐτοῦ τῶν λειτουργιῶν ἐσόμενον. βοηθήσατε οὖν ἡμῖν, βοηθήσατε, καὶ

[1] εἰσελθεῖν [2] οὐ [3] λαβεῖν νῦν, [4] * δεκαταλάντῳ [5] τι ἂν ἄλλο * ψηφίσαισθε [6] μὴ γένησθε [7] ἀνθ' αὐτοῦ

dicio liceret persequi. Idem.

ε. Ἆρ' οὖν] M. ἆρ' οὐ. Idem.

Πρὸς τῇ οὐσίᾳ τῇ παραδοθείσῃ] S. αὐτῷ ὑπὸ τῶν γονέων: quæ utrum fuerit δέκα ταλάντων, an vero illa decem talenta ad Demosthenicam tutelam pertineant, ambiguum est. Idem.

Ἀλλὰ καὶ τῶν νῦν παραδοθέντων] Suspecta lectio, nisi forte hæc exaggerandi causa dicantur. Res enim ita se habere non videtur. Nec enim tutores illi 70. traditas minas eripuerunt: nisi forte ad subornatam Thrasylochi permutationem pertineant. Idem.

Ποῖ δ' ἂν τραποίμεθα, εἴ τι ἄλλο ψηφίσεσθε] *Quo igitur me vertam, si vos aliter de iis judicaveritis?* id est, nisi actione tutelæ, qua nunc expertus sum, vicero? *an erit mihi vitæ subsidium in bonis et fortunis, quæ in creditum subjecta sunt et supposita? at illa jam eorum sunt creditorum quibus obnoxia data sunt.* Supra autem dixerat, ἐγὼ δὲ, ἵνα μὴ στερηθῶ τῶν δικῶν, ἀπέτισα τὴν λειτουργίαν ὑποθεὶς τὴν οἰκίαν καὶ τἀμαυτοῦ πάντα. Atque hic notandum ὑποτιθέναι esse *pignori opponere*, ὅπερ ἐστὶ τοῦ δανειζομένου, τοῦ τὸ ἐνέχυρον διδόντος. ὑποτίθεσθαι autem *pignori datum accipere*, ὅπερ ἐστὶ τοῦ τὸ δανείζοντος. Et ὑποθήκη, τὸ ὑποκείμενον, id est, *pignus*. Sic Latine *pignero* et *pigneror* dicitur: quorum alterum debitoris, alterum fœneratoris est. *Ex edit.* Hervag.

Ἀλλὰ τῶν ὑποθεμένων ἐστὶν] Τῶν τὴν ὑποθήκην λαβόντων. ὁ ὑποθεὶς καὶ ὁ ὑποθέμενος differunt, ut τὸ τιθέναι καὶ θέσθαι νόμον: quorum prius est legislatoris, posterius populi. Wolf.

τοῦ δικαίου καὶ ὑμῶν αὐτῶν ἕνεκα, καὶ ἡμῶν καὶ τοῦ πατρὸς τοῦ τετελευτηκότος. σώσατέ [1] με, ἐλεήσατέ [1] με· ἐπειδὴ οὗτοι συγγενεῖς ὄντες οὐκ ἠλέησαν, εἰς ὑμᾶς καταπεφεύγαμεν. ἱκετεύω, ἀντιβολῶ πρὸς παίδων, πρὸς γυναικῶν, πρὸς τῶν ὄντων ἀγαθῶν [2] ὑμῖν. οὕτως ὄναισθε τούτων, μὴ περιΐδητέ με, μηδὲ ποιήσητε τὴν μητέρα, καὶ τῶν ἐπιλοίπων ἐλπίδων εἰς τὸν βίον στερηθεῖσαν, ἀνάξιον αὑτῆς τι παθεῖν· ἢ [3] νῦν οἴεται τυχόντα με τῶν δικαίων παρ' ὑμῖν ὑποδέξασθαι, καὶ τὴν ἀδελφὴν ἐκδώσειν. εἰ δ' ὑμεῖς ἄλλο τι γνώσεσθε — ὃ μὴ γένοιτο — τίνα οἴεσθε αὐτὴν ψυχὴν ἕξειν, ὅταν ἐμὲ μὲν ἴδῃ μὴ μόνον τῶν πατρῴων ἀπεστερημένον, ἀλλὰ καὶ προσητιμωμένον; περὶ δὲ τῆς ἀδελφῆς μηδ' ἐλπίδα ἔχουσαν, ὡς τεύξεταί τινος τῶν προσηκόντων, διὰ τὴν ἐσομένην ἀπορίαν; οὐκ ἄξιος, ὦ ἄνδρες δικασταί, οὔτ' ἐγὼ δίκης ἐν ὑμῖν μὴ τυχεῖν, οὔτε οὗτος τοσαῦτα χρήματα ἀδίκως κατασχεῖν. ἐμοῦ μὲν γὰρ εἰ καὶ μή πω πεῖραν εἰλήφατε ποῖός τις ἂν εἰς ὑμᾶς εἴην, ἐλπίζειν προσήκει μὴ χείρω τοῦ πατρὸς ἔσεσθαι· τούτου δὲ πεῖραν ἔχετε. ὥστε σαφῶς ἴστε, ὅτι, πολλὴν οὐσίαν παραλαβὼν, οὐ μόνον οὐδὲν πεφιλοτίμηται πρὸς ὑμᾶς, ἀλλὰ καὶ τἀλλότρια ἀποστερῶν ἐπιδέδεικται.

ς'. Ταῦτ' οὖν σκοποῦντες καὶ τἆλλα μνησθέντες, ᾗ δίκαιόν ἐστι, ταύτῃ διαψηφίσασθε. πίστεις δ' ἔχετε ἱκανὰς
343 ἐκ μαρτύρων, ἐκ τεκμηρίων, ἐκ τῶν εἰκότων, ἐξ ὧν οὗτοι λαβεῖν ὁμολογοῦσιν ἀθρόα τἀμά. ταῦτα δ' ἀνηλωκέναι φασὶν, οὐκ ἀνηλωκότες, ἀλλ' αὐτοὶ πάντα ἔχοντες. ὧν ἐνθυμουμένους, χρὴ ποιήσασθαί τινα ἡμῶν πρόνοιαν, εἰδότας, ὅτι, ἐγὼ μὲν τἀμαυτοῦ δι' ὑμῶν κομισάμενος, εἰκότως λειτουργεῖν ἐθελήσω, χάριτας ὀφείλων, ὅτι μοι δικαίως ἀπέδοτε τὴν οὐσίαν· οὗτος δὲ, ἐὰν αὐτὸν ποιήσητε τῶν ἐμῶν κύριον, οὐδὲν ποιήσει τούτων. μὴ γὰρ οἴεσθε αὐτὸν, ὑπὲρ ὧν ἠρνηται μὴ λαβεῖν, ὑπὲρ τούτων ὑμῖν λειτουργεῖν ἐθελήσειν· ἀλλ' [4] ἀποκρύψασθαι μᾶλλον, ἵνα δικαίως ἀποπεφευγέναι δοκῇ.

[1] Deest με. [2] ὑμῖν ἀγαθῶν. [3] νῦν μὲν οἴεται --- * ἀποδέξεσθαι
[4] * ἀποκρύψεσθαι

Τίνα οἴεσθε αὐτὴν ψυχὴν ἕξειν] Similiter Terent. Adelph. 4. 5. 31. *quid illi tandem creditis Fore animi misero.* Isocrates in Trapezit. τίνα οἴεσθέ με γνώμην ἔχειν. et Plato, cum sensus pæne idem sit, L. VI. de Republ. τίνα οἴει καρδίαν ἴσχειν. Plura vide ap. Victor. Var. Lect. L. I. c. 7.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΑΦΟΒΟΝ ΨΕΥΔΟΜΑΡΤΥΡΙΩΝ ΛΟΓΟΥ.

Pag. ed. Reisk.

ΚΡΙΝΟΜΕΝΟΣ τῆς ἐπιτροπῆς Ἄφοβος, ἐξῆτει παρὰ Δημοσθένους Μιλύαν εἰς βάσανον, εἰδὼς οὐ δοθησόμενον. οὐ γὰρ ἐδίδου Δημοσθένης, φάσκων, οὐκ οἰκέτην, ἀλλ' ἐλεύθερον, εἶναι τὸν Μιλύαν, ἐλευθερωθέντα ὑπὸ τοῦ πατρὸς, ὅτε ἐτελεύτα. καὶ εἰς τούτου πίστιν ἄλλα τε παρεχόμενος, καὶ δὴ καὶ μαρτυρίαν Στεφάνου, ὃς ἐμαρτύρησε πρὸς τοὺς δικαστὰς, φάσκων, ὡμολογηκέναι Ἄφοβον ἐπὶ τοῦ διαιτητοῦ ἐλεύθερον εἶναι Μιλύαν. ἀλοὺς δὴ τῆς ἐπιτροπῆς Ἄφοβος ψευδομαρτυριῶν Στεφάνῳ δικάζεται· ὑπὲρ οὗ τοῦτον τὸν λόγον ὁ Δημοσθένης λέγει. καὶ τἀληθῆ φάσκων αὐτὸν μεμαρτυρηκέναι, καὶ πρὸς τούτῳ δεικνὺς, ὡς οὐδὲν ἐκ ταύτης τῆς μαρτυρίας Ἄφοβος ἐβλάβη, ἀλλὰ δι' ἑτέρους ἥλω μάρτυρας, οἷς οὐκ ἐπισκηψάμενος, δῆλός ἐστιν ἠδικηκώς. 843 844

Καὶ εἰς τοῦτο πίστιν] F. εἰς τούτου. et, οἷς οὐκ ἐπισκηψάμενος δῆλός ἐστιν ἠδικηκώς. v. 4. Στεφάνου, ὃς ἐμαρτήρησε. et, v. ult. Wolf.

ΔΗΜΟΣΘΕΝΟΥΣ

[1]Ο ΠΡΟΣ ΑΦΟΒΟΝ ΨΕΥΔΟΜΑΡΤΥΡΙΩΝ ΛΟΓΟΣ.

ά. ΕΙ [2]μὴ, πρότερόν μοι δίκης γενομένης πρὸς Ἄφοβον, ὦ ἄνδρες δικασταὶ, συνῆδη πολλῷ [3]τούτου μείζω καὶ δεινότερα αὐτοῦ ψευσαμένου ῥᾳδίως ἐξελέγξας διὰ τὴν περιφάνειαν τῶν ἀδικημάτων, θαυμαστῶς [4]ἂν εὐλαβούμην, μὴ καὶ νῦν οὐ δυνηθῶ δεῖξαι, πῇ παρακρούσεταί ποτε ἕκαστα

[1] Ο ΥΠΕΡ ΦΑΝΟΥ ΠΡΟΣ [2] μὴ καὶ πρότερον [3] τούτων [4] ἂν ἴσως εὐλαβούμην

ά. Αὐτοῦ ψευσαμένου ἐξελέγξας] Ἐπειδὴ ἢ ὅτι ἐψεύσατο ἐξελέγξας. Sed quid si αὐτὸν ψευσάμενον ἐξελέγξας. Animadverti enim sæpe collatis diversis codicibus, ου pro ον, et e contrario, per incuriam librariorum cum auctorum injuria scribi. Wolf. Codd. ἐξελέγξαντι, sed tum supra legendum ἐμαυτῷ συνῆδειν. *In farrag.* Idem.

Πῇ παρακρούσεταί ποτε ἕκαστα ὑμῶν αὐτῶν] Non satis placet hæc lectio, nec

ὑμῶν αὐτῶν· νῦν δὲ, σὺν θεοῖς εἰπεῖν, ἄνπερ ἴσοι καὶ κοινοὶ [1]γενήσεσθε ἡμῶν ἀκροαταὶ, πολλὰς ἐλπίδας ἔχω μηδὲν ἧττον ὑμᾶς τὴν ἀναίδειαν τὴν τούτου γνώσεσθαι τῶν πρότερον δικασάντων. καὶ, ταῦτα εἰ μὲν ἐδεῖτο λόγου τινὸς ἢ ποικιλίας, ἔγωγε κατώκνουν ἂν τὴν ἐμαυτοῦ καταμεμφόμενος ἡλικίαν· νῦν δ' ἁπλῶς δεῖ διδάξαι καὶ διηγήσασθαι τὰ τούτῳ πεπραγμένα περὶ ἡμῶν. ἐκ δὲ τούτων [2]οἶμαι πᾶσιν ὑμῖν εὔγνωστον ἔσεσθαι, πότερός ποθ' ἡμῶν ἐστ' ὁ πονηρός. οἶδα μὲν οὖν, ὅτι τὴν δίκην οὗτος εἴληχε ταύτην, οὐχὶ τῷ τὰ ψευδῆ τινὰ αὐτοῦ καταμεμαρτυρηκέναι ἐξελέγξειν πιστεύων, ἀλλ' ἡγούμενος διὰ τὸ μέγεθος τοῦ τι-
845 μήματος τῆς δίκης ἣν ὤφλεν, ἐμοὶ μὲν ἂν γενέσθαι τινὰ φθόνον, αὐτῷ δ' ἔλεον· καὶ διὰ ταῦτα περὶ τῆς γεγενημένης δίκης νῦν ἀπολογεῖται, περὶ ἧς τότε οὐδὲν ἔσχε δίκαιον εἰπεῖν. ἐγὼ δὲ, ὦ ἄνδρες δικασταὶ, εἰ μὲν [3]ἐπεπράγμην τοῦτον τὴν δίκην ἢ μηδὲν ἤθελον μέτριον συγχωρεῖν, ἠδίκουν μὲν οὐδ' ἂν οὗτος, τὰ παρ' ὑμῖν γνωσθέντα πραττόμενος αὐτὸν, ὅμως δ' ἂν εἶχέ τις εἰπεῖν, ὡς λίαν ὠμῶς καὶ πικρῶς ὄντα συγγενῆ τοῦτον ἐκ τῆς [4]οὐσίας ἐκβέβληκα· νῦν δὲ τοὐναντίον ἐστίν. οὗτος μὲν ἐμὲ τῶν πατρῴων ἁπάντων μετὰ τῶν συνεπιτρόπων ἀπεστέρηκε καὶ οὐδ' ἐν ὑμῖν φανερῶς ἐξελεγχθεὶς οἴεται δεῖν οὐδὲν τῶν μετρίων ποιεῖν, ἀλλὰ, διασκευασάμενος τὴν οὐσίαν καὶ παραδοὺς τὴν μὲν οἰκίαν Ἀφόβῳ, τὸν δὲ ἀγρὸν Ὀνήτορι, πρὸς μὲν [5]ἐκείνου δίκην καὶ πράγματ' ἔχειν ἐμὲ πεποίηκεν· ἐκ δὲ τῆς οἰκίας αὐτὸς τὰ σκεύη λαβὼν καὶ [6]τὰ ἀνδράποδα ἐξαγαγὼν καὶ τὸν λάκκον συντρίψας καὶ τὰ θυράματα ἀποσπάσας καὶ μονονοὺκ αὐτὴν οἰκίαν ἐμπρήσας, Μέγαράδ'

[1] γένησθε [2] οἶμαι [3] ἐπεπράγμην Ἄφοβον τοῦτον [4] οὐσίας ἁπάσης ἐκβέβληκα [5] ἐκείνους [6] τἀνδράποδα

occurrit melior: nisi forte divinare liceat ἕκαστα, ὑμᾶς ἀπατῶν. et, v. 22. οὐδὲν τῶν μετρίων ποιεῖν. IDEM. L. πῇ παρακρούσεταί ποτε ἑκάστους ὑμῶν παράγων. Textus vulgatae evidenter est corruptus. Inter multas emendationes quas proponit Reiskius, hæc mihi potior videtur. v. seq. εἰπεῖν, sub. ἔχω vel δύναμαι, vel ἄστε. AUGER.

Ἴσοι καὶ κοινοὶ - - - ἀκροαταὶ] Vid. Valckenaer. Animadv. ad Ammonium L. II. c. 6.

Διασκευασάμενος] Διασκευάζομαι τὸ συσκευάζομαι, id est, *sarcinas compono, colligo vasa*, ut qui foro cessuri sunt, aut alias migraturi. BUDÆUS.

Τὴν μὲν οἰκίαν Ἀφόβῳ] Aliud fortasse nomen pro hoc legendum. Quid si Αἰσίῳ, fratri Aphobi. WOLF. Wolfio assentitur Augerus.

Τὸν λάκκον] Ὄρυγμα εἰς οἴνου καὶ ἐλαίου ὑποδοχήν. Suidas. WOLF.

ἐξώκηκε κἀκεῖ μετοίκιον τέθεικεν. ὥςτε πολὺ ἂν δικαιότερον διὰ ταῦτα τὰ ἔργα τοῦτον μισήσαιτε, ἢ ἐμοῦ τινὰ ἀνεπιείκειαν καταγνοίητε.

β΄. Περὶ μὲν οὖν τῆς αἰσχροκερδείας τῆς τούτου καὶ μιαρίας ὕστερόν μοι δοκεῖ διεξελθεῖν πρὸς ὑμᾶς, καὶ νῦν δὲ ὡς ἐν κεφαλαίοις ἀκηκόατε· περὶ δὲ τῶν [1] μεμαρτυρημένων ὡς ἔστιν ἀληθῆ, περὶ ὧν περ οἴσετε τὴν ψῆφον, ἤδη πειράσομαι διδάσκειν ὑμᾶς. δέομαι δ' ὑμῶν, ὦ ἄνδρες δικασταί, δικαίαν δέησιν, [2] ἐξίσου ἡμῶν ἀμφοτέρων ἀκοῦσαι. τοῦτο δ' 346
ἐστὶ καὶ ὑπὲρ ὑμῶν ὁμοίως· ὅσῳ γὰρ ἂν ἀκριβέστερον τὰ πεπραγμένα μάθητε, τοσούτῳ δικαιοτέραν καὶ εὐορκοτέραν θήσεσθε περὶ αὐτῶν τὴν ψῆφον. ἐπιδείξω δὲ τοῦτον οὐ μόνον ὡμολογηκότα εἶναι τὸν Μιλύαν ἐλεύθερον, ἀλλὰ καὶ φανερὸν τοῦτ' ἔργῳ πεποιηκότα· καὶ, πρὸς τούτοις, ἐκ βασάνου περὶ [3] αὐτὸν πεφευγότα τοῦτον τοὺς ἀκριβεστάτους ἐλέγχους καὶ οὐκ ἐθελήσαντα ἐκ τούτων ἐπιδεῖξαι τὴν ἀλήθειαν, [4] ἀλλὰ πανουργοῦντα καὶ μάρτυρας ψευδεῖς παρεχόμενον καὶ διακλέπτοντα τοῖς αὑτοῦ λόγοις τὴν ἀλήθειαν τῶν πεπραγμένων, οὕτω μεγάλοις καὶ φανεροῖς ἐλέγχοις, ὥςθ' ὑμᾶς πάντας εἴσεσθαι σαφῶς, ὅτι ἡμεῖς μὲν ἀληθῆ λέγομεν, οὗτος δὲ οὐδὲν ὑγιὲς εἴρηκεν.

γ΄. Ἄρξομαι δ' ἐντεῦθεν, ὅθεν καὶ ὑμεῖς ῥᾷστ' ἂν [5] μάθητε κἀγὼ τάχιστ' ἂν διδάξαιμι. ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, [6] Δήμωνι καὶ Δημοφῶντι καὶ Θηριππίδῃ καὶ τούτῳ δίκας ἔλαχον ἐπιτροπῆς, ἀποστερηθεὶς ἁπάντων τῶν ὄντων. γενομένης δέ μοι τῆς δίκης πρὸς τοῦτον πρῶτον, ἐπέδειξα σαφῶς τοῖς δικάζουσιν, ὥςπερ ὑμῖν ἐπιδείξω, πάνθ', ὅσα ἡμῖν κατελείφθη χρήματα, ἀπεστερηκότα τοῦτον μετ' ἐκείνων, οὐ καταψευδομαρτυρησάμενος. τεκμήριον δὲ μέγιστον· μαρτυριῶν γὰρ πλέον ἢ πάνυ πολλῶν τῶν ἁπασῶν

[1] μεμαρτυρημένων, ὦ ἄνδρες δικασταὶ, ὡς
[2] ἐξ ἴσου
[3] αὐτῶν
[4] ἀλλ' ἀεὶ πανουργοῦντα
[5] μάθοιτε
[6] [Δήμωνι καὶ]

Μετοίκιον τέθεικεν] Vid. Valckenaer. Animadv. ad Ammonium L. II. c. 7.

β΄. Ἐκ τούτων ἐπιδεῖξαι] F. ἐπιδειχθῆναι. Wolf.

γ΄. Δήμωνι καὶ Δημοφῶντι] F. Δημοφῶντι τῷ Δήμωνος υἱεῖ, ut est in prima contra Aphobum. Trium enim tantum tutorum fit mentio. Idem.

Οὐ καταψευδομαρτυρησάμενος] Ψευδεῖς μάρτυρας παρασκευάσας. Nam τὸ καταψευδομαρτυρῆσαι est falsi testis: ut τὸ καταδικάσαι judicis: τὸ καταδικάσασθαι accusatoris. Idem.

Μαρτυριῶν γὰρ πλέον ἢ πάνυ πολλῶν]

[1] ἀναγνωσθεισῶν, τῶν μὲν ὡς ἔδοσάν τι [2] τούτων τῶν ἐμῶν καταμαρτυρουσῶν, τῶν δ' ὡς παρῆσαν κομιζομένῳ, τῶν δ' ὡς πριάμενοι [3] παρά του τούτῳ τὰς τιμὰς διέλυσαν, οὐδ' ᾗ
347 τινὶ τούτων τῶν ψευδομαρτυριῶν ἐπεσκήψατο οὐδὲ τετόλμηκε διώκειν, [4] ἀλλὰ ταύτην μίαν οὖσαν, ἐν ᾗ δραχμὴν οὐκ ἂν ἔχοι δεῖξαι μεμαρτυρημένην. καίτοι τό γε τίμημα τῶν χρημάτων, ὧν ἀπεστερήμην, οὐκ ἐκ ταύτης συντιθεὶς ἐλογιζόμην τοσοῦτον — οὐ γὰρ ἔνεστ' ἀργύριον —, ἀλλ' ἐξ ἐκείνων καθ' ἕκαστα τιθεὶς, αἷς οὗτος οὐκ ἐπεσκήψατο· ὅθεν οἱ τότ' ἀκούσαντες οὐ μόνον αὐτοῦ κατέγνωσαν, ἀλλὰ καὶ τῶν ἐπιγεγραμμένων ἐτίμησαν. τίνος οὖν ἕνεκα ἐκείνας μὲν εἴασε, τῆδε δὲ ἐπεσκήψατο; ἐγὼ καὶ τοῦτο διδάξω. τῶν μαρτυριῶν ὅσαι μὲν χρήματ' ἔχειν [5] αὐτοῦ καταμαρτύρουν, ἤδει σαφῶς, ὅτι τοσούτῳ μᾶλλον ἐξελεγχθήσεται ταῦτα ἔχων, ὅσῳ πλείων λόγος δοθήσεται καθὲν περὶ ἑκάστου· τοῦτο δ' ἤμελλεν ἐν τῇ τῶν ψευδομαρτυριῶν [6] ἔσεσθαι. ὃ γὰρ τότε ἐν μικρῷ μέρει τινὶ τοῦ παντὸς ὕδατος μετὰ τῶν ἄλλων κατηγορήσαμεν, νῦν πρὸς ἅπαν τὸ ὕδωρ αὐτὸ καθ' αὑτὸ διδάξειν ἠμέλλομεν. ἀποκρίσει δ' ἐπισκηψάμενος ἐνόμιζεν, ὥςπερ τόδ' ὡμολόγησεν, οὕτω πάλιν ἔξαρνος γενέσθαι· ταῦτα δ' ἐφ' ἑαυτῷ γενήσεσθαι. διὰ ταῦτα τήνδε διώκει.

δ'. Βούλομαι δὴ ταύτην, ὡς ἔστιν ἀληθὴς, ἐπιδεῖξαι

[1] ἀναγνωσθεισῶν ἐπὶ τῇ δίκῃ, καὶ τούτων τῶν μὲν [2] τούτῳ [3] παρὰ τούτου, [4] ἀλλ' ἢ ταύτην [5] αὐτοῦ χρήματ' ἔχειν [6] ἔσεσθαι κρίσει.

Τὸ πλέον ἢ excipit numerum certum: qui cum absit, τὸ πλέον ἢ prætereo: nisi divinare libeat πλέον ἢ πεντήκοντα τῶν ἁπασῶν, aut similem aliquem numerum reponendum: quo sublato, etiam ἁπασῶν tollendum. μαρτυριῶν γὰς πάνυ πολλῶν ἀναγνωσθεισῶν. IDEM. πλέον ἢ del. vid. AUGER.

Ἐλογιζόμην τοσοῦτον] Τοσοῦτον τὸ τίμημα conjunge. WOLF.

Ἀλλὰ καὶ τῶν ἐπιγεγραμμένων ἐπετίμησαν] Id est, *tanti eum damnaverunt, quanti litem æstimaveram, quantumcunque in libello intentionis scripseram.* Significat enim ἐπιγράφεσθαι præter cætera etiam *scriptam actionem intendere, libello actionis genus edere. Ex edit.* HERVAG.

Τῶν ἐπιγεγραμμένων] Ὅσον ἔγραψα ἐν τῇ δίκῃ. WOLF.

Ὅσαι] Hic nominativus pendet, sed tamen sensus oratoris clarus est et perspicuus. AUGER.

Περὶ ἑκάστου] De unaquaque re in testimoniis exhibita. IDEM.

Τοῦ δ' ἤμελλεν] M. τοῦτο δ' ἤμελλεν. WOLF. AUGER.

Ἀποκρίσει δ' ἐπισκηψάμενος] *Quod si responsum improbasset.* Nihil ad sensum videtur facere. F. ταύτῃ δὲ (S. τῇ μαρτυρίᾳ) ἐπισκηψάμενος. *Sin hoc testimonium accusasset.* nisi forte placeat, ἀπορήσειν δ' ἐπισκηψάμενος ἐνόμιζεν, ut conjungas: ἐνόμιζεν, ἐπισκηψάμενος (εἰ ἐπισκήψαιτο τοῖς ἄλλοις μάρτυσιν) ἀπορήσειν γενέσθαι ἔξαρνος. *Se non ita facultatem habiturum denuo negandi, uti tum confessus erat, si testes persecutus esset.* WOLF. Wolfii conjecturam exscribit Augerus.

σαφῶς πᾶσιν ὑμῖν, οὐκ [1]ἐξεικότως, οὐδὲ λόγων πρὸς τὸ παρὸν μεμηχανημένων, ἀλλ' ἐκ τοῦ παρὰ πᾶσιν ὑμῖν δόξαντος, ὡς ἐγὼ νομίζω, δικαίου. σκοπεῖτε δὲ ἀκούσαντες. ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, περὶ τῆς μαρτυρίας τῆς ἐν τῷ γραμματείῳ γεγραμμένης εἰδὼς ὄντα μοι τὸν ἀγῶνα, καὶ περὶ τούτου τὴν ψῆφον ὑμᾶς οἴσοντας ἐπιστάμενος, ᾠήθην δεῖν μηδὲν ἄλλο τούτου πρότερον, ἢ τοῦτον προκαλούμενος ἐξελέγξαι. καὶ τί ποιῶ; παραδοῦναι παῖδα 848
ἤθελον αὐτῷ γράμματα ἐπιστάμενον βασανίζειν, ὃς παρῆν, ὅθ' ὡμολόγει ταῦθ' οὗτος καὶ τὴν μαρτυρίαν ἔγραφεν, οὐδὲν ὑφ' ἡμῶν κελευσθεὶς κακοτεχνεῖν, οὐδὲ τὸ μὲν γράφειν, τὸ δ' ἀφαιρεῖν, ὧν οὗτος εἰρήκει περὶ τούτων, ἀλλ' ἁπλῶς ὑπὲρ τοῦ πάντα τἀληθῆ καὶ τὰ τούτῳ ῥηθέντα γράψαι. καίτοι τί κάλλιον ἦν τοῦ τὸν παῖδα στρεβλοῦντα ἐξελέγξαι ψευδομένους ἡμᾶς; ἀλλὰ συνῄδει πάντων μάλιστα ἀνθρώπων, ὅτι τἀληθῆ μεμαρτύρηται· διόπερ ἔφυγε τὴν βάσανον. ἀλλὰ μὴν οὐχ εἷς, οὐδὲ δύο ταῦτ' ἴσασιν, οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ μέσῃ πολλῶν παρόντων. καί μοι κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

οὕτω τοίνυν οὗτός ἐστι σοφιστὴς καὶ σφόδρα ἑκὼν τὰ δίκαια ἀγνοεῖν προσποιούμενος, ὥςτε ψευδομαρτυριῶν διώκων, καὶ περὶ τούτου τὴν ψῆφον ὑμῶν μελλόντων οἴσειν καὶ ὀμωμοκότων, περὶ τῆς μαρτυρίας μὲν ἔφυγε τὴν βάσανον, περὶ οὗ μάλιστα προσῆκεν αὐτῷ τὸν λόγον ποιεῖσθαι· περὶ δ' ἄλλων φησὶν ἐξαιτεῖν, ψευδόμενος. καίτοι πῶς οὐχ ὑπερφυὲς [2]αὐτὸν δεινὰ πεπονθέναι φάσκειν, εἰ τὸν ἐλεύθερον ἐξαιτῶν, ὡς ἐγὼ σαφῶς ὑμῖν ἐπιδείξω, μὴ παρέλαβε, τοὺς δὲ μάρτυρας οὐ δεινὰ πάσχειν νομίζειν, τὸν [3]ὁμολογούμενον ὡς δοῦλον περὶ ὧν ἐμαρτύρησαν, ἐκδιδόντας, οὐκ ἐθέλοντος τούτου παραλαβεῖν; [4]οὐδὲ γὰρ τοῦτό γ' ἔνεστιν εἰπεῖν, ὡς περὶ μέν τινων, [5]ὡς αὐτὸς βούλεται, σαφὴς ἡ βάσανος, περὶ δ' αὖ τινῶν οὐ σαφής.

[1] ἐξ εἰκότων [2] αὐτὸν μὲν δεινὰ [3] ὁμολογουμένως δοῦλον περὶ ὧν ἐμαρτύρησεν, ἐκδιδόντος [4] οὐ γὰρ δὴ τοῦτό [5] ἂν

δ'. Ὑπὲρ τοῦ] Delendum, vel legendum ὑπὲρ τούτων. AUGER.

Περὶ οὗ] Sub. πράγματος. IDEM.

Ὡς περὶ μέν τινων ὡς αὐτὸς] F. ὧν αὐ-

49 ε. Ἔτι τοίνυν, ὦ ἄνδρες δικασταί, ταύτην τὴν μαρτυρίαν ἐμαρτύρησεν ἀδελφὸς ὁ [1] τούτου πρῶτος Αἴσιος, ὃς νῦν μὲν ἔξαρνός ἐστι τούτῳ συναγωνιζόμενος, τότε δὲ ἐμαρτύρησε ταῦτα μετὰ τῶν ἄλλων, οὔτ' ἐπιορκεῖν οὔτ' εὐθὺς παραχρῆμα δίκην ὀφλισκάνειν βουλόμενος. ὃν οὐκ ἂν δήπου, ψευδῆ μαρτυρίαν εἰ παρεσκευαζόμην, [2] ἔγραψα ἂν εἰς τοὺς μάρτυρας, ὁρῶν μὲν Ἀφόβῳ χρώμενον μάλιστα ἀνθρώπων ἁπάντων, εἰδὼς δὲ συνεροῦντα αὐτῷ τὴν δίκην, ἔτι δ' ἐμαυτοῦ ὄντα ἀντίδικον· οὐ γὰρ ἔχει λόγον, τὸν ἑαυτοῦ διάφορον καὶ τούτου ἀδελφὸν μὴ ἀληθινῆς μαρτυρίας ἐγγράψαι μάρτυρα. τούτων τοίνυν εἰσὶ μὲν πολλοὶ μάρτυρες· ἔτι δ' οὐκ ἐλάττω τεκμήρια τῶν μαρτύρων. πρῶτον μὲν γὰρ εἴπερ ὡς ἀληθῶς ταῦτα μὴ ἐμαρτύρησεν, οὐκ ἂν νῦν ἔξαρνος ἦν· ἀλλὰ τότ' εὐθὺς ἐπὶ τοῦ δικαστηρίου, τῆς μαρτυρίας ἀναγιγνωσκομένης, ἡνίκα μᾶλλον ἂν αὐτὸν ἢ νῦν ὠφέλει. δεύτερον δ' οὐκ ἂν ἡσυχίαν ἦγεν, ἀλλὰ δίκην ἄν μοι βλάβης ἔλαχεν, εἰ ψευδομαρτυριῶν ὑπόδικον αὐτὸν ἐποίουν κατὰ [3] τοῦ ἀδελφοῦ, οὐ προσῆκον· ἐν ᾗ καὶ περὶ χρημάτων καὶ περὶ ἀτιμίας ἄνθρωποι κινδυνεύουσιν. ἔτι δὲ τὸ πρᾶγμ' ἂν ἐξελέγξαι ζητῶν, ἐξήτησεν ἄν με τὸν παῖδα τὸν γράφοντα τὰς μαρτυρίας, ἵν', εἰ μὴ παρεδίδουν, [4] μηδὲν δίκαιον λέγειν ἐδόκουν. νῦν δὲ τοσοῦτον τοῦ ποιῆσαί τι τούτων ἐδέησεν, ὥστ' οὐδ' ἐμοῦ παραδιδόντος, ἐπειδὴ ταῦτ' ἔξαρνος ἐγένετ', οὗτος παραλαβεῖν ἠθέλησεν· ἀλλ' ὁμοίως φαίνονται καὶ περὶ τούτων φεύγοντες τὰς βασάνους. καὶ ταῦτα
850 ὡς ἀληθῆ λέγω, καὶ ἔν τε τοῖς μάρτυσι [5] μεμαρτυρηκὼς οὐκ ἠρνήθη ταῦτα ἐπὶ τοῦ δικαστηρίου [6] τούτου παρεστηκώς, τῆς μαρτυρίας ἀναγιγνωσκομένης, ἐμοῦ τ' ἐκδιδόντος τὸν

[1] τουτουὶ [2] ἐνέγραψα [3] Deest articulus. [4] μηδὲν ἂν δίκαιον
[5] μεμαρτυρηκὼς Αἴσιος οὐκ [6] τούτῳ

τός. Wolf. Auger.

ε. Τούτου ἀδελφὸν] Hic τούτου non refertur ad Stephanum, sed generatim ad quemlibet contra quem lite pugnatur. Auger.

Ψευδομαρτυριῶν ὑπόδικον] Multa de testibus, qui falsum testimonium dixerint, vide ap. Petit. Leg. Attic. Lib. IV. Tit. VII. p. 449 seq.

Ἔτι δὲ τὸ πρᾶγμ' ἂν ἐξελέγξαι ζητῶν, ἐξήτησεν ἄν με τὸν παῖδα, etc.] *Jam vero si rei veritatem reperiri expetivisset, servum me utique exhibere torquendum postulasset, qui testificationes ipsas scripserat: ut si dedissem, veritate per tormenta comperta, nec jus ego in hac causa, nec æquum postulare viderer, qui scilicet ψευδομαρτυριῶν agerem.* Ubi alterum ἂν δυνητικὲν, alterum est παραπληρωματικόν. notandum etiam ἵνα conjunctionem cum indicativo junctam esse, ἵν' ἐδόκουν, ἀντὶ τοῦ, ἵνα δίκαιμι. præterea ἐξαιτεῖν est *exposcere servum ad quæstionem*, cui ἐκδιδόναι, id est, *offerre et dedere*, re-

παῖδα [1] περὶ τούτου βασανίζειν αὐτοῖς, οὐκ ἠθέλησαν παραλαβεῖν, καὶ καθ' ἕκαστον ὑμῖν παρέξομαι τοὺς μάρτυρας. καί μοι κάλει δεῦρο αὐτούς.

ΜΑΡΤΥΡΕΣ.

ς'. Ὁ τοίνυν, ὦ ἄνδρες δικασταί, πάντων τῶν εἰρημένων [2] οἶμαι μέγιστον ὑμῖν ἐρεῖν σημεῖον τοῦ ταῦτ' [3] ἀποκρίνεσθαι τοῦτον, βούλομαι διελθεῖν· ἐπειδὴ γὰρ ἐξήτει με τὸν ἄνθρωπον ταῦθ' ὡμολογηκὼς ἃ μεμαρτύρηται, βουλόμενος καὶ τοῦτ' αὐτὸν ἐξελέγξαι τεχνάζοντα, τί ποιῶ; προσκαλοῦμαι κατὰ Δήμωνος εἰς μαρτυρίαν, ὄντος αὐτῷ [4] τοῦ θείου καὶ κοινωνοῦ τῶν ἀδικημάτων· καὶ, συγγράψας ταῦτα, ἐκέλευον μαρτυρεῖν ἃ νῦν διώκει τῶν ψευδομαρτυριῶν. οὗτος δὲ τὸ μὲν πρῶτον ἀπηναισχύντει, τοῦ δὲ διαιτητοῦ κελεύοντος μαρτυρεῖν ἢ ἐξομνύειν, ἐμαρτύρησε πάνυ μόγις. καίτοι, εἴ γ' ἦν δοῦλος ἄνθρωπος καὶ μὴ προωμολόγητο πρὸς τοῦδε ἐλεύθερος εἶναι, τί [5] παθὼν ἐμαρτύρησεν, ἀλλ' οὐκ ἐξομόσας ἀπηλλάγη τοῦ πράγματος; ἀλλὰ μὴν καὶ περὶ τούτων ἤθελον παραδοῦναι τὸν παῖδα τὸν γράφοντα τὴν μαρτυρίαν, ὃς τά τε γράμματα ἔμελλε γνώσεσθαι τὰ ἑαυτοῦ καὶ τοῦτον ἐμνημόνευεν ἀκριβῶς [6] μαρτυρήσαντα. καὶ ταῦτ' ἤθελον, οὐχὶ μαρτύρων ἀπορῶν, οἳ παρῆσαν, — [7] ἦσαν γὰρ —, ἀλλ' ἵνα μὴ τούτους αἰτιῶτο μαρτυρεῖν τὰ ψευδῆ, ἀλλὰ τὸ πιστὸν ἐκ τῆς βασάνου τούτοις ὑπάρχοι. καίτοι πῶς ἄξιόν ἐστι καταγνῶναι τῶν μαρτύρων διὰ τοῦτο, οἳ μόνοι τῶν πώποτε ἠγωνισμένων δίκην ἐν ὑμῖν τὸν διώκοντα αὐτὸν αὐτοῖς μάρτυρα τούτων ἐπιδεικνύουσι γεγενημένον; ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, λάβε τὴν [8] πρόκλησιν καὶ τὴν μαρτυρίαν. 851

[9] ΠΡΟΚΛΗΣΙΣ. ΜΑΡΤΥΡΙΑ.

τηλικαῦτα τοίνυν [10] ὡς δίκαια φυγὼν οὗτος, καὶ ἐκ τοσού-

[1] περὶ ἁπάντων τούτων β. α. οὐκ ἠθέλησε παραλαβεῖν, καθ' [2] οἴομαι, [3] ἀποκρίνασθαι - - - διεξελθεῖν [4] Deest articulus. [5] μαθὼν [6] μαρτυρήσαντα ταῦτα. [7] [ἦσαν γάρ·] [8] πρόσκλησιν [9] Πρόσκλησις [10] Deest ὡς.

spondet. *Ex edit.* HERVAG.

ς'. Ἀπηναισχύντει] *Impudentia utebatur*, in negando scilicet. Similiter autem cum præpositione usurpatur et ἀπαναιδεύεσθαι, quod idem significat. BERGLER.

Καὶ μὴ προωμολόγητο] *Et non confessum esset prius apud istum*, np. apud Aphobum, *esse liberum.* AUGER.

Τηλικαῦτα τοίνυν δίκαια] Τὸ ὡς abundat. WOLF.

τῶν τεκμηρίων ἐπιδεικνύμενος ὅτι συκοφαντεῖ, τοῖς μὲν αὐτοῦ μάρτυσιν ἀξιοῖ πιστεύειν ὑμᾶς, τοὺς δ' ἐμοὺς διαβάλλει καὶ φησὶν [1] οὔτ' ἀληθῆ μαρτυρεῖν.

ζ'. Βούλομαι δὴ καὶ ἐκ τῶν εἰκότων περὶ αὐτῶν εἰπεῖν. οἶδ' οὖν, ὅτι πάντες ἂν ὁμολογήσαιτε, τοὺς ψευδομαρτυροῦντας, ἢ κέρδεσι δι' ἀπορίαν ἐπαιρομένους ἢ [2] καὶ δι' ἑταιρείαν ἢ καὶ δι' ἔχθραν τῶν ἀντιδίκων, ἐθέλειν ἄν τι τοιοῦτον ποιῆσαι. τούτων τοίνυν οὐδὲ δι' ἓν ἂν εἶεν ἐμοὶ μεμαρτυρηκότες, οὔτε γὰρ [3] ἑταιρεῖαι — πῶς γάρ; οἵ γε μήτε ἐν ταῖς αὐταῖς διατριβαῖς, μήτε καθ' ἡλικίαν, μὴ ὅτι ἐμοί τινες αὐτῶν, ἀλλ' οὔτε σφίσιν αὐτοῖς εἰσὶν —, οὔτ' [4] ἔχθραι τούτου — φανερὸν γὰρ καὶ τοῦτ' ἔστιν· ὁ μὲν γὰρ ἀδελφὸς καὶ σύνδικος, Φάνος δ' ἐπιτήδειος καὶ φυλέτης, Φίλιππος δὲ οὔτε φίλος οὔτ' ἐχθρός· ὥστε οὐδὲ ταύτην ἄν τις ἐπενέγκοι δικαίως τὴν αἰτίαν —, καὶ μὴν οὐδὲ δι' ἀπορίαν ἄν τις φήσειε — πάντες γὰρ κέκτηνται τοσαύτην οὐσίαν, ὥστε καὶ λειτουργεῖν ὑμῖν προθύμως καὶ τὰ προσταττόμενα ποιεῖν —, χωρὶς δὲ τούτων οὔτ' ἀγνῶτες ὑμῖν οὔτ' ἐπὶ τὰ χείρω γιγνωσκόμενοι, μέτριοι δ' ὄντες ἄνθρωποι.
352 καί τοι εἰ μήτε ἄποροι, μήτ' ἐχθροὶ τούτου, [5] μήτε φίλοι, πῶς χρὴ κατὰ τούτων λαβεῖν τινὰ ὑποψίαν, ὡς τὰ ψευδῆ μαρτυροῦσιν; ἐγὼ μὲν γὰρ οὐκ οἶδα.

η'. Ταῦτα τοίνυν οὗτος εἰδὼς, καὶ πάντων μάλιστα ἐπιστάμενος τἀληθῆ μεμαρτυρηκότας αὐτοὺς, ὅμως συκοφαντεῖ, καὶ φησὶν οὐ μόνον οὐκ εἰπεῖν ταῦτα, ἃ πῶς [6] τίς ἂν μᾶλλον ἐξελέγξειεν εἰρηκότα; ἀλλὰ καὶ δοῦλον εἶναι τὸν ἄνθρωπον τῷ ὄντι. βούλομαι δὲ, διὰ βραχέων εἰπὼν πρὸς ὑμᾶς, ἐξελέγξαι καὶ τοῦτ' αὐτὸν ψευδόμενον. ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, καὶ περὶ τούτων ἠθέλησα τούτῳ παραδοῦναι βασανίζειν τὰς θεραπαίνας, αἳ τελευτῶντος τοῦ πατρὸς μνημονεύουσιν ἀφεθέντα τοῦτον ἐλεύθερον εἶναι τότε. καὶ πρὸς τούτοις ἡ μήτηρ κατ' ἐμοῦ καὶ τῆς ἀδελφῆς,

1 οὐ τἀληθῆ 2 Deest καί. 3 * ἑταιρείᾳ 4 * ἔχθρᾳ
5 μήτε ἐμοὶ φίλοι 6 τις

Οὔτ' ἀληθῆ] M. οὐ τἀληθῆ. Idem.

ζ'. Εἶεν] Post εἶεν adderem libenter οἱ δὲ, nempe, ii qui pro me testificati sunt. Auger.

Φάνος δ'] F. Στέφανος δ'. Wolf.

Μήτ' ἐχθροὶ τούτου μήτε φίλοι] Fortasse μήτ' ἐμοῦ φίλοι. et v. 26. ἐξελέγχειν εἰρηκότας. Idem.

οἱ μόνοι παῖδες ἐσμὲν αὐτῇ, δι' οὓς κατεχήρευσε τὸν βίον, πίστιν ἠθέλησεν ἐπιθεῖναι παραστησαμένη, τὸν ἄνθρωπον τοῦτον ἀφεῖναι τὸν πατέρα, ἡνίκα ἐτελεύτα, καὶ νομίζεσθαι παρ' ἡμῖν τοῦτον ἐλεύθερον· ἣν μηδεὶς ὑμῶν νομιζέτω καθ' ἡμῶν ποτ' ἂν ὀμνύναι [1] ταῦτα ἐθέλειν, εἰ μὴ σαφῶς ᾔδει τὰ εὔορκα ὀμουμένη. ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, καὶ τοῦτο ἧμεν ἕτοιμοι ποιεῖν, κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

θ'. Τοσαῦτα τοίνυν δίκαια λέγειν ἐχόντων ἡμῶν καὶ καταφεύγειν εἰς τοὺς μεγίστους ἐλέγχους ἐθελόντων περὶ τῶν μεμαρτυρημένων, πάντα ταῦτα φυγὼν οὗτος, οἴεται περὶ τῆς γεγενημένης δίκης, διαβάλλων καὶ κατηγορῶν ἐμοῦ τοῦ μάρτυρος, ὑμᾶς πείσειν καταψηφίσασθαι, πάντων οἶμαι [2] καὶ πρᾶγμα κατασκευάσας ἀδικώτατον καὶ πλεονεκτικώτατον. αὐτὸς μὲν γὰρ μάρτυρας ψευδεῖς παρεσκεύασται περὶ τούτων, συγχορηγὸν ἔχων Ὀνήτορα τὸν 853
κηδεστὴν καὶ Τιμοκράτην· ἡμεῖς δ' οὐχὶ προειδότες, ἀλλ' ὑπὲρ αὐτῆς τῆς μαρτυρίας ἡγούμενοι τὸν ἀγῶνα ἔσεσθαι, τοὺς περὶ τῶν ἐκ τῆς ἐπιτροπῆς χρημάτων μάρτυρας οὐ παρεσκευάσμεθα νῦν. ὅμως δὲ καί περ οὕτω [3] τοῦ σεσοφισμένου τὰ πράγματα αὐτὰ διεξιὼν [4] οἶμαι ῥᾳδίως ἐπιδείξειν δικαιότατ' ἀνθρώπων τοῦτον ὠφληκότα τὴν δίκην, οὐχ ὅτι τὸν Μιλύαν ἐκώλυον βασανίζειν, οὐδ' ὅτι τοῦτον ἐλεύθερον ὡμολόγησεν, οἱ δὲ μάρτυρες οἵδε ἐμαρτύρησαν, ἀλλ' ὅτι πολλὰ τῶν ἐμῶν ἐξηλέγχθη λαβὼν, καὶ τὸν οἶκον οὐκ ἐμίσθωσε, τῶν νόμων κελευόντων καὶ τοῦ πατρὸς

[1] ταῦτ' ἂν ἐθέλειν
[2] Deest καί.
[3] τούτου
[4] οἴομαι ῥᾳδίως ὑμῖν ἐπιδείξειν

ἡ. Πίστιν ἠθέλησεν ἐπιθεῖναι παραστησαμένη] *Ad hæc mea mater in me sororemque meam, quos solos liberos habet, quorumque gratia vitam viduam traducere sustinuit, jusjurandum concipere non recusavit, ejusque rei causa, nos in medium produxit atque in judicium.* Est enim πίστιν ἐπιθεῖναι, *jurare, fidem dare,* hoc est, καθ' ἡμῶν ὀμνύναι, *in capita liberorum jurare:* id quod fiebat, tacto ejus capite in quem jurabant, ita se sacrare caput ejus diis inferis, devovereque significantes, si pejerarent. *Ex edit.* Hervag.

Κατ' ἐμοῦ — πίστιν ἠθέλησεν ἐπιθεῖναι παραστησαμένη] Sæpius hæc formula in hac et ea, quæ sequitur, oratione repetita, non est obscura. Wolf.

θ'. Κατηγορῶν] Pone virgulam post κάτηγορῶν, et dele post μάρτυρος. Auger.

Πάντων οἶμαι καὶ] Videtur transponenda conjunctio καὶ ἀδικώτατον καὶ πλεονεκτικώτατον. Wolf.

ἐν τῇ διαθήκῃ γράψαντος, ὡς ἐγὼ σαφῶς ὑμῖν ἐπιδείξω· ταῦτα μὲν γὰρ ἦν πᾶσιν ἰδεῖν, οἱ νόμοι, καὶ τὸ πλῆθος ὧν οὗτοι διηρπάκεισαν χρημάτων, τὸν Μιλύαν δ' οὐδ' ὅστις ἐστὶν οὐδεὶς ᾔδει. γνώσεσθε δὲ ἐκ τῶν ἐγκεκλημένων ὅτι ταῦθ' οὕτως ἔχοντ' ἐστίν.

ί. Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, [1]τὴν δίκην ἔλαχον τούτῳ [1]τῆς ἐπιτροπῆς, οὐχ ἓν τίμημα συνθεὶς, ὥσπερ [2]ἂν εἴ τις συκοφαντεῖν ἐπιχειρῶν, ἀλλ' ἕκαστον ἐγγράψας, καὶ πόθεν λαβὼν, καὶ πόσον τὸ πλῆθος, καὶ παρὰ τοῦ, καὶ οὐδαμοῦ τὸν Μιλύαν παρέγραψα ὡς εἰδότα τι τούτων. ἔστι [3]μὲν οὖν τοῦ μὲν ἐγκλήματος ἀρχὴ, τάδ' ἐγκαλεῖ Δημοσθένης Ἀφόβῳ· ἔχει μου χρήματα Ἄφοβος [4]ὑπὸ ἐπιτροπῆς ἐχόμενα, ὀγδοήκοντα μὲν μνᾶς, ἣν ἔλαβε προῖκα τῆς μητρὸς κατὰ τὴν διαθήκην τοῦ πατρός. τοῦτο πρῶτόν ἐστι τῶν χρημάτων ὧν [5]ἀποστερεῖσθαί φημι. τοῖς δὲ μάρτυσι τί μεμαρτύρηται; μαρτυροῦσι παραγενέσθαι πρὸς τῷ
854 διαιτητῇ Νοθάρχῳ, ὅτε Ἄφοβος ὡμολόγει Μιλύαν ἐλεύθερον εἶναι, ἀφεθέντα ὑπὸ τοῦ Δημοσθένους πατρός. σκοπεῖτε τοίνυν παρ' ὑμῖν αὐτοῖς, εἴ τις ἂν ὑμῖν ἢ ῥήτωρ ἢ σοφιστὴς ἢ γόης οὕτω θαυμάσιος δοκεῖ γενέσθαι καὶ λέγειν δεινὸς, ὥστ' ἐκ [6]ταύτης τῆς μαρτυρίας, διδάξαι τίν' ἀνθρώπων, ὡς ἔχει τὴν προῖκα Ἄφοβος τῆς μητρὸς [7]τῆς ἐμῆς. καὶ τί λέγων, ὦ πρὸς [1]τοῦ Διὸς, [8]ὡμολόγησεν εἶναι Μιλύαν ἐλεύθερον; καὶ τί μᾶλλον ἔχω τὴν προῖκα; οὐδὲν ἂν δήπου διὰ τοῦτό γε δόξειεν.

ιά. Ἀλλὰ πόθεν τοῦτ' ἐπεδείχθη; πρῶτον μὲν Θηριππίδης, ὢν αὐτῷ συνεπίτροπος, κατεμαρτύρησε δοῦναι. δεύτερον δὲ Δήμων, θεῖος ὤν, καὶ τῶν ἄλλων [9]οἱ παρόντες ἐμαρτύρησαν, σῖτον τῇ μητρὶ δώσειν ὁμολογεῖν τοῦτον, ὡς ἔχον-

[1] Deest articulus. [2] ἄν τις [3] Deest μέν. [4] ἀπὸ
[5] ἀπεστερῆσθαι [6] ταυτησὶ [7] τῆς ἑαυτοῦ, καὶ τί λέγων;
[8] ὁμολογεῖς [9] οἱ

ί. Πόθεν λαβὼν] Sub. ἐγένετο, *unde fuit accipiens.* AUGER.

Ὑπὸ ἐπιτροπῆς ἐχόμενα] *Sub tutelæ nomine habita.* IDEM.

Καὶ τί λέγων, [S. ὁ μάρτυς] ὦ πρὸς τοῦ Διός; ὡμολόγησεν ἐλεύθερον εἶναι τὸν Μιλύαν. Sic distinguo hunc locum, interrogatione posita ante ὡμολόγησε, S. ὁ Ἄφοβος. WOLF. Lego et distinguo: καὶ τί λέγων; οὐ, πρὸς τοῦ Διός, ὡμολόγησεν, np. Aphobus, εἶναι Μιλύαν ἐλεύθερον. καὶ τί μᾶλλον οὐκ ἔχει τὴν προῖκα; οὐδὲν ἂν μᾶλλον δήπου διὰ τοῦτό γε δόξειεν, sub. ἔχειν. vel melius, καὶ τί μᾶλλον οὐκ ἔχειν τὴν προῖκα δόξει; οὐδὲν ——

τα τὴν προῖκα· καὶ τούτοις οὐκ ἐπεσκήψατο, δηλονότι τἀληθῆ μεμαρτυρηκότας εἰδώς. ἔτι τοίνυν ἡ μήτηρ ἠθέλησε πίστιν ἐπιθεῖναι κατ' ἐμοῦ καὶ τῆς ἀδελφῆς, παραστησαμένη, τοῦτον [1]λαβεῖν τὴν προῖκα τὴν ἑαυτῆς, κατὰ τὴν τοῦ πατρὸς διαθήκην. ταύτας τὰς ὀγδοήκοντα μνᾶς, πότερ' αὐτὸν ἔχειν φῶμεν, ἢ μή; καὶ πότερον διὰ τούςδε ὄφλειν τοὺς μάρτυρας, ἢ διὰ τούςδε; ἐγὼ μὲν γὰρ οἶμαι διὰ τὴν ἀλήθειαν. ταύτας τοίνυν δέκ' ἔτη κεκαρπωμένος καὶ οὐδὲ δίκην ὄφλων ἀποδοῦναι τετολμηκώς, δεινὰ πεπονθέναι φησὶ καὶ διὰ τούςδε τοὺς μάρτυρας ὠφληκέναι· καίτοι γ' οὐδεὶς τούτων αὐτὸν ἔχειν ταύτην ἐμαρτύρησε.

ιβ'. Περὶ τοίνυν τῆς ἐκδόσεως καὶ τῶν κλινοποιῶν καὶ τοῦ σιδήρου καὶ τοῦ καταλειφθέντος ἡμῖν ἐλέφαντος καὶ τῆς προικὸς τῆς ἀδελφῆς, ἣν οὗτος καθυφῆκεν ὑπὲρ τοῦ καὶ αὐτὸς 855
ἔχειν ὅσα βούλοιτο τῶν ἐμῶν, ἀκούσατε καὶ σκοπεῖσθ', ὡς [2]δικαίως ὤφληκε, καὶ οὐδὲν ἦν Μιλύαν περὶ τούτων βασανιστέον. περὶ μὲν γὰρ ὧν καθυφῆκας, νόμος ἐστὶ, διαρρήδην ὃς κελεύει σε ὁμοίως ὀφλισκάνειν, ὥσπερ ἂν αὐτὸς ἔχῃς· ὥςτε τί τῷ νόμῳ καὶ τῇ βασάνῳ; περὶ δ' αὖ τῆς ἐκδόσεως, ἐπικοινωνήσαντες τῷ Ξούθῳ καὶ διανειμάμενοι τὰ χρήματα καὶ τὰς συγγραφὰς ἀνελόντες καὶ πάνθ' ὃν τρόπον ἐβούλεσθε κατασκευάσαντες καὶ διαφθείραντες τὰ γράμμαθ', ὡς ὑμῶν [3]ὁ Δήμων κατεμαρτύρει, καὶ τουτουσὶ παρακρούεσθαι ζητεῖτε. περὶ τοίνυν τῶν κλινοποιῶν, εἰ [4]συλλαβὼν ἀργύριον καὶ πολλὰ [5]ἴδια κερδάνας ἐπὶ τοῖς ἐμοῖς δανείζων, [6]ὧν καὶ τοὺς ἄλλους προσῆκε κωλύειν, εἶτ' ἀφανεῖς πεποίηκας· τί σοι ποιήσουσιν οἱ μάρτυρες; οὐ γὰρ οὗτοί γε μεμαρτυρήκασιν, ὡς ὁμολογεῖς ἐπὶ τοῖς ἐμοῖς δανείζειν καὶ λαβεῖν τἀνδράποδα ὡς σαυτὸν, ἀλλ' ἐν τῷ λόγῳ ταῦτα γέγραφας σύ· [7]κατεμαρτύρησαν δὲ οἱ μάρτυρες. ἀλλὰ [8]μὴν περὶ τοῦ γ' ἐλέφαντος καὶ τοῦ σιδήρου, ἐγώ φημι [9]πάντας τοὺς οἰκέτας εἰδέναι τοῦτον πωλοῦντα, καὶ παρα-

[1] λαβεῖν τὴν προῖκα τοῦτον
[2] δικαίως τ' ὤφληκε
[3] εἷς Δ. κ., φενακίζετε καὶ τ.
[4] σὺ λαβὼν
[5] ἰδία
[6] ὃν
[7] συγκατεμαρτύρησαν
[8] μὴν καὶ περὶ τοῦ ἐλέφαντος
[9] πάντας ἐγὼ φημι

AUGER.

Καὶ πότερον διὰ τοῦδε ὄφλειν τοὺς μάρτυρας] F. διὰ τούσδε, aut [si de uno Stephano agitur] διὰ τόνδε τὸν μάρτυρα.

WOLF.

ιβ'. Νόμος — ἔχῃς] De hac lege vid. Petit. Leg. Attic. L. VII. T. VII. p. 643.

Ἐν τῷ λόγῳ ταῦτα γέγραφας σὺ] In re-

δοῦναι καὶ τότε καὶ νῦν ἤθελον αὐτῷ τούτων ὅντινα βούλοιτο λαβὼν βασανίζειν. εἰ τοίνυν φήσει με τὸν εἰδότα οὐκ ἐθέλοντα [1]δοῦναι, τοὺς οὐκ εἰδότας [2]ἐνδιδόναι, πολὺ δὴ μᾶλλον αὐτῷ παραλαβεῖν φανήσεται προσῆκον· εἰ [3]γὰρ, οὕτως ὡς εἰδότας ἐξεδίδουν ἐγὼ, μηδὲν ἔχειν ἔφασαν τούτων αὐτὸν, ἀπήλλακτο δήπουθεν ἂν τῆς αἰτίας. ἀλλ' οὐχὶ τοιοῦτόν ἐστιν· ἀλλὰ σαφῶς ἂν ἐξηλέγχθη πωλῶν καὶ τὴν
856 τιμὴν κεκομισμένος, διόπερ τοὺς [4]ὁμολογουμένους δούλους παραβὰς, τὸν ἐλεύθερον ἠξίου βασανίζειν, [5]τὸν οὐδ' ὅσιον παραδοῦναι, τὸ πρᾶγμα οὐκ ἀγαγεῖν εἰς ἔλεγχον ζητῶν, ἀλλὰ μὴ παραλαμβάνων, βουλόμενός τι δοκεῖν λέγειν. περὶ τοίνυν πάντων τούτων, πρῶτον μὲν περὶ τῆς προικὸς, εἴθ' ὑπὲρ ὧν καθυφῆκεν, εἴθ' ὑπὲρ τῶν ἄλλων, ἀναγνώσεται τούς τε νόμους καὶ τὰς μαρτυρίας, ἵν' εἰδῆτε.

ΝΟΜΟΙ.

ΜΑΡΤΥΡΙΑΙ.

ιγ'. Οὐ τοίνυν μόνον ἐκ τούτων ἂν γνοίητε, ὅτι δεινὸν οὐδ' ὁτιοῦν πέπονθε, τὸν ἄνθρωπον οὐκ ἐκδόντος ἐμοῦ βασανίζειν, ἀλλὰ καὶ τὸ πρᾶγμα [6]αὐτὸ σκέψασθε. θῶμεν γὰρ δὴ τὸν Μιλύαν ἐπὶ τοῦ τροχοῦ στρεβλοῦσθαι· καὶ τί μάλιστ' ἂν αὐτὸν εὔξαιτο λέγειν; σκοπῶμεν. οὐχ, ὅτι τῶν χρημάτων οὐδ' ὁτιοῦν οἶδε τοῦτον ἔχοντα; καὶ δὴ λέγει. διὰ τοῦτ' ἄρα οὐκ ἔχει; πολλοῦ [7]γε δεῖ· τοὺς γὰρ εἰδότας καὶ παρόντας μάρτυρας παρεσχόμην ἐγώ. τεκμήριον δὲ καὶ πίστις ἐστὶν, οὐκ εἴ τίς τι μὴ οἶδε τοῦτον ἔχοντα — πολλοὶ γὰρ ἂν εἶεν —, ἀλλ' εἴ τις οἶδε. καταμαρτυρησάντων τοίνυν τοσούτων σου μαρτύρων, τίνι τῶν [8]μαρτυριῶν ἐπεσκήψω; δεῖξον· ἀλλ' οὐκ ἂν ἔχοις δεῖξαι. καίτοι, πῶς οὐ σαφῶς σὺ σαυτὸν ἐξελέγχεις, ὅτι ψεύδῃ, δεινὰ πεπονθέναι φάσκων καὶ τὴν δίκην ἀδίκως ὠφληκέναι, τὸν ἄνθρωπον οὐ παραλαβὼν, ὃς τοὺς ταῦτα μαρτυρήσαντας ἔχειν σε καὶ λαβεῖν, περὶ ὧν ὡς οὐ καταλειφθέντων σὺ τὸν Μιλύαν ἐξήτεις, ἀφῆκας τῶν ψευδομαρτυριῶν; οὓς

[1] ἐκδοῦναι [2] ἐκδιδόναι, πολὺ δήπου μᾶλλον [3] γὰρ, οὕς ὡς [4] ὁμολογουμένως [5] ὅν [6] αὐτὸ εἰ *σκέψαισθε [7] γε καὶ δεῖ. [8] ψευδομαρτυριῶν

ferendis rationibus posuisti. WOLF.

Τὸν οὐδ' ὅσιον] M. υἱὸν οὐχ ὅσιον.

IDEM.

[ιγ'. Ἀφῆκας τῶν ψευδομαρτυριῶν] Οὐκ ἐπε-

πολὺ κάλλιον ἦν, εἴπερ ἠδίκησο, διώκειν. ἀλλ' οὐκ ἠδικημένος συκοφαντεῖς.

ιδ'. Πολλαχόθεν μὲν οὖν ἄν τις ἴδοι τὴν σὴν πονηρίαν, 857
μάλιστα δ' εἰ περὶ τῆς διαθήκης ἀκούσειε. τοῦ γὰρ πατρὸς, ὦ ἄνδρες δικασταὶ, τὰ καταλειφθέντα πάντα [1] τῇ διαθήκῃ γράψαντος, καὶ τὸν οἶκον ὅπως [2] μισθώσουσι, ταύτην μὲν οὐκ ἀπέδωκεν, ἵνα μὴ τὸ πλῆθος εὕροιμι ἐγὼ τῶν χρημάτων ἐξ [3] ἀρχῆς· ὁμολογεῖ δὲ κεκτῆσθαι ταῦθ', ἃ μάλιστα οὐχ οἷόντ' ἦν ἐξάρνῳ γενέσθαι διὰ τὴν περιφάνειαν. ἦν δὲ ταῦθ', ἃ γεγράφθαι φησὶν ἐν τῇ διαθήκῃ, δύο μὲν τάλαντα Δημοφῶντα λαβεῖν εὐθὺς, τὴν δ' ἀδελφὴν ὅταν ἡλικίαν ἔχῃ, τοῦτο δ' [4] ἔμελλεν εἰς ἔτος δέκατον γενήσεσθαι· τοῦτον δ' ὀγδοήκοντα μνᾶς καὶ τὴν μητέρα τὴν ἐμὴν καὶ τὴν οἰκίαν οἰκεῖν· Θηριππίδην δ' ἑβδομήκοντα μνᾶς λαβόντα καρπώσασθαι, ἕως ἐγὼ ἀνὴρ γενοίμην. τὰ δ' ἄλλα, ὅσα ἐμοὶ χωρὶς τούτων κατελείφθη, καὶ τὸ μισθοῦν τὸν οἶκον, [5] ἠφάνισεν ἐκ τῆς διαθήκης· οὐ συμφέρειν ταῦτα νομίζων αὐτῷ ἐπιδειχθῆναι παρ' ὑμῖν. ἐπειδὴ τοίνυν ὡμολογεῖτο ὑπ' αὐτοῦ, [6] τὸ, τὸν πατέρα ἡμῶν τελευτῶντα τοσοῦτον ἀργύριον τούτων ἑκάστῳ δοῦναι, τεκμήριον οἱ δικάζοντες [7] τούτῳ τὰς ὁμολογίας ἐποιήσαντο ταύτας τοῦ πλήθους τῶν χρημάτων. ὅστις γὰρ ἀπὸ τῶν ὄντων τέτταρα τάλαντα καὶ τρισχιλίας προῖκα καὶ δωρεὰν ἔδωκε, φανερὸν ἦν, ὅτι οὐκ ἀπὸ μικρᾶς οὐσίας, ἀλλὰ πλέον ἢ διπλασίας ἧς ἐμοὶ κατέλιπε, ταῦτα ἀφεῖλεν. οὐ γὰρ ἂν ἐδόκει τὸν μὲν υἱὸν ἐμὲ πένητα βούλεσθαι καταστῆσαι, τούτους δὲ, πλουσίους ὄντας, ἔτι πλουσιωτέρους ἐπιθυμῆσαι [8] ποιῆσαι· ἀλλ', ἕνεκα τοῦ πλήθους τῶν ἐμοὶ καταλειπομένων, Θηριππίδῃ τε τὰς ἑβδομήκοντα μνᾶς, καὶ Δημοφῶντι τὰ δύο τάλαντα 858
οὔπω μέλλοντι τῇ ἀδελφῇ τῇ ἐμῇ [9] συνοικεῖν, καρποῦσθαι δοῦναι. ταῦτα δὴ τὰ χρήματα οὐδαμοῦ παραδοὺς ἐφαίνετο, οὐδ' ἐλάττω μικροῖς· ἀλλὰ τὰ μὲν ἀναλωκέναι, τὰ δ' οὐ λαβεῖν, ἔφη, τὰ δ' οὐκ εἰδέναι, τὰ δὲ τὸν δεῖνα ἔχειν, τὰ δ'

[1] ἐν τῇ [2] μισθώσωσι [3] αὐτῆς. ὡμολόγει [4] ἤμελλεν [5] ἠφάνιζεν [6] τούτου [7] τότε [8] ποιῆσαι ἐπιθυμεῖν [9] συνοικήσειν

σκήψω ὡς τὰ ψευδῆ μεμαρτυρηκόσι. IDEM.

ιδ'. Εἰς ἔτος δέκατον] Ergo anno 15. ætatis nuptura fuit, cum quinquennis a patre relicta fuisset. IDEM.

Οὐδ' ἐλάττω μικροῖς] *Ut parva seu pauca de summa abessent.* IDEM.

ἔνδον εἶναι, τὰ δὲ πάντα μᾶλλον, ἢ ὅπου παρέδωκεν, εἶχε λέγειν.

ιέ. Περὶ δὲ τοῦ καταλειφθῆναι τὰ χρήματα ἔνδον, βούλομαι σαφῶς ὑμῖν ἐπιδεῖξαι ψευδόμενον· τοῦτον γὰρ τὸν λόγον καθῆκεν, ἐπειδὴ τὰ χρήματα μὲν πολλὰ [1] ἀπέφηνεν ὄντα, οὐκ εἶχε δ' ἐπιδεῖξαι ταῦθ' ὡς ἀπεδέδωκεν, ἵνα [2] ἐξεικότως οὐδὲν προσῆκον ἡμῖν φανῇ κομίζεσθαι τά γ' ὄντα παρ' ἡμῖν. εἰ μὲν οὖν ὁ πατὴρ ἠπίστει τούτοις, δῆλον ὅτι οὔτ' ἂν τἆλλα ἐπέτρεπεν, οὔτ' ἂν ἐκεῖν' οὕτω καταλιπὼν αὐτοῖς ἔφραζεν· ὥστε πόθεν ἴσασιν; εἰ δ' ἐπίστευεν, οὐκ ἂν δήπου τὰ μὲν πλεῖστ' αὐτοῖς τῶν χρημάτων ἐνεχείρισε, τῶν δ' οὐκ ἂν κυρίους ἐποίησεν, οὐδ' ἂν τῇ μὲν μητρί μου ταῦτα φυλάττειν παρέδωκεν, αὐτὴν δὲ ταύτην ἑνὶ τῶν ἐπιτρόπων [3] τούτων γυναῖκα ἠγγύησεν· οὐ γὰρ ἔχει λόγον, σῶσαι μὲν τὰ χρήματα δι' ἐκείνης ζητεῖν, ἕνα δὲ τῶν ἀπιστουμένων ταύτης [4] κἀκεῖνον κύριον ποιεῖν. ἔτι δὲ τούτων εἴ τι ἀληθὲς ἦν, οἴεσθε οὐκ ἂν αὐτὴν λαβεῖν δοθεῖσαν ὑπὸ τοῦ πατρός; ὃς τὴν μὲν [5] προῖκα αὐτῆς ἤδη, τὰς ὀγδοήκοντα μνᾶς, ἔχων, ὡς αὐτῇ συνοικήσων, τὴν Φιλωνίδου τοῦ Μελιτέως θυγατέρα ἔγημε δι' αἰσχροκέρδειαν, ἵνα, πρὸς αἷς εἶχε παρ' ἡμῶν, ἑτέρας ὀγδοήκοντα μνᾶς λάβοι παρ' ἐκείνου· τεττάρων δὲ ταλάντων ἔνδον ὄντων καὶ ταῦτα ἐκείνης ἐχού-
859 σης, ὡς οὗτός φησιν, οὐκ ἂν ἠγεῖσθε αὐτὸν κἂν ἐπιδραμεῖν, ὥστε γενέσθαι μετ' ἐκείνης [6] αὐτὸν κύριον; ἢ τὴν μὲν φανερὰν οὐσίαν, ἣν καὶ ὑμῶν πολλοὶ συνῄδεσαν, ὅτι κατελείφθη, μετὰ τῶν συνεπιτρόπων οὕτως αἰσχρῶς διήρπακεν· ὧν δ' οὐκ [7] ἐμέλλεθ' ὑμεῖς ἔσεσθαι μάρτυρες, ἀπέσχετ' ἂν, ἐξὸν αὐτῷ λαβεῖν; καὶ τίς ἂν πιστεύσειεν; οὐκ ἔστι ταῦτα, ὦ ἄνδρες δικασταί, οὐκ ἔστιν, ἀλλὰ τὰ μὲν χρήματα, ὅσα κατέλιπεν ὁ πατήρ, [8] ἐκείνῃ τῇ ἡμέρᾳ κατωρύττετο, ὅτε εἰς τὰς χεῖρας τούτων ἦλθεν· οὗτος δ' οὐκ ἔχων [9] ἂν εἰπεῖν

[1] πέφηνεν [2] ἐξ εἰκότων [3] τούτω [4] κἀκείνων [5] προῖκα τῆς μητρὸς αὐτὸς ἤδη [6] * αὐτῶν [7] ἠμέλλεθ' [8] ἐν ἐκείνῃ [9] * νῦν

ιέ. Ἵν' ἐξεικότως οὐδὲν προσῆκον ἡμῖν φανῇ κομίζεσθαι τά γ' ὄντα παρ' ἡμῖν] F. ἵν' εἰκότως, aut ἐξ εἰκότων. Ordo hic est: ἵνα κομίζεσθαι [ἀπολαβεῖν παρ' αὐτοῦ] τά γ' ὄντα παρ' ἡμῖν φανῇ ἐξ εἰκότων μηδὲν προσῆκον, τουτέστιν, ἄδικον καὶ οὐ προσῆκον. Non est constructio Attica, μηδὲν προσῆκον, ut alias, ἀντὶ τοῦ, μηδὲν προσήκοντος. Idem. ἐξ εἰκότων. Auger.

Καταλιπὼν] M. καταλείπων in praesenti. et v. 12. τούτων δὲ pro τῶν δέ, ut supra. Idem.

ὅπου τι τούτων ἀπέδωκεν, ἵν' εὔπορος εἶναι δοκῶν μηδενὸς τύχω παρ' ὑμῶν ἐλέου, τούτοις χρῆται τοῖς λόγοις.

ις'. Πολλὰ μὲν οὖν ἔγωγ' ἔχω καὶ ἄλλα τούτου κατηγορεῖν· οὐκ ἐνδέχεται δέ μοι, τῷ μάρτυρι τοῦ κινδύνου περὶ τῆς ἐπιτιμίας ὄντος, περὶ ὧν αὐτὸς ἠδίκημαι, λέγειν. ἀλλὰ βούλομαι πρόκλησιν ὑμῖν ἀναγνῶναι· γνώσεσθε γὰρ ἐξ αὐτῆς ἀκούσαντες, τὰ μεμαρτυρημένα ὡς ἔστιν ἀληθῆ, καὶ τὸν Μιλύαν ὅτι [1] νῦν περὶ πάντων φησὶν ἐξαιτεῖν, τὸ δὲ πρῶτον, ὑπὲρ τριάκοντα μόνον μνῶν ἐξήτει, καὶ [2] πρὸς, ὅτι ζημιοῦται κατὰ τὴν μαρτυρίαν οὐδέν. ἐγὼ γὰρ πανταχῇ τοῦτον ἐξελέγξαι βουλόμενος, καὶ τὰς τέχνας αὐτοῦ καὶ τὰς πανουργίας ἐμφανεῖς ὑμῖν καταστῆσαι πειρώμενος, ἠρόμην αὐτὸν, πόσα εἴη τὰ χρήματα τὸ πλῆθος, καθ' ἃ τὸν Μιλύαν ὡς [3] συνειδότα ἐξήτησεν, οὗτος δὲ ψευδόμενος περὶ πάντων ἔφησε. περὶ μὲν τοίνυν, ἔφην ἐγὼ, τούτου παραδώσω σοι τὸν ἔχοντα ταὐτίγραφα, ὡς σύ με προὐκαλέσω· προομόσαντος δέ μου τὸν ἄνθρωπον, ὡς ὡμολόγησας, ἐλεύθερον εἶναι, καὶ κατὰ Δήμωνος ἐμαρτύρησας, ἂν ἀπο- 860
μόσῃς ταὐναντία τούτων κατὰ τῆς θυγατρὸς, ἀφίημί σοι πάνθ' ὑπὲρ ὧν ἂν ἐξαιτήσας φανῇς τὸ πρῶτον βασανιζομένου τοῦ παιδὸς, καὶ [4] τοσοῦτόν σοι γενέσθω τὸ τίμημα ἔλαττον ὧν ὤφλες, καθὸ τὸν Μιλύαν ἐξήτησας, ἵνα μηδὲν ζημιωθῇς παρὰ τοὺς μάρτυρας. ταῦτ' ἐμοῦ προκαλεσαμένου πολλῶν παρόντων, οὐκ ἂν ἔφη ποιῆσαι. καίτοι ὅστις αὐτὸς αὑτῷ ταῦτ' ἔφυγε δικάσαι, πῶς ὑμᾶς χρὴ τοὺς ὀμωμοκότας, τούτῳ πειθομένους, καταγνῶναι τῶν μαρτύρων, ἀλλ' οὐ τοῦτον τὸν ἀναισχυντότατον πάντων ἀνθρώπων εἶναι νομίζειν; ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, κάλει τούτων τοὺς μάρτυρας.

[1] νῦν μὲν περὶ [2] προσέτι, ζημιοῦται [3] εἰδότα [4] τοσούτῳ

ις'. Καὶ πρὸς] S. τοῖς λοιποῖς γνώσεσθε ὅτι. Wolf. Sub. τούτοις, *praeterea*. Auger.

Προομόσαντος δέ μου] Est mistus hic locus, ἐκ τοῦ διηγηματικοῦ καὶ δραματικοῦ: qua de causa minus attentis videtur obscurior. In prima oratione hæc eadem exposita sunt. Wolf.

Κατὰ Δήμωνος] F. Δημοφῶντος, nisi pater in filii locum successerit in tutela. Idem.

Ἂν ἀπομόσῃς ταὐναντία τούτων κατὰ τῆς θυγατρὸς] Ἐὰν πίστιν ἐπιθῇς κατὰ τῆς θυγατρὸς παραστησάμενος. Idem.

Καὶ τοσοῦτόν σοι] Ἀντὶ τοῦ, τοσούτῳ. Idem.

ΜΑΡΤΥΡΕΣ.

οὐ τοίνυν ἐγὼ μὲν ταῦθ' ἕτοιμος ἦν, οἱ δὲ μάρτυρες οὐ τὴν αὐτήν μοι γνώμην εἶχον. ἀλλὰ κἀκεῖνοι παραστησάμενοι τοὺς παῖδας, ὑπὲρ ὧν ἐμαρτύρησαν, πίστιν ἐπιθεῖναι ἠθέλησαν κατ' ἐκείνων· ὁ δ' [1] οὔτ' αὐτοῖς οὔτ' ἐκείνοις οὔτ' ἐμοὶ δοῦναι τὸν ὅρκον ἠξίωσεν, ἀλλ' ἐπὶ λόγοις μεμηχανημένοις καὶ μάρτυσιν οὐ τἀληθῆ μαρτυρεῖν εἰθισμένοις τὸ πρᾶγμα καταστήσας, ἐλπίζει ῥᾳδίως ὑμᾶς ἐξαπατήσειν. λάβε οὖν αὐτοῖς καὶ ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

ιζ'. [2] Πῶς ἄν τις σαφέστερον ἐξελέγξειε συκοφαντουμένους ἡμᾶς, καὶ καταμεμαρτυρημένον τἀληθῆ, καὶ τὴν δίκην δικαίως ὠφλημένην, ἢ τοῦτον τὸν τρόπον ἐπιδεικνύς· οἰκέτην, τὸν τὴν μαρτυρίαν γράφοντα, οὐκ ἐθελήσαντα τοῦτον βασα-
861 νίζειν περὶ αὐτῶν τῶν μεμαρτυρημένων· Αἴσιον τὸν ἀδελφὸν αὐτοῦ ταῦτα μεμαρτυρηκότα, ἃ φησιν εἶναι ψευδῆ· τοῦτον αὐτὸν ταὐτὰ τοῖς μάρτυσιν, οὓς διώκει, μεμαρτυρηκότα μοι κατὰ Δήμωνος, ὄντος αὐτῷ θείου καὶ συνεπιτρόπου· τὰς θεραπαίνας οὐκ ἐθελήσανθ' ὑπὲρ τοῦ, τὸν ἄνθρωπον ἐλεύθερον εἶναι, βασανίζειν· τὴν μητέρα τὴν ἐμαυτοῦ πίστιν περὶ τούτων ἐπιθεῖναι καθ' ἡμῶν ἐθέλουσαν· τῶν ἄλλων οἰκετῶν οὐκ ἐθέλοντα τοῦτον παραλαμβάνειν [3] οὐδέν' αὐτῶν πάντ' εἰδότων μᾶλλον, ἢ Μιλύας· τῶν μαρτύρων, οἳ κατεμαρτύρουν χρήματ' ἔχειν αὐτόν, οὐδενὶ τῶν ψευδομαρτυριῶν ἐπεσκημμένον· τὴν διαθήκην οὐκ [4] ἀποδόντα, οὐδὲ τὸν οἶκον μισθώσαντα, τῶν νόμων κελευόντων· πίστιν ἐπιθεῖναι προομνύντος ἐμοῦ, καὶ τῶν

[1] [οὔτ' αὐτοῖς,] [2] Πῶς οὖν ἄν [3] οὐδένα τῶν πάντ' [4] ἀποδιδόντα

Ὁ δ' οὔτ' αὐτοῖς, οὔτ' ἐκείνοις] Qui sunt isti αὐτοί. F. οὔτ' αὐτοῖς ἐκείνοις, οὔτ' ἐμοί. Idem. οὔτ' αὐτοῖς videtur redundare et delendum. Auger.

Δοῦναι τὸν ὅρκον] Ἐπιτρέπειν ὀμνύναι. Apud Isocr. ὅρκον ἐπακτὸν διὰ δύω προφάσεις προσδέχου. Wolf.

Λάβε οὖν] F. λέγε. Idem.

ιζ'. Συκοφαντουμένους ἡμᾶς] Ὅτι συκοφαντούμεθα, καὶ ὅτι ὁ Ἄφοβος καταμεμαρτύρηται τἀληθῆ. Nisi quis τὸ καταμεμαρτυρημένον et ὠφλημένην impersonaliter malit accipere : *testimonium recte esse dictum : litem recte perditam esse.* Idem. Ante τἀληθῆ adde τοῦτον, *et contra Aphobum vera testimonia dicta esse.* Auger.

Περὶ αὐτῶν τῶν μεμαρτυρημένων Αἴσιον μεμαρτυρηκότα] Ὅτι μεμαρτύρηκεν Αἴσιος. Sic οἰκέτην οὔτ' ἐθελήσαντα τοῦτον : ὅτι οὗτος οὐκ ἠθέλησε βασανίζειν τὸν οἰκέτην. Hoc noto, ne minus attentos perturbent ἀμφιβολίαι infinitivorum cum accusativis : neve quispiam Αἴσιον μεμαρτυρηκότα exponat, Αἰσίου μεμαρτυρηκότος. Observetur in hac ἀνακεφαλαιώσει τὸ διάλυτον. Wolf.

μαρτύρων, ὥστ' ἀφεῖσθαι τοῦτον τῶν χρημάτων, καθ' ἃ τὸν Μιλύαν ἐξήτησεν, οὐκ οἰηθέντα δεῖν; μὰ τοὺς θεούς, ἐγὼ μὲν οὐκ ἂν ἔχοιμι ἐπιδεῖξαι τοῦτ' ἀκριβέστερον, ἢ τοῦτον τὸν τρόπον. οὕτω τοίνυν φανερῶς τῶν τε μαρτύρων καταψευδόμενος, καὶ ἐκ τῶν πραγμάτων μηδὲν ζημιούμενος, καὶ τὴν δίκην δικαίως ὠφληκώς, ὅμως ἀναισχυντεῖ.

ιή. Καὶ εἰ μέν, μὴ καὶ παρὰ τοῖς αὑτοῦ φίλοις καὶ παρὰ τῷ διαιτητῇ προεγνωσμένος ἀδικεῖν, τούτους ἐποιεῖτο τοὺς λόγους, ἧττον ἂν ἦν ἄξιον θαυμάζειν· νῦν δ', ἐπιτρέ-

ιή. Νῦν δὲ ἐπιτρέψαι με πείσας Ἀρχενέῳ καὶ Δρακοντίδῃ] *Nunc vero cum a me contendisset et impetrasset, ut Archeneo et Dracontidæ arbitris disceptationem controversiæ permitteremus, postea compromissum solvit, quippe qui ex ipsis compromissariis audivisset, se si jurati arbitrari cogerentur, sententiam non secundum eum laturos.* ἐπιτροπὴν *compromissum* vocat. ἐπιτρέπειν enim est *compromissum pacisci*, hoc est, unum aut plures causæ disceptatores facere, alioqui jurisdictionem ejus rei non habentes. *Arbitri* autem, id est διαιτηταὶ, judices erant, per singulas tribus lecti numero quatuor et quadraginta. Moris autem erat, ut inquit Demosth. Interpres, in locum certum arbitros convenire, copiamque sui facere et præbere cuivis queribundo, ut si ipsi sordide vel ambitiose vel offenso animo arbitrio abusi essent, in promptu responderent ei, qui se ab eis damno affectum esse conquereretur. εὐθύνεσθαι id dicitur, et εὐθύνας διδόναι, in omnesque magistratus valebat. Cicero *rationem vitæ et magistratus gesti, aut curationis actæ reposci*, Latine vocat. ἔδει γὰρ πάντας τοὺς τὰ κοινὰ διοικήσαντας, εὐθύνας διδόναι τῶν πεπραγμένων, id est, *acta sua probare magistratibus et populo. Syndicare* vernacula lingua dicitur. Verum quoniam οἱ διαιτηταὶ minora negotia administrabant, ideo ab iis αἱ εὐθύναι incipiebant. Erant autem annui judices οἱ διαιτηταί. Sunt qui tradant διαιτητὰς judices quosdam fuisse, ad quos homines litigaturi controversiarum suarum disceptationem ex compacto deferebant, apud ordinarios judices ambigere nolentes. Hujusmodi autem arbitros sexagenarios aut paulo minus esse oportebat, a quibus ii, qui judices dicuntur, appellabantur, si sententia videbatur iniqua. Quoniam autem ab iis auctoribus quos legere mihi contigit, hoc non satis liquide traditur, id addam, quod sentio. διαιτητὰς enim duorum generum fuisse, ex Demosthenis lectione collegi, hoc est, αἱρετοὺς δικαστὰς, ad quos litigaturi disceptationem controversiarum conferebant, κατ' ἐπιτροπὴν τῆς δίκης, ut hoc loco Demosthenes: et ab hujuscemodi compromisso vel arbitrio recedere licebat, duntaxat re integra: id quod ἀφεῖναι διαιταν vel ἐπιτροπὴν dicebatur. Alterum genus arbitrorum, τοὺς κατὰ κλῆρον διαιτητὰς appellabant, qui non electione litigantium, sed sortito arbitrandi potestatem habebant, et ii erant annui magistratus, ταῖς εὐθύναις ἐνεχόμενοι, ut supra dictum est. Et ut Romæ ex decuriis Prætor judices judiciorum publicorum sortiebatur, ita Athenis ex decuriis tribuum arbitri sorte dabantur ad causas privatas dijudicandas. Unde post illa verba, τούτους μὲν ἀφῆκεν ἀκούσας αὐτῶν, ὅτι εἰ μεθ' ὅρκου διαιτήσουσι, καταγνώσονται τὴν ἐπιτροπὴν, statim subdit, ἐπὶ τὸν κληρωτὸν δὲ διαιτητὴν ἐλθὼν, etc. οἱ δικασταὶ δὲ ἀκούσαντες εἰς οὓς ἐφῆκε, ταῦτα δὲ τοῖς τούτου φίλοις καὶ τῷ διαιτητῇ περὶ αὐτῶν ἔγνωσαν, καὶ δέκα ταλάντων ἐτίμησαν, id est, *Ad arbitrum igitur sorte datum quum venisset, nec diluere objecta posset, damnatus est ab arbitro. Judices porro ad quos ipse ab arbitris provocaverat, cum causam cognovissent, eadem ipsi quoque cum arbitris compromissariis istius amicis, cum ipsoque sorte dato arbitro pronunciarunt*, vel, *cum arbitro atque ejus amicis, ut compromissariis censuerunt, litemque homini talentis decem æstimaverunt.* Atque hinc intelligitur, Aphobum unum ex tutoribus decem talentis damnatum tutelæ judicio, quanti scilicet Orator litem illam in intentione libellari æstimarat: quæ verba leguntur corruptissime in libris quidem impressis, sed ea nos sic emendanda affirmamus. Quoniam igitur litem talentis decem, id est, minis sexcentis æstimarat, ἐν τῷ ἐγκλήματι τῷ αὐτοῦ, id est, *in libello intentatæ actionis*, ideo centum se minis, id est, mille aureis nostris periclitari cum infamiæ nota dixit, quæ sexta pars est æstimationis litis. Cæterum Plutarchus divitem patrem Demosthenis fuisse dicit, et in copia bonorum septem annos natum filium Demo-

ψαι με πείσας Ἀρχενέῳ καὶ Δρακοντίδῃ καὶ Φάνῳ τούτῳ τῷ νῦν ὑπ' αὐτοῦ φεύγοντι τῶν ψευδομαρτυριῶν, τούτους μὲν ἀφῆκεν, ἀκούσας αὐτῶν ὅτι, εἰ μεθ' ὅρκου ταῦτα διαι-
862 τήσουσι, καταγνώσονται τὴν ἐπιτροπὴν, ἐπὶ τὸν κληρωτὸν δὲ διαιτητὴν ἐλθὼν καὶ οὐδὲν ἔχων ἀπολύσασθαι τῶν ἐγκεκλημένων, ὤφλε τὴν δίαιταν. οἱ δικασταὶ δ' ἀκούσαντες, εἰς οὓς [1] ἔφη, καὶ ταὐτὰ καὶ τοῖς τούτου φίλοις καὶ τῷ διαιτητῇ περὶ αὐτῶν ἔγνωσαν, καὶ δέκα ταλάντων ἐτίμησαν. οὐ μὰ Δί' οὐχ ὅτι τὸν Μιλύαν ὡμολόγησεν εἶναι ἐλεύθερον — [2] τοῦτο γὰρ οὐδὲν ἦν —, ἀλλ' ὅτι, πεντεκαίδεκα ταλάντων οὐσίας μοι καταλειφθείσης, τὸν μὲν οἶκον οὐκ ἐμίσθωσε, δέκα δ' ἔτη μετὰ τῶν συνεπιτρόπων διαχειρίσας, πρὸς μὲν τὴν συμμορίαν ὑπὲρ παιδὸς ὄντος ἐμοῦ πέντε μνᾶς συνετάξατ' εἰσφέρειν, ὅσον περ Τιμόθεος ὁ Κόνωνος, καὶ οἱ τὰ μέγιστα κεκτημένοι τιμήματα εἰσέφερον, χρόνον δὲ τοσοῦτον τὰ χρήματα ταῦτα ἐπιτροπεύσας, ὑπὲρ ὧν τηλικαύτην αὐτὸς εἰσφορὰν ἠξίωσεν εἰσφέρειν, ἐμοὶ μὲν τὸ καθ' αὑτὸν οὐδ' εἴκοσι μνῶν ἄξια παρέδωκε, μετὰ δ' ἐκείνων ὅλα τὰ κεφάλαια καὶ τὰς ἐπικαρπίας ἀπεστέρησε. θέντες οὖν οἱ δικασταὶ τοῖς πᾶσι χρήμασιν, [3] οὐδ' ἐφ' ὅσῳ μισθοῦσι τοὺς οἴκους, τόκον, ἀλλ' ὃς ἦν ἐλάχιστος, εὗρον τὸ σύμπαν πλέον ἢ τριάκοντα τάλαντα αὐτοὺς ἀποστεροῦντας· διὸ τούτῳ τῶν δέκα ταλάντων ἐτίμησαν.

[1] ἐφῆκε, ταὐτὰ [2] τοῦτο μὲν γὰρ [3] οὐκ

sthenem reliquisse, ἀπολειφθεὶς δ' ὁ Δημοσθένης ὑπὸ τοῦ πατρὸς ἑπταέτης ἐν εὐπορείᾳ, μικρὸν γὰρ ἀπέλιπεν ἡ σύμπασα τίμησις αὐτοῦ τῆς οὐσίας πεντεκαίδεκα ταλάντων, ὑπὸ τῶν ἐπιτρόπων ἠδικήθη. *Relictus autem a patre Demosthenes septennis in abundanti patrimonio (ut quod omnibus supputatis paulo minus quindecim talentis æstimaretur) a tutoribus per injuriam fortunis eversus est, cum partem bonorum ejus in rem suam verterent, partem per incuriam perderent, ita ut ne præceptoribus quidem ejus mercedem docendi solverent.* Quindecim talenta novem millia aureorum nostrorum valent. Ita quæ summa Romæ post spoliatum orbem a Romanis, Æsopi patinam æquare non potuisset, Athenis divitiarum nomine censebatur. Ex Commentariis Budæi, et lib. 5. de Asse. *Ex edit.* HERVAG.

Ἐπὶ τὸν κληρωτὸν δὲ διαιτητὴν] Ergo et αἱρετοὶ et κληρωτοὶ διαιτηταὶ fuerunt. WOLF. Recte Harpocration h. l. τοὺς διαιτητὰς ait κλήρῳ πρότερον λαχόντας, ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κεινομένων, τοῖς κρινομένοις διαιτῆσαι. *Herald. Animadv. in Salmas. Obss. ad Jus A. et R.* l. V. c. XIV. p. 371. Vid.

Εἰς οὓς ἔφη καὶ ταῦτα καὶ τοῖς] F. εἰς οὓς ἔφυγε, [vel ἔφηγε, in farragine] ταῦτα καὶ τοῖς. Hoc enim et constructio et sententia postulat, etsi ἐφῆκε fortassis: et hoc est verius, unde ἔφεσις. WOLF.

Θέντες οὖν οἱ δικασταὶ τοῖς πᾶσι χρήμασι τόκον, οὐκ ἐφ' ὅσῳ μισθοῦσι τοὺς οἴκους] Θεῖναι τοῖς χρήμασι τόκον loquendi modus est: *constituere, quantum usuræ nomine de pecunia sit exigendum.* IDEM. M. ἐπιδέντες, vel προσθέντες. AUGER.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΟΝΗΤΟΡΑ ΕΞΟΥΛΗΣ ΛΟΓΟΥ.

Pag. ed. Reisk.

ΑΦΟΒΟΣ, μέλλοντος αὐτῷ Δημοσθένους τὰς τῆς ἐπιτροπῆς δίκας λαγχάνειν, ἔγημεν Ὀνήτορος 863
ἀδελφὴν ἐκδοθεῖσαν αὐτῷ ὑπὸ Τιμοκράτους τοῦ πρότερον ἀνδρὸς, ἐπειδὴ ἐκεῖνος ἐπίκληρον λαμβάνειν ἤμελλε. μετὰ δὲ ταῦτα Ὀνήτωρ, ἤδη φεύγοντος Ἀφόβου τὴν τῆς ἐπιτροπῆς δίκην, ὡς ὁ ῥήτωρ ἀποδείκνυσι, πλασάμενος [1]ἀπολείψειν τὴν ἀδελφὴν παρ' [2]ἑαυτῷ ἀπήγαγεν. ἐπεὶ δὲ Ἀφοβος ἐάλω, ἐπὶ τὴν οὐσίαν αὐτοῦ τὸν ῥήτορα ἀφικνούμενον καὶ εἰς τὰ χωρία εἰσιόντα ἐξήλασεν Ὀνήτωρ, φάσκων, τῆς ἀδελφῆς εἶναι τὰ χωρία, εἰς τὴν προῖκα ἀποτιμηθέντα. διόπερ ἐξούλης αὐτῷ δικάζεται ὁ Δημοσθένης, ὡς ἐκ τῶν Ἀφόβου πρότερον, νῦν δὲ ἑαυτῷ γεγενημένων, ἐξεληλαμένος, φάσκων, οὐκ εἰληφέναι τὴν προῖκα Ἀφοβον, ἀλλὰ τὴν γυναῖκα μόνον· τὴν γὰρ προῖκα μὴ βουληθῆναι Ὀνήτορα, διότι κινδυνεύοντα τὸν Ἀφοβον ἑώρα καὶ τὴν οὐσίαν αὐτοῦ. νῦν οὖν, φησὶ, πλαστὴ μὲν ἡ ἀπόλειψις, ὑπὲρ δὲ ὧν οὐκ εἴληφεν Ἀφοβος, τὸ χωρίον ἀποτετίμηται ἐπ' ἀποστέρησει τῶν ἐμῶν. τὸ δὲ τῆς ἐξούλης ὄνομα, Ἀττικόν. ἐξέλλειν γὰρ ἔλεγον τὸ ἐξωθεῖν καὶ ἐκβάλλειν βίᾳ.

[1] ἀπόλειψιν

[2] ἑαυτὸν

Πλασάμενος ἀπολείψειν τὴν ἀδελφὴν παρ' ἑαυτῷ ἀπήγαγεν] Πλασάμενος, τὴν ἀδελφὴν ἀπολείψειν [S. τὸν ἄνδρα] ἀπήγαγε [αὐτὴν] παρ' ἑαυτῷ. Legi queat, et haud scio, an debeat, πλασάμενος ἀπόλειψιν, τὴν ἀδελφὴν παρ' ἑαυτὸν ἀπήγαγεν. Wolf.

Μὴ βουληθῆναι] V. A. προέσθαι Ὀνήτορα. Idem.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ ΟΝΗΤΟΡΟΣ ΕΞΟΥΛΗΣ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

ά. ΠΕΡΙ πολλοῦ ποιούμενος, ὦ ἄνδρες δικασταὶ, μήτε 864
πρὸς Ἀφοβόν μοι συμβῆναι τὴν γενομένην διαφορὰν, μήτε τὴν νῦν οὖσαν πρὸς Ὀνήτορα τουτονὶ κηδεστὴν ὄντα αὐτοῦ, πολλὰ καὶ δίκαια προκαλεσάμενος ἀμφοτέρους, οὐδενὸς ἠδυνήθην τυχεῖν τῶν μετρίων, ἀλλ' εὕρηκα πολὺ τοῦτον ἐκείνου [1]δυσκολώτερον καὶ μᾶλλον ἄξιον ὄντα δοῦναι δίκην.

[1] δυσκολώτερον ὄντα καὶ μᾶλλον ἄξιον δοῦναι

τὸν μὲν γὰρ, οἰόμενος δεῖν ἐν τοῖς φίλοις διαδικάσασθαι τὰ πρὸς ἐμὲ καὶ μὴ λαβεῖν ὑμῶν πεῖραν, οὐχ οἷός τ' ἐγενόμην πεῖσαι· τοῦτον δ' αὐτὸν αὑτῷ κελεύων γενέσθαι δικαστὴν, ἵνα μὴ παρ' ὑμῖν κινδυνεύσῃ, τοσοῦτον κατεφρονήθην, ὥςτ' οὐχὶ μόνον λόγου τυχεῖν οὐκ ἠξιώθην, ἀλλὰ καὶ ἐκ τῆς γῆς, ἣν Ἄφοβος ἐκέκτητο ὅτε ὠφλίσκανέ μοι τὴν δίκην, ὑβριστικῶς ὑπ' αὐτοῦ πάνυ ἐξεβλήθην. ἐπειδὴ οὖν [1] ἀποστερεῖταί με τῶν ὄντων, τῷ αὑτοῦ κηδεστῇ πιστεύων τε εἰς ὑμᾶς εἰσελήλυθε ταῖς ἑαυτοῦ παρασκευαῖς, ὑπόλοιπόν [2] ἐστιν ἡμῖν πειρᾶσθαι παρ' αὐτοῦ τῶν δικαίων τυγχάνειν. οἶδα μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, ὅτι μοι πρὸς παρασκευὰς λόγων καὶ μάρτυρας οὐ τἀληθῆ μαρτυρήσοντας ὁ ἀγών ἐστιν· ὅμως μέντοι [3] τοσοῦτ' οἶμαι διοίσειν τῷ δικαιότερα τούτου λέγειν, ὥςτ', εἰ καί τις ὑμῶν πρότερον τοῦτον ἡγεῖτο εἶναι μὴ πονηρὸν, ἔκ γε τῶν πρὸς ἐμὲ πεπραγμένων
865 [4] γνώσεσθ', ὅτι καὶ τὸν παρεληλυθότα χρόνον ἐλάνθανεν αὐτὸν κάκιστος ὢν καὶ ἀδικώτατος πάντων. ἀποδείξω γὰρ αὐτὸν, οὐ μόνον τὴν προῖκα οὐ δεδωκότα, ἧς φησὶ νῦν ἀποτιμήσασθαι τὸ χωρίον, ἀλλὰ καὶ ἐξ ἀρχῆς τοῖς ἐμοῖς ἐπιβουλεύσαντα, καὶ πρὸς τούτοις, τὴν μὲν γυναῖκα οὐκ ἀπολελοιπυῖαν ὑπὲρ ἧς ἐξήγαγέ με ἐκ ταύτης τῆς γῆς, προϊστάμενον δ' ἐπ' ἀποστερήσει τῶν ἐμῶν Ἀφόβου καὶ τούτους ὑπομένοντα τοὺς ἀγῶνας, οὕτω μεγάλοις τεκμηρίοις καὶ φανεροῖς ἐλέγχοις, ὡςθ' ὑμᾶς πάντας εἴσεσθαι σαφῶς,

[1] * συναποστερεῖ τέ με τ. ὄ. τ. αὐ. κηδεστῇ, [2] ἐστιν ἐν ὑμῖν [3] τοσοῦτον οἶμαι [4] γνώσεται

ά. Δεῖν ἐν τοῖς φίλοις διαδικάσασθαι τὰ πρὸς ἐμὲ] Id est, *oportere de rebus inter me et illum controversis arbitrium amicis permittere*, hoc est, *judices amicos ferre*. Budæus.

Τῷ αὐτοῦ κηδεστῇ] Lego τῷ τε αὐτοῦ κηδεστῇ πιστεύων εἰς ὑμᾶς εἰσελήλυθε καὶ ταῖς ἑαυτοῦ. Wolf.

Ὑπόλοιπόν ἐστιν ἡμῖν πειρᾶσθαι παρ' αὐτοῦ] F. πειρᾶσθαι δι' ὑμῶν παρ' αὐτοῦ. Idem.

Ἀποδείξω ——— τὸ χωρίον] *Ostendam enim eum eam dotem non dedisse, cujus nomine se nunc affirmat prædium oppigneratum accepisse*. Et ἀποτιμηθὲν εἰς προῖκα χωρίον a Demosthene dicitur, *quod maritus oppigneravit in eum casum quo casu restituenda dos erit, certa pecunia æstimatum*, vel *ipsi marito pro pignore dotis datum*, utrorumque enim significare potest. Est autem τοῦ δόντος ἀποτιμᾶν, καὶ τοῦ λαβόντος ἀποτιμᾶσθαι, ut ὑποθεῖναι et ὑποθέσθαι. Idem [§. θ'.] καίτοι δεινὸν etc. *Atqui non consentaneum est, hunc quidem dicere se pignori accepisse fundum: illum autem quem sibi dedisse perhibet, eum ipsum fundum palam videri colere et arare*. Construitur autem verbum utraque voce (sc. ἀποτιμᾶσθαι *æstimatum accipere*, et ἀποτιμᾶν *dare æstimatum*,) cum genitivo, ut apud eundem, τὸ δὲ χωρίον φησὶν ἀποτετιμῆσθαι ταλάντου. *In Comment. L. Gr.* Budæus. Vid. Herald. Animadv. in Salmas. Obss. ad Jus A. et R. l. III. c. VI. §. XI. sqq.

Προϊστάμενον] *Profectum esse ab Aphobo ut agat*. Auger.

ὅτι δικαίως καὶ προσηκόντως οὗτος φεύγει ταύτην ὑπ' ἐμοῦ τὴν δίκην. ὅθεν δὲ ῥᾷστα μαθήσεσθε περὶ αὐτῶν, ἐντεῦθεν ὑμᾶς καὶ ἐγὼ πρῶτον πειράσομαι διδάσκειν.

β'. Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, πολλούς τε ἄλλους Ἀθηναίων καὶ τοῦτον οὐκ ἐλάνθανον κακῶς ἐπιτροπευόμενος, ἀλλ' ἦν καταφανὴς εὐθὺς ἀδικούμενος· τοσαῦται πραγματεῖαι καὶ λόγοι καὶ παρὰ τῷ ἄρχοντι καὶ παρὰ τοῖς ἄλλοις ἐγίγνοντο ὑπὲρ τῶν ἐμῶν. τό τε γὰρ πλῆθος τῶν καταλειφθέντων ἦν φανερὸν, ὅτι τ' ἀμίσθωτον τὸν οἶκον ἐποίουν οἱ διαχειρίζοντες, ἵν' αὐτοὶ τὰ χρήματα καρπῶοῖντο, οὐκ ἄδηλον ἦν. ὥστ' ἐκ τῶν γιγνομένων οὐκ ἔσθ' ὅστις οὐχ ἡγεῖτο τῶν εἰδότων δίκην με λήψεσθαι παρ' αὐτῶν, ἐπειδὰν τάχιστα ἀνὴρ εἶναι δοκιμασθείην· ἐν οἷς καὶ Τιμοκράτης καὶ Ὀνήτωρ ταύτην ἔχοντες διετέλεσαν τὴν διάνοιαν. τεκμήριον δὲ πάντων μέγιστον. οὗτος γὰρ [1]ἐβουλήθη μὲν Ἀφόβῳ δοῦναι τὴν ἀδελφὴν, ὁρῶν τῆς τε αὐτοῦ πατρῴας οὐσίας καὶ τῆς ἐμῆς οὐκ ὀλίγης αὐτὸν κύριον γεγενημένον, προέσθαι δὲ τὴν προῖκα οὐκ ἐπίστευσεν, ὥσπερ εἰ τὰ τῶν ἐπι- 866
τροπευόντων χρήματα [2]ἀπότιμα τοῖς ἐπιτροπευομένοις καθεστάναι νομίζων· ἀλλὰ τὴν μὲν ἀδελφὴν ἔδωκε, τὴν δὲ προῖκα αὐτῷ Τιμοκράτης ἐπὶ πέντε ὀβολοῖς ὀφειλήσειν ὡμολόγησεν, ᾧ πρότερον ἡ γυνὴ συνοικοῦσα ἐτύγχανεν. ὄφλοντος δέ μοι τὴν δίκην Ἀφόβου τῆς ἐπιτροπῆς καὶ οὐδὲν δίκαιον ποιεῖν ἐθέλοντος, διαλύειν μὲν ἡμᾶς Ὀνήτωρ οὐκ ἐπεχείρησεν· οὐκ ἀποδεδωκὼς δὲ τὴν προῖκα, ἀλλ' αὐτὸς κύριος ὢν, ὡς ἀπολελοιπυίας τῆς ἀδελφῆς, καὶ δοὺς κομίσασθαι οὐ δυνάμενος, ἀποτιμήσασθαι φάσκων τὴν γῆν, ἐξάγειν με ἐξ αὐτῆς ἐτόλμησε. τοσοῦτον καὶ ἐμοῦ καὶ ὑμῶν καὶ τῶν κειμένων νόμων κατεφρόνησε.

γ'. Καὶ τὰ μὲν γενόμενα, δι' ἃ φεύγει τὴν δίκην καὶ περὶ ὧν οἴσετε τὴν ψῆφον, ταῦτ' ἐστὶν, ὦ ἄνδρες δικασταί· παρέξομαι δὲ μάρτυρα, πρῶτον μὲν αὐτὸν τὸν Τιμοκράτην, ὡς ὡμολόγησεν ὀφειλήσειν τὴν προῖκα καὶ τὸν τόκον ἀπεδίδου τῆς προικὸς Ἀφόβῳ κατὰ τὰς ὁμολογίας, ἔπειθ' ὡς

[1] ἠβουλήθη [2] ἀποτίμημα

β'. Ὥσπερεὶ τὰ τῶν ἐπιτροπευόντων χρημάτων ἀπότιμα] Χρήματ' ἀποτίμημα. et, v. 30. δι' ἃ φεύγει τὴν δίκην. et, p. 455. v. 6. δῆλον δὲ καὶ ἐκ τῶν ἑξῆς. Wolf.

αὐτὸς Ἄφοβος ὡμολόγει κομίζεσθαι τὸν τόκον παρὰ Τιμοκράτους. καί μοι λάβε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

ἐξ ἀρχῆς μὲν τοίνυν ὁμολογεῖται μὴ δοθῆναι τὴν προῖκα, μηδὲ γενέσθαι κύριον αὐτῆς Ἄφοβον.

δ'. Δῆλον δὲ καὶ ἐκ τῶν εἰκότων, ὅτι τούτων ἕνεκα, ὧν εἴρηκα, ὀφείλειν εἵλοντο μᾶλλον, ἢ καταμῖξαι τὴν προῖκα εἰς τὴν οὐσίαν τὴν Ἀφόβου, τὴν οὕτω διακινδυνευθήσεσθαι μέλλουσαν. οὔτε γὰρ δι' ἀπορίαν οἷόν τε εἰπεῖν ὡς οὐκ εὐθὺς ἀπέδοσαν· Τιμοκράτει τε γάρ ἐστιν οὐσία πλέον ἢ
867 δέκα ταλάντων, Ὀνήτορί τε πλέον ἢ τριάκοντα, ὥστ' οὐκ ἂν διὰ τοῦτό γ' εἶεν οὐκ εὐθὺς δεδωκότες. οὔτε κτήματα μὲν ἦν αὐτοῖς, ἀργύριον δ' οὐκ ἔτυχε παρὸν, ἡ γυνὴ δὲ ἐχήρευε, διὸ πρᾶξαι ταῦτ' ἠπείχθησαν οὐχ ἅμα τὴν προῖκα διδόντες· ἀργύριόν τε γὰρ οὗτοι δανείζουσιν ἄλλοις οὐκ ὀλίγον, συνοικοῦσάν τε ταύτην ἀλλ' οὐ χηρεύουσαν παρὰ Τιμοκράτους ἐξέδοσαν, ὥστε οὐδ' ἂν ταύτην τὴν σκῆψιν εἰκότως αὐτῶν τις ἀποδέξαιτο. [1] καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταὶ, κἀκεῖνο πάντες ἂν ὁμολογήσαιτε, ὅτι, τοιοῦτο πρᾶγμα συναλλάττων ὁστιοῦν, ἕλοιτ' ἂν ἑτέρῳ μᾶλλον ὀφείλειν, [2] οὐ κηδεστῇ, τὴν προῖκα, μηδὲ ἀποδοῦναι. μὴ διαλυσάμενος μὲν γὰρ γίνεται χρήστης ἄδηλος, εἶτ' ἀποδώσει δικαίως εἴτε μή· μετὰ δὲ τῆς γυναικὸς τἀκείνης ἀποδοὺς, οἰκεῖος καὶ κηδεστής. ἐν οὐδεμιᾷ γάρ ἐστιν ὑποψίᾳ τὰ δίκαια πάντα ποιήσας, ὡς θ', οὕτω τοῦ πράγματος ἔχοντος, καὶ τούτων οὐδὲ καθ' ἓν ὧν εἶπον ὀφείλειν ἀναγκασθέντων οὐδὲ βουληθέντων ἂν, οὐκ ἔστ' εἰπεῖν ἄλλην πρόφασιν, δι' ἣν οὐκ ἀπέδοσαν· ἀλλ' ἀνάγκη ταύτην εἶναι τὴν αἰτίαν, δι' ἣν δοῦναι τὴν προῖκα οὐκ ἐπίστευσαν.

ε'. Ἐγὼ τοίνυν ὁμολογουμένως οὕτω ταῦτ' [3] ἐλέγχω. ὡς δ' οὐδ' ὕστερον ἀπέδοσαν, [4] οἶμαι ῥᾳδίως ἐπιδείξειν ἐξ αὐ-

[1] καὶ μὴν, ὦ [2] ἢ [3] ἐλέγχων, ὡς οὐδ' ὕστερον [4] οἴομαι

γ'. Ἐξαρχῆς μὲν τοίνυν ὁμολογεῖται, μὴ δοθῆναι τὴν προῖκα] Utrum ἐξαρχῆς ὁμολογεῖται, an ἐξαρχῆς μὴ δοθῆναι; Constat igitur, dotem principio non esse numeratam. IDEM.

δ'. Οὐ κηδεστῇ τὴν προῖκα] Τὸ οὐ præcedentibus comparativis sæpe pro ἢ videtur scribi. IDEM. Vel οὐ accipi debet pro *quam*, vel mutari in ἤ. ibid. μηδὲ pro μή. AUGER.

τῶν τῶν πεπραγμένων· ὥς-θ' ὑμῖν γενέσ-θαι φανερὸν, ὅτι, κἂν εἰ μὴ ἐπὶ τούτοις, ἀλλ' ἐπὶ τῷ διὰ ταχέων ἀποδοῦναι, τἀργύριον εἶχον, οὐκ ἄν ποτ' ἀπέδοσαν, οὐδ' ἂν [1] προεῖντο. τοιαύτας ἀνάγκας εἶχεν αὐτοῖς τὸ πρᾶγμα. δύο μὲν γὰρ ἦν ἔτη [2] τὰ μεταξὺ τοῦ συνοικῆσαί τε τὴν γυναῖκα, καὶ φῆσαι τούτους πεποιῆσθαι τὴν ἀπόλειψιν· ἐγήματο μὲν 868
γὰρ ἐπὶ Πολυζήλου ἄρχοντος Σκιροφοριῶνος μηνὸς, ἡ δ' ἀπόλειψις ἐγράφη Ποσειδεῶνος μηνὸς ἐπὶ Τιμοκράτους. ἐγὼ δ' εὐθὺς μετὰ τοὺς γάμους δοκιμασθεὶς, ἐνεκάλουν καὶ λόγον ἀπῄτουν· καὶ, πάντων ἀποστερούμενος, τὰς δίκας ἐλάγχανον ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος. ὁ δὲ χρόνος οὗτος ὀφειλῆσαι μὲν ἐνδέχεται κατὰ τὰς ὁμολογίας, ἀποδοῦναι δ' οὐκ ἔχει πίστιν· ὃς γὰρ διὰ ταῦτ' ἐξ ἀρχῆς ὀφείλειν εἵλετο [3] καὶ τόκον φέρειν, ἵνα μὴ κινδυνεύοι ἡ προῖξ μετὰ τῆς ἄλλης οὐσίας, πῶς οὗτος ἂν ἀπέδωκεν ἤδη τὴν δίκην φεύγοντος, ὃς εἰ καὶ [4] τοῦτ' ἐπίστευσε, τηνικαῦτ' ἂν ἀπολαβεῖν ἐζήτησεν; οὐκ ἔνεστι δήπου-θεν, ὦ ἄνδρες δικασταί· ἀλλὰ μὴν ὡς ἐγήματο μὲν ἡ γυνὴ καθ' ὃν ἐγὼ λέγω χρόνον, ἀντίδικοι δ' ἡμεῖς ἤδη πρὸς ἀλλήλους ἐν τῷ μεταξὺ χρόνῳ κατέστημεν, ὕστερον [5] δ' ἐγὼ τὴν δίκην ἔλαχον, τὴν [6] δὲ ἀπόλειψιν οὗτοι πρὸς τὸν ἄρχοντ' ἀπεγράψαντο, λάβε μοι καθ' ἕκαστον ταύτας τὰς μαρτυρίας.

[1] προέντο
[2] Deest articulus.
[3] καὶ τὸν τόκον
[4] τότ'
[5] δ' ἡ ἐγὼ
[6] Deest δέ.

ε. Ὅτι κἂν εἰ μὴ ἐπὶ τούτοις, ἀλλ' ἐπὶ τῷ διὰ ταχέων ἀποδοῦναι τἀργύριον εἶχον]. εἰ μὴ ἐπὶ τούτοις εἶχον. *Si non ob hæc pecuniam retinerent: ἀλλ' εἰ εἶχον ἐπὶ τῷ ἀποδοῦναι τἀργύριον διὰ ταχέων. Si id egissent, ut pecuniam quamprimum redderent:* non satis placent, nec invenio quicquam melius. [Pro εἶχον f. εἵλοντο in farragine.] Wolf. Lego et distinguo: *μὴ ἐπὶ τούτοις, ἀλλ' ἐπὶ τῷ οὐ διὰ ταχέων ἀποδοῦναι, τἀργύριον εἶχον, etiamsi - - - pecuniam retinuissent.* Deinde τότε pro ποτε. Auger.

Τοιαύτας ἀνάγκας] Nec ἀναβολὰς placet. Wolf.

Δύο μὲν γὰρ ἔτη —— Τιμοκράτους] Corruptus ille locus, scribendumque τρία μὲν γὰρ ἔτη. Nam inter Polyzeli et Timocratis magistratum anni intercedunt duo; suntque a Scirophorione mense istius, ad Posideonem hujus, anni tres, et menses septem. Annis duobus intermediis magistratum tenuere Cephisodorus et Chion, uti clarum e Diodoro, et, qui illum Auctorem sequitur, Anonymo. Itaque corrigendus alter Demosthenis locus, qui mox sequitur [p. 457. v. 2.] Μετὰ τοίνυν τοῦτον τὸν ἄρχοντα (τὸν Πολύζηλον) Κηφισόδωρος, καὶ Χίων. Hodie non recte editur: Κηφισόδωρος Χίων. Ac minus recte vir insignis, Hier. Wolfius, tentabat: Κηφισόδωρος ἄρχων. L. IV. c. IV. *De Arch. Athen.* Meursius.

Δοκιμασθεὶς] Hoc loco per δοκιμασθεὶς intelligo *tutelæ exemptus, vir judicatus, mei juris factus.* Palmer.

Φεύγοντος] Sub. τοῦ Ἀφόβου. Auger.

Ὃς εἰ καὶ τοῦτ'] Lego τότ' ἐπίστευσεν. Wolf.

ΜΑΡΤΥΡΙΑΙ.

μετὰ τοίνυν τοῦτον τὸν ἄρχοντα, Κηφισόδωρος, Χίων. ἐπὶ τούτων ἐνεκάλουν δοκιμασθείς· ἔλαχον δὲ τὴν δίκην ἐπὶ Τιμοκράτους. λάβε μοι ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

ἀνάγνωθι δὲ καὶ ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

δῆλον μὲν [1] τοίνυν ἐκ τῶν μεμαρτυρημένων, ὅτι τὴν προῖκα οὐ δόντες, ἀλλ' ἐπὶ τῷ διασώζειν Ἀφόβῳ τὴν οὐσίαν, ταῦτα τολμῶσι πράττειν. οἱ γὰρ ἐν τοσούτῳ χρόνῳ καὶ ὀφει-
69 λῆσαι καὶ ἀποδοῦναι καὶ οὐ κομίσασθαι καὶ τὴν γυναῖκ' ἀπολιπεῖν καὶ τὸ χωρίον ἀποτιμήσασθαί φασι, πῶς οὐ φανερὸν ὅτι, προστάντες τοῦ πράγματος, τὰ γνωσθέντα ὑφ' ὑμῶν ἀποστρῆσαί με ζητοῦσιν;

ϛ'. Ὡς δὲ καὶ ἐξ ὧν αὐτὸς οὗτος καὶ Τιμοκράτης καὶ Ἄφοβος ἀπεκρίναντο, οὐχ οἷόν τε ἀποδεδόσθαι τὴν προῖκα, ταῦτ' ἤδη πειράσομαι διδάσκειν ὑμᾶς. ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, τούτων ἕκαστον ἠρόμην πολλῶν ἐναντίον μαρτύρων· Ὀνήτορα μὲν καὶ Τιμοκράτην, οἵτινες εἶεν μάρτυρες ὧν ἐναντίον τὴν προῖκα ἀπέδοσαν, αὐτὸν δὲ Ἄφοβον, οἵτινες παρῆσαν [2] ὅταν ἐλάμβανε. καί μοι πάντες ἀπεκρίναντο

[1] τοίνυν καὶ ἐκ

[2] ὅτ' ἀπελάμβανε

ΜΑΡΤΥΡΙΑΙ] F. ΜΑΡΤΥΡΙΑ, in singulari numero. AUGER.

Κηφισόδωρος Χίων] Lege distinctim Κηφισόδωρος, Χίων. Nam Χίων est nomen Archontis, qui successit Cephisodoro, et eum magistratum gesserunt annis tertio et quarto Olymp. centesimæ tertiæ. PALMER.

Κηφισόδωρος Χίων] F. ἄρχων ἐπὶ τούτου. Observa, [quod et in argumento orationis περὶ Στεφάνου annotatum est] sæpe longum tempus intercessisse, antequam causa apud judices ageretur, relata jam ad prætorem. et p. 458. v. 3. καίτοι τῷ τοῦθ' ὑμῶν πιστόν. et v. 6. ἀλλ' οὐδὲ μετὰ πολλῶν μαρτύρων. et v. 14. καὶ τούτου ὄνπερ ἐναντίον. et v. 23. μάρτυρας γένεσι μὴ προσήκοντας. et v. 24. ὑμᾶς αὐτοῖς πιστεύσειν. et v. 25. ὅτι τοὺς ἀπενεγκόντας οἰκέτας ἐξαιτήσαντές μου μὴ γεγενημένης τῆς ἀποδόσεως. WOLF.

Χίων] Quid hic significet χίων ignoro, et hanc vocem omisi in interpretatione mea. AUGER.

Προστάντες τοῦ πράγματος] Dixit pro *alienæ liti se opponentes ultro, et causam pro alio recipientes*, ut homines circumforanei loquuntur. Hoc enim de iis dicitur, quos eventum litium præstare necesse est, si de causæ defensione appellentur, ut ad eos præcipue pertinente. Ut verbi gratia, si emptor a quo res empta vindicatur, venditorem suum in judicium evictionis vocet, auctoritatisque asserendæ nomine cum eo experiri instituerit, vel eidem in judicium vocato denunciarit controversiam sibi notam emptæ rei nomine: tunc enim venditor, nisi liti intercesserit defensoremque se exhibuerit, litis eventum æstimationemque præstabit. BUDÆUS.

καθ' ἕκαστον, ὅτι οὐδεὶς μάρτυς παρείη, κομίζοιτο δὲ λαμβάνων καθ' ὁποσονοῦν δέοιτ' Ἄφοβος παρ' αὐτῶν. καί τοι τῷ τοῦτο ὑμῶν πιστὸν, ὡς, ταλάντου τῆς προικὸς οὔσης, ἄνευ μαρτύρων Ὀνήτωρ καὶ Τιμοκράτης Ἀφόβῳ τοσοῦτον ἀργύριον ἐνεχείρισαν; ᾧ μὴ ὅτι τοῦτον τὸν τρόπον, ἀλλ' οὐδὲ μετὰ πολλῶν μαρτύρων ἀποδιδοὺς εἰκῇ τις ἂν ἐπίστευσεν, ἵν', εἴ τις γένοιτο διαφορὰ, κομίσασθαι ῥᾳδίως παρ' ὑμῖν δύνηται. μὴ γὰρ ὅτι πρὸς [1]τὸν τοιοῦτον ὄντα, ἀλλ' οὐδὲ πρὸς ἄλλον οὐδ' ἂν εἷς οὐδένα τοιοῦτον συνάλλαγμα ποιούμενος, ἀμαρτύρως ἂν ἔπραξεν· ἀλλὰ τῶν τοιούτων ἕνεκα καὶ γάμους ποιοῦμεν καὶ τοὺς ἀναγκαιοτάτους παρακαλοῦμεν, ὅτι οὐ πάρεργον, ἀλλ' ἀδελφῶν καὶ θυγατέρων βίους ἐγχειρίζομεν, ὑπὲρ ὧν τὰς ἀσφαλείας μάλιστα σκοποῦμεν. εἰκὸς τοίνυν καὶ τοῦτον, ὥνπερ ἐναντίον ὀφείλειν ὡμολόγησε καὶ τὸν τόκον οἴσειν, τῶν αὐτῶν τούτων παρόντων διαλύσασθαι πρὸς Ἄφοβον, εἴ περ ὡς 870
ἀληθῶς ἀπεδίδου τὴν προῖκ' αὐτῷ· τοῦτον μὲν γὰρ τὸν τρόπον πράξας ὅλου τοῦ πράγματος ἀπηλλάττετο, μόνος μόνῳ δ' [2]ἀποδοὺς, τοὺς ἐπὶ ταῖς ὁμολογίαις παραγενομένους, ὡς κατ' ὀφείλοντος ἂν αὐτοῦ μάρτυρας ὑπελείπετο. νῦν τοίνυν τοὺς μὲν ὄντας οἰκείους καὶ βελτίους αὐτῶν οὐκ ἠδύναντο πεῖσαι τὴν προῖκ' ἀποδεδωκέναι [3]σφᾶς μαρτυρεῖν, ἑτέρους δ' εἰ παρέχοιντο μάρτυρας μηδὲν γένει προσήκοντας, οὐκ ἂν ἡγοῦνθ' ὑμᾶς αὐτοῖς πιστεύειν. ἔτι δ' ἀθρόαν μὲν φάσκοντες δεδωκέναι τὴν προῖκα, ᾤδεσαν, ὅτι τοὺς ἀπενεγκόντας οἰκέτας ἐξαιτήσομεν, οὓς, μὴ γεγενημένης τῆς δόσεως, παραδοῦναι μὴ θέλοντες, ἠλέγχοντ' ἄν· εἰ δ' αὐτοὶ μόνοι μόνῳ τοῦτον τὸν τρόπον δεδωκέναι λέγοιεν, ἐνόμιζον οὐκ ἐλεγχθήσεσθαι. διὰ τοῦτο τοῦτον εἵλοντο ἐξ ἀνάγκης ψεύδεσθαι τὸν τρόπον. τοιαύταις τέχναις καὶ πανουργίαις, ὡς ἁπλοῖ τινὲς εἶναι δόξαντες, ἡγοῦνται ῥᾳδίως ὑμᾶς ἐξαπατήσειν, ἁπλῶς οὐδ' ἂν μικρὸν ὑπὲρ τῶν διαφερόντων, ἀλλ' ὡς οἷόν τε ἀκριβέστατ' ἂν πράξαντες. λάβε τὰς μαρτυρίας αὐτοῖς, ὧν ἐναντίον ἀπεκρίναντο, καὶ ἀνάγνωθι.

[1] τὸν] τοῦτον [2] ἀποδιδοὺς [3] σφᾶς

ς'. Ἁπλᾶς οὐδ' ἂν μικρὸν] F. ἁπλᾶς οὐδὲν μικρῶν ὑπὲρ τῶν διαφερόντων. Wolf.

ΜΑΡΤΥΡΙΑΙ.

ζ'. Φέρε δή, ὦ ἄνδρες δικασταί, καὶ τὴν γυναῖκα ὑμῖν [1]ἀποδείξω, λόγῳ μὲν ἀπολελοιπυῖαν, ἔργῳ δὲ συνοικοῦσαν Ἀφόβῳ. νομίζω γάρ, ἂν τοῦτ' ἀκριβῶς μάθητε, μᾶλλον ὑμᾶς τούτοις μὲν διαπιστήσειν, ἐμοὶ δ' ἀδικουμένῳ τὰ δίκαια βοηθήσειν. μάρτυρας δὲ τῶν μὲν ὑμῖν παρέξομαι, τῶν δ' ἐπιδείξω μεγάλα τεκμήρια καὶ πίστεις ἱκανάς.

371 η'. Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, μετὰ τὸ γεγράφθαι παρὰ τῷ ἄρχοντι ταύτην τὴν γυναῖκα ἀπολελοιπυῖαν καὶ τὸ φάσκειν Ὀνήτορα ἀντὶ τῆς προικὸς ἀποτετιμῆσθαι τὸ χωρίον, ὁρῶν Ἄφοβον ὁμοίως ἔχοντα καὶ γεωργοῦντα τὴν γῆν καὶ τῇ γυναικὶ συνοικοῦντα, σαφῶς ᾔδειν, ὅτι λόγος ταῦτα καὶ παραγωγὴ τοῦ πράγματός ἐστι. βουλόμενος δ' ἐμφανῆ [2]ποιήσασθαι ταῦτα πᾶσιν ὑμῖν, ἐλέγχειν αὐτὸν ᾐξίουν ἐναντίον μαρτύρων, εἰ μὴ φάσκοι ταῦθ' οὕτως ἔχειν, καὶ παρεδίδουν οἰκέτην εἰς βάσανον ὃς συνῄδει πάντ' ἀκριβῶς, ὃν ἔλαβον κατὰ τὴν ὑπερημερίαν ἐκ τῶν Ἀφόβου. οὗτος δέ, μου ταῦτ' ἀξιώσαντος, περὶ μὲν τοῦ συνοικεῖν Ἀφόβῳ τὴν ἀδελφήν, ἔφυγε τὴν βάσανον· ὡς δ' οὐκ ἐκεῖνος ἐγεώργει τὴν γῆν, οὐκ ἠδύνατ' ἀρνηθῆναι διὰ τὴν περιφάνειαν, ἀλλὰ προσωμολόγησεν.

θ'. Οὐ μόνον δ' ἐκ τούτων ἦν ῥᾷστον γνῶναι, ὅτι καὶ συνῴκει τῇ γυναικὶ καὶ τὸ χωρίον ἐκέκτητο ἔτι πρὶν γενέσθαι τὴν δίκην, ἀλλὰ καὶ ἐξ ὧν ὅφλων διεπράξατο περὶ αὐτῶν. ὡς γὰρ οὐκ ἀποτετιμηκώς, ἀλλ' ἐμῶν ἐσομένων κατὰ τὴν δίκην, ἃ μὲν οἷόν τ' ἦν ἐξενεγκεῖν, ᾤχετο λαβών, τοὺς καρποὺς καὶ τὰ σκεύη τὰ γεωργικὰ πάντα πλὴν τῶν πιθακνῶν· ὃ δ' οὐκ οἷόν τ' ἦν ἀνελεῖν, τὴν γῆν, ἐξ ἀνάγκης ὑπέλιπεν, [3]ὥστε γενέσθαι τούτῳ νῦν αὐτῆς τῆς γῆς ἀμφισβητεῖν. καίτοι δεινὸν, τὸν μὲν λέγειν, ὡς ἀπετιμήσατο τὸ χωρίον, τὸν δ' ἀποτετιμηκότα φαίνεσθαι γεωργοῦντα,

[1] ἐπιδείξω [2] ποιῆσαι [3] ὥστ' ἐγγενέσθαι

η'. Κατὰ τὴν ὑπερημερίαν] Cum Aphobus judicio victus ad dictam diem non solvisset. Idem. ὑπερημερία, delatio ejus, qui præstitutum diem prætergreditur, quo sc. dissolvere debitum debuit, aut aliud præstare, quod promisit. H. Steph.

καὶ φάσκειν μὲν ἀπολελοιπέναι τὴν ἀδελφὴν, ὑπὲρ αὐτῶν δὲ τούτων φανερὸν εἶναι φεύγοντα τοὺς ἐλέγχους· καὶ τὸν μὲν οὐ συνοικοῦντα, ὡς οὗτός φησι, καὶ τοὺς καρπούς καὶ 872
τὰ ἐκ τῆς γεωργίας πάντα ἐξενεγκεῖν, τὸν δ' ὑπὲρ τῆς [1]ὑπολελοιπυίας πράττοντα, ὑπὲρ ἧς ἀποτετιμῆσθαί φησι τὸ χωρίον, φαίνεσθαι μηδ' ὑπὲρ ἑνὸς τούτων [2]ὑπεραγανακτοῦντα ἀλλ' ἡσυχίαν ἔχοντα. ταῦτ' οὐ πολλὴ [3]περιφάνειά ἐστι; ταῦτ' οὐχ ὁμολογουμένη προστασία; [4]φήσειε δ' ἄν τις, εἰ διαλογίζοιτο ὀρθῶς ἕκαστα αὐτῶν. ὡς τοίνυν ὡμολόγει μὲν ἐκεῖνον γεωργεῖν πρὶν γενέσθαι τὴν δίκην ἐμοὶ πρὸς αὐτὸν, ὑπὲρ δὲ τοῦ μὴ συνοικεῖν τὴν ἀδελφὴν οὐκ ἠθέλησε ποιήσασθαι τὴν βάσανον, ἡ δὲ γεωργία ἐξεσκευάσθη μετὰ τὴν δίκην, πλὴν τῶν ἐγγείων, λάβε τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

ί. Ἐμοὶ τοίνυν τοσούτων ὑπαρχόντων τεκμηρίων, οὐχ ἥκιστ' αὐτὸς ἔδειξεν Ὀνήτωρ, ὅτι οὐκ ἀληθινὴν ἐποιήσατο τὴν ἀπόλειψιν. ᾧ γὰρ προσῆκε χαλεπῶς φέρειν, εἰ τὴν προῖκα [5]διδοὺς, ὡς φησιν, ἀντ' ἀργυρίου χωρίον ἀμφισβητούμενον ἀπελάμβανεν, οὗτος, οὐχ ὡς διάφορος οὐδ' ὡς ἀδικούμενος, ἀλλ' ὡς οἰκειότατος πάντων, τὴν πρὸς ἐμὲ δίκην αὐτῷ συνηγωνίζετο. κἀμὲ μὲν [6]οὖν συναποστερῆσαι μετ' ἐκείνου τῶν πατρῴων ἐπεχείρησε, καθ' ὅσον αὐτὸς οἷός τε ἦν, ὑφ' οὗ κακὸν οὐδ' ὁτοιοῦν ἦν πεπονθώς· Ἀφόβῳ δὲ, ὃν ἀλλότριον εἶναι προσῆκε νομίζειν, εἴ τι τούτων ἀληθὲς ἦν ὧν νῦν λέγουσι, καὶ τἀμὰ πρὸς τοῖς ἐκείνου περιποιεῖν ἐζήτησε, καὶ οὐ μόνον ἐνταῦθ' τοῦτ' ἐποίησεν, ἀλλὰ καὶ

[1] ἀπολελοιπυίας [2] ἀγαναακτοῦντα [3] περιφάνεια πολλή [4] φήσειέ γ' ἄν [5] δοὺς [6] Deest οὖν.

θ'. Ὑπεραγαναακτοῦντα] M. ἀγαναακτοῦντα. Wolf.

Ταῦτ' οὐ πολλὴ περιφάνειά ἐστι; ταῦτ' etc.] *Nonne his planum fit istos liti alienæ se opponere? seque ejus tutores, vindices, assertores ingerere?* Budæus.

Πλὴν τῶν ἐγγείων] Τὰ ἔγγεια sunt *fundi*, τὰ ἐν τῇ γῇ, ὅθεν ἔγγειοι τόκοι καὶ ναυτικοί. Sed quia hic agitur de instrumento ablato, et supra πιθανῶν facta est mentio, lego ἀγγείων per α. et p. 461. v. 2. ἱκετεύων ὑπὲρ αὐτοῦ. et v. 3. καὶ τούτου [sc. τοῦ ταλάντου] αὐτός. et v. 12. ἀλλὰ παραδόντος Τιμοκράτους fortasse legendum pro παρὰ ζῶντος. et v. 18. αὐτή τε ταύτην ἔχουσα τὴν ἡλικίαν. Wolf. M. ἀγγείων, ita ut idem significat quod supra πιθανῶν. Auger.

ί. Ἐποιήσατο] Refertur ad Onetorem, *curaverit ad Archontem deferri.* Idem.

κατεγνωσμένης ἤδη τῆς δίκης, ἀναβὰς ἐπὶ τὸ δικαστήριον,
373 ἐδεῖτο, ἱκετεύων ὑπὲρ αὐτοῦ καὶ ἀντιβολῶν καὶ δάκρυσι κλαίων, ταλάντου τιμῆσαι, καὶ [1] τούτων αὐτὸς ἐγίγνετο ἐγγυητής. καὶ ταῦθ' ὁμολογούμενα μέν ἐστι πολλαχόθεν, οἵ τε γὰρ ἐν τῷ δικαστηρίῳ τότε δικάζοντες, καὶ τῶν ἔξωθεν παρόντων πολλοὶ, συνίσασιν· ὅμως δὲ καὶ μάρτυρας ὑμῖν παρέξομαι. καί μοι λάβε ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

ιά. Ἔτι τοίνυν, ὦ ἄνδρες δικασταὶ, καὶ τεκμηρίῳ μεγάλῳ γνῶναι ῥᾴδιον, ὅτι τῇ ἀληθείᾳ συνῴκει καὶ οὐδέπω καὶ τήμερον ἀπολέλοιπεν. αὕτη γὰρ ἡ γυνὴ, πρὶν μὲν ὡς Ἀφοβον ἐλθεῖν, μίαν ἡμέραν οὐκ ἐχήρευσεν, ἀλλὰ παρὰ ζῶντος Τιμοκράτους ἐκείνῳ συνῴκησε· νῦν δ' ἐν τρισὶν ἔτεσιν ἄλλῳ συνοικοῦσα οὐδενὶ φαίνεται. καί τοι τῷ τοῦτο πιστὸν, ὡς τότε μὲν, ἵνα μὴ χηρεύσειε, παρ' ἀνδρὸς ὡς ἄνδρα ἐβάδιζε· νυνὶ δ', εἴπερ ὡς ἀληθῶς ἀπολέλοιπε, [2] τοσοῦτον χρόνον χηρεύουσα ἠνείχετο, ἐξὸν ἄλλῳ συνοικεῖν, τοῦ τε ἀδελφοῦ κεκτημένου τοσαύτην οὐσίαν, [3] αὕτη τε ταύτην ἔχουσα τὴν ἡλικίαν; οὐκ ἔχει ταῦτ' ἀλήθειαν, ὦ ἄνδρες δικασταὶ, πιστὴν, ἀλλὰ λόγοι ταῦτ' εἰσί. συνοικεῖ δ' ἡ γυνὴ φανερῶς, καὶ οὐδὲ κρύπτεται τὸ πρᾶγμα. παρέξομαι δ' ὑμῖν Πασιφῶντος μαρτυρίαν, ὃς ἀῤῥωστοῦσαν αὐτὴν θεραπεύων ἑώρα παρακαθημένον Ἀφοβον ἐπὶ τούτου τοῦ ἄρχοντος, ἤδη τούτῳ ταυτησὶ τῆς δίκης [4] εἰλεγμένης. καί μοι λάβε τὴν Πασιφῶντος μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

ιβ'. Ἐγὼ τοίνυν εἰδὼς, ὦ ἄνδρες δικασταὶ, καὶ μετὰ τὴν δίκην τοῦτον εὐθὺς ἀποδεδεγμένον τὰ ἐκ τῆς οἰκίας τῆς Ἀφόβου χρήματα καὶ κύριον τῶν τ' ἐκείνου καὶ τῶν
374 ἐμῶν ἁπάντων γεγενημένον, καὶ συνοικοῦσαν αὐτῷ τὴν γυ-

[1] τούτου [2] τοσοῦτον ἂν χρόνον [3] αὐτή τε [4] εἰληγμένης

ιά. Καὶ οὐδὲ κρύπτεται τὸ πρᾶγμα] *Nec factum celare vult.* Budæus.

Ἤδη τούτῳ ταύτης τῆς δίκης εἰλεγμένης] Λέγω σοὶ δίκην, quod recorder, legi nusquam: sed λαγχάνω: unde εἰληγμένης per η in 2 syllaba. λέληγμαι, εἴληγμαι, παρὰ τὸ λήχω: λελεγμαι, εἰλεγμαι, παρὰ τὸ λέγω. et, p. 462. v. 4. οὗτα δέ μου πρικαλεσαμένου.

ναῖκα σαφῶς ἐπιστάμενος, τρεῖς θεραπαίνας ἐξήτησα αὐτὸν, αἳ συνοικοῦσάν τε τὴν γυναῖκα ᾔδεσαν καὶ τὰ χρήματα ὅτι παρὰ τούτοις ἦν, ἵνα μὴ λόγοι μόνον, ἀλλὰ καὶ βάσανοι γίγνοιντο περὶ αὐτῶν. [1] οὕτω δέ μου προκαλεσαμένου ταῦτα, καὶ πάντων τῶν παρόντων δίκαια λέγειν με ἀποφαινομένων, οὐκ ἠθέλησεν εἰς τοῦτο τἀκριβὲς καταφυγεῖν· ἀλλ', ὥσπερ ἑτέρων τινῶν ὄντων περὶ τῶν τοιούτων σαφεστέρων ἐλέγχων ἢ βασάνων καὶ μαρτύρων, οὔτε [2] μάρτυρα παρεχόμενος τὴν προῖκα ὡς ἀποδέδωκεν, οὔτ' εἰς βασάνους ἐκδιδοὺς τὰς συνειδυίας περὶ τοῦ συνοικεῖν τὴν ἀδελφὴν, ὅτι ταῦτα ἠξίουν, ὑβριστικῶς πάνυ καὶ προπηλακιστικῶς οὐκ εἴα με [3] αὐτῷ διαλέγεσθαι. τούτου γένοιτ' ἄν τις σχετλιώτερος ἄνθρωπος, ἢ μᾶλλον ἑκὼν τὰ δίκαια ἀγνοεῖν προσποιούμενος; λάβε [4] ταύτην τὴν πρόκλησιν καὶ ἀναγίγνωσκε.

ΠΡΟΚΛΗΣΙΣ.

ὑμεῖς τοίνυν καὶ ἰδίᾳ καὶ δημοσίᾳ βάσανον ἀκριβεστάτην πασῶν νομίζετε· καὶ, ὁπόταν δοῦλοι καὶ ἐλεύθεροι παραγένωνται, δέῃ δ' εὑρεθῆναι τὸ ζητούμενον, οὐ χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ τοὺς δούλους βασανίζοντες οὕτω ζητεῖτε τὴν ἀλήθειαν εὑρεῖν τῶν πεπραγμένων. εἰκότως, ὦ ἄνδρες δικασταί. τῶν μὲν γὰρ μαρτυρησάντων ἤδη τινὲς οὐ τἀληθῆ μαρτυρῆσαι ἔδοξαν· δούλων δὲ βασανισθέντων, οὐδένες πώποτ' ἐξηλέγχθησαν, ὡς οὐκ ἀληθῆ τὰ ἐκ τῆς βασάνου εἶπον. οὗτος δὲ, τηλικαῦτα δίκαια φυγὼν καὶ σαφεῖς οὕτως καὶ μεγάλους 875
ἐλέγχους παραλιπὼν, Ἄφοβον παρεχόμενος μάρτυρα καὶ Τιμοκράτην, τὸν μὲν ὡς ἀποδέδωκε τὴν προῖκα, τὸν δ' ὡς ἀπείληφεν, ἀξιώσει πιστεύεσθαι παρ' ὑμῖν, ἀμάρτυρον τὴν πρὸς τούτους πρᾶξιν γεγενῆσθαι προσποιούμενος. τοσαύτην ὑμῶν εὐήθειαν κατέγνωκεν.

[1] οὗτος δ' ἐμοῦ [2] μάρτυρας [3] αὐτῷ [4] ταύτην] δ' αὐτὴν

et, p. 463. v. 1. ὅτι μὲν οὖν, vel, ὅτι τοίνυν οὔτ' ἀληθῆ. Wolf.

ιβ'. Βάσανον] Post βάσανον velim addi πίστιν. Auger.

ιγ'. Ὅτι μὲν τοίνυν οὔτ' ἀληθῆ οὔτ' [1] ἀληθείᾳ ἐοικότα λέξουσι, καὶ ἐκ τοῦ ἐξ ἀρχῆς αὐτοὺς ὁμολογεῖν τὴν προῖκα μὴ δοῦναι, καὶ ἐκ τοῦ πάλιν ἄνευ μαρτύρων ἀποδεδωκέναι φάσκειν, καὶ ἐκ τοῦ τὸν χρόνον μὴ ἐγχωρεῖν ἀμφισβητουμένης ἤδη τῆς οὐσίας ἀποδοῦναι τἀργύριον, καὶ ἐκ τῶν ἄλλων ἁπάντων, ἱκανῶς ἀποδεδεῖχθαί μοι νομίζω.

[1] ἀληθείαις

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΟΝΗΤΟΡΑ ΕΞΟΥΛΗΣ ΔΕΥΤΕΡΟΥ ΛΟΓΟΥ.

Pag. ed. Reisk.

ΠΑΡΑΛΕΛΕΙΜΜΕΝΑ τινὰ ἐν τῷ πρωτέρῳ λόγῳ διὰ τούτου προστίθησιν, ὡς καὶ αὐτὸς ἐπισημαίνεται, καὶ δὴ καὶ πρός τινας ἀντιῤῥήσεις ἵσταται. περὶ δὲ τῶν λόγων τούτων προειρήκαμεν, ὅτι πολλοὶ φασὶν αὐτοὺς ὑπὸ Ἰσαίου συντεθῆναι, τοῦ ῥήτορος ἀπιστοῦντες εἶναι διὰ τὴν ἡλικίαν· οἱ δέ γε, εἰ μὴ τοῦτο, διωρθῶσθαί γε ὑπὸ τοῦ Ἰσαίου. ἐοίκασι γὰρ τοῖς ἐκείνου λόγοις. θαυμαστὸν δὲ οὐδὲν, εἰ τὸν διδάσκαλον ἐμιμήσατο. καὶ μηδέπω πρὸς τὸ τέλειον ἥκων, ἐπὶ τὸν ἐκείνου χαρακτῆρα μετῄει τέως. 875

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ ΟΝΗΤΟΡΟΣ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

ά. Ὁ ΠΑΡΕΛΙΠΟΝ ἐν τῷ πρωτέρῳ λόγῳ τεκμήριον, 876
οὐδενὸς τῶν εἰρημένων ἔλαττον, τοῦ μὴ δεδωκέναι τὴν προῖκα τούτους Ἀφόβῳ, τοῦτο πρῶτον εἰπὼν, μετὰ τοῦτο καὶ περὶ ὧν οὗτος ἔψευσται πρὸς ὑμᾶς, ἐξελέγχειν αὐτὸν πειράσομαι.

β΄. Οὗτος γὰρ, ὦ ἄνδρες δικασταὶ, τὸ πρῶτον ὅτε τῶν Ἀφόβου διενοεῖτο ἀμφισβητεῖν, οὐχὶ τάλαντον ἔφη τὴν προῖκα, ὥςπερ νυνὶ, ἀλλ᾽ ὀγδοήκοντα μνᾶς δεδωκέναι, [1] κᾶτα τίθησιν ὅρους, ἐπὶ μὲν τὴν οἰκίαν δισχιλίων, ἐπὶ δὲ τὸ χωρίον ταλάντου, βουλόμενος μὴ μόνον τοῦτο, ἀλλὰ κἀκείνην διασώζειν αὐτῷ. γενομένης δέ μοι τῆς δίκης πρὸς αὐτὸν, ἰδὼν ὡς διάκειστ᾽ ὑμεῖς πρὸς τοὺς λίαν ἀναιδῶς

[1] , καὶ τίθησιν ὅρους, [ἀλλ᾽] ἐπὶ

β΄. Κατατίθησιν ὅρους, ἀλλ᾽ ἐπὶ] Καὶ τί- v. 7. δικαίως ἔθηκε, καὶ ὄντας ἀληθεῖς· θησιν ὅρους, ἐπὶ μὲν τὴν οἰκίαν. et p. 465. Wolf.

ἀδικοῦντας, ἔννους γίνεται, καὶ δεινὰ πάσχειν ἡγήσατο δόξειν ἐμὲ τοσούτων χρημάτων ἀπεστερημένον, εἰ μηδ' ὁτιοῦν ἔξοιμι τῶν Ἀφόβου λαβεῖν, τοῦ τἀμὰ ἔχοντος, ἀλλ' ὑπὸ τούτου κωλυόμενος φανερὸς γενήσομαι. καὶ τί ποιεῖ; τοὺς ὅρους ἀπὸ τῆς οἰκίας ἀφαιρεῖ, καὶ τάλαντον μόνον εἶναι τὴν προῖκά φησιν, ἐν ᾧ τὸ χωρίον ἀποτετιμῆσθαι. καί τοι δῆλον, ὅτι τοὺς ἐπὶ τῆς οἰκίας ὅρους εἰ δικαίως ἔθηκε καὶ ὄντως ἀληθεῖς, δικαίως καὶ τοὺς ἐπὶ τοῦ χωρίου [1] τέθηκεν· εἰ δ' εὐθὺς ἀδικεῖν βουλόμενος ψευδεῖς ἔθηκεν ἐκείνους,
377 εἰκὸς καὶ τούτους οὐκ ἀληθεῖς ὑπάρχειν. τοῦτο τοίνυν οὐκ ἐξ ὧν ἐγὼ δεδήλωκα λόγων δεῖ σκοπεῖν, ἀλλ' ἐξ ὧν αὐτὸς οὗτος διεπράξατο, οὐδ' ὑφ' [2] ἑνὸς ἀναγκασθεὶς ἀνθρώπων· αὐτὸς γὰρ ἀνεῖλε τοὺς ὅρους, ἔργῳ φανερὸν ποιήσας, ὅτι ψεύδεται. καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, ὅτι τὸ μὲν χωρίον καὶ νῦν οὗτός φησιν ἀποτετιμῆσθαι ταλάντου, τὴν δ' οἰκίαν ὡς [3] προωρίσατο δισχιλίων, καὶ πάλιν τοὺς ὅρους ἀνεῖλε γενομένης τῆς δίκης, τοὺς εἰδότας ὑμῖν μάρτυρας παρέξομαι. καί μοι λάβε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

δῆλον τοίνυν, ὅτι δισχιλίων μὲν ὡρισμένος τὴν οἰκίαν, ταλάντου δὲ τὸ χωρίον, ὡς ὀγδοήκοντα μνᾶς δεδωκὼς ἔμελλεν ἀμφισβητήσειν. μεῖζον οὖν ἄν τι γένοιτο τεκμήριον ὑμῖν τοῦ μηδὲν ἀληθὲς [4] νῦν λέγειν τοῦτον, ἢ εἰ φανείη μὴ [5] ταὐτὰ λέγων τοῖς ἐξ ἀρχῆς περὶ τῶν αὐτῶν; ἐμοὶ μὲν γὰρ οὐδὲν ἂν δοκῇ τούτου μεῖζον εὑρεθῆναι.

γ'. Σκέψασθε τοίνυν τὴν ἀναίδειαν, [6] ὃς ἐν ὑμῖν ἐτόλμησεν εἰπεῖν, ὡς οὐκ ἀποστερεῖ με ὅσῳ πλείονος ἄξιόν ἐστι ταλάντου, καὶ ταῦτα αὐτὸς τιμήσας οὐκ ἄξιον εἶναι πλείονος. τί γὰρ βουλόμενος δισχιλίων [7] προωρίσω τὴν οἰκίαν,

[1] τέθεικεν
[2] ἑνὸς γὰρ ἀναγκασθεὶς ἀνθρώπων, αὐτὸς ἀνεῖλε
[3] προσωρίσατο δ.· κ. πάλιν, ὅτι τοὺς
[4] Deest νῦν.
[5] ταὐτὰ * νῦν λέγειν
[6] ὅς γ' ἐν
[7] προσωρίσω

Προωρίσατο] De creditore loquens. προορίσασθαι enim significat idem quod τὴν οὐσίαν ἢ τὴν οἰκίαν ἀφορίσασθαι, hoc est, *oppignerationis et hypothecæ notam apponere*. Infra [v. ult.] τί γὰρ βουλόμενος etc. Verba sunt secundi creditoris ad primum, qui cum Aphobo debitore fraudem struebat in necem primi creditoris. Ὅρος enim est *index rei obnoxiæ*. BUDÆUS.

Ὡς προωρίσατο] Προσωρίσατο, S. πρὸς τῷ χωρίῳ ὡρίσατο. et paulo post iterum v. ult. προσωρίσω. Sic et quod sequitur, p. 466. v. 5. προσέξεις, ἀντὶ τοῦ, ἕξεις πρὸς τῷ χωρίῳ. WOLF.

ὅτε τὰς ὀγδοήκοντα μνᾶς ἐνεκάλεις, εἴ γε τὸ χωρίον ἄξιον ἦν πλείονος, ἀλλ᾽ οὐκ ἐπὶ τούτῳ καὶ τὰς δισχιλίας ἐτίθεις; ἢ, ὅταν μέν σοι δοκῇ πάντα τὰ Ἀφόβου διασώζειν, τότε τὸ χωρίον ἔσται ταλάντου μόνον ἄξιον, καὶ τὴν οἰκίαν ἐν δισχιλίαις προσέξεις, ἥ τε προὶξ ὀγδοήκοντα μναῖ γενήσονται, καὶ ἀξιώσεις ἔχειν ἀμφότερα· ὅταν δέ σοι μὴ συμφέρῃ, τὰ ἐναντία πάλιν, ἡ μὲν οἰκία ταλάντου, διότι νῦν ἐγὼ ταύτην ἔχω, τοῦ δὲ χωρίου τὸ περιὸν, οὐκ ἐλάττονος ἢ δυοῖν 878
ἄξιον, ἵν᾽ ἐγὼ βλάπτειν τοῦτον, οὐκ ἀποστερεῖσθαι, δοκῶ. ὁρᾶς, ὡς ὑποκρίνῃ μὲν δεδωκέναι τὴν προῖκα, φαίνῃ δὲ κατ᾽ οὐδ᾽ ὁντινοῦν τρόπον δεδωκώς; τὰ γὰρ ἀληθῆ καὶ μὴ κακουργούμενα τῶν πραγμάτων, ἁπλῶς οἵ᾽ ἂν ἐξ ἀρχῆς πραχθῇ, τοιαῦτ᾽ ἐστί· σὺ δὲ τοὐναντίον ἐξελέγχῃ πράξας εἰς τὴν καθ᾽ ἡμῶν ὑπηρεσίαν.

δ'. Ἄξιον τοίνυν καὶ τὸν ὅρκον, ὁποῖόν τιν᾽ ἂν ὤμοσεν, εἴ τις ἔδωκεν, ἐκ τούτων ἰδεῖν. ὃς γὰρ ὀγδοήκοντα μνᾶς ἔφη τὴν προῖκα εἶναι, εἰ τότ᾽ αὐτῷ τις ἔδωκεν, ὀμόσαντι ταῦτ᾽ ἀληθῆ λέγειν, κομίσασθαι, τί ἐποίησεν ἄν; ἢ δῆλον, ὅτι [1] ὡμολόγησέ τι. καὶ γὰρ λέγων οὐ φήσει τότ᾽ ἂν ὀμόσαι, νῦν γε τοιαῦτ᾽ ἀξιῶν; οὐκοῦν ὅτι γ᾽ ἐπιώρκησεν ἂν, ἑαυτὸν ἐξελέγχει. νῦν γὰρ οὐκ ὀγδοήκοντα μνᾶς, ἀλλὰ τάλαντον δεδωκέναι φησί. τί [2] μᾶλλον οὖν εἰκότως τις αὐτὸν ἐκεῖνα ἐπιορκεῖν, ἢ τάδ᾽ ἡγοῖτο; ἢ τίνα τις δικαίως ἂν ἔχοι περὶ τούτου διάνοιαν, τοῦ ῥᾳδίως οὕτως ἑαυτὸν ἐξελέγχοντος ὄντ᾽ ἐπίορκον;

ε'. Ἀλλὰ νὴ Δί᾽ ἴσως οὐχὶ πάντ᾽ αὐτῷ τοιαῦτα πέπρακται, οὐδὲ πανταχόθεν δῆλός ἐστι τεχνάζων· ἀλλὰ καὶ τιμώμενος φανερὸς γέγονεν ὑπὲρ Ἀφόβου ταλάντου, καὶ τοῦτο αὐτὸς [3] ἡμῖν ἀποδώσειν ἐγγυώμενος; καί τοι σκέψασθε, ὅτι τοῦτ᾽ ἔστι τεκμήριον, οὐ μόνον τοῦ τὴν γυναῖκα συνοικεῖν Ἀφόβῳ καὶ τοῦτον οἰκείως ἔχειν, ἀλλὰ καὶ τοῦ μὴ δεδωκέναι τὴν προῖκα. τίς γὰρ ἀνθρώπων ἠλιθιός ἐστιν οὕτως, [4] ὃς ἀργύριον δοὺς τοσοῦτον, ἔπειτα ἓν λαβὼν χωρίον

[1] ὤμοσε. τί γὰρ καὶ λέγων [2] μᾶλλον ἂν οὖν [3] ὑμῖν [4] ὡς

δ'. Ἢ δῆλον] Ἢ *sane* Auger.
Ὡμολόγησέ τι καὶ γὰρ καὶ λέγων] F. ὡμολόγησεν ἄν. τί γὰρ καὶ λέγων οὐ φήσει.
et v. 27. ἀλλὰ καὶ τιμώμενος φανερὸς γέγονε. et v. antepen. καὶ τοῦτον οἰκείως ἔχειν αὐτῷ. Wolf.

ἀμφισβητούμενον εἰς ἀποτίμησιν, σὺν οἷς πρότερον ἐζη-
379 μίωτο, τὸν ἀδικήσαντα, ὡς δίκαιόν τι ποιήσαντα, καὶ τοῦ
τῆς δίκης ὀφλήματος προσεγγυήσασθαι; οὐδένα οἶμαι. καὶ
γὰρ οὐδὲ λόγον τὸ πρᾶγμ' ἔχον ἐστὶ, τὸν αὐτὸν αὑτῷ μὴ
δυνάμενον κομίσασθαι τάλαντον, τοῦτον ἄλλῳ τινὶ φάσκειν
ἀποτίσειν καὶ ταῦτ' ἐγγυᾶσθαι· ἀλλὰ καὶ [1]ὑπ' αὐτῶν
τούτων ἐστὶ δῆλον, ὅτι τὴν μὲν προῖκα οὐ δέδωκεν, ἀντὶ δὲ
πολλῶν χρημάτων τῶν ἐμῶν οἰκεῖος ὢν Ἀφόβῳ, ταῦτ'
[2]ἐπετιμᾶτο, κληρονόμον τῶν ἐμῶν τὴν ἀδελφὴν μετ' ἐκείνου
καταστῆσαι βουλόμενος.

ς'. Εἶτα νῦν [3]παρακρούσας ζητεῖ καὶ φενακίζει, λέγων,
ὡς πρότερον τοὺς ὅρους ἔστησεν, ἢ ἐκεῖνον τὴν δίκην ὄφλειν.
οὐ πρότερόν γε ἢ παρὰ [4]σοὶ νῦν, εἴ γε ἀληθῆ λέγεις· δῆλον
γὰρ, ὅτι καταγνοὺς ἀδικίαν αὐτοῦ ταῦτ' ἐποίεις. εἶτα καὶ
γελοῖον τοῦτο λέγειν, ὥσπερ οὐκ εἰδότων [5]ὑμῶν, ὅτι πάντες
οἱ τὰ τοιαῦτ' ἀδικοῦντες σκοποῦσι, τί λέξουσιν. οὐδεὶς δὲ
πώποτ' ὤφλε σιωπῶν, οὐδ' ἀδικεῖν ὁμολογῶν· ἀλλ' ἐπειδὰν,
οἶμαι, μηδὲν ἀληθὲς λέγων ἐξελεγχθῇ, τότε γιγνώσκεται
ὁποῖός ἐστιν. ὅπερ καὶ [6]αὐτὸς ἔμοιγε δοκεῖ πάσχειν. ἐπεὶ,
φέρε, πῶς ἐστὶ δίκαιον, ἐὰν μὲν πλείονος πλεῖον, ἐὰν δὲ
ἐλάττονος ἔλαττον; ἢ, πῶς ἐστὶ δίκαιον, τῆς ἀδελφῆς τῆς
σῆς μηδέπω καὶ τήμερον ἄλλῳ συνοικούσης, μηδ' ἀπηλλα-
γμένης Ἀφόβου, μηδὲ τὴν προῖκα δεδωκότος [7]τούτου, μηδ'
ὑπὲρ τούτων εἰς βάσανον, μηδ' εἰς ἄλλο δίκαιον μηδὲν κα-
ταφυγεῖν ἐθέλοντος, ὅτι σὺ στῆσαι φῆς ὅρους, σὸν εἶναι τὸ
χωρίον; ἐγὼ μὲν οὐδαμῶς οἶμαι. τὴν γὰρ ἀλήθειαν σκε-

[1] ἀπ' [2] ἀπετιμᾶτο [3] παρακρούσασθαι [4] σοὶ, εἴ γε νῦν [5] ἡμῶν
[6] οὗτος [7] * τούτῳ σοῦ

ε'. Σὺν οἷς —— προσεγγυήσασθαι] *Ut præterquam quod priore jactura multatus est, pro eo quem se jam circumscripsisse noverit, tanquam secum jure egerit, insuper sponsor esse judicati sustineat?* hoc enim significat προσεγγυᾶσθαι ex vi πρὸς propositionis. Budæus.

ς'. Εἶτα νῦν παρακρούσας ζητεῖ καὶ φενακίζει] F. παρακρούσασθαι, vel παρακρούσεις ζητεῖ καὶ φενακίζειν, vel παραγωγὰς ζητεῖ καὶ φενακίζει. Wolf.

Οὐ πρότερόν γε ἢ παρά σοι νῦν, εἴ γε ἀληθῆ λέγειν] Locus corruptus: verti: *non certe prius, si quidem tu nunc vera dicis.* vel, *aut ostendito:* quasi pro παρά σοι legeretur πάρασχε νῦν, εἴγε ἀληθῆ λέγεις. sed neutrum placet. Idem.

Πῶς ἐστὶ δίκαιον, ἐὰν μὲν πλείονος, πλεῖον, εἰ δὲ ἐλάττονος, ἔλαττον] Puto transposita esse verba, et legendum: ἐὰν μὲν πλείονος [S. ἢ κτῆμά τι, *in fartag.* sc. ἄξιόν ἐστι.] ἐλάττονος, εἰ δὲ ἐλάττονος, πλείονος [S. τιμᾶσθαι ἢ ὁρίζεσθαι.] Idem. Hic sane voces aliquæ desiderantur; ego interpretatus sum quasi legeretur: πῶς ἐστὶ δίκαιον, χωρίον, ἐὰν μὲν πλείονος ἀξιοῖς, πλεῖον [sub. εἶναι], ἐὰν δὲ ἐλάττονος, ἔλαττον. Auger.

πτέον, οὐχ ἅ τις ἑαυτῷ παρεσκεύασεν ἐξεπίτηδες εἰς τὸ 880
λέγειν τι δοκεῖν, ὥςπερ ὑμεῖς.

ζ'. Ἔπειτα τὸ δεινότατον, εἰ καὶ δεδωκότες ἥτε ὡς μάλιστα τὴν προῖκα, ἣν οὐ δεδώκατε, τίς ὁ τούτων αἴτιος; οὐχ ὑμεῖς, [1] ἐπεὶ τἀμὰ ἔδοτε; οὐχ ὅλοις ἔτεσι πρότερον δέκα τἀμὰ λαβὼν εἶχεν ἐκεῖνος, ὧν ὤφλε τὴν δίκην ἢ κηδεστήν σοι γενέσθαι; ἢ σὲ μὲν [2] ἔδει κομίσασθαι πάντα, τὸν δὲ καὶ καταδικασάμενον καὶ δι' ὀρφανίαν ἠδικημένον καὶ προικὸς ἀληθινῆς ἀπεστερημένον, ὃν μόνον ἀνθρώπων οὐδὲ τῆς ἐπωβελίας ἄξιον ἦν κινδυνεύειν, ἠναγκάσθαι τοιαῦτα παθεῖν, κεκομισμένον μηδ' ὁτιοῦν, καὶ ταῦτ' ἐθέλοντα ποιεῖν ὑμῖν αὐτοῖς, εἴ τι τῶν δεόντων ἐβούλεσθε πράττειν;

[1] ἐπεὶ *εἰς τἀμὰ

[2] δεῖ

ζ'. Τὸν δὲ] *Hunc ipsum qui loquitur*, se ipsum ostendit. Idem.

Οὐδὲ τῆς ἐπωβελίας ἄξιον ἦν κινδυνεύειν] Ὃν ἦν ἄξιον κινδυνεύειν οὐδὲ τῆς ἐπωβελίας, ἀντὶ τοῦ, περὶ τῆς, ἢ ἐν τῇ ἐπωβελίᾳ. Wolf.

Καὶ ταῦτ' ἐθέλοντα] F. καὶ ταῦτ', ἐθέλοντα πάντα ποιεῖν ὑμῖν. Idem.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΠΑΡΑΓΡΑΦΙΚΟΙ.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΖΗΝΟΘΕΜΙΝ ΠΑΡΑΓΡΑΦΙΚΟΥ ΛΟΓΟΥ.

Pag. ed. Reisk.

380 ΔΑΝΕΙΣΑΜΕΝΟΣ παρὰ Δήμανος, ἑνὸς τῶν Δημοσθένους συγγενῶν, ἔμπορός τις Πρῶτος ὄνομα, ἐπρίατο τοῦ ἀργυρίου σῖτον ἐν Συρακούσαις· καὶ τοῦτον ἐκόμισεν εἰς Ἀθήνας ἐπὶ νεώς, ἧς Ἡγέστρατος ἐναυκλήρει. Ἡγέστρατος δὲ καὶ Ζηνόθεμις, περὶ ἓν ἐστιν ἡ παραγραφὴ, Μασσαλιῶται μὲν
381 ἦσαν τὸ γένος, κακούργημα δὲ τοιοῦτον ἐν Συρακούσαις ἐκακούργησαν, ὡς ὁ ῥήτωρ φησίν. ἐδανείσαντο χρήματα· ταῦτα δὲ εἰς μὲν τὴν ναῦν οὐκ ἐνέθεντο, λάθρα δὲ εἰς τὴν Μασσαλίαν ἀπέστειλαν, ἀποστερῆσαι τοὺς δανείσαντας βεβουλευμένοι. ἐπειδὴ γὰρ ἐγέγραπτο ἐν τῷ συμβολαίῳ, εἰ πάθοι τι ἡ ναῦς, μὴ ἀπαιτεῖσθαι αὐτοὺς τὰ χρήματα, ἐσκέψαντο [1] καταλῦσαι τὴν ναῦν. νύκτως οὖν ἐν τῷ πλῷ κατελθὼν ὁ Ἡγέστρατος διέκοπτε τοῦ πλοίου τὸ ἔδαφος· φαραδεὶς δὲ καὶ φεύγων τοὺς ἐπιβάτας, εἰς τὴν θάλασσαν εἰσπίπτει καὶ παραχρῆμα ἀπόλλυται. ὁ τοίνυν Ζηνόθεμις, ὁ κοινωνὸς, ὡς φησιν ὁ ῥήτωρ, τοῦ Ἡγεστράτου, μόλις σωθεὶς εἰς Ἀθήνας τῆς νεὼς, ἠμφισβήτει τοῦ σίτου, λέγων εἶναι τὸν σῖτον Ἡγεστράτου, ἐκεῖνον δὲ παρ' ἑαυτοῦ δανείσασθαι χρήματα. ἐνστάντων δὲ [2] αὐτῶν τοῦ τε Πρώτου καὶ τοῦ Δήμανος, ἀμφοτέρους ἔλαχε δίκην ἐμπορικήν. καὶ τὸν Πρῶτον ἐξ ἐρήμης ἑλὼν ἑκόντα, ὡς φησι Δημοσθένης, καὶ συγκακουργοῦντα, εἰσάγει καὶ τὸν Δήμανα δεύτερον εἰς τὸ δικαστήριον. ὁ δὲ παραγράφεται μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, νόμον παρεχόμενος τὸν διδόντα τοῖς ἐμπόροις τὰς δίκας εἶναι περὶ τῶν Ἀθήναζε καὶ τῶν Ἀθήνησιν συμβολαίων. Ζηνοθέμιδι δέ φησι μηδὲν συμβόλαιον εἶναι πρὸς αὐτόν. καὶ ὁ μὲν ἀγὼν ἐστι παραγραφικός· ὁ δὲ λόγος, ὡς τῆς εὐθυδικίας τοῦ πράγματος εἰσηγμένης, οὕτως εἴρηται περὶ τοῦ μὴ Ζηνοθέμιδος εἶναι τὸν σῖτον, ἀλλὰ τοῦ Πρώτου, ᾧ Δήμων ἐδάνεισε τὸ ἀργύριον. οὐ
382 γὰρ βούλεται δοκεῖν ῥήματι τοῦ νόμου μόνον ἰσχυρίζεσθαι κατὰ τὸ πρᾶγμα ἀδικῶν· ἀλλὰ δείκνυσιν, ὡς θαῤῥεῖ μὲν καὶ τῇ εὐθείᾳ, ἐκ περιουσίας δὲ αὐτῷ καὶ παραγραφὴν ὁ νόμος δίδωσι.

1 * καταδῦσαι

2 * αὐτῷ

ΖΗΝΟΘΕΜΙΝ] Rhetoricorum ad Herennium auctor lib. 1. Ex translatione, inquit, controversia nascitur, quum aut tempus differendum, aut accusatorem, aut judices mutandos reus dicit: hac parte constitutionis Græci in judiciis, nos in jure civili plerumque utimur. Item, in privata actione exceptiones prætoriæ sunt, etc. et 2. de Inventione; Cum actio translationis aut commutationis indigere videtur, quod non aut is agit, quem oportet, aut cum eo, qui cum non oportet, aut apud quos, qua lege, qua pœna, quo crimine, quo tempore non oportet, constitutio translativa appellatur, etc. Atque in nostra quidem consuetudine multis de causis fit, ut rarius incidant translationes. Nam et prætoris exceptionibus multæ excluduntur actiones, et ita jus civile habemus constitutum, ut causa cadat is, qui non, quemadmodum oportet, egerit. Quare in jure plerumque versantur. Ibi enim et exceptiones postulantur, et quodammodo agendi potestas datur, et omnis conceptio privatorum judiciorum constituitur. In ipsis autem judiciis rarius incidunt, et tamen si quando incidunt, ejusmodi sunt, ut per se minus habeant firmitudinis, confirmentur autem assumta alia aliqua constitutione. Wolf.

Ἐπρίατο τοῦ ἀργυρίου ἰστὸν] Σῖτον legendum, docet ipsa oratio. Idem.

Διέκοπτε τοῦ πλοίου τὸ ἔδαφος] Festus Pompeius carinam dicit esse infimam partem navis: sive eas trabes, quibus navis fundetur. Orator, quæ alias τροπὶς dicitur et στείρα, videtur κοίλην ναῦν, id est *cavam navem*, appellare: nisi forte peculiaris quispiam locus sic appelletur. Idem.

Καὶ τῶν Ἀθήνησιν συμβολαίων] F. Ἀθήνηθεν, ut ex oratione colligitur. et, v. ult. ἐκ περιουσίας δὲ αὐτῷ. Idem.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΠΑΡΑΓΡΑΦΗ

ΠΡΟΣ ΖΗΝΟΘΕΜΙΝ.

ά. Ἄνδρες δικασταί, βούλομαι, παραγεγραμμένος μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, περὶ τῶν νόμων πρῶτον εἰπεῖν, καθ' οὓς παρεγραψάμην. οἱ νόμοι κελεύουσιν, ὦ ἄνδρες δικασταί, τὰς δίκας εἶναι τοῖς ναυκλήροις καὶ τοῖς ἐμπόροις τῶν Ἀθήναζε καὶ τῶν Ἀθήνηθεν συμβολαίων, [1] περὶ ὧν ἂν ὦσι συγγραφαί· ἂν δέ τις παρὰ ταῦτα δικάζηται, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. τούτῳ τοίνυν Ζηνοθέμιδι πρὸς μὲν ἐμὲ ὅτι οὐδὲν ἦν συμβόλαιον οὐδὲ συγγραφή, καὶ αὐτὸς ὁμολογεῖ ἐν τῷ ἐγκλήματι· δανεῖσαι δέ φησιν Ἡγεστράτῳ [2] ναυκλήρῳ. τούτου δὲ ἀπολομένου ἐν τῷ πελάγει, ἡμᾶς τὸ ναῦλον σφετερίσασθαι, [3] τουτὶ τὸ ἔγκλημά ἐστιν. ἐκ δὲ τοῦ αὐτοῦ λόγου τήν τε δίκην οὐκ εἰσαγώγιμον οὖσαν μαθήσεσθε, καὶ τὴν ὅλην ἐπιβουλὴν καὶ πονηρίαν τουτουὶ τοῦ ἀνθρώπου ὄψεσθε. δέομαι δ' ὑμῶν ἁπάντων, ὦ ἄνδρες δικασταί, εἴπερ ἄλλῳ τινὶ πώποτε πράγματι τὸν νοῦν [4] προσέχετε, καὶ τούτῳ προσέχειν· ἀκούσεσθε γὰρ ἀνθρώπου τόλμαν καὶ πονηρίαν οὐ τὴν τυχοῦσαν, ἄν περ ἐγὼ τὰ πεπραγμένα αὐτῷ πρὸς ὑμᾶς πολ- 883
λάκις εἰπεῖν δυνηθῶ. οἴομαι δέ.

β'. Ζηνόθεμις γὰρ [5] οὑτοσὶ, ὢν ὑπηρέτης Ἡγεστράτου τοῦ ναυκλήρου, ὃν καὶ αὐτὸς ἔγραψεν ἐν τῷ ἐγκλήματι, ὡς ἐν τῷ πελάγει ἀπώλετο, — πῶς δὲ, οὐ προσέγραψεν, ἀλλ' ἐγὼ φράσω —, ἀδίκημα τοιουτονὶ μετ' ἐκείνου συνε-

[1] καὶ περὶ [2] * τῷ ναυκλήρῳ. [3] καὶ τουτὶ [4] προσείχετε
[5] οὑτοσὶ, ὦ ἄνδρες δικασταὶ, ὢν

ά. Μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην] Fortunatianus interpretatur: *An duci in judicium debeat.* Wolf.

Ναῦλον] Hic per ναῦλον intelligo; merces quæ navi vehebantur, nempe frumentum. Auger.

Μάθησθε] F. μαθήσεσθε. Wolf. Auger.

Πρὸς ὑμᾶς πολλάκις εἰπεῖν] Τὸ πολλάκις videtur abundare, et sic ordinanda verba: ἂν περ ἐγὼ δυνηθῶ εἰπεῖν πρὸς ὑμᾶς (ὑμῖν) τὰ πεπ. [Si referatur πρὸς ὑμᾶς ad εἰπεῖν, *dicere apud vos.* Sin ἡμᾶς ad πεπραγμένα: ad quod et τὸ πολλάκις referri potest, ut significet, Zenothemidem *multa in se commisisse. In farrag.*] Wolf. πολλάκις recidendum est, ut abundans vitiose. Auger.

σκευάσατο. χρήματα ἐν ταῖς Συρακούσαις [1]ἐδανείζετο [2]οὗτος καὶ ἐκεῖνος. ὡμολόγει δὲ ἐκεῖνος μὲν πρὸς τοὺς τούτῳ δανείζοντας, εἴ τις ἔροιτο, ἐνεῖναι σῖτον ἐν τῇ νηῒ τούτῳ πολύν· [2]οὗτος δὲ, πρὸς τοὺς ἐκείνῳ, τὸν γόμον οἰκεῖον ἔχειν αὐτὸν τῆς νεώς. [3]ἦν δὲ ὁ μὲν ναύκληρος, ὁ δὲ ἐπιβάτης. ἐπιστεύοντο εἰκότως ἃ περὶ ἀλλήλων ἔλεγον. λαμβάνοντες δὲ τὰ χρήματα, οἴκαδε ἀπέστελλον εἰς τὴν Μασσαλίαν καὶ οὐδὲν εἰς τὴν ναῦν εἰσέφερον. οὐσῶν δὲ τῶν [4]γραφῶν, ὥσπερ εἰώθασιν ἅπασαι, σωθείσης τῆς νεὼς ἀποδοῦναι τὰ χρήματα, ἵνα ἀποστερήσαιεν τοὺς [5]δανειστὰς, τὴν ναῦν καταδῦσαι ἐβουλεύσαντο. ὁ μὲν οὖν Ἡγέστρατος, ὡς ἀπὸ τῆς γῆς ἀπῆραν [6]δυοῖν ἢ τριῶν ἡμερῶν πλοῦν, καταβὰς τῆς νυκτὸς εἰς κοίλην ναῦν, διέκοπτε τοῦ πλοίου τὸ ἔδαφος· οὗτοσὶ δὲ, ὡς οὐδὲν εἰδὼς, ἄνω μετὰ τῶν ἄλλων ἐπιβατῶν διέτριβε. ψόφου δὲ γενομένου, [7]ᾐσθάνοντο οἱ ἐν τῷ πλοίῳ, ὅτι κακόν τι ἐν [8]τῇ κοίλῃ νηῒ γίνεται, καὶ βοηθοῦσι κάτω. ὡς δ' ἡλίσκετο ὁ Ἡγέστρατος καὶ δίκην δώσειν [9]ὑπέλαβε, φεύγει, καὶ ἐκδιωκόμενος ῥίπτει ἑαυτὸν εἰς τὴν θάλατταν· διαμαρτὼν δὲ τοῦ λέμβου διὰ τὸ νύκτα εἶναι, ἀπεπνίγη. ἐκεῖνος μὲν οὖν οὕτως, ὥσπερ ἦν [11]ἄξιος, κακὸς κακῶς ἀπώ-
84 λετο, ἃ τοὺς ἄλλους ἐπεβούλευσε ποιῆσαι, ταῦτα παθὼν αὐτός. οὗτοσὶ δὲ ὁ κοινωνὸς αὐτοῦ καὶ συνεργὸς, τὸ μὲν πρῶτον εὐθὺς ἐν τῷ πλοίῳ παρὰ τἀδικήματα, ὡς οὐδὲν εἰδὼς, ἀλλὰ [12]καὶ ἐκπεπληγμένος καὶ αὐτὸς, ἔπειθε τὸν πρωρέα καὶ τοὺς ναύτας εἰς τὸν λέμβον [13]ἐκβαίνειν καὶ ἐκλιπεῖν τὴν ναῦν τὴν ταχίστην, ὡς ἀνελπίστου τῆς σωτηρίας οὔσης, καὶ καταδυσομένης τῆς νεὼς αὐτίκα μάλα, ἵν', ὅπερ διενοήθησαν, [14]τουτὶ τελεσθείη, καὶ ἡ ναῦς ἀπόλοιτο, καὶ τὰ συμβόλαια ἀποστερήσαιεν. ἀποτυχὼν δὲ τούτου, καὶ

1 ἐδανείζοντο 2 οὗτοσὶ 3 ἂν - - - ἐπιβάτης, 4 συγγραφῶν 5 δανείσαντας
6 δυεῖν 7 αἰσθάνονται 8 Deest articulus. 9 ὑπελάμβανε 11 ἄξιος ἦν
12 Deest καί. 13 ἐμβαίνειν καὶ ἐκλείπειν 14 τοῦτ' ἐπιτελεσθείη

Ἦν δ' ὁ μὲν] M. ἂν δὲ ὁ μὲν ναύκληρος, ὁ δὲ ἐπιβάτης, ἐπιστεύοντο εἰκότως ἃ περὶ ἀλλήλων ἔλεγον. WOLF.

Εἰκότως δὴ] Sed τὸ δὴ abundabit, si ἂν pro ἦν legas, ut τὸ ἐπιστεύοντο sit initium τῆς ἀποδόσεως. IDEM.

Οὐσῶν δὲ τῶν γραφῶν] F. τῶν συγγραφῶν. IDEM.

Εἰς κοίλην ναῦν] Κοίλη ναῦς, *carina*, ubi *saburra*, ubi *sentina*, ἄντλος, πυθμὴν, quæ alioquin a κοίλῃ νηῒ distinguitur. Demosth. in Zenothem. Verum aliquando totum cavum, quod a carina ima patet ad tabulata et foros κοίλη ναῦς. et in eo sensu, ubi agitur de mora et somno honoratiorum in navi. *D'Orville Animadv. ad Charit. Aphrod.* L. VIII. c. III. p. 673.

Καί του παρ' ὑμῶν] Καί τινος τῶν Ἀθη-

τοῦ παρ' ἡμῶν [1] συμπλέοντος ἐναντιωθέντος, καὶ τοῖς ναύταις, εἰ διασώσαιεν τὴν ναῦν, μισθοὺς μεγάλους ἐπαγγειλαμένου, σωθείσης εἰς Κεφαληνίαν τῆς νεώς, διὰ τοὺς θεοὺς μάλιστά γε, [2] εἶτα διὰ τὴν ναυτῶν ἀρετὴν, πάλιν μετὰ τῶν Μασσαλιωτῶν τῶν τοῦ Ἡγεστράτου πολιτῶν μὴ καταπλεῖν Ἀθήναζε τὸ πλοῖον ἔπραττε, λέγων ὡς αὐτός τε καὶ τὰ χρήματα ἐκεῖθέν ἐστι, καὶ ὁ ναύκληρος εἴη, καὶ οἱ δεδανεικότες Μασσαλιῶται. ἀποτυχὼν δὲ καὶ τούτου, καὶ τῶν ἀρχόντων τῶν ἐν τῇ Κεφαληνίᾳ γνόντων Ἀθήναζε τὴν ναῦν καταπλεῖν, ὅθεν περ ἀνήχθη· ὃν οὐδ' ἂν εἷς ἐλθεῖν ᾤετο δεῦρο τολμῆσαι, τοιαῦτά γε ἐσκευωρημένον καὶ πεποιηκότα, οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, τοσοῦτον ὑπερβέβληκεν ἀναιδείᾳ καὶ τόλμῃ, ὥστ' οὐκ ἐλήλυθε μόνον, ἀλλὰ καὶ τοῦ σίτου τοῦ ἡμετέρου ἀμφισβητήσας ἡμῖν δίκην προσείληχε. τί οὖν πότ' ἐστὶ τὸ αἴτιον, καὶ τῷ πότ' ἐπηρμένος οὗτος καὶ ἐλήλυθε καὶ τὴν δίκην εἴληχεν, ἐγὼ ὑμῖν ἐρῶ, ἄνδρες δικασταὶ, ἀχθόμενος μὲν νὴ τὸν Δία καὶ θεοὺς, ἀναγκαζόμενος δέ. 885

γ'. Ἔστιν ἐργαστήρια μοχθηρῶν ἀνθρώπων συνεστηκότων ἐν τῷ Πειραιεῖ, οὓς οὐδ' ὑμεῖς [3] ἀγνοήσετε ἰδόντες. ἐκ τούτων ἕνα, ἡνίκα οὗτος ἔπραττεν ὅπως ἡ ναῦς μὴ [4] καταπλεύσηται δεῦρο, πρεσβευτὴν ἐκ βουλῆς τινὰ λαμβάνομεν γνώριμον οὕτωσί. ὅτι δ' ἦν τοιοῦτος οὐκ εἰδότες, ἀτύχημα οὐδὲν ἔλαττον, εἰ οἷόν τ' εἰπεῖν, ἀτυχήσαντες ἢ [5] τὸ ἐξαρχῆς πονηροῖς ἀνθρώποις συμμίξαι, οὗτος ὁ πεμφθεὶς ὑφ' ἡμῶν, Ἀριστοφῶν ὄνομα αὐτῷ, ὃς καὶ τὰ τοῦ Μικκαλίωνος πράγματα ἐσκευώρηται. [6] ταῦτα μὲν οὖν ἠκούομεν ἠργολαβηκέναι αὐτὸν καὶ κατεπηγγέλθαι τουτῳί. καὶ ὅλως ἐστὶν ὁ πάντα πράττων οὗτος. ὁδὶ δὲ ἄσμενος δέδεκται ταῦτα. ὡς γὰρ διήμαρτε τοῦ διαφθαρῆναι τὸ πλοῖον, οὐκ

[1] ἐμπλέοντος [2] εἶτα καὶ διὰ [3] ἀγνοήσαιτε [4] καταπλευσεῖται [5] τό γε ἐξαρχῆς [6] (ταῦτα γὰρ νῦν ἀκούομεν) ἠργολάβηκεν ἑαυτὸν, καὶ * κατεπήγγελται

ναίων. Wolf.

Τοιαῦτά γε ἐσκευωρημένον] *Qui talia contechnatus esset, qui hujuscemodi incepta insidiosa suscepisset atque adortus esset.* Budæus.

Πρεσβευτὴν ἐκ βουλῆς τινὰ] Suspecta lectio. [ἐκ βουλῆς τινὰ abesse possunt. *In farrag.*] et, v. pen. ἐστὶν ὁ πάντα πράττων οὗτος. Wolf.

γ'. Ἐκ βουλῆς τινὰ] Hæc tria verba recidenda putant nonnulli, ut nullum sensum præbentia, ego retinenda censeo levi mutatione ἐπιβουλῆς pro ἐκ βουλῆς: *legatum quendam insidiarum*, Gallice *un agent de fourberie.* Auger.

Ταῦτα] Nempe, *ea quæ facta sunt et*

ἔχων ἀποδοῦναι τὰ χρήματα τοῖς δανείσασι, — πῶς γὰρ, ἄγε ἐξ ἀρχῆς μὴ ἐνέθετο; — ἀντιποιεῖται τῶν ἡμετέρων, καὶ φησὶ τῷ Ἡγεστράτῳ ἐπὶ τούτῳ τῷ σίτῳ δεδανεικέναι, ὃν ὁ παρ' ἡμῶν ἐπιπλέων ἐπρίατο. οἱ δὲ [1] δανεισταὶ ἐξαρχῆς ἐζητατημένοι, ὁρῶντες ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, [2] ἀλλ' οὐδ' ἐλπίδα ἔχοντες, ὑπὸ τούτου παρακρουσθέντων ἡμῶν, ἐκ τῶν ἡμετέρων ἀπολήψεσθαι τὰ ἑαυτῶν, ὃν ἴσασι ψευδόμενον ταῦτα καθ' ἡμῶν, τούτῳ συνδικεῖν ἀναγκάζονται τοῦ συμφέροντος εἵνεκα τοῦ ἑαυτῶν.

δ'. Τὸ μὲν οὖν πρᾶγμα, ὑπὲρ οὗ τὴν ψῆφον οἴσετε, ὡς εἰπεῖν ἐν κεφαλαίῳ, τοιοῦτόν ἐστι· βούλομαι δὲ τοὺς μάρτυρας ὧν λέγω πρῶτον ὑμῖν παρασχόμενος, μετὰ ταῦτα δὴ καὶ τἆλλα διδάσκειν. καί μοι λέγε τὰς μαρτυρίας.

386 ΜΑΡΤΥΡΙΑΙ.

ἐπειδὴ τοίνυν ἀφίκετο δεῦρο τὸ πλοῖον, γνόντων τῶν Κεφαλήνων, ἀντιπράττοντος τούτου, ὅθεν ἐξέπλευσε τὸ πλοῖον, ἐνταῦθα καὶ καταπλεῖν αὐτὸ, τὴν μὲν ναῦν οἱ ἐπὶ τῇ νηὶ δεδανεικότες [3] ἐνθάδε εὐθέως εἶχον· τὸν δὲ σῖτον ὁ ἠγορακὼς εἶχεν· ἦν δ' οὗτος ὁ ἡμῖν τὰ χρήματα ὀφείλων. μετὰ ταῦτα οὗτος ἧκεν ἔχων τὸν παρ' ἡμῶν πρεσβευτὴν πεμφθέντα τὸν Ἀριστοφῶντα, καὶ ἠμφισβήτει τοῦ σίτου, φάσκων, Ἡγεστράτῳ δεδανεικέναι. τί λέγεις ἄνθρωπε; εὐθέως [4] ὁ ἄνθρωπος ὁ Πρῶτος — τοῦτο γὰρ ἦν τοὔνομα τῷ τὸν σῖτον εἰσαγαγόντι, τῷ τὰ χρήμαθ' ἡμῖν ὀφείλοντι —, σὺ χρήματα δέδωκας Ἡγεστράτῳ, μεθ' οὗ τοὺς ἄλλους ἐξηπάτηκας ὅπως [5] δανείσηται; καὶ σοὶ πολλάκις λέγοντα, ὅτι τοῖς προεμένοις ἀπολεῖται τὰ χρήματα, σὺ οὖν ταῦτα ἀκούων αὐτὸς ἂν προήκω; ἔφη, καὶ ἀναιδὴς ἦν. οὐκ οὖν εἰ

[1] δανεισταὶ τὸ ἐξαρχῆς [2] ἄλλο δ' οὐδὲν, ἐλπίδας [3] ἐνθένδε [4] Desunt ὁ ἄνθρωπος.
[5] δανείσηται, * καίτοι π. λέγοντας, — χρήματα;

de quibus queror. Idem.

Ἀλλ' οὐδ' ἐλπίδα ἔχοντες ὑπὸ τούτου] S. διαλυθῆναι τὰ ὀφειλόμενα. Legendum fortassis παρὰ τούτου, ut referatur ad ἀπολήψεσθαι τὰ ἑαυτῶν. Wolf.

Παρακρουσθέντων δ' ὑμῶν] S. τῶν δικαστῶν. Idem.

δ'. Σὺ χρήματα δέδωκας] M. δεδάνεικας. Idem.

Ὅπως δανείσησθε] Probo hoc, etsi et δανείσηται ad solum Hegestratum referri potest. et mox καί σοι πολλάκις λέγοντος. Idem.

Αὐτὸς ἂν προήκων, ἔφη, καὶ] Legendum

καὶ τὰ μάλιστα ἀληθῆ λέγεις, τῶν παρόντων τις ὑπέλαβεν, ὁ σὸς κοινωνὸς καὶ πολίτης ὁ Ἡγέστρατος, ὡς ἔοικεν, ἐξηπάτηκέ σε, καὶ ὑπὲρ τούτων αὐτὸς αὐτῷ θανάτου τιμήσας ἀπόλωλε. καὶ ὅτι γε, ἔφη τις τῶν παρόντων, ἁπάντων ἔστι συνεργὸς οὗτος ἐκείνῳ, σημεῖον ὑμῖν ἐρῶ. πρὸ γὰρ τοῦ διακόπτειν ἐπιχειρῆσαι τὴν ναῦν, τίθενται [1] πρόστιμα τῶν συμπλεόντων οὗτος καὶ Ἡγέστρατος βιβλίον συγγραφήν. καίτοι, εἰ μὲν εἰς πίστιν δέδωκας, τί πρὸ τοῦ κακουργήματος ἂν τὰ βέβαια ἐποιοῦ; εἰ δ' ἀπιστῶν ἐτύγχανες, τί οὐχ, ὥσπερ οἱ ἄλλοι, τὰ δίκαια ἐλάμβανες ἐν τῇ γῇ; τί ἂν τὰ πολλὰ [2] λέγῃ τις; ἢν γὰρ οὐδ' ὁτιοῦν πλέον ἡμῖν ταῦτα λέγουσιν· ἀλλ' [3] εἴχετο τοῦ σίτου. ἐξῆγεν αὐ- 887
τὸν ὁ Πρῶτος, καὶ ὁ κοινωνὸς τοῦ Πρώτου Φέρατατος· οὗτοσὶ δ' οὐκ ἐξήγετο, οὐδ' ἂν ἔφη διαρρήδην ὑπ' οὐδενὸς [4] ἐξαχθῆναι, εἰ μὴ αὐτὸν ἐγὼ ἐξάξω. μετὰ ταῦτα προὐκαλεῖτο ὁ Πρῶτος αὐτὸν καὶ ἡμεῖς ἐπὶ τὴν ἀρχὴν τὴν τῶν Συρακουσίων. κἂν μὲν ἐωνημένος τὸν σῖτον ἐκεῖνος φαίνηται, καὶ τὰ τέλη κείμενα [5] ἐκείνου, καὶ τὰς τιμὰς ὁ διαλύων ἐκεῖνος, τοῦτον ποιηρὸν ὄντα [6] ἀξιοῦμεν ζημιοῦσθαι· εἰ δὲ μή, καὶ τὰ διάφορα ἀπολαβεῖν, καὶ τάλαντον προσλαβεῖν, καὶ τοῦ σίτου ἀφιστάμεθα. ταῦτ' ἐκείνου προκαλουμένου καὶ λέγοντος, καὶ ἡμῶν, οὐδὲν ἦν πλέον· ἀλλ' ἦν αἵρεσις, ἢ τοῦτον [7] ἐξάγειν, ἢ ἀπολωλεκέναι σωθέντα παρόντα τὰ

[1] πρός τινα [2] λέγοι [3] ἀντείχετο [4] ἐξαχθῆναι ἂν, εἰ [5] ἐκείνῳ [6] ἠξιοῦμεν [7] ἐξάγειν ἡμᾶς, ἢ ἀ. σ. καὶ παρόντα

αὐτὸς ἂν πρόκκω; cum interrogatione, παρὰ τὸ πρίαμαι, ἀόρ. ἀ. μέσος, πρίαμαι, πρόκκω, προόκκατο. Sequitur, ἔφη (S. ὁ Ζηνόδημος πρόεσθαι) καὶ ἀναιδὴς ἦν. Quia affirmabat rem absurdam. Idem.

Τίθενται πρόστιμα τῶν συμπλεόντων οὗτος καὶ Ἡγέστρατος βιβλίον συγγραφήν] F. πρόστιμα ἐπιστοῦν ἢ ἐμπορεύεσθαι τῶν συμπλεόντων, et βιβλίον συγγραφήν. Idem. Vel delendum est βιβλίον, vel συγγραφὴν accipiendum tanquam appositio ad βιβλίον, np. *scripturam, libellum, quæ*, aut *qui erat syngrapha*. Auger.

Βιβλίον συγγραφὴν] Vel ut potius leg. βίβλιον συγγραφὴν, scripsit Demosthenes, ut ostendat esse exemplum syngraphæ in charta scriptum, ac diversum ab authentico. βίβλιος, ut dixi, συγγραφὴ vocatur, chartacea vel in charta scripta, quam βίβλον dixerunt. Inde βίβλιος *ex charta*. Nam τὸ βιβλίον diminutivum est, parva nempe βίβλος, exiguus liber chartaceus. Posset tamen etiam legi, quod interpreti video placuisse, βιβλίον συγγραφῆς. *Salmas. de M. U.* p. 401. Plura vide de syngrapha nautica in l. l.

Εἰ μὲν εἰς πίστιν ἔδωκας] Πιστεύσαι αὐτῷ. Sequitur, εἰ δ' ἀπιστῶν ἐτύγχανες. Wolf.

Τί πρὸ τοῦ κακουργήματος ἂν τὰ βέβαια ἐποιοῦ] Ἐβεβαίους τὸ συνάλλαγμα. Dicat Zenothemis, se illos testes adhibere voluisse, si arcanis pactis non stetisset Hegestratus, demerso frumento. Dilemma hoc ad coarguendam fraudem et conspirationem cum Hegestrato Zenothemidis pertinens, paulo videtur obscurius. Idem.

Τὰ διάφορα] Nempe, frumentum de quo lis erat. Auger.

Ταῦτ' ἐκείνου προκαλουμένου καὶ λέγοντος καὶ ἡμῶν οὐδὲν ἦν πλέον] F. καὶ λέγοντος· ἡμῖν οὐδὲν ἦν πλέον. Wolf. Auger.

ἡμέτερ᾽ αὐτῶν. ὁ γὰρ αὖ Πρῶτος διεμαρτύρετο ἐξάγειν βεβαιοῦν ἀναπλεῖν ἐθέλειν εἰς τὴν Σικελίαν. [1] εἰ δ᾽ αὖ θέλοντος αὐτοῦ προήσομεν ἡμεῖς τούτῳ τὸν σῖτον, οὐδὲν αὐτῷ [2] μέλει. καὶ ὅτι ταῦτ᾽ ἀληθῆ λέγω, καὶ οὔτ᾽ ἂν ἐξαχθῆναι ἔφη, εἰ μὴ ὑπ᾽ ἐμοῦ, οὔτε ἃ προὐκαλεῖτο περὶ τοῦ ἀναπλεῖν ἐδέχετο, ἔν τε τῷ πλοίῳ τὴν συγγραφὴν ἔθετο, λέγε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

ε. Ἐπειδὴ τοίνυν οὔτ᾽ ἐξάγεσθαι ἤθελεν ὑπὸ τοῦ Πρώτου, οὔτ᾽ εἰς τὴν Σικελίαν ἀναπλεῖν ἐπὶ τὰ δίκαια, προειδώς τε ἅπαντα ἐφαίνετο, ἃ ὁ Ἡγέστρατος ἐκακούργει, λοιπὸν ἦν ἡμῖν τοῖς [4] ἐνθάδε πεποιημένοις τὸ συμβόλαιον, παρειληφόσι δὲ τὸν σῖτον παρὰ τοῦ δικαίως ἐκεῖ πριαμένου, ἐξάγειν τοῦτον. τί γὰρ ἂν καὶ ἄλλο ἐποιοῦμεν; οὔπω γὰρ
888 τοῦτό γε οὐδεὶς ἡμῶν τῶν κοινωνῶν [5] ὑπελάμβανεν, ὡς ὑμεῖς γνώσεσθέ ποτ᾽, εἶναι τούτου τὸν σῖτον, ὃν καταλιπεῖν οὗτος ἔπειθε τοὺς ναύτας, ὅπως ἀπόλοιτο τοῦ πλοίου καταδύντος. ὃ καὶ μέγιστόν ἐστι σημεῖον τοῦ μηδὲν προσήκειν αὐτῷ. τίς γὰρ ἂν τὸν ἑαυτοῦ σῖτον ἔπειθε προέσθαι τοὺς σώζειν βουλομένους; ἢ τίς οὐκ ἂν ἔπλει δεξάμενος τὴν πρόκλησιν εἰς τὴν Σικελίαν, [6] οὗ ἦν ἐλέγξαι καθαρῶς. καὶ μὴν οὐδὲ τοῦτο [7] ἔμελλον ὑμῶν καταγνώσεσθαι, ὡς εἰσαγώγιμον τούτῳ [8] ψηφιεῖσθαι τὴν δίκην περὶ τούτων τῶν χρημάτων, ἃ κατὰ πολλοὺς τρόπους οὗτος ἔπραττεν, ὅπως μὴ εἰσαγώγιμα δεῦρ᾽ ἔσται. πρῶτον μέν, ὅτε αὐτὰ καταλιπεῖν τοὺς ναύτας ἔπειθεν· εἶθ᾽, ὅτ᾽ ἐν Κεφαληνίᾳ μὴ δεῦρο πλεῖν τὴν ναῦν ἔπραττε. πῶς γὰρ οὐκ αἰσχρὸν καὶ δεινὸν ἂν γένοιτο, εἰ Κεφαλῆνες μέν, ὅπως [9] Ἀθηναίοις σωθῇ τὰ χρήματα, δεῦρο πλεῖν τὴν ναῦν ἔκριναν, ὑμεῖς δ᾽ ὄντες Ἀθηναῖοι τὰ τῶν πολιτῶν τοῖς καταποντίσαι βουλη-

[1] δ᾽ ταῦτ᾽ ἐθέλοντος αὐτοῦ * προησόμεθ᾽ [2] μέλειν [4] ἐνθένδε μὲν πεποιημένοις [5] ὑπέλαβεν [6] οὗ ταῦτα ἦν [7] * ἐμέλλομεν [8] ψηφιεῖσθε [9] τοῖς ἀθηναίοις

Διεμαρτύρετο ἐξάγειν βεβαιοῦν] F. διεμαρτύρετο, τῷ ἐξάγειν βεβαιῶν, ἀναπλεῖν ἐθέλειν. Nisi forte sit ἀσύνδετον, *testificabatur, se velle illum educere, satisdare, navigare in Siciliam.* WOLF.

Βεβαιοῦν] *Rem firmare, rem facere suomet periculo.* AUGER.

Ἔν τε τῷ πλοίῳ τὴν συγγραφὴν ἔθετο] Συνεγράφατο ἢ ἐποιήσατο, τὴν πρὸς Ἡγέστρατον. WOLF.

ε. Οὔπω γὰρ τοῦτό γε] F. οὗτοι. IDEM.

θεῖσι δοῦναι γνοίητε; καὶ ἃ μὴ καταπλεῖν ὅλως οὗτος δεῦρο ἔπραττε, ταῦτ' εἰσαγώγιμα τούτῳ [1] ψηφίσασθαι; μὴ δήπου, ὦ Ζεῦ καὶ θεοί! λέγε δή μοι τί παραγέγραμμαι.

ΠΑΡΑΓΡΑΦΗ.

λέγε δή μοι τὸν νόμον.

ΝΟΜΟΣ.

ς'. Ὅτι μὲν [2] τοίνυν ἐκ τῶν νόμων παρεγραψάμην, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, ἱκανῶς [3] οἶμαι δεδεῖχθαι· τέχνην δ' ἀκούσεσθε τοῦ σοφοῦ τοῦ ταῦτα πάντα συντεταχότος τοῦ Ἀριστοφῶντος. ὡς γὰρ ἐκ τῶν πραγμάτων ἁπλῶς οὐδὲν ἑώρων δίκαιον [4] αὐτοῖς ἐνὸν, ἐπικηρυκεύονται τῷ Πρώτῳ, καὶ πείθουσι τὸν ἄνθρωπον [5] μὴ] ἐνδοῦναι τὰ πράγματ' [4] αὐτοῖς· πράττοντες μὲν, ὡς ἔοικε, καὶ ἐξ 339
ἀρχῆς τοῦτο, ὡς ἡμῖν [6] νῦν φανερὸν γέγονεν, οὐ δυνάμενοι δὲ πεῖσαι. ὁ γὰρ ἄνθρωπος ὁ Πρῶτος, ἕως μὲν ᾤετο τὸν σῖτον κέρδος ἐλθόντα ποιήσειν, ἀντείχετο τούτου, καὶ μᾶλλον ᾑρεῖτο αὐτός τε κερδαίνειν καὶ ἡμῖν τὰ δίκαια ἀποδοῦναι, ἢ κατακοινωνήσας τούτοις τῆς μὲν ὠφελείας τούτους ποιῆσαι μερίτας, ἡμᾶς δ' ἀδικῆσαι· ὡς δὲ δεῦρο ἥκοντος αὐτοῦ καὶ περὶ ταῦτα πραγματευομένου, ἐπανῆκεν ὁ σῖτος, ἄλλην εὐθέως ἔλαβε γνώμην. καὶ ἅμα — εἰρήσεται γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, [7] πρὸς ὑμᾶς ἡ ἀλήθεια — καὶ ἡμεῖς οἱ δεδανεικότες προσεκρούομεν αὐτῷ καὶ πικρῶς εἴχομεν, τῆς τε ζημίας ἐφ' ἡμᾶς ἰούσης τῆς ἐπὶ τὸν σῖτον, καὶ συκοφάντην ἀντὶ χρημάτων αἰτιώμενοι τοῦτον ἡμῖν κεκομικέναι. ἐκ τούτων, οὐδὲ φύσει χρηστὸς ὢν ἄνθρωπος δηλονότι, ἐπὶ τούτους ἀποκλίνει, καὶ συγχωρεῖ τὴν

[1] ψηφίσαισθε [2] τοίνυν δικαίως ἐκ [3] οἴομαι [4] αὐτοῖς [5] Deest μή. [6] νυνὶ [7] πᾶσα πρὸς

ς'. Ἐπικηρυκεύονται] Hic adhibetur de privatorum hominum nunciis, et non de caduceatoribus publica auctoritate missis. Cf. Thucyd. VII. c. 48. *Valckenaer. Animadv. ad Ammonium*, L. I. c. 20. fin.

Ἡ κατακοινωσάσης τούτοις] Lego κατακοινωνήσας. Wolf.

Τούτους ποιῆσαι μερίτας] Μετόχους καὶ κοινωνοὺς τοῦ κέρδους, παρὰ τὸ μέρος. Idem.

Τῆς ἐπὶ τὸν σῖτον] M. τῆς περὶ τὸν σῖτον, τὸν ἐπανεικότα, τουτέστιν, εὐνοϊκότερον γενόμενον. Idem.

Ἀποκλίνει] F. ἀποκλίνει. et p. 479. v. 1. ὅτε οὔπω ταὐτὰ ἐφρόνουν. Idem.

Καὶ συγχωρεῖ τὴν δίκην ἔρημον ὄφλειν] S. ἑαυτόν. Nisi forte aliquid desit: ut omni-

δίκην ἔρημον ὄφλειν, ἣν οὗτος αὐτῷ λαγχάνει τότε, ὅτε οὔπω [1]ταῦτα ἐφρόνουν. εἰ μὲν γὰρ ἀφῆκε τὸν Πρῶτον, [2]ἐξήλεγκτ' ἂν εὐθέως ἡμᾶς συκοφαντῶν· ὄφλειν δὲ παρὼν ἐκεῖνος οὐ συνεχώρει, ἵν' ἐὰν μὲν αὐτῷ ποιῶσιν ἃ ὡμολογήκασιν, εἰ δὲ μή, τὴν ἔρημον ἀντιλάχῃ. ἀλλὰ τί ταῦτα; εἰ μὲν γὰρ ἃ γέγραφεν οὗτος εἰς τὸ ἔγκλημα, ἐποίει, οὐκ ὄφλειν ἂν δίκην δικαίως, ἀλλ' ἀποθανεῖν ὁ Πρῶτος ἔμοιγε δοκεῖ. εἰ γὰρ ἐν κακοῖς καὶ χειμῶνι τοσοῦτον οἶνον ἔπινεν, ὥστε ὅμοιον εἶναι μανίᾳ, τί οὐκ ἄξιος εἴη παθεῖν; ἢ εἰ γράμματ' ἔκλεπτεν, ἢ ὑπανέῳγεν;

ζ'. Ἀλλὰ ταῦτα [3]μὲν πρὸς ἑαυτοὺς ὑμεῖς ὅπως ποτὲ
890 ἔχῃ διακρινεῖσθε· τῇ δ' ἐμῇ δίκῃ μηδὲν ἐκείνης προσαγε. εἴ τι σε ἠδίκησεν ὁ Πρῶτος ἢ λέγων ἢ ποιῶν, ἔχεις, ὡς ἔοικε, δίκην· οὐδεὶς ἡμῶν ἐκώλυσεν, οὐδὲ νῦν παραιτεῖται. εἰ δὲ σεσυκοφάντηκας, οὐ περιεργαζόμεθα νὴ Δία, ἀλλ' ἐκποδών ἐστιν ἄνθρωπος· διά γε ὑμᾶς, ἵνα τάς τε μαρτυρίας τὰς ἡμετέρας λίπῃ, καὶ νῦν ὑμεῖς, ὅ τι ἂν βούλησθε, λέγητε κατ' αὐτοῦ. εἰ μὴ γὰρ δι' ὑμῶν ἔρημος ἐγίγνετο ἡ δίκη, ἅμα ἂν αὐτὸν προσεκαλοῦ καὶ κατηγγύας πρὸς τὸν πολέμαρχον. καὶ εἰ μὲν κατέστησέ σοι τοὺς ἐγγυητάς, μένειν ἠναγκάζετ' ἂν, ἢ σὺ παρ' ὧν [4]λήψῃ δίκην, ἑτοίμους εἶχες· εἰ δὲ μὴ κατέστησεν, εἰς τὸ οἴκημα ἂν ἦει. νῦν δὲ κοινωσάμενοι τὸ πρᾶγμα, ὁ μὲν, διὰ σοῦ τὴν γεγονυῖαν [5]ἔνδειαν οὐκ ἀποδώσειν ἡμῖν οἴεται· σὺ δ' ἐκείνου κατηγο-

[1] ταὐτὰ [2] ἐξελήλεγκτ' [3] μὲν αὐτοὶ πρὸς [4] λήψει [5] ἔκδειαν

no videtur hæc narratio abrupta esse de actione Zenothemidis, et de ebrietate et furto Proti. Idem.

Ὄφλειν δὴ παρὰν ἐκεῖνος οὐ συνεχώρει] Τίς δὲ ὁ παρών; τίς ὁ ὄφλων. Idem.

Ἵν', ἐὰν μὲν αὐτῷ ποιῶσιν, ἃ ὡμολογήκασιν] Elliptica formula καὶ ἀνανταπόδοτος, S. εὖ ἂν εἴη, ἤ, καλῶς ἂν ἔχοι. Talis est et in Evangelio D. Lucæ c. XIII. v. 8. Κύριε, ἄφες τὴν συκῆν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν, καὶ βάλω κοπρίαν, κἂν μὲν ποιήσῃ καρπὸν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν. Idem.

Ὡμολογήκασι] Adde καλῶς ἂν ἔχοι, vel aliud quid. Auger.

Εἰ δὲ μὴ τὴν ἔρημον ἀντιλάχῃ] Sunt et hæc valde salebrosa, in quibus transferendis feci, quod potui: præstent meliora beati. Wolf.

Δικαίως] Adde vel sub. μόνον. Auger.

Ὥστε ὅμοιον εἶναι μανίᾳ] Vim ingentem vini, quam absumpserat [Zenothemis], declarare volens Demosthenes, addit illum, non insanum tantum, sed insaniæ ipsi furorique similem. *Victor. Var. Lect.* L. VIII. c. 4. loca similia Terentii Demosthenisque de servorum ebrietate in malis rebus excutiens.

Ζ'. Ἔχεις ὡς ἔοικε δίκην] Utrum, *jure agere tibi licet?* an, *pœnas de eo sumpsisti?* Wolf.

Οὐδὲ] Lego εἰ δὲ σεσυκοφάντηκας· οὐ περιεργαζόμεθα. Νὴ Δί'· ἀλλ' ἐκποδών ἐστιν ὁ ἄνθρωπος. Hæc est ὑποφορὰ adversarii. Respondet alter, διά γε ὑμᾶς, S. ἐκποδών ἐστι. Idem.

Διὰ σοῦ τὴν γεγονυῖαν ἔνδειαν] F. διὰ τὴν διὰ σοῦ γεγονυῖαν ἔνδειαν, S. τὴν ἀπεγασίαν

ρῶν τῶν ἡμετέρων κύριος [1]γεγενῆσθαι. τεκμήριον δέ. ἐγὼ μὲν γὰρ αὐτὸν κλητεύσω· σὺ δ' οὔτε κατηγγύησας, οὔτε νῦν κλητεύσεις.

ἡ. Ἔτι τοίνυν ἑτέρα τις ἐλπίς [2]ἐστιν αὐτοῖς τοῦ παρακρούσεσθαι καὶ φενακιεῖν ὑμᾶς. αἰτιάσονται Δημοσθένην, καὶ ἐκείνῳ ἐμὲ πιστεύοντα φήσουσιν ἐξάγειν τουτονί, ὑπολαμβάνοντες τῷ ῥήτορα καὶ γνώριμον εἶναι ἐκεῖνον, πιθανὴν ἔχειν τὴν αἰτίαν. ἐμοὶ δ' ἐστί, ὦ ἄνδρες Ἀθηναῖοι, Δημοσθένης οἰκεῖος γένει· καὶ πάντας ὑμῖν ὄμνυμι τοὺς θεούς, ἢ μὴν ἐρεῖν τἀληθῆ. προσελθόντος δ' αὐτῷ μου, καὶ παρεῖναι καὶ βοηθεῖν ἀξιοῦντος, εἴ τι ἔχοι· Δήμων, ἔφη, ἐγὼ ποιήσω μέν, ὡς ἂν σὺ κελεύῃς. καὶ γὰρ ἂν δεινὸν εἴη. δεῖ μέντοι καὶ τὸ σαυτοῦ καὶ τοὐμὸν λογίσασθαι. ἐμοὶ συμβέβηκεν ἀφ' οὗ περὶ τῶν κοινῶν λέγειν ἠρξάμην, μηδὲ πρὸς 891
ἓν πρᾶγμα ἴδιον προσεληλυθέναι· ἀλλὰ καὶ τῆς πολιτείας αὐτῆς τὰ τοιαῦτα [3]ἐξέστηκα.

[1] γενήσεσθαι. [2] ἐστὶν ἐλπὶς. [3] ἐξέστηκα. Desunt quædam.

τοῦ σίτου, ἢ, τὸ ἐπανειμένον τῆς τιμῆς καὶ εὔωνον. Sententia est, Zenothemidem obstitisse, quo minus frumentum mature beneque venderetur. Idem. ἔνδεια significat id quod deerit summæ creditæ ob damnum emergens ex frumento non statim vendito. σὺ δὲ, sub. οἴῃ. Auger.

ἡ. Ἀλλὰ καὶ τῆς πολιτείας αὐτῆς τὰ τοιαῦτα ἐξέστηκα] Οὐδὲ δημοσίᾳ δικάζομαι ἢ συνδικῶ τινὶ, οὐκ ἂν περίτριμμα τῆς ἀγορᾶς, ὥσπερ Αἰσχίνης. Dissimulat hic id, quod facit: ὥσπερ οὐκ ὂν παρεῖναι καὶ βοηθεῖν τὸ λογογραφεῖν. Adversus Theocrinem autem Demosthenes Demosthenem accusat, et oratores non tam acriter, quam vere, insectatur. Wolf. Hæc ultima phrasis obscura est, et nonnulli putant pauca deesse. Ego ex hac eum sensum erui [sc. in Interpr. Gallic.] qui mihi optimus visus est. Auger.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΑΠΑΤΟΥΡΙΟΝ ΠΑΡΑΓΡΑΦΙΚΟΥ ΛΟΓΟΥ.

Pag. ed. Reisk.

891 Ὁ ΠΑΡΑΓΡΑΦΟΜΕΝΟΣ τὴν δίκην, ἰδίᾳ μέν τινα συμβόλαια πρὸς Ἀπατούριον ἔχων, ἄφεσιν ἐπ' ἐκείνοις καὶ ἀπαλλαγὴν ἐποιήσατο· νῦν δὲ ὑπὲρ Παρμένοντος ἐγκαλεῖται καὶ ἀπαιτεῖται χρήματα. ὁ γὰρ Παρμένων πολίτης μὲν ἦν τοῦ ἐμπόρου τοῦ Ἀπατουρίου Βυζάντιος, ψυγὴν δὲ ἐκ τῆς πατρίδος κατεδεδίκαστο. φίλῳ δὲ καταρχὰς τῷ Ἀπατουρίῳ χρώμενος, ὕστερον προσκρούσας, εἰς δίκας ἦλθε· καὶ ἐδίωκε τὸν Ἀπατούριον πληγῶν τε καὶ βλάβης. κἀκεῖνος αὖθις τῷ Παρμένοντι δίκην ἀντέλαχεν. ὁ μὲν οὖν Ἀπατούριος [1 ἐν] διαιτητῇ τὸ πρᾶγμα ἐπιτραπῆναί φησιν Ἀριστοκλεῖ, κἀκεῖνον καταγνῶναι τοῦ Παρμένοντος. διόπερ ἐπὶ τοῦτον ἥκει τὸν νῦν παραγραφόμενον τὴν δίκην, ἐγγυητὴν τοῦ Παρμένοντος γεγενῆσθαι φάσκων. ὁ δὲ οὐδὲν τούτων ὁμολογεῖ· ἀλλὰ πρᾶττον μέν φησι, τρισὶν αὐτοὺς ἐπιτρέψαι διαιτηταῖς, οὐχ ἑνὶ τῷ Ἀριστοκλεῖ. ἔπειτα ἐγγυητὴν τοῦ Παρμένοντος ἐν ταῖς συνθήκαις Ἀρχίππον γραφῆναι, κἀκείνας δὲ ἀφανισθῆναι τὰς συνθήκας, κακουργίᾳ τοῦ Ἀπατουρίου, πείσαντος τὸν Ἀριστοκλέα τὸν ἔχοντα αὐτὰς
892 μὴ κομίζειν εἰς μέσον, ἀλλὰ λέγειν ὡς ἀπολώλεκε τὸ γραμματεῖον καθεύδων ὁ παῖς· ἑτέρας δὲ οὐκέτι γραφῆναι συνθήκας, οὐδὲ ἐπιτραπῆναι τὸ πρᾶγμα διαιτητῇ, τῆς μὲν πρότερον ἀναιρεθείσης τῇ τῶν συνθηκῶν ἀπωλείᾳ, δευτέρας δὲ οὐκέτι συμβαθείσης αὐτοῖς. [2 τὸν Ἀριστοκλέα παρὰ πάντα τὰ δίκαια κατὰ τοῦ Παρμένοντος ἀποφήνασθαι, οὐκέτ' ὄντα διαιτητὴν, καὶ ταῦτα ἀποδημοῦντός τε τοῦ Παρμένοντος κατὰ συμφορὰν μεγάλην καὶ ἀπηγορευκότος αὐτῷ μὴ διαιτᾶν. ταῦτά τε οὖν ὁ τὴν δίκην [3 ἔχων προτείνεται τὰ δίκαια καὶ παραγράφεται τὸν ἀγῶνα, λέγων, ἐπὶ μὲν τοῖς γενομένοις αὐτῷ πρὸς Ἀπατούριον συμβολαίοις, ἄφεσιν ὑπάρξαι, ὕστερον δὲ οὐδὲν ἔτι γεγενῆσθαι συμβόλαιον· περὶ δὲ τῶν τοιούτων τοὺς νόμους μὴ διδόναι δικάζεσθαι.

[1 ἑνὶ [2 τὸν δὲ Ἀριστοκλέα [3 φεύγων

Ὁ παραγραφόμενος. WOLF.

Ἐν διαιτητῇ] Aut ἐν διαίτῃ τὸ πρᾶγμα, aut Ἀπατούριος διαιτητῇ τ. π. ε. φ. Ἀριστοκλεῖ. *In fartug.* leg. potius ἑνὶ διαιτητῇ.

IDEM.

Συμβαθείσης αὐτοῖς. τὸν Ἀριστοκλέα] F. συμφαθείσης (παρὰ τὸ σύμφημι) aut συμβιβασθείσης αὐτοῖς. τὸν δ' Ἀριστοκλέα. IDEM.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΠΑΡΑΓΡΑΦΗ

ΠΡΟΣ ΑΠΑΤΟΥΡΙΟΝ.

ά. ΤΟΙΣ μὲν ἐμπόροις, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς ναυκλήροις κελεύει ὁ νόμος εἶναι τὰς δίκας πρὸς τοὺς θεσμοθέτας, ἐάν τι ἀδικῶνται ἐν τῷ ἐμπορίῳ, ἢ ἐνθένδε ποι πλέοντες ἢ ἑτέρωθεν δεῦρο, καὶ τοῖς ἀδικοῦσι δεσμὸν ἔταξε τοιοῦτο-

τίμιον, ἕως ἂν ἐκτίσωσιν ὅ τι ἂν αὐτῶν καταγνωσθῇ, ἵνα μηδεὶς ἀδικῇ μηδένα τῶν ἐμπόρων εἰκῇ· τοῖς δὲ περὶ τῶν μὴ γενομένων συμβολαίων εἰς κρίσιν [1]καθισταμένοις, ἐπὶ τὴν παραγραφὴν καταφεύγειν ἔδωκεν ὁ νόμος, ἵνα μὴ συ- 893
κοφαντῶνται, ἀλλ' αὐτοῖς τοῖς τῇ ἀληθείᾳ ἀδικουμένοις τῶν ἐμπόρων καὶ τῶν ναυκλήρων αἱ δίκαι ὦσι. καὶ πολλοὶ ἤδη τῶν φευγόντων ἐν ταῖς ἐμπορικαῖς παραγραψάμενοι κατὰ τὸν νόμον τοῦτον, καὶ εἰσελθόντες εἰς ὑμᾶς, ἐξήλεγξαν τοὺς δικαζομένους ἀδίκως ἐγκαλοῦντας καὶ ἐπὶ τῇ προφάσει τοῦ ἐμπορεύεσθαι συκοφαντοῦντας. ὁ μὲν οὖν μετὰ [2]τούτων μοι ἐπιβεβουλευκὼς καὶ τὸν ἀγῶνα τουτονὶ κατεσκευακὼς, προϊόντος τοῦ λόγου, καταφανὴς ὑμῖν ἔσται· ἐγκαλοῦντος δέ μοι Ἀπατουρίου τὰ ψευδῆ καὶ παρὰ τοὺς νόμους δικαζομένου, καὶ, ὅσα μὲν ἐμοὶ καὶ τούτῳ ἐγένετο συμβόλαια, πάντων ἀπαλλαγῆς καὶ ἀφέσεως γενομένης, ἄλλου δὲ συμβολαίου οὐκ ὄντος ἐμοὶ πρὸς τοῦτον οὔτε ναυτικοῦ οὔτ' ἐγγαίου, παρεγραψάμην τὴν δίκην μὴ εἰσαγώγιμον εἶναι κατὰ τοὺς νόμους [3]τούτους.

NOMOI.

β'. Ὡς τοίνυν παρὰ τοὺς νόμους τούτους εἴληχέ μοι τὴν δίκην Ἀπατούριος καὶ τὰ ψευδῆ ἐγκέκληκεν, ἐκ πολλῶν ὑμῖν τοῦτο ἐπιδείξω. ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, πολὺν χρόνον [4]ἤδη ἐπὶ τῆς ἐργασίας ὢν τῆς κατὰ θάλατταν, μέχρι μέν τινος αὐτὸς ἐκινδύνευον· οὔπω δ' ἔτη ἐστὶν ἑπτὰ

[1] καθεσταμένοις [2] τούτου [3] τουτουσί. [4] ἤδη χρόνον

4. Περὶ τῶν μὴ γενομένων συμβολαίων] *Qui irritorum contractuum Rei fiant*: liberius verteram. et v. 4. ἵνα μηδεὶς συκοφαντῆται. Idem.

Ἐν ταῖς ἐμπορικαῖς] S. δίκαις. Sed quid si τῶν φευγόντων δίκας ἐμπορικάς. Idem.

Ὁ μὲν οὖν μετὰ τούτων μοι ἐπιβεβουλευκὼς] S. μετ' ἀδικίας καὶ συκοφαντίας. Nisi τὸ μετὰ τούταν, cum istis, ut adversarii advocatos intelligas, magis placeat. Nominat autem postea Eryxiam medicum Piræensem, suum inimicum. Sed fortasse legendum, μετὰ τούτου, S. τοῦ Ἀπατουρίου. Idem. M. τούτου. Auger.

Συμβολαίου — οὔτε ναυτικοῦ, οὔτε ἐγγείου] Nemo nescit συμβόλαια proprie dici chirographa et syngraphas, quibus pecunia sumpta mutuo cavetur reddenda sive cum periculo creditoris, si detur hac pactione trajicienda, quod est συμβόλαιον ναυτικὸν, sive cifra ejusdem periculum, ut solet in συμβολαίοις ἐγγύοις quæ usuras communes ex pacto convento solvunt. Inde et ejusmodi quoque usuræ ἔγγυοι debent appellari, non ἔγγειοι, ut vulgo legitur apud Demosthenem. *Salmas. de M. U.* cap. III. Quo fusius disserit V. D. de vocc. ἔγγειος et ἔγγυος.

Οὔτ' ἐγγαίου] Alias ἐγγείου. Wolf.

β'. Οὔπω δὲ ἔτη κ. τ. λ.] *Nondum anni sunt septem ex quo ego desii navigare et foris negotiari: pecunia autem non grandi quam habeo, quæstum facere cæpi, fœnore nautico occupata.* Budæus.

ἀφ' οὗ τὸ μὲν πλεῖν καταλέλυκα, μέτρια δὲ ἔχων, τούτοις πειρῶμαι ναυτικοῖς ἐργάζεσθαι. διὰ δὲ τὸ ἀφῖχθαι πολλαχόσε καὶ διὰ τὸ εἶναί μοι τὰς διατριβὰς περὶ τὸ ἐμπόριον, γνωρίμως ἔχω τοῖς πλείστοις τῶν πλεόντων τὴν θάλατταν· [1]τούτοις δὲ τοῖς ἐκ Βυζαντίου καὶ πάνυ οἰκείως χρῶμαι, διὰ τὸ ἐνδιατρίψαι αὐτόθι. ἔχοντος δέ μου οὕτως,
394 [2]ὡς λέγω, κατέπλευσαν δεῦρο τρίτον ἔτος οὗτός τε καὶ πολίτης αὐτοῦ Παρμένων, Βυζάντιος μὲν τὸ γένος, φυγὰς δ' ἐκεῖθεν· προσιόντες δ' ἐμοὶ ἐν τῷ ἐμπορίῳ οὗτος καὶ Παρμένων ἐμνήσθησαν περὶ ἀργυρίου. ἔτυχε δὲ οὑτοσὶ ὀφείλων ἐπὶ τῇ νηῒ τῇ αὐτοῦ τετταράκοντα μνᾶς, καὶ οἱ χρῆσται κατήπειγον αὐτὸν [3]ἀδικοῦντες, καὶ ἐνεβάτευον εἰς τὴν ναῦν, εἰληφότες τῇ ὑπερημερίᾳ. ἀπορουμένῳ δ' αὐτῷ μνᾶς μὲν δέκα ὁ Παρμένων ὡμολόγησε δώσειν· τριάκοντα δὲ μνᾶς ἐδεῖτό μου οὑτοσὶ συνευπορῆσαι, αἰτιώμενος τοὺς χρήστας ἐπιθυμοῦντας τῆς νεὼς διαβεβληκέναι αὐτὸν ἐν τῷ ἐμπορίῳ, ἵνα κατάσχωσι τὴν ναῦν, εἰς ἀπορίαν καταστήσαντες τοῦ ἀποδοῦναι τὰ χρήματα. ἐμοὶ μὲν οὖν οὐκ ἔτυχε παρὸν ἀργύριον, χρώμενος δὲ Ἡρακλείδῃ τῷ τραπεζίτῃ ἔπεισα αὐτὸν δανεῖσαι τὰ χρήματα λαβόντα με ἐγγυητήν. ἤδη δὲ τῶν τριάκοντα μνῶν πεπορισμένων, ἔτυχε προσκεκρουκώς τι τούτῳ ὁ Παρμένων. ὡμολογηκὼς δ' εὐπορήσειν αὐτῷ δέκα μνᾶς, καὶ τούτων δεδωκὼς τὰς τρεῖς, διὰ τὸ [4]προειρημένον ἀργύριον ἠναγκάζετο καὶ τὸ λοιπὸν διδόναι. αὐτὸς μὲν οὖν διὰ τοῦτο οὐκ ἐβούλετο ποιήσασθαι τὸ συμβόλαιον· ἐμὲ δ' ἐκέλευε πρᾶξαι, ὅπως αὐτῷ ὡς ἀσφαλέστατα ἕξει. λαβὼν δ' ἐγὼ τὰς ἑπτὰ μνᾶς παρὰ τοῦ Παρμένοντος, καὶ τὰς τρεῖς ἃς προειλήφει οὗτος παρ' ἐκείνου, ἀνθομολογησάμενος πρὸς τοῦτον, ὠνὴν ποιοῦμαι τῆς

[1] * τούτων [2] ὡς ἐγὼ λέγω [3] ἀπαιτοῦντες [4] προειμένον

Μέτρια — ναυτικῶς ἐργάζεσθαι] Ita legendum, non, ut vulgo est, ναυτικοῖς. Dicit, cum mediocres haberet facultates, se maritimis usuris et quæstibus animum adjecisse. Ἐργάζεσθαι simpliciter est *quæstum facere*. Ergo ἐργάζεσθαι ναυτικῶς [*sub usura nautica quæstum facere*], ut δανείζειν ναυτικῶς ap. Diog. Laert. in vit. Zenon. *sub usura nautica fœnerari*. *Salmas. de M. U.* cap. V. p. 190.

Οἱ χρῆσται, — ὑπερημερίᾳ] *Creditores hominem inique urgebant, in possessionem navis euntes ob moram dissolvendi*. Erant autem creditores pignoratitii, quibus navem cum mercibus ille oppigneraverat, h. e. ἔτυχεν αὐτὸς ὀφείλων ἐπὶ τῇ νηί. Budæus. Cf. *Salmas. de M. U.* p. 575.

Ἐμοὶ μὲν οὐκ] Lego, ἐμοὶ μὲν οὖν οὐκ. Wolf.

Καὶ τὰς τρεῖς ἀνθομολογησάμενος πρὸς τοῦ-

νεὼς καὶ τῶν παίδων, ἕως ἀποδοίη [1] τὰς δέκα μνᾶς ἃς δι' ἐμοῦ ἔλαβε, καὶ τὰς τριάκοντα ὧν κατέστησεν ἐμὲ ἐγγυητὴν τῷ τραπεζίτῃ. καὶ ὡς ἀληθῆ λέγω, ἀκούσατε τῶν 895
μαρτυριῶν.

ΜΑΡΤΥΡΙΑΙ.

γ'. Τὸν μὲν τρόπον τοῦτον ἀπήλλαξε τοὺς χρήστας Ἀπατούριος οὗτοσί· οὐ πολλῷ δὲ χρόνῳ μετὰ ταῦτα τῆς τραπέζης ἀνασκευασθείσης, καὶ τοῦ Ἡρακλείδου κατ' ἀρχὰς κεκρυμμένου, ἐπιβουλεύει οὗτοσὶ τούς τε παῖδας ἐκπέμψαι Ἀθήνηθεν καὶ τὴν ναῦν ἐξορμίσαι ἐκ τοῦ λιμένος. ὅθεν ἐμοὶ πρὸς τοῦτον ἡ πρώτη διαφορὰ ἐγένετο. αἰσθόμενος γὰρ ὁ Παρμένων ἐξαγομένων τῶν παίδων ἐπιλαμβάνεται καὶ τὴν ναῦν κατεκώλυσεν αὐτὸν ἐξορμίζειν, καὶ μεταπεμψάμενος ἐμὲ λέγει τὸ πρᾶγμα. ὡς δ' ἤκουσα, τοῦτον μὲν ἀνοσιώτατον ἡγησάμην εἶναι τῷ ἐπιχειρήματι· ἐσκοπούμην δὲ, ὅπως αὐτός τε ἀπολυθήσομαι τῆς ἐγγύης τῆς ἐπὶ τὴν τράπεζαν, καὶ ὁ ξένος μὴ ἀπολεῖ ἃ δι' ἐμοῦ τούτῳ ἐδάνεισε. καταστήσας δὲ φύλακας τῆς νεὼς, διηγησάμην τοῖς ἐγγυηταῖς τῆς τραπέζης τὴν πρᾶξιν, καὶ παρέδωκα τὸ ἐνέχυρον, εἰπὼν αὐτοῖς, ὅτι δέκα μναῖ ἐνείησαν τῷ ξένῳ ἐν τῇ νηί. ταῦτα δὲ πράξας, κατηγγύησα τοὺς παῖδας, ἵν', εἴ τις ἔνδεια γίγνοιτο, τὰ ἐλλείποντα ἐκ τῶν παίδων εἴη. καὶ ἐγὼ μὲν, ἐπειδὴ ἔλαβον τοῦτον ἀδικοῦντα, διωρθωσάμην ὑπὲρ ἐμαυτοῦ καὶ τοῦ ξένου· ὁ δ' ὥσπερ ἀδικούμενος, ἀλλ' οὐκ ἀδικῶν, ἐμέμφετό μοι, καὶ ἠρώτα εἰ οὐχ ἱκανόν μοι

[1] τάς τε δέκα

τον] Et isto, tres illas, quas ab illo accepérat antea, coram confesso, verti. Sed si τὸ ἀνθομολογησάμενος ad Rei personam referatur, ut et τὸ λαβὼν, sic vertas licet: *cum apud illum* (Parmenonem) *confessus essem, me et tres illas minas Apaturio jam datas accepisse.* IDEM. τὰς τρεῖς regitur ab ἀνθομολογησάμενος. AUGER.

γ'. Τὸν μὲν τρόπον — Ἀπατούριος] *Hac ratione suos creditores liberavit Apaturius.* BUDÆUS.

Τῆς τραπέζης ἀνασκευασθείσης] *Qui foro cedunt* dicuntur apud Demosthenem ἀνασκευάζειν τὴν τράπεζαν. IDEM. Id est, *mensa e foro exempta*, quod dicunt Itali *banco rotto.* PALMER.

Ταῦτα — ἔνδεια γίγνοιτο] Ita legimus ex vet. libb. non ἔνδεια. Nam ἔκδεια, ut bene Suidas, Atticis dicitur, ἡ κεχρεωστημένη λοιπὰς, *reliquatio debiti.* Debes mihi C. aureos sub pignoribus, iis distractis XC. tantum recipio. Decem qui supersunt, vel potius desunt quo minus integrum recuperem, ἔκδεια vocatur Atticis. Quod hic dixit de servis κατεγγύησα παῖδας, de navi paulo ante dixit, παρέδωκα ἐνέχυρον. De utroque paulo post subjungit, τὴν ναῦν καὶ τοὺς παῖδας παραδίδωμι, h. e. *navem trado et pueros.* Ergo κατεγγυᾶν est *tradere*, non, ut vertit doctus interpres, *sponsione obstringere.* *Salmas. de M. U.* p. 713.

εἴη αὐτῷ ἀπολυθῆναι τῆς ἐγγύης τῆς πρὸς τὴν τράπεζαν, ἀλλὰ καὶ ὑπὲρ τοῦ ἀργυρίου τοῦ Παρμένοντος τὴν ναῦν κατεγγυῶ καὶ τοὺς παῖδας, καὶ ὑπὲρ ἀνθρώπου φυγάδος
896 ἀπεχθανοίμην αὐτῷ; ἐγὼ δὲ τὸν πιστεύσαντα ἐμαυτῷ τοσούτῳ ἔφην ἧττον ἂν περιϊδεῖν, ὅσῳ φυγὰς ὢν καὶ ἀτυχῶν ἠδικεῖτο ὑπὸ τούτου. πάντα δὲ ποιήσας καὶ εἰς ἅπασαν ἀπέχθειαν τούτῳ ἐλθὼν, μόλις εἰσέπραξα τὸ ἀργύριον, πραθείσης τῆς νεὼς τεττάρακοντα μνῶν, ὅσουπερ ἡ θέσις ἦν. ἀποδοθεισῶν δὲ τῶν τριάκοντα μνῶν ἐπὶ τὴν τράπεζαν καὶ τῶν δέκα [1] μνῶν τῷ Παρμένοντι ἐναντίον πολλῶν μαρτύρων, τάς τε συγγραφὰς ἀνειλόμεθα καθ' ἃς ἐδανείσθη τὰ χρήματα, καὶ τῶν συναλλαγμάτων ἀφεῖμεν, καὶ ἀπηλλάξαμεν ἀλλήλους, ὥστε μήτε τούτῳ πρὸς ἐμὲ, μήτ' ἐμοὶ πρὸς τοῦτον πρᾶγμα εἶναι μηδέν. καὶ ὡς ἀληθῆ λέγω, ἀκούσατε τῶν μαρτυριῶν.

ΜΑΡΤΥΡΙΑΙ.

δ'. Μετὰ ταῦτα τοίνυν ἐμοὶ μὲν οὔτε μεῖζον οὔτ' ἔλαττον πρὸς αὐτὸν συμβόλαιον γέγονεν· ὁ δὲ Παρμένων ἐδικάζετο τούτῳ τῶν τε πληγῶν, ὧν ἔλαβεν ὑπὸ τούτου, ὅτε τῶν παίδων ἐξαγομένων ἐπελάβετο, καὶ ὅτι τοῦ εἰς Σικελίαν πλοῦ διὰ τοῦτον κατεκωλύθη. ἐνεστηκυίας δὲ τῆς δίκης, δίδωσιν ὁ Παρμένων ὅρκον τούτῳ περὶ τινῶν ἐγκλημάτων· καὶ οὗτος ἐδέξατο, ἐπιδιαθέμενος ἀργύριον, ἐὰν μὴ ὀμόσῃ τὸν ὅρκον. καὶ ὅτι ἀληθῆ λέγω, λάβε μοι τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

δεξάμενος τοίνυν τὸν ὅρκον, εἰδὼς ὅτι πολλοὶ αὐτῷ συνείσονται ἐπιορκήσαντι, ἐπὶ μὲν τὸ ὀμόσαι οὐκ ἀπήντα· ὡς δὲ δίκῃ λύσων τὸν ὅρκον, προσκαλεῖται τὸν Παρμένοντα. ἐνεστηκυιῶν δ' αὐτοῖς τῶν δικῶν, πεισθέντες ὑπὸ τῶν παρ-

[1] [μνᾶν]

Κατεγγυῶ] Hoc loco, pro eo quod est, et pueros et navem pro credito pigneror, et manum prædibus injicio, quæ bona sa-tisaccepto habebam obnoxia. BUDÆUS.

Ἀφεῖμεν] Κατὰ μετάθεσιν, ἀντὶ τοῦ, ἀφιεμεν ἢ ἄφεμεν ἀορ. β. WOLF.

ὄντων, εἰς ἐπιτροπὴν ἔρχονται· καὶ γράψαντες [1]συνθήκας, 897
ἑνὶ μὲν διαιτητῇ κοινῷ Φωκρίτῳ πολίτῃ αὐτῶν, ἕνα δ' ἑκάτερος παρεκαθίσατο, οὗτος μὲν Ἀριστοκλέα Οἰῆθεν, ὁ δὲ Παρμένων ἐμέ. καὶ συνέθεντο ἐν ταῖς συνθήκαις, εἰ μὲν τρεῖς ὄντες ὁμογνώμονες γενοίμεθα, ταῦτα κύρια εἶναι αὐτοῖς· εἰ δὲ μή, οἷς οἱ δύο γνοίησαν, τούτοις ἐπάναγκες εἶναι ἐμμένειν. συνθέμενοι δὲ ταῦτα, ἐγγυητὰς τούτων ἀλλήλοις κατέστησαν, οὗτος μὲν ἐκείνῳ τὸν Ἀριστοκλέα, ὁ δὲ Παρμένων τούτῳ Ἀρχιππον Μυῤῥινούσιον. καὶ τὸ μὲν πρῶτον ἐτίθεντο τὰς συνθήκας παρὰ τῷ Φωκρίτῳ· εἶτα, κελεύσαντος τοῦ Φωκρίτου παρ' ἄλλῳ τινὶ θέσθαι, τίθενται παρὰ τῷ Ἀριστοκλεῖ. καὶ ὡς ἀληθῆ λέγω, ἀκούσατε τῶν μαρτυριῶν.

ΜΑΡΤΥΡΙΑΙ.

ε'. Ὅτι μὲν ἐτέθησαν αἱ συνθῆκαι παρὰ [2]Ἀριστοκλεῖ, καὶ ἡ ἐπιτροπὴ ἐγένετο Φωκρίτῳ καὶ Ἀριστοκλεῖ καὶ ἐμοί, οἱ εἰδότες ταῦτα μεμαρτυρήκασιν ὑμῖν· δέομαι δὲ ὑμῶν, ὦ ἄνδρες δικασταί, τὰ μετὰ ταῦτα πραχθέντα ἀκοῦσαί μου. ἐντεῦθεν γὰρ ἔσται φανερὸν ὑμῖν, ὅτι συκοφαντοῦμαι ὑπὸ τουτουὶ Ἀπατουρίου. ἐπειδὴ γὰρ ᾔσθετο ὁμογνώμονας ὄντας ἐμὲ καὶ τὸν Φώκριτον, καὶ ἔγνω καταδιαιτήσοντας ἡμᾶς ἑαυτοῦ, λῦσαι βουλόμενος τὴν ἐπιτροπὴν, διαφθεῖραι τὰς συνθήκας ἐπεχείρησε μετὰ τοῦ ἔχοντος αὐτάς· καὶ ἦλθεν ἐπὶ τὸ [3]ἀμφισβητεῖν, ὡς αὐτῷ διαιτητὴς εἴη ὁ Ἀριστοκλῆς, τὸν δὲ Φώκριτον καὶ ἐμὲ οὐδενὸς κυρίους ἔφη εἶναι, ἀλλ' ἢ τοῦ συνδιαλῦσαι. ἀγανακτήσας δὴ τῷ λόγῳ ὁ Παρμένων, ἠξίου τὸν Ἀριστοκλέα ἐκφέρειν τὰς συνθήκας, οὐ πόρρω φάσκων εἶναι τὸν ἔλεγ- 898
χον, εἴ τι κακουργοῖτο περὶ τὰ γράμματα· γεγραφέναι γὰρ αὐτὰ οἰκέτην ἑαυτοῦ. ὁμολογήσας δὲ ἐξοίσειν τὰς συνθήκας ὁ Ἀριστοκλῆς, ἐμφανεῖς μὲν [4]οὔπω καὶ τήμερον ἐνήνοχεν· εἰς δὲ τὴν ἡμέραν τὴν συγκειμένην ἀπαντήσας εἰς τὸ Ἡφαιστεῖον, προὐφασίζετο ὡς ὁ παῖς, περιμένων αὐτὸν,

[1] συνθήκας, ἐπιτρέπουσιν, ἑνὶ [2] τῷ Ἀριστοκλεῖ [3] διαμφισβητεῖν [4] οὐδέπω

δ'. Ἑνὶ μὲν διαιτητῇ] Sententia non est obscura, sed constructio parum commoda. Παρεκαθίσατο] *Arbitrum ex compromisso* IDEM.

ἀπολωλεκὼς εἴη τὸ γραμματεῖον καθεύδων. ὁ δὲ ταῦτα συγκατασκευάζων ἐστὶν [1] Εὐρυξίας ὁ ἰατρὸς, ὁ ἐκ Πειραιῶς, οἰκείως ἔχων τῷ Ἀριστοκλεῖ· ὅσπερ καὶ ἐμοὶ τοῦ ἀγῶνος αἴτιός ἐστι, διαφόρως ἔχων. καὶ, ὡς ἐσκήψατο ἀπολωλεκέναι ὁ Ἀριστοκλῆς, ἀκούσατε τῶν μαρτυριῶν.

ΜΑΡΤΥΡΙΑΙ.

ἐντεῦθεν τοίνυν τὸ μὲν τῆς ἐπιτροπῆς ἐλέλυτο, ἠφανισμένων τῶν συνθηκῶν καὶ τῶν διαιτητῶν ἀντιλεγομένων· ἐπιχειροῦντες δὲ γράφειν ἑτέρας συνθήκας, περὶ τούτων διηνέχθησαν, οὗτος μὲν ἀξιῶν τὸν Ἀριστοκλέα, ὁ δὲ Παρμένων τοὺς τρεῖς, οἵσπερ [2] καὶ ἐξ ἀρχῆς ἡ ἐπιτροπὴ ἐγένετο. οὐ γραφεισῶν δ' ἑτέρων συνθηκῶν, τῶν δὲ ἐξαρχῆς ἀφανισθεισῶν, εἰς τοῦτ' ἦλθεν ἀναιδείας ὁ ἠφανικὼς τὰς συνθήκας, ὥστε εἷς ὢν ἀποφανεῖσθαι ἔφη τὴν δίαιταν· παρακαλέσας δὲ ὁ Παρμένων μάρτυρας, ἀπεῖπε τῷ Ἀριστοκλεῖ μὴ ἀποφαίνεσθαι παρὰ τὰς συνθήκας καθ' αὑτοῦ ἄνευ τῶν συνδιαιτητῶν. καὶ, ὧν ἐναντίον ἀπεῖπεν, ἀκούσατε [3] τῆς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑ.

ς'. Μετὰ ταῦτα τοίνυν [5] τῷ Παρμένοντι συνέβη συμ-
399 φορὰ δεινὴ, ὦ ἄνδρες δικασταί· οἰκοῦντος γὰρ αὐτοῦ ἐν Ὀφρυνίῳ διὰ τὴν οἴκοθεν φυγὴν, ὅτε ὁ σεισμὸς ἐγένετο ὁ περὶ Χερρόνησον, καὶ συμπεσούσης αὐτῷ τῆς οἰκίας, ἀπώλοντο ἡ γυνὴ καὶ οἱ παῖδες. καὶ ὁ μὲν, πυθόμενος τὴν συμφορὰν, ᾤχετο ἐνθένδε ἀποπλέων· ὁ δὲ Ἀριστοκλῆς, διαμαρτυραμένου τοῦ ἀνθρώπου ἐναντίον μαρτύρων μὴ ἀποφαίνεσθαι καθ' αὑτοῦ ἄνευ τῶν συνδιαιτητῶν, ἀποδημήσαντος τοῦ ἀνθρώπου διὰ τὴν συμφορὰν, ἐρήμην κατ' αὐτοῦ ἀπεφήνατο τὴν δίαιταν. καὶ ἐγὼ μὲν καὶ ὁ Φώκριτος ἐν ταῖς αὐταῖς συνθήκαις γεγραμμένοι, ὅτι ἠμφισβήτησεν

[1] Ἐρυξίας [2] καὶ τὸ ἐξ [3] τὰς [4] Μαρτυρίαι. [5] τῷ μὲν Παρμένοντι

eligebat. BUDÆUS.

ἑ. Εὐρυξίας] In Platone legitur (etsi fortasse non iidem sunt) Ἐρυξίας: quod videtur ἐτυμολογώτερον. WOLF.

Παρακαλέσας — συνδιαιτητῶν] *Testato vetuit Aristoclem arbitrium ferre solum sine aliis arbitris, ita ut in arbitrio paciscendo componendoque cautum fuerat.* BUDÆUS.

οὗτος μὴ εἶναι ἡμᾶς διαιτητὰς αὐτῷ, ἐφύγομεν τὸ διαιτῆσαι· ὁ δὲ, οὐ μόνον ἀμφισβητηθεὶς, ἀλλὰ καὶ ἀπορρηθὲν αὐτῷ, οὐδὲν ἧττον τὴν [1] ἀπόφασιν ἐποιήσατο. ὃ οὔτε ὑμῶν, οὔτε τῶν ἄλλων Ἀθηναίων ὑπομεῖναι ἄν [2] τις ποιῆσαι οὐδείς. ἃ μὲν οὖν περὶ τὴν ἀφάνισιν τῶν συνθηκῶν καὶ περὶ τὴν γνῶσιν τῆς διαίτης Ἀπατουρίῳ καὶ τῷ διαιτητῇ πέπρακται, ἐάν ποτε σωθῇ ὁ ἠδικημένος, δίκην παρ' αὐτῶν λήψεται· ἐπειδὴ δὲ εἰς τοῦτο ἐλήλυθεν Ἀπατούριος ἀναιδείας, ὥστε καὶ ἐμοὶ [3] δικάζεσθαι, ἐπιφέρων αἰτίαν, ὡς ἀνεδεξάμην ἐκτίσειν εἴ τι καταγνωσθείη τοῦ Παρμένοντος, καὶ φησὶν ἐγγραφῆναι εἰς τὰς συνθήκας ἐμὲ ἐγγυητὴν, ὥσπερ προσήκει τοιαύτην αἰτίαν ἀπολύσασθαι, πρῶτον μὲν ὑμῖν μάρτυρας παρασχήσομαι, ὡς οὐκ ἠγγυησάμην ἐγὼ τὸν Παρμένοντα, ἀλλ' Ἄρχιππος Μυῤῥινούσιος, ἔπειτα πειράσομαι καὶ ἐκ τεκμηρίων τὴν ἀπολογίαν ποιήσασθαι, ὦ ἄνδρες δικασταί.

ζ'. Πρῶτον μὲν οὖν τὸν χρόνον ἐμαυτῷ ἡγοῦμαι μάρτυρα εἶναι τοῦ μὴ ἀληθὲς τὸ ἔγκλημα εἶναι. ἡ μὲν γὰρ ἐπιτροπὴ τούτῳ πρὸς τὸν Παρμένοντα, τρίτον ἔτος γέγονε, καὶ ἡ γνῶσις τοῦ Ἀριστοκλέους· αἱ δὲ λήξεις τῶν δικῶν τοῖς ἐμπόροις ἔμμηνοί εἰσιν ἀπὸ τοῦ Βοηδρομιῶνος μέχρι τοῦ Μουνυχιῶνος, ἵνα παραχρῆμα τῶν δικαίων τυχόντες ἀνάγωνται. εἰ δὲ τῇ ἀληθείᾳ ἐγγυητὴς ἦν τοῦ Παρμένοντος, διὰ τί πρῶτον μὲν οὐκ εὐθὺς, τῆς γνώσεως γενομένης, [4] εἰσ- 900

[1] ἀπόφανσιν [2] [τις] [3] δικάζεται [4] ἐπράττετο

ζ'. Αἱ δὲ λήξεις — ἀνάγωνται] Intelligo a Boedromione ad Munychionem, excluso utroque termino Boedromione et Munychione. Nam Boedromione mense adhuc navigabatur, quanquam non sine periculo: remotissima quippe Neomenia Boedromionis in Enneadecaeteride Metonica cadit in diem octavum Kalendas Octobres. Ex die vero tertio Iduum Novembrium clauduntur maria. Ab Elaphebolione mense, qui Munychionem immediate præcedit, navigabatur: scribit enim Theophrastus τὴν θάλατταν ἐκ τῶν Διονυσίων, quæ sunt hujus mensis, πλώϊμον εἶναι. Citima autem Elaphebolionis Neomenia in Enneadecaeteride Metonis cadit in diem quartum Nonas Martias: dies vero sextus Iduum Martiarum est natalis navigationis, ab eoque aperiuntur maria. Quamdiu igitur non navigatur, id est, sex illis mensibus, qui a Boedromione ad Munychionem intercedunt, judicia reddebantur mercatoribus et navicularjis. Petit. *Leg. Attic.* L. V. T. V. §. IX. p. 519. Non dissimilia Salmasius de Usur. Mod. c. 10. p. 691. Wesseling.

Αἱ δὲ λήξεις τῶν δικῶν] Ne quis putet intelligi debere *justitium, cessationem juris dictionis*, non enim a λήγω hæc vox λήξεις, sed ab inusitato λήχω τὸ λαγχάνω. Intellige igitur *causarum sortitiones*. Palmer.

Ἔμμηνοί εἰσιν] Suidas: ἔμμηνα, κατὰ μῆνα: καὶ, ἔμμηνοι δίκαι, αἵ τε ἐμπορικαὶ καὶ ἐρανικαί. Ubi fortasse pro ἐρανικαὶ legendum ναυτικαί. Quod si ἕμμηνοι cum aspiratione legas, hoc est, ἓξ μηνῶν, vertas licet, semestres, id est, senum mensium. Nam a fine Sextilis ad initium Martii, sunt menses sex, quibus navigationem minus

ἐπράττετο τὴν ἐγγύην; οὐ γὰρ δὴ τοῦτό γε αὐτῷ ἔνι εἰπεῖν, ὡς διὰ τὴν πρὸς ἐμὲ φιλίαν ὤκνει μοι ἀπέχθεσθαι· [1] οὗτος γὰρ εἰσεπέπρακτο ὑπ' ἐμοῦ πρὸς ἔχθραν τὰς χιλίας δραχμὰς τὰς τοῦ Παρμένοντος, καὶ, ὅτ' ἐξώρμιζε τὴν ναῦν, ἐπιβουλεύων ἀποδράναι καὶ ἀποστερῆσαι τὸ ἐπὶ τὴν τράπεζαν χρέος, ἐκωλύθη ὑπ' ἐμοῦ. ὥστε, εἰ ἦν ἐγγεγυημένος ἐγὼ τὸν Παρμένοντα, οὐκ ἂν τρίτῳ ἔτει ὕστερον, ἀλλ' εὐθὺς τότε εἰσέπραττεν ἄν με τὴν ἐγγύην. ἀλλὰ νὴ Δία εὐπόρως διέκειτο, ὥστ' ἐνεδέχετο αὐτῷ καὶ ὕστερον ἐπ' ἐμὲ ἐλθεῖν, τότε δ' ἀσχόλως εἶχε περὶ ἀναγωγὴν ὤν; ἀλλὰ δι' ἀπορίαν ἐξειστήκει τῶν ἑαυτοῦ, καὶ τὴν ναῦν ἐπεπράκει. εἰ δ' ἄρα ἐμποδών τι αὐτῷ ἐγεγόνει τοῦ μὴ εὐθὺς τότε δικάσασθαι, διὰ τί πέρυσιν ἐπιδημῶν, μὴ ὅτι δικάσασθαι, ἀλλ' οὐδ' ἐγκαλέσαι μοι ἐτόλμησε; καίτοι προσῆκεν, εἰ ὁ μὲν Παρμένων ὠφλήκει αὐτῷ τὴν δίκην, ἐγὼ δ' ἐγγυητὴς ἦν, προσελθεῖν αὐτόν μοι ἔχοντα μάρτυρας καὶ ἀπαιτῆσαι τὴν ἐγγύην, εἰ μὴ προτέρυσιν, ἐν τῷ ἐξελθόντι ἐνιαυτῷ· καὶ, εἰ μὲν αὐτῷ ἀπεδίδουν, κομίσασθαι, εἰ δὲ μὴ, δι-
001 κάζεσθαι. τῶν γὰρ τοιούτων ἐγκλημάτων πρότερον τὰς ἀπαιτήσεις ποιοῦνται ἅπαντες, ἢ δικάζονται. οὐκ ἔστι τοίνυν ὅστις μαρτυρήσει παραγενέσθαι, ὅπου οὗτος ἢ πέρυσιν ἢ προπέρυσιν ἐδικάσατό μοι, ἢ λόγον ὁντινοῦν ἐποιήσατο πρὸς ἐμὲ περὶ ὧν νυνί μοι δικάζεται. ὅτι δ' ἐπεδήμει πέρυσιν, ὅτε αἱ δίκαι ἦσαν, λάβε μοι τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

λάβε δή μοι καὶ τὸν νόμον, ὃς κελεύει τὰς ἐγγύας ἐπετείους εἶναι. καὶ οὐκ ἰσχυρίζομαι τῷ νόμῳ, ὡς οὐ δεῖ με δί-

[1] αὐτὸς

frequentem fuisse apparet. Wolf.

Διὰ τί — ἐτόλμησε] *Cur anno superiore cum ipse in urbe esset, ne appellare quidem me ea de re quoquo modo ausus est, nedum mecum experiri?* Budæus.

Λάβε δή μοι κ. τ. λ.] Vir eruditissimus, [l. V. t. IV. §. IV.] quiad Leg. Att. commentarium scripsit, sub titulo de usuris hanc legem retulit, et accepit de sponsionibus, quæ in credito intercedebant, pro securitate creditoris. Notat enim, Atticos danistas non tantum bona sibi oppignerari voluisse debitoris, sed etiam sponsores postulasse. — Testem etiam hanc legem cito, ut liqueat, non de sponsione pro credito eam agere, sed de satisdatione judicatum solvi. Tota oratio si legatur, id evincit. — Ἐπετείους eas [sponsiones] esse lex jussit, nec ultra annum teneri fidejussorem, qui eo nomine spopondisset, voluit. Ideo et statim post judicium exigebantur hujusmodi sponsiones, et nisi solveret, qui spoponderat, ex sponso cum eo agebatur. *Salmas. de M. U.* p. 690. Plura

κην δοῦναι, εἰ ἐνεγγυησάμην, ἀλλὰ [1] μαρτύρομαι τὸν νόμον εἶναι τοῦ μὴ ἐγγυήσασθαι καὶ αὐτὸν τοῦτον· ἐδεδίκαστο γὰρ ἄν μοι τῆς ἐγγύης ἐν τῷ χρόνῳ τῷ ἐν τῷ νόμῳ γεγραμμένῳ.

ΝΟΜΟΣ.

ἡ. Γενέσθω τοίνυν καὶ τοῦτο ὑμῖν τεκμήριον τοῦ ψεύδεσθαι Ἀπατούριον. εἰ γὰρ ἐνεγγυησάμην ἐγὼ τούτῳ τὸν Παρμένοντα, οὐκ ἔστιν ὅπως τούτῳ μὲν ὑπὲρ ἐκείνου ἀπηχθανόμην, πρόνοιαν ποιούμενος, ὅπως μὴ ἀπολεῖ ἃ δι' ἐμοῦ τούτῳ συνέβαλλεν· αὐτὸς δ' ἐμαυτὸν περιεῖδον ἂν ὑπ' ἐκείνου πρὸς τοῦτον ἐν ἐγγύῃ καταλειπόμενον. τίνα γὰρ ἐλπίδα ἔσχον τοῦτον ἀποσχήσεσθαί μου, ὃν αὐτὸς ἠναγκάκειν ἐκείνῳ τὰ δίκαια [2] ποιῆσαι, καὶ τὴν ἐγγύην αὐτὸν εἰσπρᾶξαι τὴν εἰς τὴν τράπεζαν πρὸς ἀπέχθειαν; τί προσεδόκων ὑπὸ τούτου αὐτὸς πείσεσθαι;

θ'. Ἄξιον δὲ καὶ τοῦτ' ἐνθυμηθῆναι, ὦ ἄνδρες δικασταί, ὅτι οὐκ ἄν ποτε ἔξαρνος ἐγενόμην, εἰ ἐνεγγεγυήμην. πολὺ γὰρ ὁ λόγος ἦν μοι ἰσχυρότερος ὁμολογοῦντι τὴν ἐγγύην ἐπὶ τὰς συνθήκας ἰέναι, καθ' ἃς καὶ ἡ ἐπιτροπὴ ἐγένετο. ὅτι μὲν γὰρ τρισὶν ἐπετράπη διαιτηταῖς, μεμαρτύρηται ὑμῖν· ὁπότε δὲ μὴ ἔγνωσται ὑπὸ τῶν τριῶν, τί βουλόμενος ἠρνούμην ἂν τὴν ἐγγύην; μὴ γὰρ γενομένης τῆς γνώσεως κατὰ 90
τὰς συνθήκας, οὐδ' ἂν ἔτι τῆς ἐγγύης ὑπόδικος ἦν. ὥστε οὐκ ἄν ποτε, ὦ ἄνδρες δικασταί, παραλιπὼν τὴν οὖσάν μοι ἀπολογίαν εἰ ἐνεγγυησάμην, ἐπὶ τὸ ἀρνεῖσθαι ἀπῆλθον. ἀλλὰ μὴν καὶ τοῦτο μεμαρτύρηται ὑμῖν· ὅτι, ἐπειδὴ ἠφανίσθησαν αἱ συνθῆκαι ὑπὸ τούτων, ἐζήτουν ἑτέρας γράφεσθαι οὗτος καὶ ὁ Παρμένων, ὡς ἀκύρων ὄντων αὐτοῖς τῶν πρότερον ὡμολογημένων. καίτοι ὁπότε, περὶ τῆς μελλούσης γνώσεως γενήσεσθαι, ἑτέρας ἐνεχείρουν συνθήκας γράφεσθαι, ἐπειδὴ αἱ ὑπάρχουσαι ἀπώλοντο, πῶς ἐνῆν, μὴ

[1] μάρτυρά μοί φημι τὸν

[2] ποιῆσαι; κ. τ. ἐ. α. εἰσπράξας τ. ε. τ. τ. π. ἀπέχθειαν,

vid. in ll. ll.

Τοῦτον] Apaturium. Auger.

ἡ. Πρόνοιαν ποιούμενος, ὅπως μὴ ἀπολεῖ, ἃ δι' ἐμοῦ τούτῳ συνέβαινεν] F. συνέβαλεν. Hujusmodi errata gignit negligentia librariorum, cum literas nec ea forma, nec ea magnitudine pingunt, qua debebant. Intelligent hoc, qui manuscriptos codices Græcos diversos cum judicio legerunt, et inter sese contulerunt. Wolf.

Καὶ τὴν ἐγγύην αὐτὸν εἰσπρᾶξαι] Lego αὐτὸς εἰσπράξας. Idem.

γραφεισῶν συνθηκῶν ἑτέρων, ἢ δίαιταν γενέσθαι ἢ ἐγγύην; περὶ αὐτοῦ γὰρ τούτου διενεχθέντες, οὐκ ἔγραψαν ἕτερα γράμματα, ὁ μὲν ἀξιῶν ἕνα διαιτητὴν αὐτῷ εἶναι, ὁ δὲ τρεῖς. ὁπότε δὲ αἱ μὲν ἐξ ἀρχῆς συνθῆκαι ἠφανίσθησαν, καθ' ἃς ἐμέ φησιν γενέσθαι ἐγγυητήν, ἕτεραι δὲ μὴ ἐγράφησαν, πῶς ὀρθῶς ἄν μοι δικάζοιτο, καθ' οὗ μὴ ἔχει παρασχέσθαι συνθήκας; ἀλλὰ μὴν καὶ ὡς ἀπηγόρευσεν ὁ Παρμένων τῷ Ἀριστοκλεῖ καθ' αὑτοῦ μὴ γιγνώσκειν ἄνευ τῶν συνδιαιτητῶν, μεμαρτύρηται ὑμῖν. ὅταν δὴ ὁ αὐτὸς ἠφανικὼς φαίνηται τὰ γράμματα, καθ' ἃ [1]δεῖ τὴν δίαιταν γενέσθαι, καὶ ἄνευ τῶν [2]διαιτητῶν παρὰ τὴν ἀπόρρησιν φῇ δεδιητηκέναι, πῶς ἂν, τούτῳ τῷ ἀνθρώπῳ πιστεύσαντες, δικαίως ἐμὲ [3]ἀπολέσετε;

ί. Σκέψασθε γὰρ τοῦτο, ὦ ἄνδρες δικασταί, εἰ μὴ ἐμὲ νυνὶ, ἀλλὰ τὸν Παρμένοντα ἐδίωκεν Ἀπατούριος οὑτοσί, 903 εἰσπράττων τὰς εἴκοσι μνᾶς, ἰσχυριζόμενος τῇ Ἀριστοκλέους γνώσει· ὁ δὲ Παρμένων παρὼν ἀπελογεῖτο ὑμῖν καὶ μάρτυρας παρείχετο, τοῦτο μὲν, ὅτι οὐ μόνῳ τῷ Ἀριστοκλεῖ ἀλλὰ τρίτῳ ἐπέτρεψεν, εἶθ', ὅτι ἀπεῖπεν αὐτῷ ἄνευ τῶν συνδιαιτητῶν καθ' αὑτοῦ μὴ ἀποφαίνεσθαι, καὶ, ὅτι ἀπολομένης αὐτῷ τῆς γυναικὸς καὶ τῶν παίδων ὑπὸ τοῦ σεισμοῦ, [4]καὶ ἐπὶ τηλικαύτην συμφορὰν ἀπάραντος οἴκαδε, ὁ τὰς συνθήκας ἠφανικὼς ἐρήμην αὐτοῦ ἐν τῇ ἀποδημίᾳ κατέγνω τὴν δίαιταν — ἔστιν ὅστις ἂν ὑμῶν, ταῦτα τοῦ Παρμένοντος ἀπολογουμένου, τὴν οὕτω παρανόμως γνωσθεῖσαν δίαιταν κυρίαν ἔγνω εἶναι; μὴ γὰρ ὅτι γε ἀμφισβητουμένων ἁπάντων, ἀλλ' εἰ ἦσαν μὲν αἱ συνθῆκαι, ὡμολογεῖτο δ' εἷς εἶναι ὁ διαιτητὴς Ἀριστοκλῆς, μὴ ἀπεῖπε δὲ ὁ Παρμένων αὐτῷ καθ' αὑτοῦ μὴ διαιτᾶν, ἀλλὰ συνέβη, πρὶν ἢ τὴν [5]ἀπόφασιν γενέσθαι τῆς διαίτης, ἡ συμφορὰ τῷ ἀνθρώπῳ, τίς οὕτως ὠμός ἐστιν ἀντίδικος ἢ διαιτητὴς, ὃς [6]οὐκ ἀνεβάλετο εἰς τὸ ἐπιδημῆσαι τὸν ἄν-

[1] δεῖ [2] συνδιαιτητῶν [3] ἀπολέσαιτε [4] [καὶ] [5] ἀπόφασιν [6] οὐκ ἂν ἀνεβάλετο

θ'. Πρὸς ἀπόρρησιν φῇ δεδιητηκέναι] Id est, cum contra interdictum sententiam tulisse eum liqueat. Budæus.

αί. Τοῦτο μὲν] Exspectare facit τοῦτο δὲ, hujus loco venit εἶθ'. Auger.

Ὡμολογεῖτο δ' εἰσιέναι ὁ διαιτητὴς Ἀριστοκλῆς] F. ὡμολογεῖτο δ' εἷς εἶναι διαιτητὴς ὁ Ἀριστοκλῆς. Hanc lectionem sententia certe postulat. et p. 492. v. 2. δικαιότερ' ἂν φαίνοιτο λέγειν ταῦτα. et v. 6. τὰ ψευδῆ καὶ ἐγκέκληκε. et v. 27. ἐνὶν αἰτιάσασθαι. et v. 30. αἱ συνθῆκαι τῷ μὲν λαβόντι. Wolf. Quanto melius εἷς εἶναι. Auger.

θρωπον; εἰ δὲ ὁ Παρμένων, εἰς λόγον καταστὰς, παντα-
χοῦ δικαιότερ' ἂν φαίνοιτο λέγων τούτου, πῶς ἂν ὀρθῶς ἐμοῦ
καταγιγνώσκοιτε, ᾧ τοπαράπαν πρὸς τὸν ἄνθρωπον του-
τονὶ μηδὲν συμβόλαιόν ἐστιν;

ιά. Ὅτι μὲν οὖν ἐγὼ μὲν ὀρθῶς τὴν παραγραφὴν πε-
ποίημαι, Ἀπατούριος δὲ τὰ ψευδῆ μοι ἐγκέκληκε καὶ
παρὰ τοὺς νόμους τὴν λῆξιν πεποίηται, ἐκ πολλῶν [1] οἶ-
μαι ἐπιδεδεῖχθαι τοῦτο ὑμῖν, ὦ ἄνδρες δικασταί. τὸ δὲ
κεφάλαιον πρὸς ἐμὲ οὐδ' ἐπιχειρήσει λέγειν Ἀπατούριος,
ὡς συνθῆκαί τινες αὐτῷ εἰσίν. ὅταν δὲ λέγῃ ψευδόμενος,
ὡς ἐν ταῖς πρὸς τὸν Παρμένοντα συνθήκαις ἐνεγράφην ἐγ- 904
γυητὴς, ἀπαιτεῖτε αὐτὸν τὰς συνθήκας· καὶ ἐνταῦθ' αὐ-
τῷ ἀπαντᾶτε, ὅτι πάντες ἄνθρωποι, ὅταν πρὸς ἀλλήλους
ποιῶνται συγγραφὰς, τούτου ἕνεκα σημηνάμενοι τίθενται
παρ' οἷς ἐὰν πιστεύωσιν, ἵν', ἐάν τι ἀντιλέγωσιν [2] ἑαυτοῖς,
ἐπανέλθωσιν ἐπὶ τὰ γράμματα, ἐντεῦθεν τὸν ἔλεγχον
ποιήσασθαι περὶ τοῦ ἀμφισβητουμένου. ὅταν δ' ἀφανίσας
τις τἀληθὲς λόγῳ ἐξαπατᾷν πειρᾶται, πῶς ἂν δικαίως
[3] πιστεύηται;

ιβ'. Ἀλλὰ νὴ Δία — τὸ ῥᾷστον τοῖς ἀδικεῖν καὶ συκο-
φαντεῖν προῃρημένοις — μαρτυρήσει τις αὐτῷ κατ' ἐμοῦ;
ἐὰν οὖν ἐπισκήψωμαι αὐτῷ, πόθεν τὴν ἀπόδειξιν ποιήσε-
ται τοῦ ἀληθῆ μαρτυρεῖν; ἐκ τῶν συνθηκῶν; τοῦτο τοί-
νυν μὴ ἀναβαλλέσθω, ἀλλ' ἤδη φερέτω ὁ ἔχων τὰς συνθή-
κας. εἰ δ' ἀπολωλέναι φησὶ τότε, πόθεν λάβω [4] ἐγὼ τὸν
ἔλεγχον καταψευδομαρτυρηθείς; [5] εἰ γὰρ παρ' ἐμοὶ ἐτέθη
τὸ γραμματεῖον, [6] ἐνῆν αἰτιάσασθαι Ἀπατούριον, ὡς ἐγὼ
διὰ τὴν ἐγγύην ἠφάνικα τὰς συνθήκας· εἰ δὲ παρὰ τῷ Ἀρι-
στοκλεῖ, διὰ τί, εἴπερ ἄνευ τῆς τούτου γνώμης ἀπολώλα-
σιν αἱ συνθῆκαι, [7] καὶ τῷ μὲν λαβόντι αὐτὰς καὶ οὐ
παρέχοντι οὐ δικάζεται; ἐμοὶ δ' ἐγκαλεῖ, μάρτυρα παρ-
εχόμενος κατ' ἐμοῦ τὸν ἠφανικότα τὰς συνθήκας, ᾧ προσ-
ῆκεν αὐτὸν ὀργίζεσθαι, εἴπερ μὴ [8] κοινῶς μετὰ τούτου
ἐκακοτέχνει; εἰρηταί μοι τὰ δίκαια, ὅσα ἠδυνάμην· ὑμεῖς
οὖν κατὰ τοὺς νόμους γιγνώσκετε τὰ δίκαια.

[1] οἶμαι [2] , ἢ αὐτοῖς, ἐπανελθοῦσιν [3] πιστεύοιτο [4] ἐγὼ λάβω [5] εἰ μὲν γὰρ
[6] ἐνῆν ἂν αἰτιᾶσθαι Ἀπατουρίῳ [7] Deest καί. [8] κοινῇ

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΤΗΝ ΦΟΡΜΙΩΝΟΣ ΠΑΡΑΓΡΑΦΗΝ ΛΟΓΟΥ.

905 ΦΟΡΜΙΩΝ ἔμπορος, δανείζεται παρὰ Χρυσίππου μνᾶς εἴκοσι, πλέων εἰς Βόσπορον. ἀφικόμενος δὲ ἐκεῖσε, κατέλαβεν ἀπεστάλαι τῶν φορτίων, ἃν ἐκόμιζε. διόπερ τοῦ ναυκλήρου Λάμπιδος ἀποπλεῖν βουλομένου Ἀθήναζε, καὶ κελεύοντος αὐτὸν ἐνδεῖσθαι τῇ νηὶ τὰ ἀγοράσματα τῶν χρημάτων παρὰ Χρυσίππου — τοῦτο γὰρ ἔφραζεν ἡ συγγραφὴ —, οὔτε φόρτον τινὰ ἐνέθετο, οὔτε ἀργύριον. ἀλλ' ἐφ πρὸς τὸν Λάμπιν ἀδυνάτως ἔχειν ἐν τῷ παρόντι ποιῆσαι ταῦτα, μικρὸν δ' ὕστερον ἐφ' ἑτέρας ἐκπλευσεῖσθαι νεὼς ἅμα τοῖς χρήμασιν. ἡ μὲν οὖν τοῦ Λάμπιδος ναῦς ἀναχθεῖσα διαφθείρεται· καὶ μετ' ὀλίγον ὁ Λάμπις ἐν τῷ λέμβῳ σώζεται, καὶ, ἀφικόμενος Ἀθήναζε, μηνύει Χρυσίππῳ τὸ εὐτύχημα τοῦ Φορμίωνος. ὡς ἀπελείφθη τε ἐν τῷ Βοσπόρῳ, καὶ εἰς τὴν ναῦν οὐδὲν ἐνέθετο. ὁ δὲ Φορμίων καταπλεύσας ὕστερον καὶ τὸ ἀργύριον ἀπαιτούμενος, τὸ μὲν πρῶτον, ὡς ἔφη Χρύσιππος, καὶ ὀφείλειν ὡμολόγει καὶ ἀποδώσειν ὑπισχνεῖτο· ἔπειτα, ὡς ἀποδεδωκὼς Λάμπιδι, μηδὲν ὀφείλειν ἔλεγε. τὴν γὰρ συγγραφὴν κελεύειν, παθούσης τι κατὰ θάλατταν τῆς νεὼς, ἀπηλλάχθαι τοῦ ὀφλήματος τὸν Φορμίωνα. ἔλαχεν οὖν δίκην αὐτῷ ὁ Χρύσιππος. ὁ δὲ συνεγράφατο· καὶ Λάμπις ἐμαρτύρησε παρὰ τῷ διαιτητῇ, ὡς ἀπειληφὼς εἴη παρὰ Φορμίωνος ἐν Βοσπόρῳ τὰ χρήματα, καὶ ἀπολωλεκὼς μετὰ τῶν ἄλλων ἐν τῇ ναυαγίᾳ.
906 πρότερον δὲ τἀναντία τούτων εἰρήκει πρὸς Χρύσιππον, ὡς οὐδὲν ὁ Φορμίων εἰς τὴν ναῦν ἐντέθεικεν. ἐλεγχόμενος δὲ ἐπὶ τούτοις ὁ Λάμπις, ἐξεστηκέναι τότε ἔφησεν, ὅτε ἐκεῖνα πρὸς τὸν Χρύσιππον ἔλεγε. τούτων ἀκούσας ὁ διαιτητὴς, καὶ μηδὲν ἀποφηνάμενος, εἰς τὸ δικαστήριον τὸ πρᾶγμα πέπομφε. καὶ ὁ ἀγὼν ὀνόματι μέν ἐστι παραγραφικός· τῷ δὲ ἀληθεῖ, παρὰ τὴν εὐθεῖαν γίγνεται. εὖ γὰρ καὶ ὁ ῥήτωρ κατ' ἀρχὰς ἐπισημαίνεται, ὡς οὐκ ἔστιν ὅλον παραγραφὴ τὸ λέγειν πεποιηκέναι πάντα κατὰ τὰ συγκείμενα, ἀποδιδόναι τὰ χρήματα Λάμπιδι, κελευούσης τοῦτο τῆς συγγραφῆς, καὶ [1] ἀφικούσης ἐπὶ τοιούτῳ πάθει τὸ ὄφλημα. ταῦτα γάρ ἐστι τὴν εὐθυδικίαν ἀγωνιζομένου καὶ τοῖς ἐπιφερομένοις ἐγκλήμασιν ἀπαντῶντος, ἀλλ' οὐκ ἀναιροῦντος τὸν περὶ αὐτῶν ἀγῶνα καὶ τὴν εἰσαγωγὴν τῆς δίκης. παραγραφὴν δὲ, φησὶν, ὁ νόμος δίδωσι περὶ τῶν μὴ γινομένων ὅλως Ἀθήνησι μηδὲ εἰς Ἀθήνας συμβολαίων. τετήρηται δὲ ἐν τῷ λόγῳ ταὐτὸν, ὅπερ καὶ περὶ τῶν κατὰ Νεαίρας, ὅτι μὴ ὑφ' ἑνὸς εἴρηται προσώπου· ἀλλ' ἑκατέρου διαστολὴ φανερὰ, ἐνταῦθα δὲ συγκέχυται. δοκεῖ δὲ ἔμοιγε ἐντεῦθεν ὁ δεύτερος λέγειν. ἀκούσας τείνων ἡμᾶν, ὦ ἄνδρες Ἀθηναῖοι, Θεόδοτος πολλάκις, καὶ νομίσας τὸν Λάμπιν ψευδῆ μαρτυρεῖν. δῆλον δὲ, ὅτι κοινωνοί τινές εἰσιν οἱ πρὸς τὸν Φορμίωνα ἀγωνιζόμενοι.

[1] * ἀφεικυίας

Ἐφ' ἑτέρας ἐκπλευσεῖσθαι νεώς. et v. 7. καὶ μετ' ὀλίγον. Nam μετ' ὀλίγον per o est paulo post. et v. 8. τὸ εὐτύχημα. et v. 11. μηδὲν ὀφείλειν ἔλεγε, pro μηδενός. WOLF.

Ὁ δὲ συνεγράφατο] Sensus postulat παρεγράφατο. IDEM.

Παρὰ τὴν εὐθεῖαν] F. κατὰ τὴν εὐθεῖαν, ac potius κατ' εὐθυδίκιαν. IDEM.

Εὖ γὰρ] F. ἐπεὶ καὶ ὁ ῥήτωρ. vel, καὶ γὰρ καὶ ὁ ῥήτωρ. et v. 20. τῷ λέγειν. IDEM.

Καὶ ἀφικούσης] Καὶ ἀφιείσης. IDEM.

Καὶ περὶ τῶν κατὰ Νεαίρας] F. καὶ περὶ τὸν, ἀντὶ τοῦ, ἐν τῷ. IDEM.

Ἀλλ' ἑκατέρου διαστολὴ] F. ἀλλ' ἐκεῖ μὲν ἡ διαστολὴ φανερά. et v. antepen. ἀκούσας τείνων ἡμᾶν. IDEM.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΡΟΣ

ΦΟΡΜΙΩΝΑ ΥΠΕΡ ΔΑΝΕΙΟΥ

[1] ΛΟΓΟΣ.

ά. ΔΙΚΑΙΑ ὑμῶν δεησόμεθα, ὦ ἄνδρες δικασταὶ, 907
ἀκοῦσαι ἡμῶν μετ' εὐνοίας ἐν τῷ μέρει λέγοντων, γνόντας, ὅτι ἰδιῶται παντελῶς ἐσμὲν, καὶ, πολὺν χρόνον εἰς τὸ ὑμέτερον ἐμπόριον εἰσαφικνούμενοι καὶ συμβόλαια πολλοῖς [2]συμβάλλοντες, οὐδεμίαν πώποτε δίκην πρὸς ὑμᾶς εἰσήλθομεν, οὔτ' ἐγκαλοῦντες, οὔτ' ἐγκαλούμενοι ὑφ' ἑτέρων. οὐδ' ἂν νῦν, ἀκριβῶς ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ὑπελαμβάνομεν ἀπολωλέναι τὰ χρήματα ὑπὸ τῆς νεὼς τῆς διαφθαρείσης, ἃ ἐδανείσαμεν Φορμίωνι, οὐκ ἄν ποτε ἐλάχομεν τὴν δίκην αὐτῷ· οὐχ οὕτως ἡμεῖς ἀναίσχυντοί ἐσμεν, οὐδ' ἄπειροι τοῦ ζημιοῦσθαι. πολλῶν δ' ἡμᾶς κακιζόντων, καὶ [3]μάλιστα τῶν ἐμπόρων τῶν ἐπιδημησάντων ἅμα Φορμίωνι, οἵπερ τοῦτον ᾔδεσαν οὐ συναπολέσαντα τὰ [4]χρήματα ἐν τῇ νηὶ, δεινὸν ἡγούμεθα εἶναι τὸ μὴ βοηθῆσαι [5]ἡμῖν ἀδικουμένοις ὑπὸ τούτου.

β'. Περὶ μὲν οὖν τῆς παραγραφῆς βραχύς ἐστιν ὁ λόγος καὶ γὰρ οὗτοι οὐ τοπαράπαν [6]συμβόλαιον ἐξαρνοῦνται μὴ γενέσθαι ἐν τῷ ἐμπορίῳ τῷ ὑμετέρῳ· ἀλλ' οὐκέτι εἶναί φασι πρὸς ἑαυτοὺς οὐδὲν συμβόλαιον, πεποιηκέναι γὰρ οὐδὲν ἔξω τῶν ἐν τῇ συγγραφῇ γεγραμμένων. [7]οἱ μὲν οὖν νό- 908

[1] ΛΟΓΟΣ. vel, ΥΠΕΡ ΧΡΥΣΙΠΠΟΥ ΠΡΟΣ ΤΗΝ ΦΟΡΜΙΩΝΟΣ ΠΑΡΑΓΡΑΦΗΝ.
[2] συμβαλόντες [3] μάλιστα τῶν ἐν Βοσπόρῳ ἐπιδημησάντων [4] χρήματα * τὰ ἐν
[5] ἡμῖν αὐτοῖς ἀδικουμένοις [6] τὸ συμβόλαιον [7] οἱ μέντοι νόμοι

Δημοσθένους ὁ πρὸς Φορμίωνα ὑπὲρ δανείου λόγος] Alii Δημοσθένους ὑπὲρ Χρυσίππου πρὸς τὴν Φορμίωνος παραγραφὴν περὶ Δανείου λόγος, Demosthenis pro Chrysippo adversus Phormionis exceptionem de ære alieno oratio. WOLF.

ά. Ἐν τῷ μέρει λεγόντων] Quia, duo cum essent, uterque causæ partem egit. IDEM.

Ἀπολωλέναι ὑπὸ τῆς νεὼς] Pro ἐν τῇ νηί. Nisi malis ἐπὶ τῆς νεώς. IDEM.

Τῶν ἐμπόρων τῶν ἐπιδ.] Leg. τῶν ἐμπ. τῶν ἐκεῖ ἐπιδημησάντων, illic, nempe, in Bosphoro. AUGER.

μοι, καθ' οὓς ὑμεῖς δικασταὶ κάθησθε, οὐχ οὕτω λέγουσιν. ἀλλ' ὑπὲρ μὲν τῶν μὴ γενομένων ὅλως συμβολαίων Ἀθήνησι μηδ' εἰς τὸ Ἀθηναίων ἐμπόριον [1] παραγράψασθαι δεδώκασιν· ἐὰν δέ τις γενέσθαι μὲν ὁμολογῇ, ἀμφισβητῇ δὲ ὡς πάντα πεποίηκε τὰ συγκείμενα, ἀπολογεῖσθαι κελεύουσιν εὐθυδικίαν εἰσιόντα, οὐ κατηγορεῖν τοῦ διώκοντος. οὐ μὴν ἀλλ' ἔγωγε ἐλπίζω καὶ ἐξ αὐτοῦ τοῦ πράγματος δείξειν εἰσαγώγιμον τὴν δίκην οὖσαν. σκέψασθε δ', ὦ ἄνδρες Ἀθηναῖοι, τί ὁμολογεῖται παρ' αὐτῶν τούτων, καὶ τί ἀντιλέγεται· οὕτω γὰρ ἂν ἄριστα ἐξετάσαιτε. οὐκοῦν δανείσασθαι μὲν τὰ χρήματα ὁμολογοῦσι, καὶ συνθήκας ποιήσασθαι τοῦ δανείσματος· [2] φησὶ δ' ἀποδεδωκέναι τὸ χρυσίον Λάμπιδι, τῷ Διώνος οἰκέτῃ, ἐν Βοσπόρῳ. ἡμεῖς τοίνυν [3] οὐ τοῦτο δείξομεν, ὡς οὐκ ἀποδέδωκεν· ἀλλ', ὡς οὐδ' ἐξῆν αὐτῷ ἀποδοῦναι. [4] ἀναγκαῖα δ' ἐστὶ βραχέα τῶν ἐξ ἀρχῆς διηγήσασθαι ὑμῖν.

γ'. Ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐδάνεισα Φορμίωνι τούτῳ εἴκοσι μνᾶς, ἀμφοτερόπλουν εἰς τὸν Πόντον, ἐπὶ

[1] παραγράφεσθαι [2] φασὶ [3] οὐ μόνον τοῦτο [4] ἀναγκαῖον

ϛ'. Εὐθυδικίαν] Εὐθυδικία est *recta intentionis depulsio, justa et plena recusatio:* quod fit, cum is qui in judicium vocatus est, nulla præscriptione fori, aut alia exceptione summotoria utitur, nec litis excipiendæ diverticulo. Budæus.

Ἐξετάσεται] Alii ἐξετάσετε. M. ἐξετάσαιτε ἀορ. α. optativi. Wolf.

γ'. Ἐγὼ γὰρ — ὑποθήκη] *Ego Athenienses Phormioni mutuas dedi minas* xx. *ultro citroque in Pontum, alio accepto pignore,* Wolfius. Difficultas est in verbis ἐπὶ ἑτέρᾳ γε ὑποθήκῃ, ac præsertim in v. ἑτέρᾳ. Crediderat Chrysippus Phormioni mercatori minas xx. ea conditione, ut Phormio merces xl. minarum pretii in navem imponeret, quæ pignoris loco essent Chrysippo, ut docet Demosthenes. Vides igitur dimidiam partem mercium pignori obligatam fuisse, pro altera dimidia parte. Proinde verba Demosthenis sic interpretari malim, *altero tanto oppignerato.* In tota igitur oratione, ubicumque ὑποθήκης nomen occurrit, merces sunt intelligendæ, quæ creditoribus oppigneratæ erant ex syngrapha. Quare debitor tenebatur aut merces pignori obligatas exhibere, aut argentum, quod mutuatus fuerat; alioqui adversus eum, qui nec pecuniam creditoribus solveret, nec pignus exhiberet, gravis erat pœna proposita: adeo ut civem Atheniensem optimo loco natum ob eam culpam Athenienses capite damnarint. Tantum illis curæ fuit, ut in foro fides servaretur, quemadmodum refert Demosthenes in fine hujusce Orationis. *Emendatt.* L. IV. c. 3. Valesius. Plura vid. infra p. 913. v. ult. ed. R.

Ἀμφοτερόπλουν] Dicunt, quasi in commeatum remeatumque usuram taxatam: de quo locutus est Modestin. in l. 1ma. de nautico fenore. Ita contrahebatur, ut non aliter deberetur nec ipsa, nec sors ejus, quam si navis cum mercibus sospes domum rediisset. Et his verbis liquet usuram nauticam non menstruam fuisse, sed una in omne tempus navigationis et negotiationis constitutione taxatam. Fuit enim pecunia a Lampide nauclero Phormioni fenerato mutuata Athenis in Pontum, et Ponto Athenas. Et hæc ratio major est sesquiquatra, et jure Pandectarum non admissa. Nam legitima usura trajectitiæ pecuniæ non potest duplam centesimam excedere, ut actor est Papinianus in l. Nihil interest. A Græcis ephectos tocos vocatur, supersexta usura. In ll. *De asse et partibus ejus,* Budæus.

[1] ἑτέρᾳ ὑποθήκῃ, καὶ συγγραφὴν ἐθέμην παρὰ Κιττῷ τῷ τραπεζίτῃ. κελευούσης δὲ τῆς συγγραφῆς ἐνθέσθαι εἰς τὴν ναῦν τετρακισχιλίων φορτία ἄξια, πρᾶγμα ποιεῖ πάντων δεινότατον. εὐθὺς γὰρ ἐν τῷ Πειραιεῖ ἐπιδανείζεται λάθρα ἡμῶν, παρὰ μὲν Θεοδώρου τοῦ Φοίνικος τετρακισχιλίας πεντακοσίας δραχμάς, παρὰ δὲ τοῦ ναυκλήρου Λάμπιδος χιλίας [2] δραχμάς. δέον δ' αὐτὸν καταγοράσαι φορτία Ἀθήνηθεν μνῶν ἑκατὸν δεκαπέντε, εἰ ἤμελλε τοῖς 909
[3] δανειστταῖς ποιεῖν τὰ ἐν ταῖς συγγραφαῖς γεγραμμένα, οὐ κατηγόρασεν, ἀλλ' ἢ πεντακισχιλίων καὶ πεντακοσίων δραχμῶν σὺν τῷ ἐπισιτισμῷ· ὀφείλει δὲ ἑβδομήκοντα μνᾶς καὶ πέντε. ἀρχὴ μὲν οὖν αὕτη ἐγένετο τοῦ ἀδικήματος, ὦ ἄνδρες Ἀθηναῖοι· οὔτε γὰρ τὴν ὑποθήκην [4] παρέσχετο, οὔτε τὰ χρήματα ἐνέθετο εἰς τὴν ναῦν, κελευούσης τῆς συγγραφῆς ἐπάναγκες ἐντίθεσθαι. καί μοι λάβε τὴν συγγραφήν.

ΣΥΓΓΡΑΦΗ.

λάβε δὴ καὶ τὴν τῶν πεντηκοστολόγων ἀπογραφὴν, καὶ τὰς μαρτυρίας.

Ἀ ΠΟΓΡΑΦΗ. ΜΑΡΤΥΡΙΑΙ.

δ'. Ἐλθὼν τοίνυν εἰς τὸν Βόσπορον, ἔχων ἐπιστολὰς

[1] ἑτέρᾳ γ' ὑποθήκῃ [2] Deest δραχμάς. [3] δανειστταις πᾶσι ποιήσειν [4] πάρεσχεν

Ἀμφοτερόπλουν] Hinc illuc, illinc huc, ut Athenis Bosporum, Bosporo Athenas, hoc est, ut pecunia Athenis accepta, negotietur Bospori, indeque reversus Athenas, solvat et sortem et usuras. ἑτερόπλοιον, unius tantum loci conditionem habet. In hac oratione Phormio ἀμφοτερόπλουν mutuatus, se ἑτερόπλοιον reddidisse fingere dicitur: numerata scilicet et sorte et usura Bospori, cum Athenis demum id faciendum esset, interimque illa pecunia ei frui licuisset. Wolf.

Παρὰ Κιττῷ τῷ τραπεζίτῃ] Hujus, pueri adhuc, fit mentio in Trapezitico Isocratis. Idem.

Οὐ κατηγόρασεν] F. οὐκ ἠγόρασεν, ἀλλ' ἢ, ἀντὶ τοῦ, οὐ πλέον ἢ. Idem.

Ὀφείλει δὲ ἑβδομήκοντα μνᾶς καὶ πέντε] Si 5500. drachmæ conficiunt minas 55., his de 115. minis subtractis, restabunt non nisi 60. minæ: nisi forte ὁ ἐπισιτισμὸς, qui fuerit 15. minarum, sit in 55. minis supputatus. Sed notæ numerorum sæpissime permutari solitæ, magnos errores pariunt, et ingentia mendacia: in contractibus etiam fraudes. Ac mihi quidam olim de iniqua æstimatione libri cujusdam conquerenti, per jocum ille quidem, sed valde vereor, ne talia sæpe etiam serio fiant, respondit, eadem facilitate pingi notam octonariam, qua quaternariam. Idem.

Ἐπαναγκὲς] Κατ' ἀνάγκην, ἀναγκαίως. Idem.

Τῶν πεντηκοστολόγων] Post nominat ἐλλιμενιστάς: illos, quod quinquagesimas exigant: hos, quod in portubus versentur.

παρ' ἐμοῦ, ἃς δέδωκ' αὐτῷ ἀπενεγκεῖν τῷ παιδὶ τῷ ἐμῷ παραχειμάζοντι ἐκεῖ, καὶ κοινωνῷ τινὶ, γράψας ἐν τῇ ἐπιστολῇ τό τε ἀργύριον ὃ ἐδεδανείκειν καὶ τὴν ὑποθήκην, καὶ προστάξας, ἐπειδὰν τάχιστα ἐξαιρεθῇ τὰ χρήματα, ἐξετάζειν καὶ [1]ἐπακολουθεῖν — τὰς μὲν ἐπιστολὰς οὐκ ἀποδίδωσιν οὗτος, ἃς ἔλαβε παρ' ἐμοῦ, ἵνα μηδὲν εἰδείησαν ὧν ἔπραττεν οὗτος· καταλαβὼν δ' ἐν τῷ Βοσπόρῳ μοχθηρὰ τὰ πράγματα διὰ τὸν συμβάντα πόλεμον τῷ Παρεισάδῃ πρὸς τὸν Σκύθην, καὶ τῶν φορτίων ὧν ἦγε πολλὴν ἀπρασίαν, ἐν πάσῃ ἀπορίᾳ ἦν. καὶ γὰρ οἱ δανεισταὶ εἶχοντο αὐτοῦ οἱ τὰ [2]ἑτερόπλοια δανείσαντες· ὥστε τοῦ ναυκλήρου κελεύοντος αὐτὸν κατὰ τὴν συγγραφὴν ἐντίθεσθαι τὰ ἀγοράσματα τῶν ἐμῶν χρημάτων, εἶπεν οὗτος, ὁ νῦν φάσκων ἀποδεδωκέναι τὸ χρυσίον, ὅτι οὐκ ἂν δύναιτο
910 ἐνθέσθαι εἰς τὴν ναῦν τὰ χρήματα. ἄπρατον γὰρ εἶναι τὸν ῥῶπον. καὶ ἐκεῖνον μὲν ἐκέλευεν ἀνάγεσθαι· αὐτὸς δ', ἐπειδὰν διάθηται τὰ φορτία, ἐφ' ἑτέρας νεὼς ἔφη ἐκπλεύσεσθαι. καί μοι λέγε ταύτην τὴν μαρτυρίαν.

[1] παρακολουθεῖν [2] ἑτερόπλοα

IDEM.

Τῷ Παρεισάδῃ πρὸς τὸν Σκύθην] In Aristocratea Βηρισάδης quidam Thraciæ rex, Cotyis F., Cersobleptæ et Amadoci frater, nominatur. Sed hic fortassis alius est. IDEM.

Οἱ τὰ ἑτερόπλοια δανείσαντες] Quibus pecunia, quam Athenis mutuarant, Bospori reddenda erat. IDEM.

Ὥστε τοῦ ναυκλήρου — ἄνθρωπον] Locus fœde corruptus, quem partim ex Augustano Codice, partim ex conjectura restituisse mihi videor. Wolfius: *Adeo ut infectis.* Et hunc quidem qualemcunque sensum elicuit Wolfius ex corruptis Demosthenis verbis; quæ etiam asterisco signata sunt. Sed in Aug. Cod. longe optimo ultima verba sic leguntur: ἄπρατον γὰρ εἶναι τὸν ὠρῶπον. ex quibus facillimum erat veram ac sinceram hujus loci scripturam deprehendere. Scripserat enim Demosthenes ἄπρατον γὰρ εἶναι τὸν ῥῶπον. Viles ac levis pretii merces Græci ῥῶπον vocabant, et hujusmodi mercatores ῥωποπώλας, ut testatur Hesychius. Ælius Dionysius ap. Eustath. in Il. N. p. 927. ῥῶπον interpretatur τὸν λεπτὸν καὶ εὐτελῆ φόρτον, καὶ ποικίλον, additque, quod ad nostrum institutum plurimum facit, ἡ δὲ λέξις τοῦ ῥώπου παρά τε Δημοσθένει καὶ ἰτίξοις. Neque enim alibi, quod sciam, nomen hoc ῥῶπος occurrit in Orationibus Demosthenis, præterquam hoc in loco; ex quo apparet ita necessario emendandum fuisse. Porro quam facilis et prona sit depravatio harum vocum ῥῶπος et ὤρωπος, ostendit Hesychii locus, in quo sic legitur Αἰγυπτία ἐμπαλὴ ὤρωπος, cum scribendum sit ὁ ῥῶπος. Et hæc quidem quod spectat ad v. ῥῶπος. Quod autem attinet ad vocem ἄπρατον, confirmat locus supra v. 9. et infra p. 502. v. 1. In *Emendatt.* L. IV. c. 2. VALESIUS.

Ἄπρακτον γὰρ εἶναι τὸν ἄνθρωπον] Ἀντὶ τοῦ, ἑαυτὸν εἶναι ἄπρακτον. Locus mendi suspicione non vacat. ἄπρατα γὰρ εἶναι τὰ ἀγοράσματα, etsi non multum videtur a sententia abhorrere, nec ipsum tamen satis placet, etsi mox sequitur: ἐπειδὰν διάθηται τὰ φορτία, τουτέστι, πιπράσκῃ, ut in Panegyrico, καὶ πολλῆς ἀπορίας οὔσης, τὰ μὲν ὅπου δεῖ διαθέσθαι, τὰ δὲ ὀπόθεν εἰσαγαγέσθαι. Fortassis καταχρηστικὴ quædam formula mercatorum fuit, ἄπρατον εἶναι τὸν ἄνθρωπον, ἀντὶ τοῦ, μὴ πεπρακέναι τὰ ἐμπορεύματα: ut sit passivum loco activi. ἄπρατος *irritus, impos voti*: ἄπρατος *non venditus, integer, incorruptus*: quod huc non pertinet. *In farrag.* τὸν ἄνθρωπον] huc referri potest ἄπρακτον. Sin φόρτον (quod magis placet) ἄπρατον. WOLF.

ΜΑΡΤΥΡΙΑ.

ε΄. Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, οὗτος μὲν ἐν τῷ Βοσπόρῳ καταλέλειπτο· ὁ δὲ Λάμπις ἀναχθεὶς, ἐναυάγησεν οὐ μακρὰν ἀπὸ τοῦ ἐμπορίου. γεγεμισμένης γὰρ ἤδη τῆς νεὼς, ὡς ἀκούομεν, μᾶλλον τοῦ δέοντος, προσανέλαβεν ἐπὶ τὸ κατάστρωμα χιλίας βύρσας. ὅθεν καὶ ἡ διαφθορὰ τῇ νηῒ συνέβη· καὶ αὐτὸς μὲν ἀπεσώθη ἐν τῷ λέμβῳ μετὰ τῶν ἄλλων παίδων τῶν Δίωνος, ἀπώλεσε δὲ πλέον ἢ τριακόσια [1] σώματα χωρὶς τῶν ἄλλων. πολλοῦ δὲ πένθους ἐν τῷ Βοσπόρῳ ὄντος, ὡς ἐπύθοντο τὴν διαφθορὰν τῆς νεὼς, εὐδαιμονίζον τὸν Φορμίωνα ἅπαντες τουτονὶ, ὅτι [2] οὐ συνανήχθη, οὔτε ἔθετο εἰς τὴν ναῦν οὐδέν. συνέβαινε δὲ παρά τε τῶν ἄλλων καὶ [3] παρὰ τούτου ὁ αὐτὸς λόγος. καί μοι ἀνάγνωθι ταύτας τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

αὐτὸς μὲν τοίνυν ὁ Λάμπις, ᾧ [4] φασὶν ἀποδεδωκέναι τὸ χρυσίον — τούτῳ γὰρ προσέχετε τὸν νοῦν —, προσελθόντος αὐτῷ ἐμοῦ, ἐπειδὴ τάχιστα κατέπλευσεν ἐκ τῆς ναυαγίας Ἀθήναζε, καὶ ἐρωτῶντος ὑπὲρ [5] τούτου, ἔλεγεν, ὅτι οὔτε [6] τὰ χρήματα ἔνθοιτο εἰς τὴν ναῦν οὗτος κατὰ τὴν συγγραφὴν, οὔτε τὸ χρυσίον εἰληφὼς εἴη παρὰ τούτου [7] ἐν Βοσπόρῳ τότε. καί μοι ἀνάγνωθι τὴν μαρτυρίαν τῶν παραγενομένων.

ΜΑΡΤΥΡΙΑ. 91

ς΄. Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπεδήμησεν [6] ὁ Φορμίων οὑτοσὶ σεσωσμένος ἐφ' ἑτέρας νεὼς, προσήειν αὐτῷ ἀπαιτῶν τὸ δάνειον· καὶ οὗτος κατὰ μὲν ἀρχὰς οὐδεπώποτε,

[1] σώματα ἐλεύθερα χωρὶς [2] οὔτε συνανήχθη, οὔτ' ἐνέθετο [3] παρ' αὐτοῦ τούτου [4] φησὶν [5] τούτων [6] Deest articulus. [7] ἐν τῷ Βοσπόρῳ [τότε].

ε΄. Σώματα] Ἀντὶ τοῦ, ἀνθρώπους. Nisi et equi et aliæ pecudes in navi fuerint. Idem. Leg. τριάκοντα pro τριακόσια. ἀπώλεσε *perdidit*, i. e. perire fecit. Auger.

Χωρὶς τῶν ἄλλων] Τῶν ἐμπορευμάτων, ἢ ἀγορασμάτων. Wolf.

Φασὶν] M. φησὶν, scil. ὁ Φορμίων. Idem. Auger.

Ναυαγίας] Quod Ammonius ναυαγίαν reddidit νηὸς διαφθορὰν, observari potest, utrumque permutavisse Demosthenem contra Phormion. ναυαγίαν vocans, quod superius dixerat διαφθορὰν: nam ubi editur, ὅθεν καὶ ἡ διαφορὰ τῇ νηῒ συνέβη, scribendum διαφθορὰ, quod interpretem fugisse non videtur. *Valckenaer. Animadv. ad Amm.*

ὦ ἄνδρες Ἀθηναῖοι, εἶπε τὸν λόγον τοῦτον, ὃν νῦν λέγει, ἀλλ' ἀεὶ ὡμολόγει ἀποδώσειν. ἐπειδὴ δ' ἀνεκοινώσατο τοῖς νῦν παροῦσιν αὐτῷ καὶ συνδικοῦσιν, ἕτερος ἤδη ἦν καὶ οὐχ ὁ αὐτός. ὡς δ' ἠσθόμην αὐτὸν διακρουόμενόν με, προσέρχομαι τῷ Λάμπιδι, λέγων, ὅτι [1] οὐδὲν ποιεῖ τῶν δικαίων Φορμίων, οὐδ' ἀποδίδωσι τὸ δάνειον, καὶ ἅμα ἠρόμην αὐτὸν, εἰ εἰδείη ὅπου ἐστὶν, ἵνα προσκαλεσαίμην αὐτόν. ὁ δ' ἀκολουθεῖν μ' ἐκέλευεν ἑαυτῷ, καὶ καταλαμβάνομεν πρὸς τοῖς μυροπωλίοις αὐτόν. κἀγὼ κλητῆρας ἔχων προσεκαλεσάμην αὐτόν. καὶ ὁ Λάμπις, ὦ ἄνδρες Ἀθηναῖοι, παρὼν προσκαλουμένῳ μοι οὐδαμοῦ ἐτόλμησεν εἰπεῖν, ὡς ἀπείληφε παρὰ τούτου τὸ χρυσίον, οὐδ', ὃ εἰκὸς ἦν, εἶπε, Χρύσιππε μαίνῃ· τί τοῦτον [2] προσκαλεῖς; ἐμοὶ γὰρ ἀποδέδωκε τὸ χρυσίον. ἀλλὰ [3] μὴν ὅτι ὁ Λάμπις οὐκ ἐφθέγξατο, ἀλλ' οὐδὲ αὐτὸς οὑτοσὶ οὐδὲν ἠξίωσεν εἰπεῖν, παρεστηκότος τοῦ Λάμπιδος, ᾧ νῦν φησὶν ἀποδεδωκέναι τὸ χρυσίον. καίτοι εἰκός γε ἦν αὐτὸν εἰπεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τί με [2] προσκαλεῖς, ὦ ἄνθρωπε; ἀποδέδωκα γὰρ τούτῳ τῷ παρεστηκότι τὸ χρυσίον, καὶ ἅμα ὁμολογοῦντα παρέχειν τὸν Λάμπιν· νυνὶ δ' οὐδ' ἕτερος αὐτῶν οὐδ' ὁτιοῦν εἶπεν ἐν τῷ τοιούτῳ καιρῷ. καὶ ὅτι ἀληθῆ λέγω, λάβε μοι τὴν μαρτυρίαν τῶν κλητήρων.

912 [4] ΜΑΡΤΥΡΙΑ.

λάβε δή μοι καὶ τὸ ἔγκλημα, ὃ ἔλαχον αὐτῷ πέρυσιν· ὅ ἐστιν οὐδενὸς ἔλαττον τεκμήριον, ὅτι [5] οὐδεπώποτ' ἔφησε Φορμίων ἀποδεδωκέναι τὸ χρυσίον Λάμπιδι.

ΕΓΚΛΗΜΑ.

τοῦτο τὸ ἔγκλημα [6] ἔλαχον ἐγὼ, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδαμόθεν ἄλλοθεν σκοπῶν, ἀλλ' ἢ ἐκ τῆς [7] ἀγγελίας τῆς

1 οὐδέν μοι ποιεῖ 2 προσκαλεῖ 3 μὴ 4 Μαρτυρίαι. 5 * οὐδέπω τότ' 6 ἔγραφον 7 ἀπαγγελίας

L. II. c. 20.

ς'. Ἵνα προσκαλεσαίμην αὐτὸν] *Ut in judicium eum arcesserem: ut diem ei dicerem.* Wolf.

Ἀλλὰ μὴν ὅτι ὁ Λάμπις οὐκ ἐφθέγξατο] F. ἀλλὰ μὴν οὐχ ὅτι ὁ Λάμπις οὐκ ἐφθέγξατο, ἀντὶ τοῦ, οὐ μόνον ὁ Λάμπις οὐκ ἐφθέγξατο. Idem.

Ἔλαχον] L. ἔλεγον, et infra v. pen. Auger.

Λάμπιδος, ὃς οὐκ ἔφασκεν οὔτε τὰ χρήματα ἐντεθεῖσθαι τοῦτον, οὔτε τὸ χρυσίον ἀπειληφέναι· μὴ γὰρ οἴεσθέ με οὕτως ἀπόπληκτον εἶναι καὶ παντελῶς μαινόμενον, ὥστε τοιοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, γράφειν ἔγκλημα, ὁμολογοῦντος τοῦ Λάμπιδος ἀπειληφέναι τὸ χρυσίον, ὑφ' οὗ [1] ἔμελλον ἐξελεγχθήσεσθαι. ἔτι δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖνο σκέψασθε· αὐτοὶ γὰρ οὗτοι παραγραφὴν [2] διδόντες πέρυσιν, οὐκ ἐτόλμησαν ἐν τῇ παραγραφῇ γράψαι, ὡς ἀποδεδώκασι Λάμπιδι τὸ χρυσίον. καί μοι λέγε ταύτην τὴν παραγραφήν.

ΠΑΡΑΓΡΑΦΗ.

ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐδαμοῦ γέγραπται ἐν τῇ παραγραφῇ, ὡς ἀποδέδωκε τὸ χρυσίον Φορμίων Λάμπιδι· καὶ ταῦτ', ἐμοῦ διαῤῥήδην γράψαντος εἰς τὸ ἔγκλημα ὃ ἠκούσατε ἀρτίως, ὅτι οὔτε τὰ χρήματα ἔνθοιτο εἰς τὴν ναῦν, οὔτε ἀποδέδωκε τὸ χρυσίον. τίνα οὖν ἄλλον χρὴ περιμένειν ὑμᾶς μάρτυρα, ὅταν τηλικαύτην μαρτυρίαν παρ' αὐτῶν τούτων ἔχητε;

ζ'. Μελλούσης δὲ τῆς δίκης εἰσιέναι εἰς τὸ δικαστήριον, ἐδέοντο ἡμῶν ἐπιτρέψαι τινί. καὶ ἡμεῖς ἐπετρέψαμεν Θεοδότῳ ἰσοτελεῖ κατὰ συνθήκας. καὶ ὁ Λάμπις μετὰ ταῦτα νομίσας αὐτῷ ἀσφαλὲς ἤδη εἶναι πρὸς διαιτητῇ μαρτυρεῖν ὅ τι βούλοιτο, μερισάμενος τὸ ἐμὸν χρυσίον μετὰ Φορμίω- 913
νος [3] τούτου, τὰ ἐναντία εἰς πρότερον εἴρηκεν. οὐ γὰρ ὅμοιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰς τὰ ὑμέτερα πρόσωπα ἐμβλέποντα τὰ ψευδῆ μαρτυρεῖν, καὶ πρὸς διαιτητῇ· παρ' ὑμῖν μὲν γὰρ ὀργὴ μεγάλη καὶ τιμωρία ὑπόκειται τοῖς τὰ ψευδῆ μαρτυροῦσι, πρὸς δὲ τῷ διαιτητῇ ἀκινδύνως καὶ ἀναισχύντως μαρτυροῦσιν ὅ τι ἂν βούλωνται. ἀγανακτοῦντος δέ μου καὶ σχετλιάζοντος, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τῇ τόλμῃ τοῦ Λάμπιδος, καὶ παρεχομένου πρὸς τὸν διαιτητὴν τὴν αὐτὴν μαρτυρίαν, ἥνπερ καὶ νῦν πρὸς ὑμᾶς παρέχομαι,

[1] ἤμελλον [2] δόντες τῆς δίκης πέρυσιν
[3] τούτου, ἐμαρτύρει τἀναντία, οἷς πρότερον εἰρήκει

ζ. Τὰ ἐναντία οἷς πρότερον εἴρηκεν] F. τὰ ἐναντία τοῖς πρότερον εἴρηκεν. Wolf. τὰ ἐναντία, οἷς πρότερον εἶπεν, εἴρηκεν: aut,

τῶν ἐξ ἀρχῆς προσελθόντων αὐτῷ μεθ' ἡμῶν, ὅτε οὔτε τὸ χρυσίον ἔφη ἀπειληφέναι παρὰ τούτου, οὔτε χρήματα αὐτὸν ἐνθέσθαι εἰς τὴν ναῦν, οὕτως ὁ Λάμπις κατακράτος ἐξελεγχόμενος [1] ψευδῆ μαρτυρῶν, καὶ πονηρὸς ὢν, ὡμολόγει μὲν εἰρηκέναι ταῦτα πρὸς τοῦτον, οὐ μέντοι γε ἐντὸς ὢν εἰπεῖν αὐτοῦ. καί μοι ἀνάγνωθι ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

ἀκούσας τοίνυν ἡμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, ὁ Θεόδοτος πολλάκις, καὶ νομίσας τὸν Λάμπιν ψευδῆ μαρτυρεῖν, οὐκ ἀπέγνω τῆς δίκης, ἀλλ' ἐφῆκεν ἡμᾶς εἰς τὸ δικαστήριον. καταγνῶναι μὲν γὰρ οὐκ ἠβουλήθη, διὰ τὸ οἰκείως ἔχειν Φορμίωνι τούτῳ, ὡς ἡμεῖς ὕστερον ἐπυθόμεθα· ἀπογνῶναι δὲ τῆς δίκης ὤκνει, ἵν' αὐτὸς μὴ ἐπιορκήσειεν.

ἡ. Ἐξ αὐτοῦ δὴ τοῦ πράγματος λογίσασθε, ὦ ἄνδρες δικασταὶ, παρ' ὑμῖν αὐτοῖς, ὁπόθεν ἤμελλεν ἀποδώσειν [2] οὗτος τὸ χρυσίον. ἐνθένδε μὲν γὰρ ἐξέπλει, οὐκ ἐνθέμενος
914 εἰς τὴν ναῦν τὰ χρήματα καὶ ὑποθήκην οὐκ ἔχων, ἀλλ' ἐπὶ τοῖς ἐμοῖς χρήμασιν ἐπιδανεισάμενος· ἐν Βοσπόρῳ δὲ

[1] τὰ ψευδῆ

[2] οὗτος ἀποδώσειν

Ὡμολόγει μὲν εἰρηκέναι ταῦτα πρὸς τοῦτον] F. πρὸς ἐμαυτόν: nisi δεικτικῶς dicatur, aut intelligatur socius Chrysippi. IDEM. Ad quem refertur hoc τοῦτον? ex hoc loco et aliis qui sequuntur, credas non ipsum Chrysippum, sed alium pro eo, loqui. Attamen ex reliqua oratione patet ipsum pro se dicere. An τοῦτον, οὗτος, τούτα, intelligenda sunt, de Chrysippo loquente qui se ipsum demonstrat? Sed tunc ὅδε potius quam οὗτος adhibetur. Neque dicas Chrysippum hactenus locutum esse, et nunc alium ipsius vices subire, ut in oratione contra Neæram, nam modo, et infra pluribus locis, videbimus Chrysippum in prima persona pro se ipso loqui. AUGER.

Οὐκ ἀπέγνω τῆς δίκης] Alias ἀπογνῶναι καὶ ἀποψηφίσασθαι est *absolvere*: καταγνῶναι καὶ καταψηφίσασθαι, *condemnare*. Hic est, οὐκ ἀπέγνω τῆς δίκης, *non tulit sententiam: de re non pronunciavit*. WOLF. Vid. Harpocrat. in v. διαμαρτυρία, et Pollux l. VIII. c. 1.

ἡ. Ἐνθένδε μὲν—ἐπιδανεισάμενος] Solebant mali debitores, qui pecunias mutuas ab aliquo acceperant commercandi causa, rursus ab aliis mutuari, quod ἐπιδανείζειν [Lat. *versura solvere*] dicebant. Quod quidem clam et insciis creditoribus factitabant, ne illi pignus suum sibi vindicarent, aliisque rursus oppignerari vetarent. Sic intelligendus l. l. Demosthenis: quem Wolfius vertit, *cum enim hinc navigaret, nec pecuniam in navem imposuerat, et pignus non habebat, sed ad meam pecuniam plus erat mutuatus*. Quam interpretationem equidem probare non possum. Vox enim ἐπιδανεισάμενος id satis indicat. Sed alius est sensus horum verborum, ἐπὶ τοῖς ἐμοῖς χρήμασι i. e. *pecunia mea pignoris loco opposita, aliam supermutuatus*. Vox hæc, ἐπὶ, pignus et hypothecam denotat, ut supra vidimus [p. 908. v. 21. ed. R.], ἐπὶ ἑτέρᾳ γε ὑποθήκῃ. Et in Or. c. Dionysodor. [p. 1283. v. 18. ed. R.] ἐπὶ τῇ νηῒ i. e. *oppignerata nave;* Wolfius vertit *ad navem*. In *Emendatt.* L. IV. c. 3. VALESIUS. Vid. Pet. Burmanni Not. ad l. l. Vales. et de voce ἐπιδανείζειν Salmas. de Mod. Usur. p. 504. et de voce ἐπὶ Salmas. ibid. p. 754.

Ὑποθήκην οὐκ ἔχων] Cum nihil haberet, quod pignori opponeret aliis, sed rebus Chrysippi oppigneratis, aliis etiam cave-

ἀπρασίαν τῶν φορτίων κατέλαβε, καὶ τοὺς τὰ [1] ἑτερόπλοια δανείσαντας μόλις ἀπήλλαξε. καὶ οὗτος μὲν ἐδάνεισεν αὐτῷ δισχιλίας δραχμὰς ἀμφοτερόπλους, ὥστ' ἀπολαβεῖν Ἀθήνησι δισχιλίας ἑξακοσίας δραχμάς· Φορμίων δέ φησιν ἀποδοῦναι Λάμπιδι ἐν Βοσπόρῳ ἑκατὸν καὶ εἴκοσι στατῆρας Κυζικηνοὺς — τούτῳ γὰρ προσέχετε τὸν νοῦν — δανεισάμενος ἐγγείων τόκων. ἦσαν δὲ ἐφεκτοὶ οἱ ἔγγειοι τόκοι· ὁ δὲ Κυζικηνὸς ἐδύνατο ἐκεῖ εἴκοσι καὶ ὀκτὼ δραχμὰς Ἀττικάς. δεῖ δὴ μαθεῖν ὑμᾶς, ὅσα φησὶ χρήματα ἀποδεδωκέναι. τῶν μὲν γὰρ [2] ἑκατὸν εἴκοσι στατήρων γίγνονται τρισχίλιαι τριακόσιαι ἑξήκοντα, ὁ δὲ τόκος ὁ ἔγγειος [3] ἐφεκτὸς τῶν τριάκοντα μνῶν καὶ τριῶν καὶ ἑξήκοντα πεντακόσιαι δραχμαὶ καὶ ἑξήκοντα· τὸ δὲ [4] σύμπαν κεφάλαιον γίγνεται τόσον καὶ τόσον. ἔστιν οὖν, ὦ ἄνδρες δικασταί, οὗτος ὁ ἄνθρωπος, ἢ γενήσεταί ποτε, ὃς ἀντὶ [5] δισχιλίων ἑξακοσίων δραχμῶν τριάκοντα μνᾶς καὶ [6] τριακοσίας ἀποτίνειν προείλετ' ἂν, καὶ τόκον πεντακοσίας δραχμὰς καὶ ἑξήκοντα δανεισάμενος, ἃς φησιν ἀποδεδωκέναι Φορμίων Λάμπιδι, τρισχιλίας ἐννακοσίας εἴκοσιν; ἐξὸν δ' αὐτῷ ἀμ-

[1] ἑτερόπλοα [2] ἑκατὸν καὶ εἴκοσι [3] ὁ ἐφεκτὸς [4] ξύμπαν
[5] δισχιλίων καὶ ἑξακοσίων [6] τριακοσίας καὶ ἑξήκοντα ἀποτίνειν

ret. Wolf.

Οὗτος μὲν ἐδ.] Ipse Chrysippus qui loquitur. Auger.

Ἐγγείων τόκων] His, ut supra dixi, opponuntur οἱ ναυτικοί. Wolf.

Ἦσαν δ' ἐφεκτοὶ] Οἱ ἐπὶ τὸ ἕκτον τοῦ κεφαλαίου, ut de talento pendantur denæ minæ. Idem.

Ἐφεκτοὶ] Differentia τοῦ ἐφεκτοῦ Mathematicorum et Atticorum imposuit Budæo et Agricolæ, qui τόκους ἐφεκτοὺς Demosthenis in ea π. Φορμ. interpretati sunt de usuris sesquisextis. *Sextariæ* potius appellandæ sunt. Nam ἐφεκτὸς Mathematicis Græcis est *sextarius* cui sexta adjecta est. *Salmas. de M. U.* p. 17. Cf. quoque p. 20.

Εἴκοσι καὶ ὀκτὼ δραχμὰς] Denæ drachmæ nunc fere aureo Rhenensi nummo respondent, qui apud nos valet cruciferos 75., cum me adolescente non pluris quam 64. fuerit. Suidas χρυσοῦν νόμισμα τετράγωνον. Apud Isocrat. in Trapezitico: ἔτι δὲ παρ' ὧν ἐχρυσώνησα ὑπ' ἐκεῖνον τὸν χρόνον πλείους, ἢ χιλίους στατῆρας. Non idem ubique fuit stateris pretium. Fuit enim et τετράδραχμος, et pluris, quam 28. drachmarum alicubi, ut credibile est, ac dubitationem habere videtur, nomisma utrum aureum, an argenteum fuerit. Nihil enim vetat, eandem appellationem et aureo et argenteo nomismati (ut apud nos fit) fuisse tributam, cum tantum discriminis fuerit, quantum inter aurum et argentum interest. Sed Budæus de asse hic consulatur. Wolf.

Τριῶν καὶ ἑξήκοντα] Ad ἑξήκοντα solum sub. δραχμῶν. Auger.

Γίγνεται τόσον καὶ τόσον] Demosthenes cum scriberet orationem, argumenta mercatoribus suppeditavit, supputationem usurarum ipsis reliquit, ejus rei peritioribus: quem et ego imitans, hoc tantum dico, si minus exquisita sit hæc ratio, in causa esse notas numerorum depravatas: de quibus cur nos magnopere laboremus, quibus hic neque seritur, neque metitur, equidem non video. Et hoc semel de tota arithmetica Demosthenica testatum esse volo, ea me vertisse, quæ in auctore invenerim: correctionem τοῖς ἀριθμητικωτέροις καὶ ἐμπορικωτέροις reliquisse. Wolf.

Τρισχιλίας ἐννακοσίας εἴκοσι] F. ὀκτακοσίας ἑξήκοντα. Idem.

φοτερόπλουν Ἀθήνησιν ἀποδοῦναι τὸ ἀργύριον, ἐν Βοσπόρῳ ἀποδέδωκε, τρισὶ καὶ δέκα μναῖς πλέον;

θ'. Καὶ τοῖς μὲν τὰ [1]ἑτερόπλοια δανείσασι μόλις τὰ ἀρχαῖα ἀποδέδωκας, οἳ συνέπλευσάν σοι καὶ προσήδρευον· τούτῳ δὲ τῷ μὴ παρόντι οὐ μόνον τἀρχαῖα καὶ τοὺς τό-
915 κους ἀπεδίδους, ἀλλὰ καὶ τὰ ἐπιτίμια τὰ ἐκ τῆς συγγραφῆς ἀπέτινες, οὐδεμιᾶς σοι ἀνάγκης οὔσης; κἀκείνους μὲν οὐκ ἐδεδίεις, οἷς αἱ συγγραφαὶ ἐν Βοσπόρῳ τὴν πρᾶξιν ἐδίδοσαν τοῦ δανείου· τούτου δὲ φὴς φροντίζειν, ὃν ἐξαρχῆς, [2]ὥς φασιν, εὐθὺς ἠδίκεις οὐκ ἐνθέμενος τὰ χρήματα εἰς τὴν ναῦν κατὰ τὴν συγγραφὴν Ἀθήνηθεν; καὶ νῦν μὲν εἰς τὸ ἐμπόριον ἥκων, οὗ τὸ συμβόλαιον ἐγένετο, οὐκ ὀκνεῖς ἀποστερεῖν τὸν δανείσαντα· ἐν Βοσπόρῳ δὲ πλείω τῶν δικαίων φὴς ποιεῖν, οὗ δίκην οὐκ ἔμελλες δώσειν;

ι'. Καὶ οἱ μὲν ἄλλοι πάντες οἱ τὰ [3]ἑτερόπλοια δανειζόμενοι, ὅταν ἀποστέλλωνται ἐκ τῶν ἐμπορίων, πολλοὺς παρίστανται, ἐπιμαρτυρόμενοι ὅτι τὰ [4]χρήματα ἐπικινδυνεύεται τῷ δανείσαντι· σὺ δ' [5]ἐπισκήπτῃ μάρτυρι αὐτῷ τῷ [6]συνδικοῦντι, καὶ οὐδὲ τὸν παῖδα τὸν ἡμέτερον παρέλαβες ἐν Βοσπόρῳ ὄντα, οὔτε τὸν κοινωνὸν, οὔτε τὰς ἐπιστο-

[1] ἑτερόπλοα [2] [ὥς φασιν] [3] ἀμφοτερόπλοα [4] χρήματα ἤδη ἐπικινδυνεύεται
[5] σκήπτῃ [6] συναδικοῦντι, καὶ οὔτε τὸν

θ'. Μόλις τὰ ἀρχαῖα ἀπέδωκας] Τὰ κεφάλαια. IDEM.

Τούτῳ δὲ] Τῷ κοινωνῷ μου. IDEM.

Τὰ ἐπιτίμια τὰ ἐκ τῆς συγγραφῆς] S. si fidem non servasset, ut in Trapezitico Isocratis. IDEM.

Ὃν ἐξαρχῆς (ὥς φασιν) εὐθὺς] Videtur proverbialis fuisse formula, ut ἀφ' ἑστίας. Adversus Lacritum p. 932. 6. ed. R. εὐθὺς ἀπ' ἀρχῆς ἀρξάμενοι ἐκακοτέχνουν. IDEM.

ι'. Καὶ οἱ μὲν ἄλλοι —— συναδικοῦντι] *Cum enim alii, qui pecunias trajectitias fenerato mutuantur ad alterutrum tantum commeatum, soliti sint portu egredientes, testes multos corrogare, eisque coram contestari, quod pecunia trajectitia creditori periclitatur, tute hoc uno teste nitere, in eoque totam causæ fiduciam reponis, qui tibi socius est injuriæ et fraudis.* Sic enim ἐπισκήπτῃ dixit, ut pro Cluent. Cicero, 'niti et magnopere confidere videtur invidia inveterata judicii Juniani.' BUDÆUS.

Ὅταν ἀποστέλλωνται κ. τ. λ.] *Cum e litore solvunt, multis adhibitis testantur pecuniam* aut *merces feneratorum periculo se exportare.* IDEM.

Οἱ μὲν ἄλλοι - - - ἤδη κινδυνεύεται τ. δ.] Sic enim scriptum in quibusdam exemplaribus, cum in aliis sit, ἐπικινδυνεύεται. Dicit, εἰ τὰ ἑτερόπλοια δανειζόμενοι, quia de ea re ibi agebatur, non περὶ τοῦ ἀμφοτερόπλου: sed protestatio illa utroque casu fieri solebat, et ob eandem causam. *Herald. Anim. in Salmas. Obss. ad Jus A. et R.* l. II. c. XX. §. VIII.

Σὺ δ' ἐπισκήπτῃ μάρτυρι αὐτῷ τῷ συνδικοῦντι] Alii συναδικοῦντι. M. μάρτυρι τῷ σαυτῷ συναδικοῦντι. et pro ἐπισκήπτῃ, lego, ἐνὶ σκήπτῃ, ἀντὶ τοῦ, ἰσχυρίζῃ καὶ ἐπεείδῃ καὶ πέποιθας: nisi forte pro σκήπτῃ legendum sit σκηρίπτῃ, unde etiam τὸ σκῆπτρον dictum volunt. Sed est id verbum rarius. ἐπισκήπτεσθαι τῷ μάρτυρι quid sit, satis notum est: et ea res hic non agitur. WOLF. Imo σὺ δ' ἐνὶ σκήπτῃ. AUGER.

Καὶ οὐδὲ τὸν παῖδα τὸν ἡμέτερον παρέλαβες ἑτεροπλοίῳ τῷ ἀργυρίῳ κεχρημένῳ] Ἀλλὰ μὴ ἀμφοτερόπλῳ κατὰ τὴν συγγραφήν. WOLF.

λὰς ἀπέδωκας αὐτοῖς, ἃς ἡμεῖς ἐπεθήκαμεν, ἐν αἷς ἐγέγραπτο παρακολουθεῖν σοι, οἷς ἂν πράττῃς; καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, τί οὐκ ἂν πράξειεν ὁ τοιοῦτος, ὅστις γράμματα λαβὼν μὴ ἀποδέδωκεν ὀρθῶς καὶ δικαίως; ἢ πῶς οὐ φανερόν ἐστιν ὑμῖν τὸ τούτου κακούργημα ἐξ αὐτῶν ὧν ἔπραττε; καίτοι, ὦ γῆ καὶ θεοί! προσῆκέ γε τοσοῦτον χρυσίον ἀποδιδόντα, καὶ πλεῖον τοῦ δανείσματος, περιβόητον ποιεῖν ἐν τῷ ἐμπορίῳ καὶ παρακαλεῖν πάντας ἀνθρώπους, πρῶτον δὲ τὸν παῖδα τὸν τούτου καὶ τὸν κοινωνόν. ἴστε γὰρ δήπου πάντες, ὅτι δανείζονται μὲν μετ' ὀλίγων μαρτύρων· ὅταν δ' ἀποδιδῶσι, πολλοὺς παρίστανται μάρτυρας, ἵνα ἐπιεικεῖς δοκῶσιν εἶναι περὶ τὰ συμβόλαια. σοὶ δ' ἀποδι- 916
δόντι τό τε δάνειον καὶ τόκους ἀμφοτέρους, [1] ἑτεροπλοίῳ τῷ ἀργυρίῳ κεχρημένῳ, καὶ προστιθέντι ἑτέρας τρισκαίδεκα μνᾶς, πῶς οὐχὶ πολλοὺς ἦν παραληπτέον μάρτυρας; καὶ, εἰ τοῦτο ἔπραξας, οὐδ' ἂν εἷς σου μᾶλλον τῶν πλεόντων ἐθαυμάζετο. σὺ δ' ἀντὶ τοῦ πολλοὺς μάρτυρας τούτων ποιεῖσθαι, πάντας ἀνθρώπους λανθάνειν ἐπειρῶ, ὥσπερ ἀδικῶν τι. καὶ, εἰ μὲν ἐμοὶ τῷ δανείσαντι ἀπεδίδους, οὐδὲν ἔδει μαρτύρων, τὴν γὰρ συγγραφὴν ἀνελόμενος [2] ἀπήλλαξα ἂν τοῦ συμβολαίου· νῦν δ' [3] οὐδ' ἐμοὶ ἀλλ' ἑτέρῳ ὑπὲρ ἐμοῦ [4] ἀπεδίδους, καὶ οὐκ Ἀθήνησιν, ἀλλ' ἐν Βοσπόρῳ, καὶ τῆς συγγραφῆς σοι κειμένης Ἀθήνησι καὶ πρὸς ἐμέ, καὶ, ᾧ τὸ χρυσίον ἀπεδίδους, ὄντος θνητοῦ καὶ πέλαγος τοσοῦτον μέλλοντος πλεῖν, μάρτυρα οὐδένα ἐποιήσω, οὔτε δοῦλον οὔτ' ἐλεύθερον.

ιά. Ἡ γὰρ συγγραφή με, φησὶ, τῷ ναυκλήρῳ ἐκέλευεν ἀποδοῦναι τὸ χρυσίον. μάρτυρας δέ γε οὐκ ἐκώλυε [5] παρακαλεῖν, οὐδὲ τὰς ἐπιστολὰς ἀποδοῦναι. καὶ οἵδε μὲν πρὸς σὲ δύο συγγραφὰς ἐποιήσαντο ὑπὲρ τοῦ συμβολαίου, ὡς ἄν σοι μάλιστ' ἀπιστοῦντες· σὺ δὲ μόνος μόνῳ φῂς δοῦναι τῷ ναυκλήρῳ τὸ χρυσίον, εἰδὼς κατὰ σοῦ κειμένην Ἀθήνησι συγγραφὴν πρὸς τοῦτον. [6] λέγει δὲ, ὡς ἡ συγγραφὴ σω-

[1] ἑτεροπλόῳ [2] ἀπήλλαξο [3] οὐκ [4] ἀποδιδοὺς [5] παραλαβεῖν
[6] * λέγει δὲ πῶς ἡ συγγραφή;

Ἀπεδώκαμεν] F. ἐδεδώκειμεν. Idem.
Παραληπτέον] F. παρακλητέον. Idem.
Ἀπήλλαξα ἂν] Legendum ἀπήλλαξά σε ἂν, vel ἀπήλλαξά σ' ἄν. Idem.
Ἀθήνησι καὶ πρὸς] F. τῆς πρὸς ἐμέ. Idem.
ιά. οἵδε] Ipse Chrysippus et ejus socii. Auger.

θείσης τῆς νεὼς αὐτὸν ἀποδοῦναι κελεύει τὰ χρήματα, [1] καὶ παρενθέσθαι τἀγοράσματα εἰς τὴν ναῦν κελεύει σε· εἰ δὲ μή, πεντακισχιλίας δραχμὰς ἀποτίνειν. σὺ δὲ τοῦτο μὲν τῆς συγγραφῆς οὐ [2] λαμβάνεις, παραβεβηκὼς δ' [3] εὐθὺς
017 καὶ τὰ χρήματα ἐξαρχῆς οὐκ ἐνθέμενος, ἀμφισβητεῖς πρὸς ἓν ῥῆμα τῶν ἐν τῇ συγγραφῇ, καὶ τοῦτο ἀνῃρηκὼς αὐτός. ὁπότε γὰρ ἐν τῷ Βοσπόρῳ φῂς μὴ τὰ χρήματα ἐνθέσθαι εἰς τὴν ναῦν, ἀλλὰ τὸ χρυσίον τῷ ναυκλήρῳ ἀποδοῦναι, τί ἔτι περὶ τῆς νεὼς διαλέγῃ; οὐ γὰρ μετέσχηκας τοῦ κινδύνου διὰ τὸ μηδὲν ἐνθέσθαι.

ιβ'. Καὶ τὸ μὲν πρῶτον, ὦ ἄνδρες Ἀθηναῖοι, ὥρμησεν ἐπὶ ταύτην τὴν σκῆψιν, ὡς ἐντεθειμένος τὰ χρήματα εἰς τὴν ναῦν· ἐπειδὴ δὲ τοῦτο ἐκ πολλῶν ἔμελλεν ἐξελεγχθήσεσθαι ψευδόμενος, ἔκ τε τῆς ἀπογραφῆς τῆς ἐν Βοσπόρῳ παρὰ τοῖς ἐλλιμενισταῖς καὶ ὑπὸ τῶν ἐν τῷ ἐμπορίῳ ἐπιδημούντων κατὰ τὸν αὐτὸν χρόνον, τηνικαῦτα μεταβαλλόμενος συνίσταται μετὰ τοῦ Λάμπιδος καὶ φησὶν ἐκείνῳ τὸ χρυσίον ἀποδεδωκέναι, ἐφόδιον μὲν λαβὼν τὸ τὴν συγγραφὴν κελεύειν, οὐκ ἂν ἡγούμενος δ' ἡμᾶς εὐπόρως [4] ἐλέγξαι, ὅσα μόνοι πρὸς [5] αὐτοὺς αὐτοὶ πράξειαν. καὶ ὁ Λάμπις, ὅσα μὲν εἶπε πρὸς ἐμὲ πρὶν ὑπὸ τούτου διαφθαρῆναι, οὐκ ἐντὸς ὢν αὐτοῦ φησὶν εἰπεῖν· ἐπειδὴ δὲ τὸ χρυσίον τοὐμὸν ἐμερίσατο, τότε ἐντὸς εἶναί φησιν αὐτοῦ, καὶ πάντ' ἀκριβῶς μνημονεύειν.

ιγ'. Εἰ μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐμοῦ μόνου κατε-

[1] καὶ γὰρ ἐνθέσθαι
[2] παραλαμβάνεις
[3] εὐθὺς ἐξαρχῆς, καὶ τὰ χρήματα οὐκ
[4] ἐξελέγξαι
[5] αὐτοὺς οὗτοι

Καὶ [παρενθέσθαι] Lego καὶ πρὸς [*praeterea*] ἐνθέσθαι. IDEM.

Τῷ ναυκλήρῳ ἐκέλευεν ἀποδοῦναι] Πῶς οὖν ἦν ἀμφοτερόπλουν; Videntur in his forensibus orationibus, præter cæteras, complura inesse πανουργήματα, ad judices decipiendos, et adversarios evertendos comparata. Neque vero historica fides a causidico exspectanda est. Fieri etiam potest, ut nos non modo propter errata codicum, sed etiam ignorantiae Græcæ consuetudinis sæpe fallamur. ἀλλ' οὐ φρονοῦς Ἱπποκλείδῃ τὸ τὸν γάμον ἐξορχησαμένῳ. Me sane (verum ut fatear) pœnitet tantum operæ in rhetorum mendaciis convertendis posuisse. Verum aliquam excusationem habeo, vel ignorantiæ, vel inopiæ. Nam quod ad meum ingenium attinet, hypocritas, sophistas, sycophantas, mendaces, magos, (adderem etiam tyrannos, nisi metus hos faceret amabiles) omnes ex animo detestatus sum a teneris unguiculis: et nunc canis subolescentibus mihi quam minimum cum eis esse negotii cupio. WOLF.

ιϛ'. Ἐφόδιον λαβὼν] Ἀντὶ τοῦ, ἀφορμὴν καὶ πρόφασιν. IDEM. *Ansam et occasionem causamque arripiens ex syngraphæ verbis.* BUDÆUS.

Ἡμᾶς ἀπόρους ἐλέγξαι] Οὐκ ἂν δυνησομένους ἐλέγξαι. *In farrag.* M. εὐπόρως. WOLF.

φρόνει Λάμψις, οὐδὲν ἂν ἦν θαυμαστόν· νῦν δὲ πολλῷ δεινότερα τούτου πέπρακται αὐτῷ πρὸς [1] πάντας. κήρυγμα γὰρ ποιησαμένου Παρεισάδου ἐν Βοσπόρῳ, ἐάν τις βούληται Ἀθήναζε εἰς τὸ Ἀττικὸν ἐμπόριον σιτηγεῖν, ἀτελῆ τὸν σῖτον ἐξάγειν, ἐπιδημῶν ἐν τῷ Βοσπόρῳ Λάμπις, ἔλαβε τὴν ἐξαγωγὴν τοῦ σίτου καὶ τὴν ἀτέλειαν ἐπὶ τῷ τῆς πόλεως ὀνόματι. γεμίσας δὲ ναῦν μεγάλην σίτου, ἐκόμισεν εἰς Ἀκανθον, κἀκεῖ διέθετο προσκοινωνήσας τούτῳ ἀπὸ τῶν 918
ἡμετέρων χρημάτων. καὶ ταῦτ' ἔπραξεν, ὦ ἄνδρες δικασταί, οἰκῶν μὲν Ἀθήνησιν, οὔσης δ' αὐτῷ γυναικὸς ἐνθάδε καὶ παίδων, τῶν δὲ νόμων τὰ ἔσχατα ἐπιτίμια [2] προστεθεικότων, εἴ τις οἰκῶν Ἀθήνησιν ἄλλοθί [3] που σιτηγήσειεν, ἢ εἰς τὸ Ἀττικὸν ἐμπόριον. ἔτι δ' ἐν [4] τῷ τοιούτῳ καιρῷ, ἐν ᾧ ὑμῶν οἱ μὲν ἐν τῷ ἄστει οἰκοῦντες διεμετροῦντο [5] ἄλφιτα ἐν τῷ Ὠδείῳ· οἱ δ' ἐν τῷ Πειραιεῖ, ἐν τῷ νεωρίῳ διελάμβανον κατ' ὀβολὸν τοὺς ἄρτους, καὶ, ἐπὶ τῆς μακρᾶς στοᾶς, τὰ ἄλφιτα καθ' ἡμίεκτον μετρούμενοι καὶ καταπατούμενοι. καὶ ὅτι ἀληθῆ λέγω, λάβε μοι τήν τε μαρτυρίαν καὶ τὸν νόμον.

ΜΑΡΤΥΡΙΑ. ΝΟΜΟΣ.

ιδ'. Φορμίων τοίνυν, τούτῳ χρώμενος κοινωνῷ καὶ μάρτυρι, οἴεται δεῖν ἀποστερῆσαι τὰ χρήματα ἡμᾶς, οἵ γε σιτηγοῦντες διατετελέκαμεν εἰς τὸ ὑμέτερον ἐμπόριον, καὶ, τριῶν ἤδη καιρῶν κατειληφότων τὴν πόλιν, ἐν οἷς ὑμεῖς τοὺς χρησίμους τῷ δήμῳ [6] ἐζητάζετε, οὐδενὸς τούτων ἀπολελείμμεθα. ἀλλ' ὅτε μὲν Ἀλέξανδρος εἰς Θήβας παρῆει, ἐπεδώκαμεν ὑμῖν τάλαντον ἀργυρίου· ὅτε δὲ ὁ σῖτος ἐπετιμήθη

[1] πάντας ὑμᾶς. κηρύγματα [2] προτεθεικότων [3] * ποι [4] Deest articulus.
[5] τὰ ἄλφιτα [6] ἐξετάζετε

ιγ'. Ἔτι δὲ ἐν τοιούτῳ —— μετρούμενοι] *Et hæc quidem eo tempore fecit, cum partim vestrum in urbe habitantes, farinas admensas in Odeo acciperent; et in magna porticu farinas emptitarent, ad quaternarum chœnicum modum dimensas.* Est enim ἑκτεὺς octonarum chœnicum ab eo dictus, quod sit *sextarius medimni*, h. e. *modius*, ut in libris de Asse docuimus. Budæus.

Ἐπεδώκαμεν] Inter εἰσφορὰς et ἐπιδόσεις larga erat differentia. Εἰσφοραὶ indictæ erant et necessariæ, cum essent veluti tributa, urgente belli necessitate ditioribus imperata: ἐπιδόσεις autem collationes quandoque publice factæ, eæque spontaneæ, etsi sæpe non sine crebris interpellationibus, idque in magnis reip. difficultatibus, rogatis qui in concilio erant, ad necessitatem publicam sublevandam conferre, sive ad belli sumptus pecunia opus esset, aut alia re; sive frumento ad sustentandam plebem; sive ad sumptus alios publicos. *Herald., Anim. in Salmas. Obss. ad Jus A. et R.* l. VI. c. 1. §. 5. 6.

Ὅτε δὲ ὁ σῖτος ἐπετιμήθη ——] *Cum autem frumenti auctum esset pretium, et*

πρότερον καὶ ἐγένετο ἑκκαίδεκα δραχμῶν, εἰσαγαγόντες πλείους ἢ μυρίους μεδίμνους πυρῶν, διεμετρήσαμεν ὑμῖν τῆς καθεστηκυίας τιμῆς πέντε δραχμῶν τὸν μέδιμνον, καὶ ταῦτα πάντες ἴστε ἐν τῷ Πομπείῳ διαμετρούμενοι· πέρυσι δὲ εἰς τὴν σιτωνίαν τὴν ὑπὲρ τοῦ δήμου τάλαντον ὑμῖν ἐπεδώκαμεν, ἐγώ τε καὶ ὁ ἀδελφός. καί μοι ἀνάγνωθι τούτων τὰς μαρτυρίας.

919 ΜΑΡΤΥΡΙΑΙ.

ἀλλὰ μὴν εἴ [1]γε δεῖ καὶ τούτοις τεκμαίρεσθαι, οὐκ εἰκὸς ἦν ἐπιδιδόναι μὲν ἡμᾶς τοσαῦτα χρήματα ἵνα παρ' [2]ὑμῶν δόξαν ἔχωμεν, συκοφαντεῖν δὲ Φορμίωνα [3]ἵνα τὴν ὑπάρχουσαν ἐπιείκειαν ἀποβάλωμεν. δικαίως ἂν οὖν βοηθήσαιτε ἡμῖν, ὦ ἄνδρες δικασταί. ἐπέδειξα γὰρ ὑμῖν, οὔτ' ἐξ ἀρχῆς τὰ φορτία ἐνθέμενον τοῦτον εἰς τὴν ναῦν ἀπάντων ὧν ἐδανείσατο Ἀθήνηθεν, τῶν τε ἐν τῷ Βοσπόρῳ [4]πραχθέντων τοὺς τὰ ἑτερόπλοια δανείσαντας μόλις διαλύσαντα· ἔτι δὲ, οὔτ' εὐποροῦντα οὔθ' οὕτως ὄντ' ἀβέλτερον, ὥστε ἀντὶ δισχιλίων καὶ ἑξακοσίων δραχμῶν τριάκοντα μνᾶς καὶ ἐννέα ἀποδοῦναι· πρός τε τούτοις, [5]ὅτι ἀποδοῦναί φησι τὸ χρυσίον Λάμπιδι, οὔτε παραλαβόντα [6]τὸν παῖδα τὸν ἐμὸν, οὔτε τὸν κοινωνὸν ἐπιδημοῦντα ἐν [7]Βοσπόρῳ. ἐμοὶ δὲ Λάμπις αὐτὸς μαρτυρῶν φαίνεται, ὡς οὐκ ἀπείληφε τὸ χρυσίον πρὶν ὑπὸ τούτου διαφθαρῆναι. καίτοι, εἰ καθ' ἓν ἕκαστον οὕτως ἐδείκνυε Φορμίων, οὐκ οἶδ' ὅπως ἂν ἄλλως ἄμεινον ἀπελογήσατο.

[1] γε τι δεῖ [2] ὑμῖν [3] ἵνα καὶ τὴν [4] πραθέντων τοὺς τὰ ἑτερόπλοα [5] ὅτε [6] τὸν παῖδα παραλαβόντα [7] Βοσπόρῳ, οὔτε τὸν Λάμπιν.

ad sedecim drachmas excrevisset, importato frumento ultra decem millia medimnûm, justo et legitimo pretio vobis admensi sumus quinis drachmis in medimnum. Hac Demosthenica ratione sextarius Parisinus circiter aureo uno fuisset, hoc est drachmis decem. Igitur qui Athenis eum proventum quingentûm medimnûm habebant, talentum impendere publice tenebantur, h. e. sexcentos aureos. Vid. plura *ap. Budæum de Asse* etc.

Καὶ ταῦτα πάντες ἴστε ἐν τῷ πομπείῳ διαμετρούμενοι] Pollux lib. 9. depravate citat hunc locum: ὅπου δὲ καὶ πομπεῖον εἴη οἴκημα κοινὸν, Δημοσθένους εἰπόντος ἐν τῷ πρὸς Φορμίωνα περὶ δανείου· καὶ ταύταις δὲ ἐν τῷ πομπείῳ διαμετρούμενα. Wolf. Vid. Pollux lib. X. 5. Plutarch. in Isocrat. Diog. Laertius in Socrate lib. II. et in Diogene Cynic. lib. VI. et Plinius lib. XXXV. c. XI.

Ἐπέδειξα] M. ἐπεδείξαμεν. Wolf.

Τῶν τε ἐν τῷ Βοσπόρῳ πραχθέντων] F. πραθέντων, παρὰ τὸ πιπρᾶσκω. Est autem constructio hujusmodi: μόλις διαλύσαντα τοὺς δανείσαντας τὰ ἑτερόπλοια τῶν πραθέντων (ἀπὸ ἢ διὰ τῶν πραθέντων) ἐν Βοσπόρῳ. Bosporus autem non tantum provincia est, sed etiam urbs ejusdem nominis et mercatus celebris. Idem. Leg. πραθέν-

ιέ. Ὑπὲρ δὲ τοῦ τὴν δίκην εἰσαγώγιμον εἶναι, ὁ νόμος αὐτὸς διαμαρτύρεται, κελεύων τὰς δίκας εἶναι τὰς ἐμπορικὰς τῶν συμβολαίων [1]Ἀθήνησι καὶ εἰς τὸ τῶν Ἀθηναίων ἐμπόριον, καὶ οὐ μόνον [1]Ἀθήνησιν, ἀλλὰ καὶ ὅσα ἂν γένηται ἕνεκα τοῦ πλοῦ τοῦ Ἀθήναζε· λάβε δή μοι τοὺς νόμους.

ΝΟΜΟΙ.

ὡς μὲν τοίνυν [2]γέγονε τὸ συμβόλαιον πρὸς Φορμίωνα Ἀθήνησιν οὐδ' αὐτοὶ ἔξαρνοί εἰσι, παραγράφονται δὲ τὴν [3]δίκην οὐκ εἰσαγώγιμον οὖσαν. ἀλλ' εἰς ποῖον δικαστήριον εἰσέλθωμεν, ὦ ἄνδρες δικασταί, εἰ μὴ πρὸς ὑμᾶς, οὗπερ τὸ 920
συμβόλαιον ἐποιησάμεθα; δεινὸν γὰρ ἂν εἴη, εἰ μὲν ἕνεκα τοῦ πλοῦ τοῦ Ἀθήναζε [4]ἠδικούμην, εἶναί μοι παρ' ὑμῖν τὸ δίκαιον λαβεῖν παρὰ Φορμίωνος· ἐπειδὴ δὲ τὸ συμβόλαιον ἐν τῷ ὑμετέρῳ ἐμπορίῳ γέγονε, μὴ φάσκειν τούτους παρ' ὑμῖν ὑφέξειν τὴν δίκην. καὶ, ὅτε μὲν Θεοδότῳ τὴν δίαιταν ἐπετρέψαμεν, ὡμολόγησαν εἶναι καθ' [5]ἑαυτῶν ἐμοὶ τὴν δίκην εἰσαγώγιμον· [6]νῦν δὲ τοὐναντίον λέγουσιν, ὧν πρότερον αὐτοὶ συγκεχωρήκασιν, ὡς δέον παρὰ μὲν [7]τῷ Θεοδότῳ τῷ ἰσοτελεῖ ὑποσχεῖν αὐτοὺς δίκην ἄνευ παραγραφῆς, ἐπειδὴ δὲ εἰς τὸ Ἀθηναίων δικαστήριον εἰσερχόμεθα, μηκέτ' εἰσαγώγιμον εἶναι τὴν δίκην. ἐνθυμοῦμαι δ' ἔγωγε, τί ἄν ποτε εἰς τὴν παραγραφὴν ἔγραψεν, εἰ [7]ὁ Θεόδοτος ἀπέγνω τῆς δίκης, ὅπου νῦν, γνόντος τοῦ Θεοδότου ἀπιέναι ἡμᾶς εἰς τὸ δικαστήριον, οὗ φησι τὴν δίκην εἶναι εἰσαγώγιμον παρ' ὑμῖν, πρὸς οὓς ἐκεῖνος ἔγνω ἀπιέναι. πάθοιμι μέντ' ἂν δεινότατα, εἰ οἱ μὲν νόμοι τῶν Ἀθήνησι συμβολαίων κελεύουσι τὰς δίκας εἶναι πρὸς τοὺς θεσμοθέτας· ὑμεῖς δ' ἀπογνοίητε τῆς δίκης, ὀμωμοκότες κατὰ τοὺς νόμους ψηφιεῖσθαι. τοῦ μὲν οὖν δανεῖσαι ἡμᾶς τὰ χρή-

[1] τῶν Ἀθήνησ. [2] γέγονέ μοι τὸ [3] δίκην ὡς οὐκ [4] ἠδικούμην τι, εἶναί [5] αὐτῶν [6] νυνὶ δὲ τἀναντία [7] Deest articulus.

των. Auger.

ιέ. Μὴ φάσκειν] *Dicere non*, hoc est, *negare*. Budæus.

Ὑμεῖς δ' ἀπογνοίητε τῆς δίκης] Hic aliter usurpatur, quam supra, ἀντὶ τοῦ, γνοίητε μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. Wolf.

Ἀπογνοίητε τῆς δίκης] Videtur ἀπογινώσκειν sumi in vario sensu, et significare modo *pronuntiare* simpliciter; modo *pronuntiare in gratiam alicujus*; modo *non velle pronuntiare, actionem negare*. Hic in sensu ultimo sumitur. Auger.

ματα, αἵ τε συνθῆκαι καὶ αὐτὸς οὗτός ἐστι μάρτυς· τοῦ δὲ ἀποδεδωκέναι, οὐδείς ἐστι μάρτυς ἔξω τοῦ Λάμπιδος τοῦ συναδικοῦντος. καὶ οὗτος μὲν εἰς ἐκεῖνον μόνον ἀναφέρει τὴν ἀπόδοσιν· ἐγὼ δὲ εἴς τε τὸν Λάμπιν αὐτὸν καὶ τοὺς ἀκούσαντας αὐτοῦ, ὅτι οὐκ ἔφη ἀπειληφέναι τὸ χρυσίον. τούτῳ μὲν οὖν τοὺς ἐμοὺς μάρτυρας ἔξεστι κρίνειν, εἰ μή φησιν
921 ἀληθῆ μαρτυρεῖν αὐτούς· ἐγὼ δ' οὐκ ἔχω τί χρήσομαι τοῖς τούτου μάρτυσιν, οἵ φασιν εἰδέναι τὸν Λάμπιν μαρτυροῦντα ἀπειληφέναι τὸ χρυσίον. εἰ μὲν γὰρ ἡ μαρτυρία ἡ τοῦ Λάμπιδος κατεβάλλετο ἐνταῦθ', ἴσως ἂν ἔφασαν [1]αὐτοὶ δίκαιον εἶναι ἐπισκήπτεσθαί με ἐκείνῳ· νῦν δ' οὔτε τὴν μαρτυρίαν ταύτην ἔχω, οὐτοσί τε οἴεται δεῖν ἀθῷος εἶναι, οὐδὲν βέβαιον ἐνέχυρον καταλιπὼν ὧν πείθει ὑμᾶς ψηφίσασθαι.

ιϛ'. Πῶς δ' οὐκ ἂν εἴη ἄτοπον, εἰ αὐτοῦ Φορμίωνος ὁμολογοῦντος δανείσασθαι, φάσκοντος δὲ ἀποδεδωκέναι, τὸ μὲν ὁμολογούμενον ὑπ' αὐτοῦ τούτου ἄκυρον ποιήσετε, τὸ δ' ἀμφισβητούμενον κύριον ψηφιεῖσθε; καὶ ὁ μὲν Λάμπις, ᾧ οὗτος [2]σκήπτεται, μαρτυρεῖ ἔξαρνος γενόμενος τὸ ἐξαρχῆς, ὡς οὐκ ἀπείληφε τὸ [3]χρυσίον· ὑμεῖς δὲ γνόντες, ὡς ἀπείληφ' ἐκεῖνος, οὐκ ἐστὲ μάρτυρες τοῦ πράγματος; καὶ, ὅσα μὲν εἶπε μετὰ τῆς ἀληθείας, μὴ χρῆσθε [4]ἐν τεκμηρίῳ· ἃ δ' ἐψεύσατο [5]ὕστερον, ἐπειδὴ διεφθάρη, πιστότερα ταῦτα [6]ὑπολάβοιτε εἶναι; καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, πολὺ δικαιότερόν ἐστι, τοῖς ἐξαρχῆς ῥηθεῖσι τεκμαίρεσθαι μᾶλλον ἢ τοῖς ὕστερον τεκταινομένοις· τὰ μὲν γὰρ οὐκ ἐκ παιδεύσεως, ἀλλ' ἐκ τῆς ἀληθείας ἔλεγε, τὰ δ' ὕστερον, ψευδόμενος καὶ πρὸς τὸ συμφέρον αὑτῷ. ἀναμνήσθητε δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐδ' αὐτὸς ὁ Λάμπις ἔξαρνος ἐγένετο, ὡς οὐκ εἴη εἰρηκώς, ὅτι οὐκ ἀπείληφε τὸ χρυσίον·

[1] οὗτοι [2] σκήπτεται μάρτυρι, ἔξαρνος [3] χρυσίον, νῦν τὰ ἐναντία μαρτυρεῖ. ὑμεῖς [4] Deest ἐν. [5] τὸ ὕστερον [6] ὑπολαμβάνοιτε

Εἰ μὲν γὰρ ἡ μαρτυρία ἡ τοῦ Λάμπιδος ἐνταῦθα κατεβάλλετο] *Hic consisteret*, vel potius *proferretur*. Apparet, aut Lampidem abfuisse, aut non scripto dixisse testimonium. Wolf.

Οὐδὲν βέβαιον ἐνέχυρον καταλιπὼν, ἂν πείθει ὑμᾶς ψηφίσασθαι. Idem.

ιϛ'. Σκήπτεται] M. σκηρίπτεται, *nititur, fretus est*. Idem.

Οὐκ ἐστὲ] M. οὐκ ἔσεσθε. Idem.

Μὴ χρῆσθε ἐν τεκμηρίῳ] F. ἀς τεκμηρίῳ. Alias sine præpositione, ut apud Isocr. τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην σου παιδείαν φιλοπονίᾳ. Idem.

ἀλλ' εἰπεῖν μὲν ὡμολόγει, οὐ μέντοιγε ἐντὸς ὢν αὐτοῦ εἰπεῖν. οὐκοῦν ἄτοπον, εἰ τῆς ἐκείνου μαρτυρίας, τὸ μὲν πρὸς τοῦ ἀπωστεροῦντος, πιστῶς ἀκούσεσθε, τὸ δ' ὑπὲρ τῶν 922
ἀπωστερουμένων ἄπιστον ἔσται παρ' ὑμῖν. μηδαμῶς, ὦ ἄνδρες δικασταί.

ιζ'. Ὑμεῖς γὰρ ἐστὲ οἱ αὐτοί, οἱ, τὸν ἐπιδεδανεισμένον ἐκ τοῦ ἐμπορίου πολλὰ χρήματα καὶ τοῖς δανεισταῖς οὐ παρασχόντα τὰς ὑποθήκας, θανάτῳ ζημιώσαντες, εἰσαγγελθέντα ἐν τῷ δήμῳ, καὶ ταῦτα πολίτην ὑμέτερον ὄντα καὶ πατρὸς ἐστρατηγηκότος. ἡγεῖσθε γὰρ τοὺς τοιούτους, οὐ μόνον τοὺς ἐντυγχάνοντας ἀδικεῖν, ἀλλὰ καὶ κοινῇ βλάπτειν τὸ ἐμπόριον ὑμῶν. εἰκότως. αἱ γὰρ ἐμπορίαι τοῖς ἐργαζομένοις οὐκ ἀπὸ τῶν δανειζομένων, ἀλλ' ἀπὸ τῶν δανειζόντων εἰσί· καὶ οὔτε ναῦν, οὔτε ναύκληρον, οὔτ' ἐπιβάτην ἔστ' ἀναχθῆναι, τὸ τῶν δανειζόντων μέρος ἂν ἀφαιρεθῇ. ἐν μὲν οὖν τοῖς νόμοις πολλαὶ καὶ καλαὶ βοήθειαί εἰσιν αὐτοῖς· ὑμᾶς δὲ δεῖ τοὺς ἐπανορθοῦντας φαίνεσθαι καὶ μὴ συγχωροῦντας τοῖς πονηροῖς, ἵν' ὑμῖν ὡς πλείστη ὠφέλεια παρὰ τὸ ἐμπόριον ᾖ. ἔσται δέ, ἐὰν [1] φυλάττητε τοὺς τὰ ἑαυτῶν προϊεμένους, καὶ μὴ ἐπιτρέπητε ἀδικεῖσθαι ὑπὸ [2] τῶν τοιούτων θηρίων. ἐγὼ μὲν οὖν, ὅσαπερ οἷός τ' ἦν, εἴρηκα· καλῶ δὲ καὶ ἄλλον τινὰ τῶν φίλων, ἐὰν κελεύητε.

[1] διαφυλάττητε [2] Deest articulus.

ιζ'. Αἱ γὰρ ἐμπορίαι τοῖς ἐργαζομένοις] Haud dubie legendum αἱ γὰρ εὐπορίαι. Idem. Non est necesse: ἐμποῤίαι sunt merces ipsæ, per quas mercatura exercetur. *Herald. Animadv. in Salmas. Obss. ad Jus A. et R.* l. II. c. XX. §. 11.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΤΗΝ ΛΑΚΡΙΤΟΥ ΠΑΡΑΓΡΑΦΗΝ ΛΟΓΟΥ.

Pag. ed. Reisk. 922 923

ΑΝΔΡΟΚΛΗΣ δανείσας χρήματα Ἀρτέμωνι, Φασηλίτης τὸ γένος, ἐμπόρῳ, τελευτήσαντος ἐκείνου περὶν ἀποδοῦναι τὸ ἀργύριον, εἰσπράττει τὸν ἀδελφὸν αὐτοῦ Λάκριτον τὸν σοφιστὴν, δύο προβάλλομενος δίκαια· ὅτι τε παρόντος Λακρίτου καὶ ἀναδεξαμένου τὸ ἀργύριον ἐδάνεισε τῷ Ἀρτέμωνι, καὶ, ὅτι κληρονόμος ἐστὶ τῶν Ἀρτέμωνος Λάκριτος. ὁ δὲ τῆς μὲν κληρονομίας ἀφίστασθαί φησι, παραγράφεται δὲ τὴν δίκην, λέγων, μηδὲν ἑαυτῷ πρὸς Ἀνδροκλέα συμβόλαιον εἶναι, μηδὲ συγγραφὴν μηδεμίαν· πάντως δὲ καὶ τὸ ἀναδέχεσθαι ἔξαρνος γίνεται, οὐδὲ γὰρ ἂν τοῦτο ὁμολογῶν ἠγνωμόνει πρὸς τὴν ἔκτισιν. οὐκ ὀρθῶς δέ τινες ἐνόμισαν τὸν λόγον μὴ γνήσιον εἶναι, ἀμυδροῖς ἀπατηθέντες τεκμηρίοις. τὸ μὲν γὰρ τῆς φράσεως ἀνειμένον οὐκ ἀπρεπὲς ἰδιωτικοῖς ἀγῶσι, τὸν δὲ Δία τὸν ἄνακτα κατὰ τὴν τοῦ προσώπου [1] ὑποκειμένου συνήθειαν δῆλός ἐστιν ὀνομακώς· πρὸς δὲ τὴν παραγραφὴν ἀσθενέστερον ἀπήντηκε διὰ τὸ πρᾶγμα τὸ πονηρόν.

[1] τοῦ ὑποκειμένου

Τῆς Ἀρτέμωνος] F. τῆς οὐσίας Ἀρτέμωνος. WOLF.

Δῆλός ἐστιν ὀμωμοκὼς] Nam τὸ ὄνομα- κὼς prorsus est absurdum. IDEM.

Διὰ τὸ πρᾶγμα· τὸ πονηρὸν] M. διὰ τὸ πρᾶγμα πονηρὸν ὄν. IDEM.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΡΟΣ

ΤΗΝ ΛΑΚΡΙΤΟΥ ΠΑΡΑΓΡΑΦΗΝ

ΛΟΓΟΣ.

ά. ΟΥΔΕΝ καινὸν διαπράττονται οἱ [1] Φασηλίται, ὦ ἄνδρες δικασταὶ, ἀλλ' ἅπερ εἰώθασιν. οὗτοι γὰρ δεινότατοι μέν εἰσι δανείσασθαι χρήματα ἐν τῷ ἐμπορίῳ, ἐπειδὰν δὲ λάβωσι καὶ συγγραφὴν συγγράψωνται ναυτικὴν, εὐθὺς ἐπελάθοντο καὶ τῶν συγγραφῶν, καὶ τῶν νόμων, καὶ ὅτι

[1] φασηλῖται

ά. Οἱ Φασηλιῶται] M. οἱ Φασηλίται, ut in aliis auctoribus fere legitur, et analogia postulat, Φάσηλις, Φασηλίτης, ut Ναύκρατις, Ναυκρατίτης, et sic habet Stephanus. WOLF. M. Φασηλίται, et ita legendum in tota hac oratione. AUGER.

δεῖ ἀποδοῦναι αὐτοὺς ἃ ἔλαβον· καὶ οἴονται, ἐὰν ἀποδῶσιν,
ὥσπερ τῶν ἰδίων τι τῶν ἑαυτῶν [1] ἀποδεδωκέναι, ἀλλ' ἀντὶ 924
τοῦ ἀποδοῦναι σοφίσματα εὑρίσκουσι καὶ παραγραφὰς καὶ
προφάσεις, καὶ εἰσὶ πονηρότατοι ἀνθρώπων καὶ ἀδικώτατοι.
τεκμήριον δὲ τούτου· πολλῶν γὰρ ἀφικνουμένων εἰς τὸ
ὑμέτερον ἐμπόριον καὶ Ἑλλήνων καὶ Βαρβάρων, πλείους
δίκαι εἰσὶν ἑκάστοτε αὐτῶν τῶν Φασηλιτῶν ἢ τῶν ἄλλων
ἁπάντων. οὗτοι μὲν οὖν τοιοῦτοί εἰσιν· ἐγὼ δέ, ὦ ἄνδρες δι-
κασταί, χρήματα δανείσας Ἀρτέμωνι τῷ τούτου ἀδελφῷ
κατὰ τοὺς ἐμπορικοὺς νόμους εἰς τὸν Πόντον καὶ πάλιν
Ἀθήναζε, τελευτήσαντος [2] δ' ἐκείνου πρὶν ἢ ἀποδοῦναί μοι
τὰ χρήματα, Λακρίτῳ τούτῳ εἴληχα τὴν δίκην ταύτην
κατὰ τοὺς αὐτοὺς νόμους τούτους, καθ' οὕσπερ τὸ συμβό-
λαιον ἐποιησάμην, ἀδελφῷ ὄντι τούτῳ ἐκείνου καὶ ἔχοντι
πάντα τὰ Ἀρτέμωνος, καὶ ὅσα ἐνθάδε κατέλιπε καὶ ὅσα
ἦν αὐτῷ ἐν τῇ Φασήλιδι, [3] καὶ κληρονόμῳ ὄντι τῶν ἐκείνου
ἁπάντων, καὶ οὐκ ἂν ἔχοντος τούτου δεῖξαι νόμον, ὅστις
αὐτῷ δίδωσιν ἐξουσίαν ἔχειν μὲν τὰ τοῦ ἀδελφοῦ καὶ διω-
κηκέναι ὅπως ἐδόκει αὐτῷ, μὴ ἀποδοῦναι δὲ [4] τὰ ἀλλότρια
χρήματα, ἀλλὰ λέγειν νῦν, ὅτι οὐκ ἔστι κληρονόμος, ἀλλὰ
ἀφίσταται τῶν ἐκείνου. ἡ μὲν τουτουὶ Λακρίτου πονηρία
τοιαύτη ἐστίν· ἐγὼ δὲ ὑμῶν δέομαι, ὦ ἄνδρες δικασταί,
εὐνοϊκῶς ἀκοῦσαί μου περὶ τοῦ πράγματος τουτουί, κἂν
ἐξελέγξω αὐτὸν ἀδικοῦντα ἡμᾶς τε τοὺς δανείσαντας καὶ
ὑμᾶς οὐδὲν ἧττον, βοηθεῖτε ἡμῖν τὰ δίκαια.

β'. Ἐγὼ γάρ, ὦ ἄνδρες [5] δικασταί, οὐδ' ὁπωστιοῦν
ἐγνώριζον τοὺς ἀνθρώπους τούτους· Θρασυμήδης δὲ ὁ Διο- 925
φάντου υἱός, ἐκείνου τοῦ Σφηττίου, καὶ Μελάνωπος ὁ
ἀδελφὸς αὐτοῦ, ἐπιτήδειοί μοι εἰσὶ, καὶ χρώμεθα ἀλλή-
λοις ὡς οἷόν τε μάλιστα. οὗτοι προσῆλθόν μοι μετὰ Λακρί-
του τουτουί, ὁπόθεν δήποθεν ἐγνωρισμένοι τούτῳ — οὐ γὰρ
οἶδα —, καὶ ἐδέοντό μου δανεῖσαι χρήματα εἰς τὸν Πόντον
Ἀρτέμωνι τῷ τούτου ἀδελφῷ καὶ Ἀπολλοδώρῳ, ὅπως ἐνερ-

[1] ἀπολωλεκέναι [2] Deest δ'. [3] [καὶ] [4] τἀλλότρια [5] δικασταὶ, αὐτὸς μὲν οὐδ'

Ὥσπερ τῶν ἰδίων τι τῶν ἑαυτῶν, ἀποδεδωκέναι] F. ἐπιδεδωκέναι. et v. 9. χρήματ' ἐδάνεισα. et v. 18. ἔχειν μὲν τὰ τοῦ ἀδελφοῦ, pro μετὰ τοῦ. et v. 21. ἡ μὲν οὖν τουτουί. et v. 24. ἡμᾶς τε τοὺς. Wolf. L. cum Reiskio ἀπολωλεκέναι, vel simpliciter δεδωκέναι. Auger.

β'. Ὅπως ἐνεγγοὶ ὦσι] *Ut essent navi atque industrii.* Wolf.

γοὶ ὦσιν,— οὐδὲν εἰδὼς, ὦ ἄνδρες δικασταὶ, οὐδὲ ὁ Θρασυμήδης τὴν τούτων πονηρίαν, ἀλλ' οἰόμενος εἶναι ἐπιεικεῖς ἀνθρώπους καὶ οἷοίπερ προσεποιοῦντο καὶ ἔφασαν εἶναι, καὶ ἡγούμενος αὐτοὺς ποιήσειν πάντα, ὅσαπερ [1] ὑπισχνεῖτο καὶ ἀνεδέχετο Λάκριτος οὗτοσί· πλεῖστον δ' ἦν ἄρα ἐψευσμένος, καὶ οὐδὲν ἤδει οἵοις θηρίοις ἐπλησίαζε τοῖς ἀνθρώποις τούτοις —, κἀγὼ πεισθεὶς ὑπὸ τοῦ Θρασυμήδους καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ Λακρίτου τουτουὶ ἀναδεχομένου μοι πάντ' ἔσεσθαι τὰ δίκαια παρὰ τῶν ἀδελφῶν τῶν αὐτοῦ, ἐδάνεισα μετὰ ξένου τινὸς ἡμετέρου Καρυστίου τριάκοντα μνᾶς ἀργυρίου. βούλομαι οὖν, ὦ ἄνδρες δικασταὶ, τῆς συγγραφῆς ἀκοῦσαι ὑμᾶς πρῶτον, καθ' ἣν ἐδανείσαμεν τὰ χρήματα, καὶ τῶν μαρτύρων τῶν παραγενομένων τῷ δανείσματι· ἔπειτα καὶ περὶ τῶν ἄλλων ἐπιδείξομεν, οἷα ἐτοιχωρύχησαν οὗτοι περὶ τὸ δάνειον. λέγε τὴν συγγραφήν· ἔπειτα τὰς μαρτυρίας.

ΣΥΓΓΡΑΦΗ.

Ἐδάνεισαν Ἀνδροκλῆς Σφήττιος καὶ [2] Ναυκράτης Καρύστιος Ἀρτέμωνι

[1] ὑπισχνοῦντο

[2] Ναυσικράτης

Οἷα ἐτοιχωρύχησαν] Τῶν τοιχωρύχων δίκην ὤφειλατο καὶ ἐκλεψαν. IDEM.

Ἐδάνεισαν κ. τ. λ.] Trajectitiæ hujus pecuniæ drachmæ M. pariebant in dies (nam fenus nauticum diarium est [Error errorem generat. Usuram trajectitiæ pecuniæ Petitus exemplo Scaligeri diariam facit: hinc syngraphæ verba, ne a præjudicata opinione dissentirent, corrigenda fuerunt. Utrumque sine causa. Verba bene habent. Fenus nauticum nec diarium nec menstruum erat, sed temporis incerti, debebaturque uti inter contrahentes convenerat. Cum finiri non posset, quando navis, quorsum ea tendebat, esset appulsura, aut domum reversura, non poterat in certum diem usura constitui, sed in totum navigationis tempus, syngrapha definitum. Petitum refellunt Salmasius Mod. Usur. p. 21. Spaheimius ad Aristoph. Nub. v. 1290. et, qui syngrapham dedita opera illustrat, Heraldus Animadv. in Jus Attic. et Rom. L. II. 20. WESSELING.] non menstruum) singulos drachmas CCXXV. ut quidem editur: ἐπὶ διακοσίαις εἰκοσιπέντε τὰς χιλίας. Sed mendum occupavit hunc locum: nam triobolum singulis diebus dabatur in tetradrachmum. In M. drachmis sunt tetradrachma CCL., quæ in singulos dies pariunt obolos DCCL., sive drachmas CXXV. Atque numerus hic, meo judicio, legebatur in syngrapha, sed quia litera numerali ϟ conceptus fuerat, facile mutavit litera hæc in sequentem σ, quæ ejusdem fere figuræ est cum præcedenti, sed in latum, non in longum, porrectæ. Rescribendum est itaque, me auctore, ἐπὶ ἑκατὸν εἰκοσιπέντε τὰς χιλίας. Dabant igitur hæ ter mille drachmæ in singulos dies drachmas CCCLXXV. Legitur tamen in eadem syngrapha v. ult. p. 515. ἐὰν δὲ μετ' —— τρισχιλίας. *Merces e trajectitia pecunia comparatæ cum periculo creditoris navigabant. l. 1. D. de fenore nautico*, ut etiam ex hac syngrapha constat. A die autem sexto Iduum Martiarum usque in Idus Maias periculose maria tentantur, neque tamen propterea negotiatorum cessat industria. Contra vero a die sexto Kal. Juniarum in diem 18um. Kal. Octobrium secura creditur navigatio, i. e. ab *Arcturi* occasu ad ejusdem ortum. Nam, ex Euctemonis sententia, ad diem 8um. Kal. Juniarum Ἀρκτοῦρος ἑῴος δύνει. Quare Androcles atque Naucrates, qui

καὶ Ἀπολλοδώρῳ Φασηλίταις ἀργυρίου τρισχιλίας [1]δραχμὰς Ἀθήνηθεν 926
εἰς Μένδην ἢ Σκιώνην, καὶ ἐντεῦθεν εἰς Βόσπορον. ἐὰν δὲ βούλωνται τῆς

[1] δραχμὰς τρισχιλίας

hanc usuris maritimis mutuam pecuniam dederint, paululum de fenore remittunt [Imo vero augetur, siquidem pro M. drachmis CCC. drachmarum usura constituitur. Nam pro τρισχιλίας legendum esse χιλίας, sequentia docent clarissime, monueruntque, hae in re concordes, Salmasius Mod. Usur. p. 210. et Heraldus Animadv. p. 155. Wesseling.], XXV. nempe drachmas ex illis CXXV., quas M. trajectitiæ drachmæ pariebant, ut hoc lucello invitati Artemon Apollodorusque, non eo, quo incerta est et discrimini propior navigatio, tempore maria tentent, sed *post Arcturi occasum*, μετ' Ἀρκτοῦρον, quando secure navigatur, ut ita possint nullo cum suo, nullo cum creditorum periculo Athenas redire: secura quippe tunc creditur navigatio. Atque ex his exponenda quoque sunt ista, quæ in eadem habentur syngrapha v. pen. p. 518. ἐὰν δὲ μὴ εἰσβάλλωσι — συγγραφήν. Varie scribitur hujus periodi particula ὅπου ἂν μὴ σύλα ὦσιν. Ego vero existimo legendum esse unica voce συλαῶσιν: *appulerint eo, ubi Athenienses non violent*, sed potius sacrosancti sint, quod explicat ea quæ in præcedentibus dixerat v. ult. p. 515. ἐὰν — ἱερόν. Hic enim ἐφ' ἱερὸν idem est, quod ὅπου ἂν μὴ συλαῶσιν Ἀθηναίους. ubi Athenienses non violentur, sed sacrosancti sint. [Male Petitus. Σύλαι sive σύλα ὦσιν omnia exemplaria, nec satis Atticum συλαῶσιν pro συλῶσιν. Errorem tetigit Salmasius Mod. Usur. p. 211. Cavent feneratores, ne ibi merces exponantur, ubi civibus Atticis erant σύλαι, sive concessa publice potestas rerum alterius populi comprehendarum, tum quod in amicis censeri non posset, tum quod justus esset metus, ne eodem ille jure in merces Atticas uteretur, ipsique adeo in periculum venirent pecuniæ, quam crediderant, amittendæ. Cf. Heraldum, cujus mihi sententia præ Salmasiana placet, Animadv. ad Jus A. et R. p. 160. et H. Vales. in Harpocrat. p. 72. Wesseling.] Dixit v. pen. p. 518. μείναντες — Ἑλλησπόντῳ, si diebus decem *post Caniculæ ortum* ex Hellesponto non solverint. Ex observatione Metonis, cujus Enneadecaeteris, cum hæc syngrapha scriberetur, Athenis usurpabatur, ad diem XII^um Kal. Augusti κύων ἑῴος ἐπιτέλλει *Canicula oritur*. Demus ex Hellesponto solvisse Apollodorum die XI^mo post ortum Caniculæ i. e. Kal. Augusti, antequam Athenas redeat, cum alio primum appellat, ut merces suas distrahat, et nonnisi XX., postquam Athenas redierit, diebus sortem cum usuris accipere debeant Androcles et Naucrates, profecto elabentur dies XLIV. minimum, qui intercedunt a Kal. Augusti ad 18^num Kal. Octobres, a quo die incerta navigatio est et discrimini propior, quia post Idus Septembres oritur Arcturus vehementissimum sidus. Ergo cum Androcli et Naucrati reddita non sit pecunia, nisi eo tempore, quo periculose maria tentantur, atque ita non possint pecuniam suam maritimis usuris mutuam iterum in continenti dare sine ingenti periculo, noluut quicquam de fenore nautico remittere, quemadmodum remittebant, si ex Hellesponto post Arcturi occasum solvissent, sed stant iis, quæ syngrapha caventur, nempe volunt sibi dari in M. drachmas diesque usuras maritimas, scil. drachmas CXXV. atque id ita explicant: τοὺς τόκους — συγγραφήν. Si post Arcturi occasum solvissent ex Hellesponto, cum alio atque alio appellerent mercatus causa, antequam Athenas redirent, et præterea nonnisi XX. post reditum diebus teneantur suum expungere nomen v. 2. p. 517. σωθέντων — Ἀθήναζε, Androcles atque Naucrates vix ante novum initum annum sortem suam cum usuris acciperent, nam citima Neomenia Hecatombæonis cadit in diem quartum Kal. Julias, remotissima vero Neomenia Hecatombæonis in Enneadecaeteride Metonis adscribitur diei sexto Kal. Augusti: Possemus certius pronunciare, si nobis constaret de anno, quo scripta est syngrapha, sed tamen, uti diximus, si post Arcturum solverunt ex Hellesponto, nonnisi anno sequenti ineunte debitum expunxerunt: vult autem Androcles cum Naucrate usuras accipere, perinde ac si eo, quo scripta erat syngrapha, anno reddidissent, quod accidisset, si ante Arcturi occasum solvissent ex Hellesponto, nempe ἐπὶ ἑκατὸν εἰκοσιπέντε τὰς χιλίας. Pignori autem acceperunt in navi merces, videl. ter mille cados vini Mendæi e Thracia: ἐπὶ οἶνου κ. τ. λ. Hujus meminit Stephanus. Μένδη, πόλις Θράκης, ἀπὸ Μένδης γυναικός· Ἀπολλόδωρος Μένδην αὐτήν φησι. τὸ ἐθνικὸν, Μενδαῖος οἶνος. Habes item Hippocratem ἐν τῷ περὶ τῶν ἐντὸς παθῶν: καὶ οἶνον πινέτω λευκὸν Μενδαῖον μελίχρουν. et paulo post. οἶνον δὲ πινέτω Μενδαῖον, λευκὸν, αὐστηρόν. Petitus *Leg. Attic.* L. V. T. IV. §. II. p. 502.

Ἐδάνεισαν κ. τ. λ.] Primum ex hac syngrapha constare arbitror usuræ maritimæ modum nullum legibus fuisse definitum, atque ideo τόκον, sive ἐπίπεμπτον, sive

ἐπ' ἀριστερὰ μέχρι Βορυσθένους καὶ πάλιν Ἀθήναζε, ἐπὶ διακοσίαις εἰκοσιπέντε τὰς χιλίας. ἐὰν δὲ μετ' Ἀρκτοῦρον ἐκπλεύσωσιν ἐκ τοῦ Πόντου ἐφ'

ἐπίτριτον, sive quem alium inde esse ablegandum. Syngrapha illa erat de pecunia trajectitia, sive fœnore nautico data, ἀμφοτερόπλουν. Quandoque ἐδάνειζον τὰ ἑτερόπλοια, quandoque ἀμφοτερόπλουν τὰ ἑτερόπλοια, quando eo loco, quo vehebantur merces, pecunia mutuo accepta creditori reddenda erat cum usuris, si salva eo appulisset navis. — Qui ἐδάνειζον ἀμφοτερόπλουν, creditam pecuniam non recipiebant, nec usuras, nisi nave in portum unde solverat reversa. Cum igitur tempus incertum esset, quo navis eo perventura esset, quo tendebat, aut domum reversura, non poterat constitui usura in diem certum, non in mensem, aut in annum, et ideo nullus erat usuræ maritimæ modus, sed prout convenerat inter contrahentes, (qui non tam tempus, de quo nihil certi statui poterat, quam periculum pendebant,) ita debebatur. Quod vel hæc syngrapha significat, ubi pecunia erat mutuo data ἀμφοτερόπλουν. Sane priora verba ita concepta sunt, ut videantur ab initio δανείζειν ἑτερόπλοια, ad Bosphorum usque per Mendem et Scionem; sed profecto ἐδάνειζον ἀμφοτερόπλουν, pro navigatione ad Bosphorum usque per Mendem et Scionem, aut etiam a sinistra usque ad Borysthenem, et reditu Athenas; quod paulo obscurius interpretatus est Wolfius. Eo igitur casu CCXXV. drachmas stipulabantur pro M. drachmis, quod quidem fœnus τὸ ἐπίπεμπτον excedere ait Salmasius de M. U. p. 210. ubi valde se torquet frustra. Cum enim nullum certum tempus esset reddendæ pecuniæ constitutum, sed omnino incertum, quomodo dici potest quis fuerit illius usuræ modus? An τόκος ἐπίπεμπτος, vel ἐπιτέταρτος, vel ἐπίτριτος, vel quis alius dici potest, ubi nulla temporis mensura certa? Quid si altero post mense reversura erat navis? Quid si post bimestre, aut trimestre? Jam si post arcturum e Ponto solvissent, vides usuram auctam, siquidem pro M. drachmis CCC. drachmarum usura erat pacta. Nam pro τρισχιλίας legendum ibi χιλίας docent quæ sequuntur in eadem oratione. — Trajectitiæ pecuniæ periculum ad creditorem pertinebat, non ad debitorem, et ideo usuræ infinitæ i. e. non definitæ, sed tantæ quantæ in stipulationem deductæ erant; quia non tam usuræ pecuniæ creditæ erant quam pars lucri, quod ex mercibus inde coemptis fieri poterat, quæ merces si peribant cum navi, pecunia trajectitia peribat quoque. HERALDUS l. II. c. XX.

Ἐὰν δὲ μετὰ ἀρκτοῦρον —] *Quod si post arcturum portum exeant e Ponto ad sacrum promontorium navigaturi, trecenæ in millenas.* Hoc perinde est ac si diceret, *in denas minas ternæ minæ*, vel *binæ cum quadrante minæ:* quæ ratio longe abest ab illa centesima Accursianorum. Hoc enim convento fenus non in mensem statutum intelligo, sed semel in maris commeatum remeatumque, et in ejus negotiationis exitum. *De asse* lib. I. p. 31. BUDÆUS.

Ἐὰν δὲ μετ' ἀρκτοῦρον — ἱερὸν] Habes hic usuræ additamentum, si longius progrederetur navigatio. Nullum igitur tempus erat certum, nec usura ob tempus certum promissa, sed in eventum navigationis. ἐφ' ἱερὸν aliter accepit Wolfius, quod quid esset docent nos Grammatici Gr. ἱερὸν τῶν δώδεκα θεῶν ἐν Βοσπόρῳ. HERALDUS.

Ἐφ' ἱερὸν] Longissime aberravit Petitus a vera interpretatione hujus syngraphæ in voce ἐφ' ἱερόν: erat enim locus in ore Bospori septentrionali sic vocatus τὸ ἱερὸν de quo Herod. L. IV. c. 87. Polybius L. IV. c. 39. et eodem lib. inferius de Prusia bellum inferente Byzantinis c. 50. Strabo L. VII. p. 492. et L. XII. p. 812. de Sinope: διέχει δὲ τοῦ μὲν Ἱεροῦ τρισχιλίους. Ex quibus patet, quam parum feliciter intellexerit doctissimus alioqui vir hunc locum propter ἀγεογραφησίαν, quam omnis doctus vitare debet, et de locorum situ bene intelligendo sollicitus esse, nisi velit sæpius in talibus impingere. Pluribus infra seculis de eo loco mentionem fecit Procopius L. I. de bello Vandalico, et de ædificiis Justiniani L. I. Sed et nunc etiam manet illud nomen antiquum. Turcis enim dicitur *Algiro*, quod est τὸ ἱερὸν, Arabice enim *al* est articulus antecedens. In ejus vocis interpretatione erravit Nic. Alamannus in Not. ad Procop. Ἀνέκδοτα p. 105. ubi citat verba Theophanis: τῆς Ἀβύδου καὶ τοῦ Ἱεροῦ τὰ λεγόμενα κομμέρκια ἐκούφισε, et interpretatur: *Abydi et templi vectigalium, quæ commercia vocantur, modum statuit.* Et deinde addit: *templi Blacherniani scilicet, quod est ad ostia Euxini maris, ut supra dixi ad p.* 15. Ostia autem Euxini intelligit Bospori in Propontidem defluentis os, ut videre est in ejus verbis ad p. 15. ubi sic ait: *templum Dei matris, quod Byzantii sanctissimum fuit, erat ad ipsa urbis mœnia et ostia Euxini maris in Blacherniano.* Sed de eo templo non loquitur Theophanes, sed de loco Ἱερὸν dicto, ubi vectigalia rerum, quæ e Ponto Euxino afferebantur, colligebantur; ut rerum, quæ ab Ægæo et meridionalibus partibus subvehebantur, vectigal solvebatur in Abydo. Ita intelligendum esse

Ἱερὸν, ἐπὶ τριακοσίαις τὰς χιλίας, ἐπὶ οἴνου κεραμίοις Μενδαίοις τρισχιλίοις, ὃς πλευσεῖται ἐκ Μένδης ἢ Σκιώνης ἐν τῇ εἰκοσόρῳ, ἣν Ὑβλήσιος ναυκληρεῖ. ὑποτιθέασι δὲ ταῦτα, οὐκ ὀφείλοντες ἐπὶ τούτοις ἄλλῳ οὐδενὶ

patet ex ejusdem Procopii Anecd. p. 109. πορθμῷ δύο ἑκατέρωθεν Βυζαντίου ἔστον, ἕτερος μὲν ἐφ' Ἑλλησπόντου ἀμφὶ Σηστόν τε καὶ Ἄβυδον, ὁ δὲ ἕτερος ἐπὶ τοῦ στόματος τοῦ Εὐξείνου καλουμένου Πόντου οὗ τὸ ἱερὸν ὀνομάζεται. Et paulo post: τελάνιον δὲ δημόσιον κατεστήσατο ἐν πορθμῷ ἑκατέρῳ. Tum Palatium Blachernarum, quod olim extra urbem erat, longe ab ostio Euxini maris, licet ostium illud intelligatur improprie, quomodo Alamannus intelligit. Itaque non potest vocari στενὸν, ibi enim non sunt angustiæ Bospori. PALMER. Debentur tibi ἀριστεῖα, νικητήρια. Vicisti quippe inclytam victoriam. Ὄναιο τῆς τιμῆς. In loco Petiti de Demosthenica Androclis syngrapha vidit errorem Salmasius, non pervidit, quamvis proxime accesserit. Existimavit enim locum esse in Bosporo Thracis ἐφ' ἱερὸν, et, quod mireris, Auctores scilicet locupletes habet suæ sententiæ, an potius erroris, Harpocrationem et Suidam. Sed istis Glossographis non esse temere credendum jam pridem docti monuerunt. Neque enim nomen istius loci intellexit Scylacis Caryandensis novissimus interpres, Is. Vossius magni Gerardi F. Vertit enim ἐφ' ἱερὸν *ad fanum*, deinde ἀφ' ἱεροῦ *a fano*. De errore modeste monui et locos tuos addidi; ille vero nihil ad ista rescripsit. Sed qui potuisset? in sinu gaude. *In Epist. XIV. ad Iac. Palmerium*, SARAVIUS. Saravius amori nimium indulsisse videtur. Revera enim ibi fanum, ἱερὸν fuit, ut vel Polybii verba, a Palmerio neglecta, L. IV. c. 39. patefaciunt: omnium vero clarissime Mela II. 19. cum de Bosporo Thracio: *Ipsis in faucibus oppidum, in ore templum est. Oppidi nomen Chalcedon auctor Archias Megarensium princeps: templi numen Jupiter, conditor Iason.* Et Dionysius Byzantius in Anaplo ap. P. Gyllium de Bosp. Thrac. L. III. 5. Variant quidem vetusti Scriptores de fani numine, quod Iason XII. diis aras ibi dedicarit. De templo res certa. Vide Schol. in Apollon. Rhod. II. 535. et quæ viri doctissimi P. Gyllius l. d. et Is. Vossius ad Melam commentantur. WESSELING. Cf. quoque *Salmas. de M. U.* p. 211.

Τριακοσίαις τὰς τρισχιλίας] F. τὰς χιλίας. ut de 3000 pendantur usuræ nomine 900, una cum longinquitate loci et temporis, auctæ. Vertes igitur: *trecentenis mille drachmas.* WOLF. L. χιλίας. AUGER.

Ἐπὶ οἴνου] F. καὶ ἐπὶ οἴνου. WOLF.

Ἐπὶ οἴνου κ. τ. λ.] Pecunia trajectitia accipiebatur ad mercaturam faciendam; quare qui eam pecuniam dabant, de genere et quantitate mercium convenire solebant cum eo, qui pecuniam accipiebat, quas speciali pignore sibi obligari paciscebantur. Ac si pro tota navigatione pecuniam crediderant, ἀμφοτερόπλουν, eas quoque merces, quæ ex earum, quæ invehebantur, distractione repararentur, eodem nexu teneri stipulabantur, quod ostendit hæc syngrapha. Fiebat tamen aliquando fraus, neque pecunia in eum usum impendebatur, in quem erat credita, quod queruntur factum ii, quibus hæc syngrapha fuerat data. Cf. π. Φορμ. p. 922. ed. R. HERALDUS.

Κεραμίοις] Hoc tamen tenebimus, amphoram et ceramium eandem esse mensuram, ut metretam et cadum. Si quis tamen animadvertat Or. Dem. π. Λακριτ. mirabitur pretium vini importati in Pontum ex urbe quadam Thraciæ, talentum argenti statui, etiam cum naulo et apparatu necessario, et tot ceramia icosoro navi importata esse, i. e. εἰκοσακώπῳ, licet Athenæus lib. V. ἀντὶ τῆς εἰκοσήρους usus sit, de Hieronica nave loquens, τὰ δὲ τρισχίλια ταῦτα κεράμια ἄγεσθαι εἰς τὸν Πόντον εἰκοσόρῳ. Quibus verbis conjicere licet ceramium Atticum Demosthenis tempore minus fuisse amphora Romana: nisi potius intelligamus ceramia Thracia non Attica ex urbe Menda in Pontum importata. In qua oratione stamnum et ceramium pro eodem ponit. *De Asse* lib. V. p. 157. BUDÆUS.

Ὑποτιθέασι δὲ ταῦτα] Τὰ κεράμια τοῦ Μενδαίου οἴνου. quæ Mende in Pontum vehenda erant. et v. 8. p. 517. ἕως ἂν ἀποδῶσι τὸ γιγνόμενον. WOLF.

Ὑποτιθέασι κ. τ. λ.] Ergo ejusmodi merces erant iis specialiter oppigneratæ, qui pecuniam ad eam negotiationem tradidissent, quod ostendit etiam idem Demosthenes π. Φορμ. et alibi. Nec aliud fuisse Jus Rom. constat e l. 4. *in princ.* l. 6. *D. De naut. fœn.* l. *Qui Roma.* §. *Callimachus. D. De verb. oblig.* HERALDUS.

Οὐκ ὀφείλοντες κ. τ. λ.] Nam si cui eæ merces fuissent prius obligatæ, inutile pignus fuisset secundo creditori. In rebus enim mobilibus temporis ordo servabatur jure Attico, quemadmodum et Romano. Qui in pignore rei mobilis prior erat tempore, potior etiam erat jure: hac autem in conventione fraudem fuisse factam, et admissum stellionatum querebatur Demosthenes. Cf. l. 1. *de rer. judic. auct.* IDEM.

οὐδὲν ἀργύριον, οὐδ' ἐπιδανείσονται· καὶ ἀπάξουσι τὰ χρήματα τὰ ἐκ τοῦ Πόντου ἀντιφορτισθέντα πάλιν Ἀθήναζε ἐν τῷ αὐτῷ πλοίῳ ἅπαντα. σωθέντων δὲ τῶν χρημάτων Ἀθήναζε, ἀποδώσουσιν οἱ δανεισάμενοι τοῖς δανείσασι τὸ γιγνόμενον ἀργύριον κατὰ τὴν συγγραφήν, ἡμερῶν εἴκοσιν, ἀφ' ἧς ἂν ἔλθωσιν Ἀθήναζε, ἐντελές, πλὴν ἐκβολῆς ἣν ἂν οἱ σύμπλοι ψηφισάμενοι κοινῇ ἐκβάλωνται, καὶ ἄν τι πολεμίοις ἀποτίσωσι, τῶν δ' ἄλλων ἁπάντων ἐντελές· καὶ παρέξουσι τοῖς δανείσασι τὴν ὑποθήκην ἀνέπαφον κρατεῖν, ἕως ἂν ἀποδῶσι τὸ γιγνόμενον ἀργύριον κατὰ τὴν συγγραφήν. ἐὰν δὲ μὴ ἀποδῶσιν ἐν τῷ συγκειμένῳ χρόνῳ, τὰ ὑποκείμενα τοῖς δανείσασιν ἐξέστω ὑποθεῖναι, καὶ ἀποδόσθαι τῆς ὑπαρχούσης τιμῆς· καὶ ἐάν τι ἐλλείπῃ τοῦ ἀργυρίου, ὃ δεῖ γενέσθαι τοῖς δανείσασι κατὰ τὴν συγγραφήν, κατὰ Ἀρτέμωνος καὶ Ἀπολλοδώρου ἔστω ἡ πρᾶξις τοῖς δανείσασι, καὶ ἐκ

Οὐδ' ἐπιδανείσονται] Hanc quoque conventionem non fuisse observatam querebatur ibidem Demosthenes. Etsi autem qui prior erat tempore, potior erat jure, passim tamen stipulabantur, eum, cui in negotiationem maritimam pecunia credita erat, ab aliis pecuniam non accepturum sub iisdem pignoribus, ne litibus intricarentur, et contentionibus distringerentur. Id igitur dicebant οὐκ ἐπιδανείσεσθαι. π. Φορμ. p. 908. v. 25. ed. R. εὐθὺς γὰρ ἐν Πειραιεῖ ἐπιδανείζεται λάθρα ἡμῶν. Idem.

Καὶ ἀπάξουσι κ. τ. λ.] Idipsum est, de quo etiam convenerat syngrapha, ad quam pertinet *D.* §. *Callimachus.* Eodem §. *reparare* dicit Scævola, quod hæc syngrapha ἀντιφορτίζειν. Id etiam ἀνταγοράζειν hac oratione p. 930. v. 22. ult. ed. R. Ne fraus autem conventioni fieret, servum aliquem in eadem navi mittebant, aut institorem, vel socium scribebant, qui debitorem observaret. π. Φορμ. p. 915. v. 15. ed. R. Idem.

Σωθέντων κ. τ. λ.] Nonnisi igitur reversa nave absque naufragio, aut alio infortunio, reddebatur credita pecunia, cum in totam navigationem credita erat, εἰς ἀμφοτερόπλουν: si ita convenerat, ut non alias petitio ejus creditori competeret, quam si salva navis intra statuta tempora revenisset, ut in specie l. 6. *D. De naut. fœn.* Unde fraus quandoque facta, nave consulto demersa, mercibus aut nullis impositis aut antea venditis, ne quid solveretur creditori. Cf. π. Ζηνοθ. p. 883. v. 14. ed. R. Idem.

Καὶ παρέξουσι — ἀργύριον] *Præbebuntque iis qui crediderint pecuniam, pignus purum ab omni manus injectione.* Dicitur enim ἀνέπαφος ὑποθήκη, *pignus omni nexu solutus.* Budæus.

Καὶ παρέξουσι κ. τ. λ.] Reversi igitur debitores navem et merces oppigneratas exhibere tenebantur creditoribus, quas illi oppignerarent aut distraherent, si intra tempus constitutum facta non esset solutio. Dicit τὴν ὑποθήκην ἀνέπαφον, quæ nulli alii obligata esset, nec ab alio ullo vindicari posset. κρατεῖν autem verbum est hac in re proprium. Cf. π. Τιμοθ. p. 1187. v. 19. ed. R. Heraldus.

Ἔστω ἡ πρᾶξις κ. τ. λ.] Si navis salva revertebatur, pecunia erat reddenda creditori cum usuris; quæ quidem pecunia si non solvebatur, navis et merces navi advectæ vendi poterant, ut ex eorum pretio creditori satisfieret; si hæc non sufficiebant, et alia debitoris bona, etiam ἔγγεια *terrestria* capi poterant, et distrahi, et quod aberat inde solvi. Maritima igitur bona sola specialiter obligata, cetera tantum in subsidium, atque aliis deficientibus. Atque hoc, si navis salva reversa esset, sine naufragio et sine jactura. Nam si jactura aliqua erat facta ex consensu omnium vectorum, minuebatur quoque credita pecunia pro rata, ut patet ex hac eadem syngrapha, nisi aliter convenisset inter contrahentes. Nam res pendebat ex eorum conventione. Quare si convenisset ut nave salva reversa, tantum reciperet creditor, quantum ex rebus maritimis, i. e. ex nave et mercibus ea advectis capere posset, nec ad alia debitoris bona reverterentur, conventio valebat. Negotiationis periculum jus illud constituebat. Pignora trajectitiæ pecuniæ valde erant fragilia, cum maris fortunæ addicta essent. Si peribant in mari, pecunia trajectitia peribat quoque creditori. Quare ἔγγυον, sive ἔγγειον τόκον distinguebant ἀπὸ τοῦ ναυτικοῦ, non tam quod in terra fœnus illud exorcebatur, quam quod pignora habebat in terra sita, et ideo multo certiora. ἔγγυος et ἔγγειος eandem originem habent, siquidem γύην dicebant veteres ἀντὶ τῆς γῆς. Ergo ἔγγυος τόκος, cui ἔγγειος οὐσία est supposita. Salmasius c. 3. de M. U. plures paginas implet, ut doceat quid sit ἔγγυος τόκος, et ἔγγειον τόκον exterminet, ubicunque reperitur, et plurimum fallitur. Hic τὰ ἔγγεια habes opposita τοῖς ναυτικοῖς, bona terrestria, i. e. bona quæ in terra situm habent, iis quæ navibus maria peragrant. Idem.

Καὶ ἐκ τῶν] Καὶ mihi videtur delendum esse: *ex omnibus eorum bonis.* et v. 2. p. 518.

τῶν τούτων ἁπάντων καὶ ἐγγείων καὶ ναυτικῶν πανταχοῦ ὅπου ἂν ὦσι, καθάπερ δίκην ὠφληκότων καὶ ὑπερημέρων ὄντων, καὶ ἑνὶ ἑκατέρῳ τῶν δανεισάντων καὶ ἀμφοτέροις. ἐὰν δὲ μὴ [1]ἐκβάλωσι μείναντες ἐπὶ νηῒ ἡμέρας δέκα ἐν Ἑλλησπόντῳ, ἐξελόμενοι ὅπου ἂν μὴ σῦλαι ὦσιν Ἀθηναίοις, καὶ 927

[1] εἰσβάλωσι μείναντες * τὴν ἐπὶ κυνὶ ἡμέρας

καὶ ἑνὶ sub. τὸ πρᾶγμα κύριον ἔστω. AUGER.

Ἐγγείων] Per ἔγγεια hic, quædistinguuntur ἀπὸ τῶν ναυτικῶν, palam est intelligi debere τὴν ἔγγειαν οὐσίαν, quæcunque in prædiis qua urbanis qua rusticis consistit. *De M. U.* p. 86. SALMAS.

Ἐὰν δὲ μὴ εἰσβάλωσι κ. τ. λ.] Corruptum puto, atque scribendum ἐκβάλωσι. Conventum antea fuerat, si jactura fuisset facta, communi vectorum consensu, sortis et usurarum partem fœneratoribus pro portione decessuram; cetera autem, quæ salva in portum Atticum reducta essent, bona fide repræsentatum iri, ut inde creditoribus satisfieret. Sequitur nunc alius casus. Quid si igitur jacturam non fecerint, sed cum decem dies in Hellesponto durassent tempestatibus vexati, coacti tandem exscendere ac merces suas in terram exportare, iisque loco aliquo, ubi Atheniensibus invadendi in debitorum bona jus non est, depositis, in portum Atticum remearint, quid fiet? Conventum igitur fuerat, eo casu usuras eos reddituros, de quibus antea convenerat, sine ulla diminutione. Si igitur jactura nulla facta fuisset, sed navi decem dierum spatio in Hellesponto tempestatibus agitata, merces in terram depositæ essent, ac postea navis in emporium Atticum reversa esset, usuræ integræ præstandæ erant, nec pro ratione jacturæ, quæ nulla facta erat, minuendæ. — Sane illud, sive ἐκβάλωσι, sive εἰσβάλωσι explicari commode nullomodo potest. Wolfium aliud egisse ait Salmasius, cum vertit, *sin onerarint*. Sed et ipse aliud agebat, aut certe satis incaute hariolabatur, cum *accipiendum* id diceret *de ingressu in Ægeum ex Hellesponto*, Ægeum mare somnians, de quo ne verbum quidem in syngrapha, et verbo εἰσβάλλειν significationem non satis commodam, cum vim et impressionem sæpius hostilem designet. Scriptum igitur existimo, ἐὰν δὲ μὴ ἐκβάλωσι, quod admodum convenit præcedentibus. Pro eo autem quod scriptum est in pluribus edd. ἐπὶ κυνὶ, quod de canicula interpretantur, retinendum puto, ἐπὶ νηῒ, quæ est aliarum edd. lectio, eaque, ni valde fallor, verior et certior. Si igitur in Hellesponto navis per X. dies agitata hæsit, ita ut exoneranda fuerit, sive etiam ibi hæserit, nec merces distrahi potuerint, (quæ est fortasse verior opinio,) et mercibus in terram depositis revertatur navis in portum Atticum, idem erit, ac si ea, mercibus aut distractis aut commutatis, reversa sit, et fœnus de quo convenit erit solvendum. Sed quid sibi volebant mercatores illi his verbis, τοὺς τόκους ἀποδόνταν τοὺς πέρυσι γραφέντας εἰς τὴν συγγραφήν? An alia fuerat inter eos syngrapha anno anteriori scripta, ubi de usuris quibusdam simili in casu conventum esset? Id quidem significari videtur; nec verum tamen est, cum hac oratione exponant fœneratores mercatores Phaselitas, cum quibus contraxerant, ante eum diem fuisse sibi incognitos. Quare πέρυσι nihil ibi aliud erit, quam *antea*, sive *modo*. HERALDUS.

Μείναντες ἐπὶ νηῒ ἡμέρας δέκα] F. ἐπὶ κυνί. Quod non puto loci nomen esse, cujusmodi est κυνόσσημα: sed temporis designationem, pro μετὰ τὸν Κύνα, post exortum Caniculæ: quod sub autumnum periculosa est navigatio. Canicula, auctore Ptolemæo, 5. Cal. Augusti, Arcturus cum Vindemitore 4. Non. Septemb. oritur. Ephemerides nostræ ætatis, Caniculæ ortum a Nonis Julii circiter auspicantur, diesque caniculares medio fere Augusto terminant. WOLF.

Συλλαλῶσιν] Lege cum Harpocratione σῦλαι ὦσιν. Benenati editio habet in margine adscriptum σῦλα ὦσιν. Harpocration videtur intelligere *clarigationes* seu, ut dicimus, *represailles*, quod commodum satis habet sensum, et sic sentit etiam H. Stephanus. PALMER.

Ἐὰν δὲ —— μὴ σῦλαι ὦσιν τοῖς Ἀθηναίοις] Quæ sic vertenda sunt: *Si vero non ingressi fuerint mare Ægæum, exspectantes decem a canis ortu dies in Hellesponto, nave exonerata eo loci ubi Atheniensibus direptiones concessæ non sunt, atque inde Athenas reversi fuerint, tum eas usuras persolvunto, de quibus in syngrapha convenerit anno præterito.* Soliti quippe Athenienses quocunque in loco, ubi σῦλαι jure se habere putarent, naves diripere, ad quoscunque pertinerent. Sed dices, quid? annon isti mercatores Athenienses? Cur igitur timent eorum creditores ne diripiantur ab Atheniensibus? Immo Phaselitæ fuere, non Athenienses, et videntur eo tempore Atheniensibus datæ σῦλαι contra Phaselitas. Isti quidem Phaselitæ negotiatores vinarii Athenis exierant ad mercatum, et pecuniam ab Atheniensibus fœneratoribus sumserunt mutuam nautico

ἐντεῦθεν καταπλεύσαντες Ἀθήναζε, τοὺς τόκους ἀποδιδόντων τοὺς πέρυσι γραφέντας εἰς τὴν συγγραφήν. ἐὰν δέ τι ἡ ναῦς πάθῃ ἀνήκεστον, ἐν ᾗ ἂν πλέῃ τὰ χρήματα, σωτηρία ἔστω τῶν ὑποκειμένων· τὰ δὲ περιγενόμενα κοινὰ ἔστω τοῖς δανείσασι· κυριώτερον δὲ περὶ τούτων ἄλλο μηδὲν εἶναι τῆς συγγραφῆς.

ΜΑΡΤΥΡΕΣ.

Φορμίων Πειραιεύς, Κηφισόδοτος Βοιώτιος, Ἡλιόδωρος Πιτθεύς.

λέγε δὴ καὶ τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

Ἀρχενομίδης Ἀρχεδάμαντος Ἀναγυράσιος μαρτυρεῖ συνθήκας παρ' ἑαυτῷ καταθέσθαι Ἀνδροκλέα Σφήττιον,[1] Ναυκράτην Καρύστιον, Ἀρτέμωνα

[1] Ναυσικράτην

fænore, nec alibi locorum deprehensos eos diripere et spoliare potuissent Atheniensium Trierarchi, quia navis eorum ac merces pignori obligata civibus erant Atheniensibus, qui pecuniam his fœnerati fuerant. Si tamen deprehensi fuissent ab aliquo portu aut urbe revertentes, in quam jus *συλᾶν* sibi competere Athenienses Trierarchi judicassent, sine dubio eos spoliassent. Nam qui apud hostes negotiantur, et in eorum partes invehunt, pro hostibus habentur etiamsi cives sint. De sociis non est dubium. Et Athenienses, ut dixi, eo tempore *σύλας* habebant contra *Φασηλίτας*. *De M. U.* p. 213—217. Salmas. Cf. *περὶ Στεφ. τ. τριηρ.* p. 1231. v. ult. ed. R.

Ἐξελόμενοι ὅπου ἂν μὴ σύλα, vel *σύλαι*, *ὧσιν Ἀθηναίοις*] Certe *σύλαι* dabantur iis, qui, injuria ab exteris accepta, aut bonis ab iis spoliati, nihil æqui potuerant a principibus, quibus ii subditi, vel a civitate, cujus erant cives, obtinere. His igitur in bona aliorum, quicunque principum illorum imperio subjecti erant, vel civitatis illius incolæ, invadere jus erat, atque inde damnum a se acceptum sarcire. Id dicebant *σύλην λαβεῖν*, ut *ap. auct. lib. II. Œconomic. i. op. Aristot.* Hæc autem syngrapha permittebat mercatoribus, quibus pecunia nautica erat mutuo data, merces e navi exportare, si per X. dies in Hellesponto morata esset, atque eas quocunque loco ii vellent deponere, modo-ne ubi *σύλαι* essent Atheniensibus, i. e. modo ne adversus illius loci cives Atheniensibus *repræsaliarum* (hac enim voce uti cogimur ad faciliorem rei explicationem) jus esset. Quare id? Primum, quia si Atheniensibus adversus eos *σύλαι* erant, amici non erant. Atqui cum hostibus nullum poterat esse commercium. Deinde, quoniam si jure isto adversus eos Athenienses uti voluissent, hi quoque merces, in quibus cives Attici jus aliquod habebant, retinere potuissent; quibus perditis, creditorum pecuniæ peribant ex syngraphæ illius legibus. Jure igitur *τῆς σύλης* merces illæ potuissent *συλᾶσθαι* ab iis, qui ab Atheniensibus *σύλην* passi essent. Quare eleganter fœneratores Attici, qui pecunia credita a Phaselitis mercatoribus fraudabantur, expostulabant p. 523. v. 9. h. or. ita ab iis secum agi, quasi Phaselitis contra Athenienses *σύλαι* datæ essent, i. e. quasi Phaselitis liceret Athenienses in ipso emporio Attico spoliare *repræsaliarum* jure. Atque hæc de loco obscurissimo, cui si lucem dedimus, fecimus quod voluimus, si non omnino, fecimus quod potuimus; certe Salmasii importunam gloriationem, tam vanam, quam ridiculam esse ostendimus, nec longe, nisi vehementer fallor, a scopo aberravimus. Heraldus.

Ἐὰν δὲ — *ὑποκειμένων*] Hæc mihi obscura sunt, nec quomodo inde me expedire possim video. Putabam convenisse, ut si quid navi accideret, et aliquid tamen salvum esset, quod esset salvum pignoribus attribueretur. Sed quæ sequuntur mihi obstant, *τὰ δὲ περιγενόμενα κοινὰ ἔστω τοῖς δανείσασι*. Quæ sequuntur, *κυριώτερον κ. τ. λ.* clausulam solennem continent, syngraphis apponi solitam, qua cavebatur ne fraus conventioni fieret quocunque tandem pacto, neve ea judicum sententia aut alio modo infringeretur aut labefactaretur, Demosthene ipso interprete. Cf. *π. Διονυσ.* p. 1291. v. 3. et p. 1287. v. ult. ed. R. Idem.

Σωτηρία ἔστω τῶν ὑποκειμένων] Τῶν ὑποθηκῶν. αἱ ὑποθῆκαι σῶαι ἔστωσαν τοῖς δανείσασι. Wolf.

Τὰ δὲ περιγενόμενα] Utrum *ἐκ τῆς ναυαγίας, ἢ τῶν ὑποκειμένων*. Fateor, me hæc

Ἀπολλόδωρον Φασηλίτας, καὶ εἶναι παρ' ἑαυτῷ ἔτι κειμένην τὴν συγγραφήν.

λέγε δὴ καὶ τὴν τῶν παραγενομένων μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

Θεόδοτος ἰσοτελής, Χαρῖνος [1] Ἐπιχάρας Λευκονοεὺς, Φορμίων [2] ὁ Κηφισοφῶντος Πειραιεὺς, Κηφισόδωρος [3] Βοιώτιος, μαρτυροῦσι παρεῖναι, ὅτ' ἐδάνεισεν Ἀνδροκλῆς Ἀπολλοδώρῳ καὶ Ἀρτέμωνι ἀργυρίου τρισχιλίας δραχμὰς, καὶ εἰδέναι τὴν συγγραφὴν καταθεμένους παρὰ Ἀρχενομίδῃ Ἀναγυρασίῳ.

γ'. Κατὰ τὴν συγγραφὴν ταύτην, ὦ ἄνδρες δικασταὶ, ἐδάνεισα τὰ χρήματα Ἀρτέμωνι τῷ τούτου ἀδελφῷ, κελεύοντος τούτου καὶ ἀναδεχομένου πάντα ἔσεσθαί μοι τὰ 928
δίκαια κατὰ τὴν συγγραφὴν καθ' ἣν ἐδάνεισα, τούτου αὐτοῦ γράφοντος καὶ συσσημηναμένου ἐπειδὴ ἐγράφη. οἱ μὲν γὰρ ἀδελφοὶ οἱ τούτου ἔτι νεώτεροι ἦσαν, μειράκια κομιδῇ· οὗτοσὶ δὲ Λάκριτος Φασηλίτης, μέγα πρᾶγμα, Ἰσοκράτους μαθητὴς, οὗτος ἦν ὁ πάντα διοικῶν. καὶ ἑαυτῷ με τὸν νοῦν προσέχειν ἐκέλευεν· αὐτὸς γὰρ ἔφη ποιήσειν μοι τὰ δίκαια ἅπαντα καὶ ἐπιδημήσειν Ἀθήνησι, τὸν δὲ ἀδελφὸν τὸν [4] αὐτοῦ Ἀρτέμωνα πλευσεῖσθαι ἐπὶ τοῖς χρήμασι. καὶ τότε μὲν, ὦ ἄνδρες δικασταὶ, ὅτ' ἐβούλετο τὰ χρήματα λαβεῖν παρ' ἡμῶν, καὶ ἀδελφὸς ἔφη εἶναι καὶ κοινωνὸς τοῦ Ἀρτέμωνος καὶ λόγους θαυμασίως πιθανοὺς ἔλεγεν· ἐπειδὴ δὲ τάχιστα [5] ἐγκρατὴς ἐγένετο τοῦ ἀργυρίου, τοῦτο μὲν διενείμαντο καὶ ἐχρῶντο ὅ τι ἐδόκει τούτοις, κατὰ δὲ τὴν συγγραφὴν τὴν ναυτικὴν, καθ' ἣν ἔλαβον τὰ χρή-

[1] Ἐπιχάρους
[2] Deest articulus.
[3] Βοιώτιος, Ἡλιόδωρος πιτθεὺς, μαρτυροῦσι
[4] αὐτοῦ
[5] ἐγκρατεῖς ἐγένοντο

non satis intelligere. Idem.

Θεόδοτος κ. τ. λ.] Cum omnino Cephisodotus Bœotius idem cum Cephisodoro Bœotio, ut et Phormion Piræeus idem est qui testatur se affuisse scribendæ syngraphæ, et cum apud Archenomidem deponeretur. Puto itaque et in hac μαρτυρίᾳ deesse nomen Ἡλιοδώρου Πιτθέως, qui syngrapham cum illis duobus subsignavit. *De M. U.* p. 395. Salmas. Ubi plurima vid. de syngraphis scribendis, subscribendis, &c.

Βοιώτιος] Vid. Corsin. Fast. Attic. P. I. D. V. §. XVIII. qui ex h. l. infert, Bœotium hunc Atticæ Populum Marathoni proximum fuisse, atque in ipsis Atticæ Bœotiæque finibus ita collocatum, ut exinde fortasse nomen acceperit; de Tribu vero, nihil esse certe quod definiri vel divinari potest. Idem statuit V. D. §. XVI. de v. Ἱσταιέθεν p. 521. v. antepen.

γ'. Μέγα πρᾶγμα] De hac locutione, et similibus μέγα χρῆμα, μέγα ἔργον, etc. vid. Bergler. ad Aristoph. Nub. v. 2.

Τὸν ἀδελφὸν αὐτοῦ Ἀρτέμωνι πλευσεῖσθαι] F. Ἀρτέμωνα καὶ πλευσεῖσθαι. Wolf.

Καὶ λόγους θαυμασίους πιθανοὺς] F. θαυμασίως πιθανοὺς, aut θαυμασίους καὶ πιθανοὺς, et p. 521. v. 8. τοῦ οἴνου τὴν καθισταμένην] Utrum τὴν τότε οὖσαν, an τὴν τιμὴν εἶναι

ματα, οὔτε μέγα οὔτε μικρὸν ἔπραττον, ὡς αὐτὸ τὸ ἔργον ἐδήλωσεν. οὗτοσὶ δὲ Λάκριτος ἁπάντων ἦν τούτων ὁ ἐξηγητής. καθ' ἕκαστον δὲ τῶν γεγραμμένων ἐν τῇ συγγραφῇ ἐπιδείξω τούτους οὐδ' ὁτιοῦν πεπραγμένους ὑγιές.

δ'. Πρῶτον μὲν γὰρ γέγραπται, ὅτι ἐπ' οἴνου κεραμίοις τρισχιλίοις [1] ἐδανείζετο παρ' ἡμῶν τὰς τριάκοντα μνᾶς, ὡς ὑπαρχούσης αὐτοῖς ὑποθήκης ἑτέρων τριάκοντα μνῶν, ὥστε εἰς τάλαντον ἀργυρίου τὴν τιμὴν εἶναι τοῦ οἴνου καθισταμένην, σὺν τοῖς ἀναλώμασιν ὅσα ἔδει ἀναλίσκεσθαι εἰς τὴν
929 κατασκευὴν τὴν περὶ τὸν οἶνον· τὰ δὲ τρισχίλια ταῦτα κεράμια ἄγεσθαι εἰς τὸν Πόντον [2] εἰκοσόρῳ, ἣν Ὑβλήσιος ἐναυκλήρει. γέγραπται μὲν ταῦτα ἐν τῇ συγγραφῇ, ὦ ἄνδρες δικασταί, ἧς ὑμεῖς ἀκηκόατε· οὗτοι δὲ ἀντὶ τῶν τρισχιλίων κεραμίων οὐδὲ πεντακόσια κεράμια εἰς τὸ πλοῖον ἐνέθεντο, ἀλλ', ἀντὶ τοῦ ἠγοράσθαι αὐτοῖς τὸν οἶνον ὅσον προσῆκε, τοῖς χρήμασιν ἐχρῶντο [3] ὅσον ἐδόκει τούτοις, τὰ δὲ κεράμια τὰ τρισχίλια οὐδ' [4] ἐμέλησαν οὐδὲ διενοήθησαν ἐνθέσθαι εἰς τὸ πλοῖον κατὰ τὴν συγγραφήν. ὅτι δ' ἀληθῆ λέγω ταῦτα, λάβε τὴν μαρτυρίαν τῶν συμπλεόντων ἐν τῷ αὐτῷ πλοίῳ τούτοις.

ΜΑΡΤΥΡΙΑ.

Ἐρασικλῆς μαρτυρεῖ κυβερνᾶν τὴν ναῦν, ἣν Ὑβλήσιος ἐναυκλήρει, καὶ εἰδέναι Ἀπολλόδωρον [5] ἀγόμενον οἶνον Μενδαίου κεράμια τετρακόσια πεντήκοντα καὶ οὐ πλείω, ἄλλο δὲ μηδὲν ἀγώγιμον ἄγεσθαι ἐν τῷ πλοίῳ Ἀπολλόδωρον εἰς τὸν Πόντον. Ἱππίας Ἀθηνίππου Ἀλικαρνασσεὺς, μαρτυρεῖ συμπλεῖν ἐν τῇ Ὑβλησίου νηῒ, διοπτεύων τὴν ναῦν, καὶ εἰδέναι Ἀπολλόδωρον τὸν Φασηλίτην ἀγόμενον ἐν τῷ πλοίῳ ἐκ Μένδης εἰς τὸν Πόντον οἶνον Μενδαίου κεράμια τετρακόσια πεντήκοντα, ἄλλο δὲ μηδὲν φορτίον. Πρὸς τοῖσδε ἐξεμαρτύρησεν Ἀρχάδης Μνησωνίδου Ἀχαρνεὺς, Σώστρατος Φιλίππου Ἱστιαιόθεν, Φιλτιάδης Κτησίου ἐκ Ξυπετεῖων, Διονύσιος Δημοκρατίδου Χολλίδης.

περὶ μὲν δὴ τοῦ πλήθους τοῦ οἴνου, ὅσον ἔδει αὐτοὺς ἐνθέ-

[1] ἐδανείζοντο [2] ἐν τῇ εἰκοσόρῳ [3] ὅ,τι [4] ἐμέλλησαν [5] ἀγόμενον ἐν τῷ πλοίῳ οἶνου

καθισταμένην, ἀντὶ τοῦ, καθίστασθαι. IDEM.

δ'. Αὐτοῖς] Regitur ab ἠγοράσθαι, *emi ab ipsis*. AUGER.

Διοπτεύων τὴν ναῦν] Ἐπισκοπῶν τὰ φορτία, καὶ τὰ γιγνόμενα ἐν τῇ νηΐ. WOLF.

Διοπτεύων] Censeo [et ap. Harpocrat. et Demosth.] διοπεύων legendum. Nam διοπτεύειν verbum omnino generale est; διοπεύειν proprie de navi dicitur. Confirmat sententiam meam, quod de voce δίοπος subnectit Harpocration, unde διοπεύειν dictum. Ecce tibi apud Hesychium, διοπεύειν, ἐπιμελεῖσθαι νεώς. *Att. Lect.* l. III. c. XII. MEURSIUS. Plura vide l. l.

Ἐκ Μένδης] Πόλεως Θράκης. WOLF.

Πρὸς τοῖσδε ἐξεμαρτύρησεν] Ἀκοὴν ἐμαρτύρησεν, ut alias dicit. IDEM.

Ἐξ Ὑπαιτέων] Lege ἐκ Ξυπετεῖων vel Ξυπετέων, nam ille Demus varie scribitur. PALMER.

σθαι εἰς τὸ πλοῖον, ταῦτα διεπράξαντο, εὐθὺς ἐντεῦθεν ἀπὸ τοῦ πρώτου γεγραμμένου παραβαίνειν ἀρξάμενοι καὶ 930
μὴ ποιεῖν τὰ γεγραμμένα.

ε΄. Μετὰ δὲ ταῦτα, ἔστιν ἐν τῇ συγγραφῇ, ὅτι ὑποτιθέασι ταῦτα ἐλεύθερα, καὶ οὐδενὶ οὐδὲν ὀφείλοντες, καὶ ὅτι οὐδὲ ἐπιδανείσονται ἐπὶ τούτοις παρ᾽ οὐδενός. ταῦτα διαρρήδην γέγραπται, ὦ ἄνδρες δικασταί. οὗτοι δὲ τί ἐποίησαν; ἀμελήσαντες τῶν ἐν τῇ συγγραφῇ γεγραμμένων, δανείζονται παρά τινος νεανίσκου, ἐξαπατήσαντες ὡς οὐδενὶ οὐδὲν ὀφείλοντες· καὶ ἡμᾶς τε παρεκρούσαντο καὶ ἔλαθον δανεισάμενοι ἐπὶ τοῖς ἡμετέροις, ἐκεῖνόν τε τὸν νεανίσκον τὸν δανείσαντα ἐξηπάτησαν, οὐκ ἐπ᾽ ἐλευθέροις τοῖς χρήμασι δανειζόμενοι. τοιαῦτα τούτων ἐστὶ τὰ κακουργήματα· ταῦτα δὲ πάντ᾽ ἐστὶ τὰ σοφίσματα Λακρίτου τουτουί. ὅτι δὲ ἀληθῆ λέγω, καὶ ἐπεδανείσαντο χρήματα παρὰ τὴν συγγραφὴν, μαρτυρίαν ἀναγνώσεται [1] ὑμῖν τοῦ ἐπιδανείσαντος. λέγε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

Ἄρατος Ἀλικαρνασσεὺς μαρτυρεῖ δανεῖσαι Ἀπολλοδώρῳ ἕνδεκα μνᾶς ἀργυρίου ἐπὶ τῇ ἐμπορίᾳ, ἣν ἦγεν ἐν τῇ Ὑβλησίου νηῒ εἰς τὸν Πόντον, καὶ τοῖς ἐκεῖθεν ἀνταγορασθεῖσι· καὶ μὴ εἰδέναι αὐτὸν δεδανεισμένον παρὰ Ἀνδροκλέους ἀργύριον. οὐ γὰρ ἂν δανεῖσαι αὐτὸς Ἀπολλοδώρῳ [2] ἀργύριον.

αἱ μὲν πανουργίαι τοιαῦται τῶν ἀνθρώπων τούτων εἰσί.

ς΄. Γέγραπται δὲ μετὰ ταῦτα ἐν τῇ συγγραφῇ, ὦ ἄνδρες δικασταί· ἐπειδὰν ἀπόδωνται ἐν τῷ Πόντῳ ἃ ἦγον, ἀνταγοράζειν πάλιν χρήματα καὶ ἀντιφορτίζεσθαι καὶ 931
ἀπάγειν Ἀθήναζε τὰ ἀντιφορτισθέντα· καὶ, ἐπειδὰν ἀφίκωνται Ἀθήναζε, ἀποδοῦναι εἴκοσιν ἡμερῶν ἡμῖν τὸ ἀργύριον δόκιμον, ἕως δ᾽ ἂν ἀποδῶσι, κρατεῖν τῶν χρημάτων ἁπάντων ἡμᾶς καὶ [3] ἀνέπαφα παρέχειν τούτους, ἕως ἂν ἀπολάβωμεν. γέγραπται μὲν ταῦτα οὕτωσὶ ἀκριβῶς ἐν τῇ συγγραφῇ· οὗτοι δε, ὦ ἄνδρες δικασταὶ, ἐνταῦθα καὶ ἀπεδείξαντο [4] μάλιστα τὴν ὕβριν καὶ τὴν ἀναίδειαν τὴν ἑαυ-

[1] ὑμῖν αὐτοῦ τοῦ
[2] τὸ ἀργύριον
[3] ἀνέπαφα πάντα παρέχειν
[4] * μάλιστα ἐπεδείξαντο

ε΄. Ἐλεύθερα] Ita in Jure Romano in pacto convento, quo pignus contrahebatur, sæpe exprimi solebat, *rem quæ pignori dabatur, nulli alii esse obligatam.* Hoc est, ut Græci loquebantur, ἐλευθέραν. *De M. U.* p. 505. SALMAS.

Καὶ οὐδὲ ἐπιδανείσονται ἐπὶ τούτοις] Hinc locus superior explicari potest, οἵ τὸν ἐπιδεδανεισμένον ἐκ τοῦ ἐμπορείου. WOLF.

ς΄. Χρήματα] *Merces.* BUDÆUS.

τῶν, καὶ ὅτι οὐδὲ μικρὸν προσεῖχον τοῖς γράμμασι τοῖς γεγραμμένοις ἐν τῇ συγγραφῇ, ἀλλ' ἡγοῦντο εἶναι τὴν συγγραφὴν ἄλλως ὕθλον καὶ φλυαρίαν. οὔτε γὰρ ἀντηγόρασαν οὐδὲν ἐν τῷ Πόντῳ, οὔτε ἀντεφορτίσαντο, ὥστε ἄγειν Ἀθήναζε. ἡμεῖς [1]τε οἱ δανείσαντες τὰ χρήματα, ἡκόντων αὐτῶν τούτων ἐκ τοῦ Πόντου, οὐκ εἴχομεν ὅτου ἐπιλαβοίμεθα, οὐδὲ ὅτου κρατοῖμεν, ἕως [2]ὅτου κομισαίμεθα τὰ ἡμέτερα αὐτῶν. οὐδ' ὁτιοῦν γὰρ εἰσήγαγον εἰς τὸν λιμένα τὸν ὑμέτερον οὗτοι. ἀλλὰ πεπόνθαμεν καινότατον, ὦ ἄνδρες δικασταί· ἐν γὰρ τῇ πόλει τῇ ἡμετέρᾳ αὐτῶν οὐδὲν ἀδικοῦντες, οὐδὲ δίκην ὠφληκότες οὐδεμίαν αὐτοῖς, σεσυλήμεθα τὰ ἡμέτερα αὐτῶν ὑπὸ τούτων, Φασηλιτῶν ὄντων, ὥσπερ δεδομένων συλῶν Φασηλίταις κατὰ Ἀθηναίων. ἐπειδὰν γὰρ μὴ ἐθέλωσιν ἀποδοῦναι, ἃ ἔλαβον, [3]τί ἄλλο τις ἔχοι ὄνομα θέσθαι τοῖς τοιούτοις, ἢ ὅτι ἀφαιροῦνται βίᾳ τὰ ἀλλότρια; ἐγὼ μὲν γὰρ οὐδὲ ἀκήκοα πώποτε πρᾶγμα μιαρώτερον, ἢ ὃ οὗτοι [4]πεπραγμένοι εἰσὶ περὶ ἡμᾶς, καὶ ταῦτα ὁμολογοῦντες λαβεῖν παρ' ἡμῶν τὰ χρή-
932 ματα. ὅσα μὲν γὰρ ἀμφισβητήσιμά ἐστι τῶν συμβολαίων, κρίσεως δεῖται, ὦ ἄνδρες δικασταί· τὰ δὲ παρ' ἀμφοτέρων ὁμολογηθέντα τῶν συντιθεμένων καὶ [5]τῶν περὶ ὧν συγγραφαὶ κεῖνται ναυτικαὶ, τέλος ἔχειν ἅπαντες νομίζουσι, καὶ χρῆσθαι προσήκει τοῖς γεγραμμένοις. ὅτι δὲ κατὰ τὴν συγγραφὴν οὐδ' ὁτιοῦν πεποιήκασιν, ἀλλ' εὐθὺς ἀπ' ἀρχῆς ἀρξάμενοι ἐκακοτέχνουν καὶ ἐπεβούλευον μηδὲν ὑγιὲς ποιεῖν, ὑπό τε τῶν μαρτύρων καὶ αὐτοὶ ὑφ' αὑτῶν ἐξελέγχονται οὕτωσὶ καταφανῶς.

ζ'. Ὁ δὲ πάντων δεινότατον διεπράξατο Λάκριτος οὑτοσί, δεῖ ὑμᾶς ἀκοῦσαι· οὗτος γὰρ ἦν ὁ πάντα ταῦτα διοικῶν. ἐπειδὴ γὰρ ἀφίκοντο δεῦρο, εἰς μὲν τὸ ὑμέτερον ἐμπόριον οὐ καταπλέουσιν, [6]εἰς φωρῶν δὲ λιμένα ὁρμίζον-

1 * δ' 2 [ὅτου] 3 τί ἂν ἄλλο 4 διαπεπραγμένοι 5 Deest τῶν. 6 εἰς φόρων

Ὕθλον καὶ φλυαρίαν] Idem quod apud Latinos *ludus ac jocus* valet. Docet enim in ea maxime adversarios declarasse contumeliam improbitatemque suam, quod floccifecerunt quicquid in syngraphia scriptum fuit: remque tanti ponderis, quanti pactum illud conventumque foret, jocum nugasque fuisse existimaverunt. *In Var. Lect.* l. VI. cap. XIII. VICTORIUS.

ζ'. Εἰσφορῶν δὲ λιμένα] Disjunge et lege εἰς φορῶν δὲ λιμένα, et linea sequenti similiter εἰς φορῶν λιμένα. Nam φορῶν λιμὴν fuit

ται, ὅς ἐστιν ἔξω τῶν σημείων τοῦ ὑμετέρου ἐμπορίου. καὶ ἔστιν ὅμοιον [1] εἰς φωρῶν λιμένα ὁρμίσασθαι, ὥςπερ ἂν εἴ τις εἰς Αἴγιναν ἢ εἰς Μέγαρα ὁρμίσαιτο· ἔξεστι γὰρ ἀποπλεῖν ἐκ τοῦ λιμένος τούτου, ὅποι ἄν τις βούληται, καὶ ὁπηνίκ' ἂν δοκῇ αὐτῷ. καὶ τὸ μὲν πλοῖον ὥρμει ἐνταῦθα πλείους ἢ πέντε καὶ εἴκοσιν ἡμέρας· οὗτοι δὲ περιεπάτουν ἐν τῷ δείγματι τῷ ἡμετέρῳ, καὶ ἡμεῖς προσιόντες διελεγόμεθα καὶ ἐκελεύομεν τούτους ἐπιμελεῖσθαι, ὅπως ἂν ὡς τάχιστα ἀπολάβοιμεν τὰ χρήματα. οὗτοι δὲ ὡμολόγουν τε καὶ ἔλεγον, ὅτι αὐτὰ ταῦτα περαίνοιεν· καὶ ἡμεῖς τούτοις προσῆμεν, καὶ ἅμα ἐπεσκοποῦμεν, εἴ τι ἐξαιροῦνται ποθὲν ἐκ πλοίου, ἢ πεντηκοστεύονται. ἐπειδὴ δὲ ἡμέραι τε ἦσαν συχναὶ ἐπιδημοῦσι τούτοις, ἡμεῖς τε οὐδ' ὁτιοῦν εὑρίσκομεν, οὔτε ἐξῃρημένον, οὔτε [2] πεντηκοστευόμενον ἐπὶ τῷ ὀνόματι [3] τούτων, ἐνταῦθ' ἤδη μᾶλλον προσεκείμεθα ἀπαιτοῦντες. 933
καὶ, ἐπειδὴ ἠνωχλοῦμεν αὐτοῖς, ἀποκρίνεται Λάκριτος οὗτοσὶ ὁ ἀδελφὸς Ἀρτέμωνος, ὅτι οὐκ ἂν οἷοί τε [4] ἦσαν ἀποδοῦναι, ἀλλ' ἀπόλωλεν ἅπαντα τὰ χρήματα· καὶ ἔφη Λάκριτος δίκαιόν τι ἔχειν λέγειν περὶ τούτων. καὶ ἡμεῖς, ὦ ἄνδρες δικασταὶ, [5] ἠγανακτοῦμεν ἐπὶ τοῖς λεγομένοις· πλέον δὲ οὐδὲν ἦν ἀγανακτοῦσιν ἡμῖν, [6] τούτοις γὰρ οὐδ' ὁτιοῦν ἔμελεν. οὐδὲν δὲ ἧττον ἠρωτῶμεν αὐτοὺς, ὁντινα τρόπον ἀπολωλότα εἴη τὰ χρήματα. Λάκριτος δὲ οὗτοσὶ ναυαγῆσαι ἔφη τὸ πλοῖον παραπλέον ἐκ Παντικαπαίου εἰς Θευδοσίαν· ναυαγήσαντος δὲ τοῦ πλοίου, ἀπολωλέναι τὰ χρήματα τοῖς ἀδελφοῖς τοῖς ἑαυτοῦ, ἃ ἔτυχεν [7] ἐν πλοίῳ ἐνόντα· ἐνεῖναι δὲ τάριχός τε καὶ οἶνον Κῷον καὶ ἄλλ' ἄττα. καὶ ταῦτα πάντα ἔφασαν ἀντιφορτισθέντα μέλλειν [8] αὐτὰ

[1] εἰς φώρων [2] πεπεντηκοστευμένον [3] τῷ τούτων [4] εἶησαν
[5] ἠγανακτοῦμεν * μὲν ἐπὶ [6] τουτοισὶ [7] ἐν τῷ πλοίῳ [8] * αὐτοὶ

Atticæ portus sic vocatus *furum portus*, eo quod Piratæ et decoctores, qui non audebant Piræeum portum intrare, ibi appellebant. Sic ipse Demosthenes p. 942. v. 4. ed. R. ἐν φωρῶν λιμένι. PALMER.

Ἐν τῷ Δείγματι τῷ ὑμετέρῳ] Locus in Piræeo, inquit Suidas, in quo multi et cives et hospites conveniebant, et sermones inter se conferebant. Fortasse quia specimina mercium ibi exhiberentur; idque addit Aristophanis interpres Ἱππεῦσιν: ἐκεῖ, inquit, οἱ ἔμποροι τὰ δείγματα τῶν πωλουμένων ἐπίδεσαν. WOLF.

Καὶ ἄλλα] F. καὶ τἄλλα ἐπεσκοποῦμεν, καὶ εἴ τι ἐξαιροῦνταί ποθεν ἐκ τοῦ πλοίου. et v. 17. οἷοί τε εἶησαν. et v. ult. μέλλειν αὐτοὺς ἄγειν. et p. 525. v. 28. τῶν ἐκ τῆς Θευδοσίας τινὶ ἐν ἀγορᾷ οἰκούντων. τὸ ἐν ἀγορᾷ videtur omissum. Alioqui et τὸ οἰκούντων abundabit. IDEM.

Πεντηκοστεύονται] Vid. Suidas et Etym. Mag. in voce, et Pollux lib. II. c. IV. §. 34. et lib. IX. c. V.

ἄγειν Ἀθήναζε, εἰ μὴ ἀπώλετο ἐν τῷ πλοίῳ. καὶ ἃ μὲν ἔλεγε, ταῦτ' ἦν.

ή. Ἄξιον δ' ἀκοῦσαι τὴν βδελυρίαν τῶν ἀνθρώπων τουτωνὶ καὶ τὴν ψευδολογίαν. πρός τε γὰρ τὸ πλοῖον τὸ ναυαγῆσαν οὐδὲν ἦν αὐτοῖς συμβόλαιον, ἀλλ' ἦν ἕτερος ὁ δεδανεικὼς Ἀθήνηθεν ἐπὶ τῷ ναύλῳ τῷ εἰς τὸν Πόντον καὶ [1]ἐπὶ τῷ πλοίῳ· Ἀντίπατρος ὄνομα ἦν τῷ δεδανεικότι Κιττιεὺς τὸ γένος, τό τε οἰνάριον τὸ Κῷον ὀγδοήκοντα στάμνοι ἐξεστηκότος οἴνου, καὶ τὸ τάριχος ἀνθρώπῳ τινὶ γεωργῷ παρεκομίζετο ἐν τῷ πλοίῳ ἐκ Παντικαπαίου εἰς Θευδοσίαν τοῖς ἐργάταις τοῖς περὶ τὴν γεωργίαν χρῆσθαι. τί οὖν ταύ-
934 τας τὰς προφάσεις λέγουσι; οὐδὲν γὰρ προσήκει. καί μοι λάβε τὴν μαρτυρίαν, πρῶτον μὲν τὴν Ἀπολλωνίδου, ὅτι Ἀντίπατρος ἦν ὁ δανείσας ἐπὶ τῷ πλοίῳ, τούτοις δ' οὐδ' ὁτιοῦν προσήκει τῆς ναυαγίας· ἔπειτα τὴν Ἐρασικλέους καὶ τὴν Ἱππίου, ὅτι ὀγδοήκοντα κεράμια μόνα παρήγετο [2]τῷ πλοίῳ.

[3]ΜΑΡΤΥΡΙΑ.

Ἀπολλωνίδης Ἁλικαρνασσεὺς μαρτυρεῖ εἰδέναι δανείσαντα Ἀντίπατρον, Κιττιέα τὸ γένος, χρήματα Ὑβλησίῳ εἰς τὸν Πόντον ἐπὶ τῇ νηΐ, ἣν Ὑβλήσιος ἐναυκλήρει, καὶ τῷ ναύλῳ τῷ εἰς τὸν Πόντον· κοινωνεῖν δὲ καὶ αὐτὸν τῆς νεὼς Ὑβλησίῳ, καὶ συμπλεῖν ἑαυτοῦ οἰκέτας ἐν τῇ νηΐ· καὶ, ὅτε διεφθάρη ἡ ναῦς, παρεῖναι τοὺς οἰκέτας τοὺς ἑαυτοῦ, καὶ ἀπαγγέλλειν ἑαυτῷ, καὶ ὅτι ἡ ναῦς κενὴ διεφθάρη παραπλέουσα εἰς Θευδοσίαν ἐκ Παντικαπαίου.

Ἐρασικλῆς μαρτυρεῖ συμπλεῖν Ὑβλησίῳ κυβερνῶν τὴν ναῦν εἰς τὸν Πόντον· καὶ, ὅτε παρέπλει ἡ ναῦς εἰς Θευδοσίαν ἐκ Παντικαπαίου, εἰδέναι κενὴν τὴν ναῦν παραπλέουσαν, καὶ Ἀπολλοδώρου, αὐτοῦ τοῦ φεύγοντος νυνὶ τὴν δίκην, μὴ εἶναι οἶνον ἐν τῷ πλοίῳ, ἀλλὰ παράγεσθαι τῶν ἐκ τῆς Θευδοσίας τινὶ [4]οἰκούντων Κῷα κεράμια περὶ ὀγδοήκοντα. Ἱππίας Ἀθηνίππου Ἁλικαρνασσεὺς μαρτυρεῖ συμπλεῖν Ὑβλησίῳ διοπτεύων τὴν ναῦν· καὶ, ὅτε παρέπλει ἡ ναῦς εἰς Θευδοσίαν ἐκ Παντικαπαίου, ἐνθέσθαι Ἀπολλόδωρον εἰς τὴν ναῦν ἐρίων ἀγγεῖον ἓν ἢ δύο, καὶ ταρίχους κεράμια ἕνδεκα ἢ δώδεκα, καὶ δέρματ' αἴγεια δύο δεσμὰς ἢ τρεῖς, ἄλλο δ' οὐδέν. Πρὸς τοῖσδ' ἐξεμαρτύρησεν Εὐφίλητος Δαμοτίμου Ἀφιδναῖος, [5]Ἱππεὺς Τιμοξένου Θυμαιτάδης, Σώστρατος Φιλίππου Ἰστιαιόθεν, Ἀρχενομίδης Στράτωνος Θριάσιος, Φιλτιάδης Κτησικλέους Ξυπεταιών.

ἡ μὲν ἀναίδεια τοιαύτη τῶν ἀνθρώπων τουτωνί ἐστιν· ὑμεῖς δ', ὦ ἄνδρες δικασταί, ἐνθυμεῖσθε πρὸς ὑμᾶς αὐτούς, εἰ τι-

[1] ἐπ' αὐτῷ τῷ [2] ἐν τῷ [3] Μαρτυριαι. [4] οἰκοίντων] • οἴνου [5] Ἱππίας

ή. Καὶ ὅτι ἡ ναῦς] Καὶ vid. supervacuo. AUGER.

Ἰστιαιόθεν] Videtur Ἰστιαῖα δῆμου nomen esse. Nihil huc pertinet Istiæus Ion apud Darium non optima fide gratiosus: de quo vide Herodotum. WOLF.

Ξυμπεταίων] Lege Ξυπεταιίας, vel ἐκ Ξυπεταίων. PALMER.

νας πώποτ' ἴστε ἢ ἀκηκόατε ἐκ τοῦ Πόντου οἶνον Ἀθήναζε κατ' ἐμπορίαν εἰσάγοντας, ἄλλως τε καὶ Κῶον. πᾶν γὰρ δήπου τοὐναντίον εἰς τὸν Πόντον οἶνος εἰσάγεται ἐκ τῶν τόπων τῶν περὶ ἡμᾶς, ἐκ Πεπαρήθου, καὶ Κῶ, καὶ Θάσιος, καὶ Μενδαῖος, καὶ ἐξ ἄλλων τινῶν πόλεων παντοδαπός· ἐκ δὲ τοῦ Πόντου ἑτέρα ἐστίν, ἃ εἰσάγεται δεῦρο.

ϑ'. Κατεχόμενοι δ' ὑφ' ἡμῶν καὶ ἐλεγχόμενοι, εἴ τι περιγένοιτο τῶν χρημάτων ἐν τῷ Πόντῳ, ἀπεκρίνατο Λάκριτος οὗτοσί, ὅτι ἑκατὸν στατῆρες Κυζικηνοὶ περιγένοιντο, καὶ τοῦτο τὸ χρυσίον δεδανεικὼς εἴη [1] ἀδελφὸς αὐτοῦ ἐν τῷ Πόντῳ ναυκλήρῳ τινὶ Φασηλίτῃ πολίτῃ καὶ ἐπιτηδείῳ ἑαυτοῦ, καὶ οὐ δύναιτο κομίσασθαι, ἀλλὰ σχεδόν τι ἀπολωλὸς εἴη καὶ τοῦτο. ταῦτ' ἐστὶν, ἃ ἔλεγε Λάκριτος οὗτοσί. ἡ δὲ συγγραφὴ οὐ ταῦτα λέγει, ὦ ἄνδρες δικασταὶ, ἀλλ' ἀντιφορτισαμένους ἀπάγειν κελεύει Ἀθήναζε· οὐ δανείζειν τούτους ὅτῳ ἂν βούλωνται ἐν τῷ Πόντῳ τὰ ἡμέτερα ἄνευ ἡμῶν, ἀλλ' Ἀθήναζε παρέχειν ἀνέπαφα ἡμῖν, ἕως ἂν [2] ἡμεῖς ἀπολάβωμεν τὰ χρήματα ὅσ' ἐδανείσαμεν. καί μοι ἀναγίγνωσκε τὴν συγγραφὴν πάλιν.

ΣΥΓΓΡΑΦΗ.

Ἐδάνεισαν Ἀνδροκλῆς Σφήττιος καὶ [3] Ναυκράτης Καρύστιος Ἀρτέμωνι καὶ Ἀπολλοδώρῳ Φασηλίταις ἀργυρίου δραχμὰς τρισχιλίας Ἀθήνηθεν εἰς Μένδην ἢ Σκιώνην, καὶ ἐντεῦθεν εἰς Βόσπορον. ἐὰν δὲ βούλωνται τὴν ἐπ' 936
ἀριστερὰ μέχρι Βορυσθένους καὶ πάλιν Ἀθήναζε ἐπὶ τόκῳ, διακοσίαις εἰκοσιπέντε τὰς χιλίας. ἐὰν δὲ μετὰ Ἀρκτοῦρον ἐκπλεύσωσιν ἐκ τοῦ Πόντου ἐφ' Ἱερὸν, ἐπὶ τριακοσίαις τὰς χιλίας, ἐπὶ οἴνου κεραμίοις Μενδαίοις τρισχιλίοις, ὃς πλευσεῖται ἐκ Μένδης ἢ Σκιώνης ἐν τῇ εἰκοσόρῳ, ἣν Ὑβλήσιος ναυκληρεῖ. ὑποτιθέασι δὲ ταῦτ', οὐκ ὀφείλοντες ἐπὶ τούτοις ἄλλῳ οὐδενὶ οὐδὲν ἀργύριον, οὐδ' ἐπιδανείσονται· καὶ ἀπάξουσι τὰ χρήματα τὰ ἐκ τοῦ Πόντου ἀντιφορτισθέντα Ἀθήναζε πάλιν ἐν τῷ αὐτῷ πλοίῳ ἅπαντα. σωθέντων δὲ τῶν χρημάτων Ἀθήναζε, ἀποδώσουσιν οἱ δανεισάμενοι τοῖς δανείσασι τὸ γιγνόμενον ἀργύριον κατὰ τὴν συγγραφὴν, ἡμερῶν εἴκοσιν, ἀφ' ἧς ἂν ἔλθωσιν Ἀθήναζε, ἐντελὲς, πλὴν ἐκβολῆς ἣν ἂν οἱ σύμπλοι κοινῇ ψηφισάμενοι ἐκβάλωνται, καὶ ἄν τι πολεμίοις ἐκτίσωσι, τῶν δ' ἄλλων ἁπάντων ἐντελὲς· καὶ παρέξουσι τοῖς δανείσασι τὴν ὑποθήκην ἀνέπαφον κρατεῖν, ἕως ἂν ἀποδῶσι τὸ γιγνόμενον ἀργύριον κατὰ τὴν συγγραφήν. ἐὰν δὲ μὴ ἀποδῶσιν ἐν τῷ συγκειμένῳ χρόνῳ, τὰ ὑποκείμενα τοῖς δανείσασιν ἐξέστω ὑποθεῖναι, καὶ ἀποδόσθαι τῆς ὑπαρχούσης τιμῆς· καὶ ἐάν τι ἐλλείπῃ τοῦ ἀργυρίου, ὃ δεῖ γενέσθαι τοῖς δανείσασι κατὰ τὴν συγγραφὴν, παρὰ Ἀρτέμωνος καὶ Ἀπολλοδώρου ἔστω ἡ πρᾶξις τοῖς δανείσασι, καὶ ἐκ τῶν τούτων ἁπάντων καὶ ἐγγείων καὶ ναυτικῶν παντοχοῦ ὅπου ἂν ὦσι,

[1] ὁ ἀδελφὸς [2] [ἡμεῖς] [3] Ναυσικράτης

ϑ'. Τὰ ἐκ τοῦ Πόντου] Supra τὰ ἐκ τοῦ οἴνου. Wolf.

καθάπερ δίκην ὠφληκότων καὶ ὑπερημέρων ὄντων, καὶ ἑνὶ ἑκατέρῳ τῶν
δανεισάντων καὶ ἀμφοτέροις. ἐὰν δὲ μὴ εἰσβάλωσι μείναντες [1] ἐπὶ κυνὶ ἡμέ-
37 ρας δέκα ἐν Ἑλλησπόντῳ, ἐξελόμενοι ὅπου ἂν μὴ σύλαι ὦσιν Ἀθηναίοις,
καὶ ἐντεῦθεν καταπλεύσαντες Ἀθήναζε, τοὺς τόκους ἀποδόντων τοὺς πέρυσι γραφέντας εἰς τὴν συγγραφήν. ἐὰν δέ τι ἡ ναῦς πάθῃ ἀνήκεστον, ἐν ᾗ ἂν πλέῃ τὰ χρήματα, σωτήρια ἔστω τῶν ὑποκειμένων· τὰ δὲ περιγενόμενα κοινὰ ἔστω τοῖς δανείσασι· κυριώτερον δὲ περὶ τούτων ἄλλο μηδὲν εἶναι τῆς συγγραφῆς.

ΜΑΡΤΥΡΕΣ.

Φορμίων Πειραιεὺς, Κηφισόδοτος Βοιώτιος, Ἡλιόδωρος Πιτθεύς.

ί. Πότερον, ὦ ἄνδρες δικασταὶ, δανείζειν κελεύει τούτους ἡ συγγραφὴ τὰ ἡμέτερα, καὶ ταῦτ' ἀνθρώπῳ, ὃν ἡμεῖς οὔτε γινώσκομεν οὐδ' ἑωράκαμεν πώποτε, ἢ ἀντιφορτισαμένους κομίσαι Ἀθήναζε, καὶ φανερὰ ποιῆσαι ἡμῖν, καὶ ἀνέπαφα παρέχειν; ἡ μὲν γὰρ συγγραφὴ οὐδὲν κυριώτερον ἐᾷ εἶναι τῶν ἐγγεγραμμένων, οὐδὲ [2] προφέρειν οὔτε νόμον, οὔτε ψήφισμα, οὔτ' ἄλλ' οὐδ' ὁτιοῦν πρὸς τὴν συγγραφήν· τούτοις δ' εὐθὺς ἐξαρχῆς οὐδὲν ἐμέλησε τῆς συγγραφῆς ταύτης, ἀλλὰ τοῖς χρήμασιν ἐχρῶντο τοῖς ἡμετέροις ὥσπερ ἰδίοις οὖσιν αὐτῶν, οὕτως εἰσὶν οὗτοι κακοῦργοι σοφισταὶ καὶ ἄδικοι ἄνθρωποι. ἐγὼ δὲ, μὰ τὸν Δία τὸν ἄνακτα καὶ τοὺς θεοὺς ἅπαντας, οὐδενὶ πώποτ' ἐφθόνησα οὐδ' ἐπετίμησα, ὦ ἄνδρες δικασταὶ, οὐδὲν, εἴ τις βούλεται σοφιστὴς εἶναι καὶ Ἰσοκράτει ἀργύριον ἀναλίσκειν· μαινοίμην γὰρ ἂν, εἴ τι μοι τούτων ἐπιμελὲς εἴη. οὐ [3] μέν τοι μὰ Δία οἶμαί γε δεῖν ἀνθρώπους καταφρονοῦντας, καὶ οἰομένους δεινοὺς εἶναι, ἐφίεσθαι τῶν ἀλλοτρίων, οὐδ' ἀφαιρεῖσθαι, τῷ λόγῳ πιστεύοντας· πονηροῦ γὰρ [4] ταῦτ' ἐστὶ σοφιστοῦ
38 καὶ οἰμωξομένου. Λάκριτος δ' οὗτοσὶ, ὦ ἄνδρες δικασταὶ, οὐ τῷ δικαίῳ πιστεύων εἰσελήλυθε ταύτην τὴν δίκην, ἀλλ' ἀκριβῶς εἰδὼς τὰ πεπραγμένα ἑαυτοῖς περὶ τὸ δάνεισμα τοῦτο, καὶ οἰόμενος δεινὸς εἶναι καὶ ῥᾳδίως λόγους πορίζεσθαι περὶ ἀδίκων πραγμάτων, οἴεται παράξειν ὑμᾶς [5] ὅπου ἂν βούληται. ταῦτα γὰρ ἐπαγγέλλεται καὶ δεινὸς εἶναι, καὶ ἀργύριον αἰτεῖ, καὶ μαθητὰς συλλέγει, περὶ αὐ-

[1] τὴν ἐπὶ [2] περοσφέρειν [3] μέντοι γε μὰ Δία, οἶμαί [4] ταῦτά γ' ἐστὶ [5] * ὅπωι

Ἐν ᾗ ἂν πλέῃ τὰ χρήματα σωτήρια ἔστω τῶν ὑποκειμένων] Supra, p. 519. v. 2. ἐν ᾗ ἂν πλέῃ τὰ χρήματα, σωτηρία ἔστω. Idem. Auger.

ί. Δεινὸς εἶναι] Post εἶναι f. add. φάσκει.

τῶν τούτων ἐπαγγελλόμενος παιδεύειν. καὶ πρῶτον μὲν τοὺς ἀδελφοὺς τοὺς ἑαυτοῦ ἐπαίδευσε τὴν παιδείαν ταύτην, ἣν ὑμεῖς αἰσθάνεσθε πονηρὰν καὶ ἄδικον, ὦ ἄνδρες δικασταί, δανείζεσθαι ἐν τῷ ἐμπορίῳ ναυτικὰ χρήματα, καὶ ταῦτ' ἀποστερεῖν, καὶ μὴ ἀποδιδόναι. πῶς ἂν γένοιντο πονηρότεροι ἄνθρωποι, ἢ τοῦ παιδεύοντος τὰ τοιαῦτα, ἢ αὐτῶν [1] τούτων τῶν παιδευομένων;

ιά. [2] Ἐπεὶ οὖν δεινός ἐστι, καὶ πιστεύει τῷ λέγειν καὶ ταῖς χιλίαις δραχμαῖς, ἃς δέδωκε τῷ διδασκάλῳ, κελεύσατε αὐτὸν διδάξαι ὑμᾶς, ἢ ὡς τὰ χρήματα οὐκ ἔλαβον παρ' ἡμῶν, ἢ ὡς λαβόντες ἀποδεδώκασιν, ἢ ὅτι τὰς ναυτικὰς συγγραφὰς οὐ δεῖ κυρίας εἶναι, ἢ ὡς δεῖ ἄλλο τι χρήσασθαι τοῖς χρήμασιν ἢ ἐφ' οἷς ἔλαβον κατὰ τὴν συγγραφήν. τούτων ὅ τι βούλεται πεισάτω ὑμᾶς, καὶ ἔγωγε καὶ αὐτὸς συγχωρῶ σοφώτατον εἶναι τοῦτον, ἐὰν ὑμᾶς πείσῃ τοὺς περὶ τῶν συμβολαίων τῶν ἐμπορικῶν δικάζοντας· ἀλλ' εὖ οἶδ', ὅτι οὐδὲν ἂν τούτων οἷός τ' εἴη οὗτος οὔτε διδάξαι οὔτε πεῖσαι.

ιβ'. Χωρὶς δὲ τούτων, φέρε πρὸς τῶν θεῶν, ὦ ἄνδρες δικασταί, εἰ τοὐναντίον συμβεβήκει, καὶ μὴ ὁ τούτου ἀδελ- 939
φὸς ὁ τετελευτηκὼς ἐμοὶ ὤφειλε τὰ χρήματα, ἀλλ' ἐγὼ τῷ τούτου τάλαντον, ἢ ὀγδοήκοντα μνᾶς, ἢ πλέον ἢ ἔλαττον· [3] ἆρ' οἴεσθε Λάκριτον τουτονὶ, ὦ ἄνδρες δικασταί, τοὺς αὐτοὺς λόγους λέγειν, οἷσπερ νυνὶ κατακέχρηται, ἢ φάσκειν ἂν αὐτὸν οὐκ εἶναι κληρονόμον καὶ ἀφίστασθαι τῶν τοῦ ἀδελφοῦ, καὶ οὐκ ἂν πάνυ πικρῶς εἰσπράττειν με, ὡςπερ καὶ παρὰ τῶν ἄλλων εἰσπέπρακται, εἴ τις τι ἐκείνῳ τῷ τετελευτηκότι ὤφειλεν, ἢ ἐν Φασήλιδι, ἢ ἀλλοθί που; καὶ εἴ γέ τις ἡμῶν, φεύγων δίκην ὑπὸ τούτου, παραγραφὴν ἐτόλμησε παραγράφεσθαι, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, εὖ οἶδ', ὅτι ἠγανάκτει ἂν οὗτος καὶ ἐσχετλίαζε πρὸς ὑμᾶς, δεινὰ φάσκων πάσχειν, καὶ παρανομεῖσθαι, εἰ μή τις αὐτῷ τὴν δίκην ψηφιεῖται εἰσαγώγιμον εἶναι ἐμπορικὴν οὖσαν. ἔπειτα, ὦ Λάκριτε, σοὶ μὲν τοῦτο δίκαιον δοκεῖ εἶναι, ἐμοὶ δὲ διὰ τί οὐκ ἔσται; οὐχ ἅπασιν ἡμῖν οἱ αὐτοὶ νόμοι γεγραμμένοι εἰσὶ, καὶ τὸ αὐτὸ δίκαιον περὶ τῶν ἐμ-

[1] [τούτων] [2] ἐπειδὴ [3] ἆρ' ἂν οἴεσθε

πορικῶν δικῶν; ἀλλ' οὕτω βδελυρός τίς ἐστι καὶ ὑπερβάλλων ἅπαντας ἀνθρώπους τῷ πονηρὸς εἶναι, ὥστ' ἐπιχειρεῖ πείθειν ὑμᾶς ψηφίσασθαι, μὴ εἰσαγώγιμον εἶναι τὴν ἐμπορικὴν δίκην ταυτηνί, δικαζόντων ὑμῶν νυνὶ τὰς ἐμπορικὰς δίκας;

ιγ'. Ἀλλὰ τί κελεύεις, ὦ Λάκριτε; μὴ ἱκανὸν εἶναι ἡμᾶς ἀποστερεῖσθαι, ἃ ἐδανείσαμεν χρήματα ὑμῖν, ἀλλὰ καὶ εἰς τὸ δεσμωτήριον παραδοθῆναι ὑφ' ὑμῶν προσόφλοντας τὰ ἐπιτίμια, ἐὰν μὴ ἐκτίνωμεν; καὶ πῶς οὐκ ἂν δεινὸν εἴη καὶ σχέτλιον καὶ αἰσχρὸν ὑμῖν, ὦ ἄνδρες δικασταί,
940 εἰ, οἱ δανείσαντες ἐν τῷ ἐμπορίῳ τῷ ὑμετέρῳ χρήματα ναυτικὰ καὶ ἀποστερούμενοι ὑπὸ τῶν δανεισαμένων καὶ ἀποστερούντων, ἀπάγοιντο εἰς τὸ δεσμωτήριον; ταῦτ' ἐστὶν, ὦ Λάκριτε, ἃ τουτουσὶ πείθεις; ἀλλὰ ποῦ χρὴ δίκην λαβεῖν, ὦ ἄνδρες δικασταὶ, περὶ τῶν ἐμπορικῶν συμβολαίων; παρὰ ποίᾳ ἀρχῇ; ἢ ἐν τίνι χρόνῳ; παρὰ τοῖς ἕνδεκα; ἀλλὰ τοιχωρύχους καὶ κλέπτας καὶ τοὺς ἄλλους κακούργους τοὺς ἐπὶ θανάτῳ οὗτοι εἰσάγουσιν. ἀλλὰ παρὰ τῷ ἄρχοντι; οὐκοῦν ἐπικλήρων καὶ ὀρφανῶν καὶ τῶν τοκέων προστέτακται τῷ ἄρχοντι ἐπιμελεῖσθαι. ἀλλὰ νὴ Δία παρὰ τῷ βασιλεῖ; ἀλλ' οὐκ ἐσμὲν γυμνασίαρχοι, οὐδὲ ἀσεβείας οὐδένα γραφόμεθα. ἀλλ' ὁ πολέμαρχος εἰσάξει; ἀποστασίου γε καὶ ἀπροστασίου. οὐκοῦν ὑπόλοιπόν ἐστιν οἱ στρατηγοί; ἀλλὰ τοὺς τριηράρχους καθιστᾶσιν [1] οὗτοι, εἰσάγοντες εἰς τὸ δικαστήριον· ἐμπορικὴν δὲ δίκην οὐδεμίαν [2] ἂν εἰσάγουσιν. ἐγὼ δ' εἰμὶ ἔμπορος, καὶ σὺ ἀδελφὸς καὶ κληρονόμος ἑνὸς τῶν ἐμπόρων καὶ τοῦ λαβόντος παρ' ἡμῶν τὰ ἐμπορικὰ χρήματα. ποῖ οὖν δεῖ ταύτην εἰσελθεῖν τὴν δίκην; δίδαξον, ὦ Λάκριτε, μόνον

[1] [οὗτοι εἰσάγοντες εἰς τὸ δικαστήριον]

[2] Deest ἄν.

ιγ'. Παρὰ ποίᾳ ἀρχῇ] Observa distincta magistratuum munera. WOLF.

Κακούργους τοὺς ἐπὶ θανάτῳ οὗτοι εἰσάγουσι] *Rerum capitalium reos et postulatos hi ad judicium sistunt et exhibent.* BUDÆUS.

Τοὺς ἐπὶ θανάτῳ] Sub. περιθησομένους. AUGER.

Καὶ ὀρφανῶν καὶ τῶν τοκέων] *Et pupillorum et parentum*, eorum scilicet, qui a filiis, quos honeste educarunt et artem docuerunt, ad egestatem redacti; non alunturur. ἔδει γὰρ τοῖς γονεῦσι, καθ' Ἡσίοδον, τὰ θρεπτήρια ἀποδοῦναι. Hoc videtur rectius, quam si, τῷ καὶ deleto, conjungas ὀρφανῶν τῶν τοκέων, *eorum, qui parentibus orbati sunt.* WOLF.

Οὐκοῦν ὑπόλοιπόν ἐστιν οἱ στρατηγοί] Ἀντὶ τοῦ, ὑπόλοιποί εἰσιν. et v. antepen. καὶ σὺ ἀδελφός. IDEM.

δίκαιόν τι λέγων, καὶ κατὰ τοὺς νόμους. ἀλλ' οὐκ ἔστιν οὕτω δεινὸς ἄνθρωπος οὐδεὶς, ὅστις ἂν περὶ τούτων τῶν πραγμάτων ἔχοι τι δίκαιον εἰπεῖν.

ιδ'. Οὐ τοίνυν ταῦτα μόνον, ὦ ἄνδρες δικασταὶ, δεινὰ ἐγὼ πάσχω ὑπὸ Λακρίτου τουτουὶ, ἀλλὰ καὶ χωρὶς τοῦ ἀποστερεῖσθαι τὰ χρήματα, καὶ εἰς τοὺς ἐσχάτους κινδύνους ἀφικόμην ἂν τὸ τούτου μέρος, εἰ μή μοι ἡ συγγραφὴ ἐβοήθει ἡ πρὸς τούτους, καὶ ἐμαρτύρει, ὅτι εἰς τὸν Πόντον 941
ἔδωκα τὰ χρήματα καὶ πάλιν Ἀθήναζε. ἴστε γὰρ δήπου, ὦ ἄνδρες δικασταὶ, τὸν νόμον ὡς χαλεπός ἐστιν, ἐάν τις Ἀθηναίων ἄλλοσέ πη σιτηγήσῃ ἢ Ἀθήναζε, ἢ χρήματα δανείσῃ εἰς ἄλλο τι ἐμπόριον ἢ τὸ Ἀθηναίων, οἷαι ζημίαι περὶ τούτων εἰσὶν, ὡς μεγάλαι καὶ δειναί. μᾶλλον δ' αὐτὸν ἀνάγνωθι αὐτοῖς τὸν νόμον, ἵν' ἀκριβέστερον μάθωσι.

ΝΟΜΟΣ.

Ἀργύριον δὲ μὴ ἐξεῖναι ἐκδοῦναι Ἀθηναίων καὶ τῶν μετοίκων τῶν Ἀθήνησι μετοικούντων [1] μηδενὶ, ὧν οὗτοι κύριοί εἰσιν, εἰς ναῦν, ἥτις ἂν μὴ μέλλῃ ἄξειν σῖτον Ἀθήναζε - - -

καὶ τἆλλα τὰ γεγραμμένα περὶ ἑκάστου αὐτῶν.

ἐὰν δέ τις ἐκδῷ παρὰ ταῦτα, εἶναι τὴν φάσιν καὶ τὴν ἀπογραφὴν τοῦ ἀργυρίου πρὸς τοὺς ἐπιμελητὰς, καθὰ περὶ τῆς νεὼς καὶ τοῦ σίτου εἴρηται, κατὰ ταῦτα. καὶ δίκη αὐτῷ μὴ ἔστω περὶ τοῦ ἀργυρίου, ὃ ἂν ἐκδῷ ἄλλοσέ πη ἢ Ἀθήναζε· μηδὲ ἀρχὴ εἰσαγέτω περὶ [2] τούτου μηδεμία.

ὁ μὲν νόμος, ὦ ἄνδρες δικασταὶ, οὕτω χαλεπός ἐστιν· οὗτοι δὲ, οἱ μιαρώτατοι ἀνθρώπων ἁπάντων, γεγραμμένον διαῤῥήδην ἐν τῇ συγγραφῇ, Ἀθήναζε πάλιν ἥκειν τὰ χρή-

[1] μηδενὶ, μηδὲ ὧν

[2] τούτων

ιδ'. Ἀργύριον κ. τ. λ.] Ἐκδοῦναι ἀργύριον est *pecuniam sub nauticis usuris dare*, i. e. *elocare*. Non vetat ea lex, ut perperam notavit ad Leges Atticas [l. V. t. IV. §. X. p. 511.] eruditissimus commentator, " mercatoribus pecuniam credere, qui alibi quam Athenis negotiarentur." Quod est absurdum. Nam illi ipsi mercatores, qui frumentum Athenas devehere lege jubentur, alibi quam Athenis negotiabantur, utpote qui aliunde illud frumentum Athenas importare necesse haberent. Ceterum nec de omnibus mercatoribus scripta lex, sed de solis σιτεμπόρις i. e. *frumenti negotiatoribus*. Lege igitur erat vetitum, ne quis Atheniensis civis vel metœcus in eam navem, quæ proficisceretur ad frumentum apud exteros coemendum, pecuniam, cujus dominus esset, sub fœnore nautico locaret, nisi quæ frumentum illud, quod ex ea pecunia emptum foret, Athenas esset importatura. *Salmas. de M. U.* p. 194, 5.

Ὧν οὗτοι κύριοί εἰσιν εἰς ναῦν, ἥτις ἂν μὴ] F. δανεῖσαι, ἢ ἐκδοῦναι εἰς ναῦν. ὧν οὗτοι κύριοί εἰσιν, utrum οἱ Ἀθηναῖοι, an οἱ μέτοικοι, an ὧν χρημάτων? Wolf.

Ὧν οὗτοι] Ὧν refero ad μετοίκων, et οὗτοι ad Ἀθηναίων. Auger.

Καθὰ περὶ τῆς νεώς] Hæc ex alia lege cognoscenda essent. Wolf.

ματα, εἰς Χίον ἐπέτρεψαν καταχθῆναι ἃ ἐδανείσαντο Ἀθήνηθεν παρ' ἡμῶν. δανειζομένου γὰρ ἐν τῷ Πόντῳ τοῦ ναυκλήρου τοῦ Φασηλίτου ἕτερα χρήματα παρά τινος Χίου ἀνθρώπου, οὐ φάσκοντος δὲ τοῦ Χίου δώσειν, ἐὰν μὴ ὑποθήκην λάβῃ πάντα ὅσα ἦν περὶ τὸν ναύκληρον, καὶ ἐπιτρέπωσι ταῦτα οἱ πρότερον δεδανεικότες, ἐπέτρεψαν
942 ταῦτα ὑποθήκην γενέσθαι τῷ Χίῳ τὰ ἡμέτερα καὶ κύριον γενέσθαι ἐκεῖνον ἁπάντων, καὶ οὕτωσὶ ἀπέπλεον ἐκ τοῦ Πόντου μετὰ τοῦ Φασηλίτου ναυκλήρου καὶ μετὰ τοῦ Χίου τοῦ δεδανεικότος· καὶ ὁρμίζονται ἐν [1]φωρῶν λιμένι, εἰς δὲ τὸ ὑμέτερον ἐμπόριον οὐχ ὡρμίσαντο· καὶ νυνί, ὦ ἄνδρες δικασταί, τὰ Ἀθήνηθεν δανεισθέντα χρήματα εἰς τὸν Πόντον καὶ πάλιν ἐκ τοῦ Πόντου Ἀθήναζε, εἰς Χίον κατηγμένα ἐστὶν ὑπὸ τούτων. ὅπερ οὖν ἐν ἀρχῇ ὑπεθέμην τοῦ λόγου, [2]ὅτι καὶ ὑμεῖς ἀδικεῖσθε οὐδὲν ἧττον τῶν δόντων ἡμῶν τὰ χρήματα. σκοπεῖτε δέ, ὦ ἄνδρες δικασταί, πῶς οὐκ ἀδικεῖσθε; ἐπειδάν τις τῶν νόμων τῶν ὑμετέρων κρείττων ἐγχειρῇ εἶναι, καὶ τὰς συγγραφὰς τὰς ναυτικὰς ἀκύρους ποιῇ καὶ καταλύῃ, καὶ τὰ χρήματα τὰ παρ' ἡμῶν εἰς [3]Χίον ἢ διαπεσταλκώς, πῶς οὐκ ἀδικεῖ ὁ τοιοῦτος ἄνθρωπος καὶ ὑμᾶς; ἐμοὶ μὲν οὖν ἐστιν, ὦ ἄνδρες δικασταί, πρὸς τούτους ὁ λόγος, τούτοις γὰρ ἔδωκα τὰ χρήματα· τούτοις δ' ἔστω πρὸς τὸν ναύκληρον ἐκεῖνον τὸν Φασηλίτην τὸν πολίτην τὸν αὐτῶν, ᾧ φασὶ δανεῖσαι τὰ χρήματα ἄνευ ἡμῶν παρὰ τὴν συγγραφήν, οὐδὲν γὰρ ἡμεῖς ἴσμεν τίνα ἐστὶ τὰ πεπραγμένα τούτοις πρὸς τὸν πολίτην τὸν ἑαυτῶν, ἀλλ' αὐτοὶ οὗτοι ἴσασι.

ιέ. Ταῦτα ἡγούμεθα δίκαια εἶναι, καὶ ὑμῶν δεόμεθα, ὦ ἄνδρες δικασταί, βοηθεῖν ἡμῖν τοῖς ἀδικουμένοις, καὶ κολάζειν τούς [4]τε κακοτεχνοῦντας καὶ σοφιζομένους ὥσπερ οὗτοι σοφίζονται. καὶ, ἐὰν ταῦτα ποιῆτε, ὑμῖν τε αὐτοῖς τὰ συμφέροντα ἔσεσθε ἐψηφισμένοι, καὶ περιαιρήσεσθε τῶν
943 πονηρῶν ἀνθρώπων τὰς πανουργίας ἁπάσας, ἃς ἔνιοι πανουργοῦσι περὶ τὰ συμβόλαια τὰ ναυτικά.

[1] φώρων [2] [ὅτι] [3] Χίον, *νὴ Δία, φαίνηται ἀπεσταλκώς; [4] Deest τι.

Ὅτι] Vel del., vel add. post λόγου, ἀληθές ἐστι. AUGER.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΑΡΑΓΡΑΦΙΚΟΥ ΥΠΕΡ ΦΟΡΜΙΩΝΟΣ ΛΟΓΟΥ.

Pag. ed. Reisk.

ΠΑΣΙΩΝ ὁ τραπεζίτης τελευτῶν ἐπὶ δύο παισὶν ἐξ Ἀρχίππης, Ἀπολλοδώρῳ καὶ Πασικλεῖ, Φορμίωνα οἰκέτην ἑαυτοῦ γενόμενον, πεπυχκότα δὲ ἔτι πρότερον ἐλευθερίας, ἐπίτροπον τοῦ νεωτέρου τῶν παίδων Πασικλέους κατέλιπε· καὶ τὴν μητέρα αὐτῶν, παλλακὴν ἑαυτοῦ γενομένην, ἔδωκεν ἐπὶ περικὶ γυναῖκα. Ἀπολλόδωρος οὖν νέμεται πρὸς τὸν ἀδελφὸν τὴν πατρῴαν οὐσίαν, πλὴν τῆς τραπέζης, καὶ τοῦ ἀσπιδοποιείου· ταῦτα γὰρ Φορμίων ἐμεμίσθωτο παρὰ Πασίωνος εἰς ὡρισμένον χρόνον τινά. καὶ τέως μὲν ἐλάμβανε τὸ ἥμισυ τῆς μισθώσεως ἑκάτερος, ὕστερον δὲ καὶ αὐτὰ νέμονται· καὶ γίγνεται τὸ μὲν ἀσπιδοποιεῖον Ἀπολλοδώρου, Πασικλέους δὲ ἡ τράπεζα. ἀποθανούσης γὰρ καὶ τῆς μητρὸς ὕστερον, ἱειμάμενος καὶ τὴν ἐκείνης οὐσίαν, ἐνεκάλει τῷ Φορμίωνι, ὡς πολλὰ ἔχοντι ἑαυτοῦ χρήματα. καθίσαντες οὖν ἑαυτοὺς διαιτητὰς, ὡς φησι Φορμίων, Ἀπολλοδώρῳ προσήκοντες, Νικίας καὶ Δεινίας καὶ Αἰδεομένης, ἔπεισαν Ἀπολλόδωρον διαλύσασθαι πρὸς Φορμίωνα τὰ ἐγκλήματα, λαβόντα πεντακισχιλίας. ὁ μὲν οὖν Ἀπολλόδωρος μετὰ ταῦτα πάλιν εἴληχε δίκην Φορμίωνι ἀφορμῆς, — ἀφορμὴν δὲ οἱ Ἀττικοὶ καλοῦσιν, ὅπερ ἡμεῖς ἐνθήκην —· ὁ δὲ Φορμίων παραγράφεται, νόμον παρεχόμενος τὸν κελεύοντα, περὶ ὧν ἂν ἅπαξ ἀφῇ τις καὶ διαλύσηται, μηκέτι ἐξεῖναι δικάζεσθαι. ἀπτεται μέντοι καὶ τῆς εὐθείας ὁ ῥήτωρ, δεικνὺς ὡς οὐκ εἶχεν ἡ τράπεζα χρήματα, ἢ διὰ τοῦ Πασίωνος· τοῦτο δὲ πεποίηκεν, ἵνα ἡ παραγραφὴ μᾶλλον ἰσχύῃ, τῆς εὐθείας δεικνυομένης τῷ Ἀπολλοδώρῳ σαθρᾶς.

943

944

Νέμονται καὶ αὐτὰ] F. καὶ ταῦτα. ἀποθανούσης δὲ καὶ τῆς μητρός. et v. 12. πάλιν εἴληχε δίκην, non εἴληφε. Nam hoc *sumere pœnas*, illud *diem dicere* significat, ac multum interest inter λαμβάνειν καὶ λαγχάνειν δίκην. Wolf.

Νόμον τὸν κελεύοντα μηκέτι ἐξεῖναι δικάζεσθαι] Κελεύοντα ἐξεῖναι parum placet: κωλύοντα δικάζεσθαι mallem: Sed satis est sententiam intelligi. Idem.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΠΑΡΑΓΡΑΦΗ

ΥΠΕΡ ΦΟΡΜΙΩΝΟΣ.

ά. ΤΗΝ μὲν ἀπειρίαν τοῦ λέγειν, καὶ, ὡς ἀδυνάτως ἔχει Φορμίων, αὐτοὶ πάντες ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι· ἀνάγκη δ' ἐστὶ τοῖς ἐπιτηδείοις ἡμῖν, ἃ σύνισμεν, πολλάκις τούτου διεξιόντος ἀκηκοότες, λέγειν καὶ διδάσκειν ὑμᾶς, ἵν'

εἰδότες καὶ μεμαθηκότες ὀρθῶς τὰ δίκαια παρ' ἡμῶν, ἃ ἂν ᾖ δίκαια καὶ εὔορκα, ταῦτα ψηφίσησθε. τὴν μὲν οὖν παραγραφὴν ἐποιησάμεθα τῆς δίκης, οὐχ ἵνα ἐκκρούοντες χρόνους ἐμποιῶμεν, ἀλλ' [1]ἵνα τῶν πραγμάτων, ἐὰν ἐπιδείξῃ μηδ' ὁτιοῦν ἀδικοῦνθ' ἑαυτὸν οὗτοσι, ἀπαλλαγή τις αὐτῷ γένοιτο παρ' ὑμῖν κυρία. ὅσα γὰρ παρὰ τοῖς ἄλλοις ἐστὶν ἀνθρώποις ἰσχυρὰ καὶ βέβαια, ἄνευ τοῦ παρ' ὑμῖν ἀγωνίσασθαι, ταῦτα πάντα πεποιηκὼς Φορμίων οὗτοσὶ, καὶ πολλὰ μὲν εὖ πεποιηκὼς Ἀπολλόδωρον τουτονὶ, πάντα δ', ὅσων κύριος τῶν τούτου κατελείφθη, διαλύσας καὶ παραδοὺς δικαίως, καὶ πάντων ἀφεθεὶς μετὰ ταῦτα τῶν ἐγκλημάτων, ὅμως, ὡς ὁρᾶτε, ἐπειδὴ φέρειν οὐκέτι τοῦτον οἷός τέ ἐστι, δίκην ταλάντων εἴκοσι λαχὼν αὐτῷ, ταύτην συκοφαντεῖ. ἐξ ἀρχῆς οὖν ἅπαντα τὰ πραχθέντα τούτῳ πρὸς Πασίωνα καὶ Ἀπολλόδωρον, ὡς ἂν δύνωμαι διὰ βραχυτάτων εἰπεῖν πειράσομαι· ἐξ ὧν, εὖ οἶδ', ὅτι ἥ τε τούτου συκοφαντία φανερὰ γενήσεται, καὶ, ὡς οὐκ εἰσαγώγιμος ἡ [2]δίκη, γνώσεσθε ἅμα ταῦτ' ἀκούσαντες. πρῶτον μὲν οὖν ὑμῖν ἀναγνώσεται τὰς συνθήκας, καθ' ἃς ἐμίσθωσε Πασίων τὴν τράπεζαν τούτῳ καὶ τὸ [3]ἀσπιδοπήγιον. καί μοι λάβε τὰς συνθήκας, καὶ τὴν πρόκλησιν, καὶ τὰς μαρτυρίας ταυτασί.

ΣΥΝΘΗΚΑΙ. ΠΡΟΚΛΗΣΙΣ. ΜΑΡΤΥΡΙΑΙ.

αἱ μὲν οὖν συνθῆκαι, καθ' ἃς ἐμίσθωσεν ὁ Πασίων τὴν τράπεζαν τούτῳ καὶ τὸ [3]ἀσπιδοπήγιον, ἤδη καθ' ἑαυτὸν ὄντι, αὗταί εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι.

[1] ἵν', ἐκ τῶν πραγμάτων ἐὰν [2] δίκη. γνώσεσθ' δ' ἅμα [3] ἀσπιδοπηγεῖον

ά. Τὰ δίκαια παρ' ἡμῶν] M. τὰ πεπραγμένα παρ' ἡμῶν· ταῦτα δὲ πότερον δίκαια, ἢ ἄδικα, τῶν δικαστῶν ἐστιν ἀποφαίνεσθαι· ἀλλὰ μὴ τῶν ἀγωνιζομένων. Sed fortasse fiduciam causæ hoc verbo præ se ferunt. Wolf. Pro τὰ δίκαια M. τἀληθῆ. Auger.

Ταῦτα πάντα πεποιηκὼς] Sequitur in apodosi v. 12. ὅμως ὡς ὁρᾶτε συκοφαντεῖ, S. αὐτὸν ὁ Ἀπολλόδωρος. Unde aut ἀντίπτωσις est, pro πεποιηκότος, εὖ πεποιηκότος, διαλύσαντος, παραδόντος, ἀφεθέντος: aut, post τῶν ἐγκλημάτων, addendum φανήσεται, et nova periodus inchoanda: ὅμως ὡς ὁρᾶτε. Wolf.

Ἐγκλημάτων] Post ἐγκλημάτων add. vid. φανήσεται, ad quod referentur πεποιηκὼς, διαλύσας, παραδοὺς, ἀφεθείς. Auger.

Πρόκλησιν] Verti *provocationem*, Græcam analogiam secutus: neque video, cur non et hæc metaphora, a re militari sumta, in judiciis locum habeat. Sed si cui vel sponsio, vel stipulatio magis arriserit, sciat tamen, Latinas voces Græcis nihilo magis per omnia respondere, quam illam. Wolf. Vid. Herald. Animadv. in Salmas. Obss. ad Jus A. et R. l. II. c. V.

Ἤδη καθ' ἑαυτὸν ὄντι] Χωρὶς οἰκοῦντι, καὶ τὰ ἑαυτοῦ πράττοντι. Wolf.

β'. Δεῖ δ' ὑμᾶς ἀκοῦσαι καὶ μαθεῖν, ἐκ τίνος τρόπου προσώφειλε τὰ ἕνδεκα τάλαντα ὁ Πασίων ἐπὶ τὴν τράπεζαν. οὐ γὰρ δι' ἀπορίαν ταῦτ' ὤφειλεν, ἀλλὰ διὰ φιλεργίαν. ἡ μὲν γὰρ [1] ἔγγυος ἦν οὐσία Πασίωνι μάλιστα ταλάντων εἴκοσιν, ἀργύριον δὲ πρὸς ταύτῃ δεδανεισμένον ἴδιον πλέον ἢ πεντήκοντα τάλαντα. ἐν οὖν τοῖς πεντήκοντα

[1] ἔγγειος

β'. Δεῖ δὲ ὑμᾶς κ. τ. λ.] Primo explicatur, quomodo XI. talenta erant a Pasionis mensa debita; quod factum aiebat, non propter ejus inopiam, sed propter lucri cupiditatem. Etenim in rebus soli non minus XX. talentis eum possedisse; L. insuper talenta sui æris fœnore locata; ac præterea XI. talentorum summam ad mensam ejus depositam, quam et idem fœnore exercuerit. Phormionem autem, cum civitatem nondum adeptus esset, satius duxisse Pasionem ipsum XI. illorum talentum debitorem habere, et usuras ab eo accipere, quam cum iis rem habere, quibus eam pecuniam Pasio fœnore dederat, rebus eorum soli sibi oppigneratis, cum quibus agere non potuisset nondum civitate donatus. Hæc est enim loci illius sententia, quam doctissimus interpres non est satis assecutus. *Anim. in Salmas. Obss. ad Jus A. et R.* L. II. c. XXV. Heraldus.

Οὐ γὰρ δι' κ. τ. λ.] Dicit, non quod pecunia opus haberet, sed quod rei faciendæ nullam occasionem omittere vellet, cum videlicet pecuniam illam depositam magno fœnore daret, mediocres usuras depositariis solveret. Videtur enim constituendum, usurarum nomine, aliquid depensum depositariis, quia alioquin nihil fuisset necesse reddere rationem, cur XI. talenta illa Pasio in ære alieno haberet, et inopiæ suspicionem ab eo amovere. Et sane παρακαταθήκας videntur appellasse pecunias omnes, quæ mensariis dabantur, etiam si sub usuris, quæ scilicet mediocres erant, cum mensarii gravioribus eas locarent. Illud igitur rei faciendæ studium φιλεργίαν appellat Demosthenes, et qui rei faciendæ attenti erant, dicebantur φιλεργοί. p. 957. v. 27. ed. R. Heraldus.

Ἡ μὲν γὰρ ἔγγυος ἦν οὐσία] *Bona oppignorata.* Sed lego ἔγγειος, sicut ἔγγειοι τόκοι. τῇ ἐγγείῳ opponitur ἡ δεδανεισμένη, καὶ ναυτικὴ εἰς ἔκδοσιν. Wolf. Palam est legi debere, ἔγγειος οὐσία, ut apud Lysiam. *Res soli*, hoc est, ἔγγειον οὐσίαν distinguit a pecunia quæ in fœnore erat posita. *De M. U.* p. 88. cf. p. 191. Salmas. Sed ostendimus supra [*ω. Λακριτ.* p. 517. v. ult.] ἔγγυον et ἔγγειον esse, eadem et *res soli*. Sane Pasionem οὐσίαν habuisse sive ἔγγυον sive ἔγγειον, unde XXX. minæ colligerentur, quotannis, constat ex vv. ἐκ τῶν οἴκων πλέον ἢ μνᾶς τριάκοντα. Addit ἀργύριον δὲ δεδανεισμένον ἴδιον. Ergo habebat in fœnore ex pecunia propria plus quam L. talenta. ἴδιον dicit, ut separet a pecunia ad mensam deposita. *ibid.* Heraldus. Leg. ἔγγειος. Auger.

Δεδανεισμένον ἴδιον] Τοῖς ἄλλοις ὑπὸ Πασίωνος. ἴδιον autem dicit, quia et alii suam pecuniam aliis mutuo dandam argentariis credebant. Wolf.

Ἐν οὖν — ἦν] Negotium hæc viris dd. facessunt, unde non possunt facile extricare se. Wolfius miratur sola XI. talenta fuisse quæstuosa, et quærit an alia XXXIX. fuerint otiosa, et sine usuris mutuo data; quod ingens fuisset miraculum, hominem si respicias, et ejus artificium. Salmasius de fœn. trapez. p. 562. mensam Pasionis vult, cum eam locaret Phormioni, habuisse deposita, usque ad L. talenta, quorum XI. tantum erant ἐνεργά, pro quibus usuram solvebat; quod falsum esse arguit ipse Demosthenes, cum L. illa talenta ejus propria fuisse ait, et ab eo fœnore collocata: ἀργύριον δὲ δεδανεισμένον πλέον ἢ πεντήκοντα τάλαντα. Quomodo igitur XI. talenta e pecunia aliena deposita partem eorum faciunt? Sane scripserat Demosthenes, σὺν οὖν τοῖς πεντήκοντα ταλάντοις τούτοις ἀπὸ τῶν etc. Particulam οὖν sæpe esse otiosam Græci magistri notant. Ibi non est plane otiosa, et adjectionem significat. Ergo Pasionis mensæ ἀφορμὴ erat, tam ex pecunia propria, quam ex aliena. Pecunia *propria* L. talenta efficiebat; *deposita* XI. Sola illa XI. dederat Pasio Phormioni, cum mensam ei locaret et traderet. Ex iis igitur solis constabat illius mensæ locatio, quod significat Demosthenes v. 2. p. seq. μισθούμενος — λαμβάναν. Quæstum igitur solum, qui ex XI. illis talentis exsistere poterat, conductum vult a Phormione; totam Pasionis ἀφορμὴν ad ea XI. talenta restringit, quum ejus mensa Phormioni fuerat locata; ut nihil aliud ex ea locatione habue-

046 ταλάντοις τούτοις ἀπὸ τῶν παρακαταθηκῶν τῶν τῆς τραπέζης ἕνδεκα τάλαντα ἐνεργὰ ἦν. μισθούμενος οὖν ὅδε τὴν ἐργασίαν ταύτην τὴν τῆς τραπέζης καὶ τὰς παρακαταθήκας λαμβάνων, ὁρῶν, ὅτι μήπω τῆς πολιτείας αὐτῷ παρ' ὑμῖν οὔσης, οὐχ οἷός τε ἔσοιτο εἰσπράττειν, ὅσα Πασίων ἐπὶ γῇ καὶ συνοικίαις δεδανεικὼς ἦν, εἵλετο μᾶλλον αὐτὸν τὸν Πασίωνα χρήστην ἔχειν τούτων τῶν χρημάτων, ἢ τοὺς ἄλλους χρήστας οἷς προϊέμενος ἦν· καὶ οὕτω διὰ ταῦτα ἐγράφη εἰς τὴν μίσθωσιν προσοφείλων ὁ Πασίων [1] ἕνδεκα τάλαντα, ὥσπερ καὶ μεμαρτύρηται ὑμῖν. ὃν μὲν τοίνυν τρόπον ἡ μίσθωσις ἐγένετο, μεμαρτύρηται ὑμῖν ὑπ' αὐτοῦ τοῦ ἐπικαθημένου ἐπὶ τῇ τραπέζῃ· ἐπιγενομένης δὲ ἀρρωστίας τῷ Πασίωνι μετὰ ταῦτα, σκέψασθε ἃ διέθετο. λάβε τῆς διαθήκης τὸ ἀντίγραφον, καὶ τὴν πρόκλησιν

[1] τὰ ἕνδεκα

rit, nisi exercendæ illius mensæ facultatem; quod cum refelleret Apollodorus, 1. κ. Στεφ. p. 1111. v. 22. ed. R. falsi testimonii pro Phormione accusatum, ut contenderet falso adscriptum locationi, XI. talenta a Pasione deberi, ob pecuniam ad mensam depositam, quam summam aiebat contra verisimile esse fuisse ejus propriam, dicebat mirabundus, ἔστιν οὖν ὅστις ἂν τοῦ ξύλου, καὶ τοῦ χωρίου, καὶ τοῦ γραμματείου τοσαύτην ὑπέμεινε μίσθωσιν; *est vero quisquam qui pro locatione mensæ ligneæ, tabernæ, et tabularum tantam mercedem perdere velit?* Si igitur nulla erat in locatione Pasionis ἀφορμὴ propria, mensæ tantum et tabernæ usum locatum ei aiebat; quia fortasse cum XI. talentûm ἀφορμὴ non esset mensæ propria, poterat ea repeti, quandocunque libuisset iis, qui pecuniam mensæ crediderant. Hoc igitur verum est, Phormionem contendisse, nullam fuisse ἀφορμὴν Pasionis propriam, sed tantum e deposita pecunia. Quod et ex eo efficiebat, quod alia ἀφορμὴ fuisset ab Apollodoro iis tradita, quibus is mensam postea locaverat, ὡς τοίνυν - - - p. 538. v. 10. HERALDUS.

Ἕνδεκα τάλαντα ἐνεργὰ ἦν] Quid ergo reliqua 39. τὰ δεδανεισμένα ἀργὰ ἦν. Num sine usuris mutuavit? WOLF.

Δεδανεικὼς ἦν] *Mutuaverat*, np. accepta ex mensa et pro quibus fundum et domos oppignerarat. et p. 536. v. 1. post ταυτασὶ sub. τούτων. AUGER.

Τὸν Πασίωνα χρήστην ἔχειν] Etymologicon: χρήστης, ὅ τε δανείσας, καὶ ὁ δανεισάμενος, ἢ ὀφειλέτης. Sic et Suidas et Hesychius. Quare nihil est, cur pro ὁ Πασίων ἐπὶ τράπεζαν legas ὁ Φορμίων. WOLF.

Οἷς προϊέμενος ἦν] M. προειμένος ἦν, ἀντὶ τοῦ, οἷς προεῖτο, τουτέστιν, ἐδεδανείκει τὰ χρήματα. IDEM.

Ὑπ' αὐτοῦ — τραπέζῃ] *Ab eo ipso, qui mensæ propositus erat,* qui mensam, aut mensæ negotium et rationes, exercebat. Num dices cum Salmasio, *qui mensæ insidebat?* Ergo trapezitæ et numularii non sedebant ad mensam, multo minus stabant, sed *mensæ insidebant;* et nisi mensam ei insidendo gravarent, trapezitæ non erant. *Herald. Anim. in Salmas. Obss. ad Jus A. et R.* l. II. c. XXIV. §. 6.

Λάβε τῆς διαθήκης τὸ ἀντίγραφον] Tametsi autem in κ. Στεφ. ψευδ. [p. 1137. v. 18. ed. R.] scripserit Demosthenes, non solere fieri ἀντίγραφα tabularum testamenti apud Atticos, alio tamen loco contrarium ostendit, et producti in judicium tabularum ἀντιγράφου meminit in ea ὑ. Φορμ. [Negaverat autem Salmasius id licere *de M. U. p.* 418.] *Salmas. Obss. ad Jus A. et R.* p. 209. Non consuluerat Salmasius Demosthenem ipsum, cum ista scriberet, nec attenderat, aut attendere voluerat, quæ nos notaveramus, cum eum Demosthenis locum citaremus [*scil.* fieri quandoque testamentorum ἀντίγραφα, quæ in judicio proferrentur, cum authenticæ tabulæ ibi asservarentur, ubi depositæ erant: Neque enim ulla lex id prohibebat, *quod doctissimi homines volunt;* quod ex Demosthene ipso didicimus, quamvis neget alibi solere

ταυτηνὶ, καὶ τὰς μαρτυρίας ταυτασὶ, παρ' οἷς αἱ διαθῆκαι κεῖνται.

ΑΝΤΙΓΡΑΦΟΝ ΔΙΑΘΗΚΗΣ. ΠΡΟΚΛΗΣΙΣ. ΜΑΡΤΥΡΙΑΙ.

γ'. Ἐπειδὴ τοίνυν ὁ Πασίων ἐτετελευτήκει ταῦτα διαθέμενος, Φορμίων οὑτοσὶ τὴν μὲν γυναῖκα λαμβάνει κατὰ τὴν διαθήκην, τὸν δὲ παῖδα [1] ἐπετρόπευεν. ἁρπάζοντος δὲ τούτου καὶ πολλὰ ἀπὸ [2] κοινῶν τῶν χρημάτων ἀναλίσκειν οἰομένου δεῖν, λογιζόμενοι πρὸς ἑαυτοὺς οἱ ἐπίτροποι, ὅτι, εἰ δεήσει κατὰ τὰς διαθήκας, ὅσα ἂν οὗτος ἐκ κοινῶν τῶν χρημάτων ἀναλώσῃ, τούτοις ἐξελόντας [3] ἀντιμοιρεῖ τὰ λοιπὰ νέμειν, οὐδ' ὁτιοῦν ἔσται περιὸν, νείμασθαι τὰ ὄντα 947
ὑπὲρ τοῦ παιδὸς ἔγνωσαν. καὶ νέμονται τὴν ἄλλην οὐσίαν, πλὴν ὧν ἐμισθώσατο οὑτοσί· τούτων δὲ τῆς προσόδου τὴν ἡμίσειαν τούτῳ ἀπεδίδοσαν. ἄχρι μὲν οὖν τούτου τοῦ χρόνου πῶς ἔνεστ' ἐγκαλεῖν αὐτῷ μισθώσεως; οὐ γὰρ νῦν, ἀλλὰ τότ' εὐθὺς ἔδει χαλεπαίνοντα φαίνεσθαι. καὶ μὴν οὐδὲ τὰς [4] ἐπιγιγνομένας μισθώσεις ὡς οὐκ ἀπείληφεν ἔστ' εἰπεῖν αὐτῷ· οὐ γὰρ ἄν ποτε, ἐπειδὴ [5] τοῦτον τὸν τρόπον δοκιμασθέντος Πασικλέους ἀπηλλάττετο τῆς μισθώσεως

[1] ἐπετρόπευσεν [2] κοινῶν ὄντων τῶν [3] τὰς ἀντιμοιρίας, [4] ἐπιγενομένας [5] [τοῦτον τὸν τρόπον]

fieri testamentorum ἀντίγραφα: quod de iis intelligendum est, quæ fiebant simpliciter, et non ad usum forensem aut judiciarium. *Obss. c. ult. p.* 177.]. Agebatur ibi de testamento Pasionis, qui pridem erat mortuus, et cum diceret Phormio liberorum ejus tutelam eo testamento sibi esse datam, una cum eorum matre in uxorem, testamenti illius ἀντίγραφον recitari jussit, ac simul πρόκλησιν sive conditionis delationem, item eorum testationem, penes quos testamentum ipsum esse dicebat, παρ' οἷς αἱ διαθῆκαι κεῖνται. Ergo eo loco, cum testamenti Pasionis ἀντίγραφον recitari juberetur, si Pasio testamentum fecerat, atque id exstabat, quod volebat Phormio, aut qui pro Phormione causam agebant a Demosthene compositam, necesse fuerat post ejus obitum ἀντίγραφον fieri, quod Phormioni daretur, cum tabulæ ipsæ authenticæ apud eum forent, apud quem a Pasione depositæ fuerant. Quod si re vera nullum Pasionis testamentum authenticum exstabat, quod videtur asserere idem Demosthenes utraque κ. Στεφ. oratione, ita tamen agebant pro Phormione, quasi id exstaret, et exemplum, quod repræsentabant, esset testamento authentico assimilatum. Quare quod dicitur eo loco ἀντίγραφον, non est simplex descriptio, quam nos *copiam* dicimus, sed exemplum ad instrumentum authenticum expressum; quomodo sæpe accipi ostendi in Observationibus. *Herald. Anim. in Salmas. Obss. ad Jus A. et R.* l. II. c. VI. §. 1.

γ'. Τούτοις ἐξελόντας] S. τοῖς κοινοῖς χρήμασι. F. τούτων ἐξελόντας, χωρίσαντας, S. αὐτοὺς τοὺς ἐπιτρόπους, τουτέστιν, ἐξαιρεθέντων τῆς καταλελειμμένης οὐσίας τῶν ὑπ' Ἀπολλοδώρου δεδαπανημένων. Wolf.

Ἀντιμοιρεῖ] In hac voce me et omnia Lexica et Eustathii index destituunt: sed videtur non esse verbum ἀντιμοιρεῖν, ut ἰσομοιρεῖν καὶ μεμψιμοιρεῖν, sed adverbium ὀξυτονούμενον ἀντιμοιρεὶ, τουτέστιν, κατ' ἰσομοιρίαν, μοῖραν ἀντὶ μοίρας. Qui habet aliquid certius, candide impertiat. Wolf. F. leg. ταῦτα ἐξελόντας ἀντιμοιρεὶ adverbialiter, *ex æquo*. Auger.

Οὐδοτιοῦν ἔσται περιὸν] Ἀντὶ τοῦ, περιέσται. Wolf.

ὅδε, ἀφῆκατ' ἂν αὐτὸν ἁπάντων τῶν ἐγκλημάτων, ἀλλὰ τότ' ἂν παραχρῆμα ἀπῃτεῖτε, εἴ τι προσώφειλεν ὑμῖν. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, καὶ ἐνείματο οὗτος πρὸς τὸν ἀδελφὸν παῖδα ὄντα, καὶ ἀφῆκαν τῆς μισθώσεως καὶ τῶν ἄλλων ἁπάντων ἐγκλημάτων, λάβε ταυτηνὶ τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

δ'. Εὐθὺς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς ἀφεῖσαν τουτονὶ τῆς μισθώσεως, νέμονται τὴν τράπεζαν καὶ τὸ [1]ἀσπιδοπήγιον· καὶ, λαβὼν αἵρεσιν, Ἀπολλόδωρος αἱρεῖται τὸ [1]ἀσπιδοπήγιον ἀντὶ τῆς τραπέζης. καί τοι, εἰ ἦν [2]ἰδία τις ἀφορμὴ τούτῳ πρὸς τῇ τραπέζῃ, τί δήποτ' ἂν εἵλετο τοῦτο μᾶλλον, ἢ ἐκείνην; οὔτε γὰρ ἡ πρόσοδος ἦν πλείων, ἀλλὰ ἐλάττων, τὸ μὲν γὰρ τάλαντον, ἡ δὲ ἑκατὸν μνᾶς ἔφερεν· οὔτε τὸ κτῆμα [3]ἴδιον, εἰ προσῆν χρήματα τῇ τραπέζῃ ἴδια, ἀλλ' οὐ προσῆν. διόπερ [4]σωφρόνως εἵλετο
948 τὸ [1]ἀσπιδοπήγιον οὑτοσί· τὸ μὲν γὰρ κτῆμα ἀκίνδυνόν ἐστιν, ἡ δὲ ἐργασία προσόδους ἔχουσα ἐπικινδύνους ἀπὸ χρημάτων ἀλλοτρίων. πολλὰ δ' ἄν τις ἔχοι λέγειν καὶ

[1] ἀσπιδοπηγεῖον [2] ἴδια [3] ἥδιον [4] σωφρονῶν

Καὶ ἀφῆκαν] S. ὅ, τε Ἀπολλόδωρος καὶ ὁ Πασικλῆς τὸν Φορμίωνα. IDEM.

δ'. Εὐθὺς τοίνυν κ. τ. λ.] Hic locus continet argumenta Pasionis a nobis supra propositis, ad efficiendum Pasionis mensam nulla illius pecunia propria fuisse instructam, cum est locata Phormioni; quorum primum sumptum est ab optione scutorum officinæ ab Apollodoro facta in divisione, cum ejus reditus multo minor esset, quam mensæ; siquidem hæc C. minas reddebat, scutorum officina LX. tantum. Quod si verum est, oportet, tam mensam, quam officinam, locatam fuisse Pasioni II. talentis et XL. minis, ut pretium mensæ fuerit C. minarum, officinæ LX.; cum locatio κ. Στεφ. ψευδ. p. 1111. v. 6. ed. R. mensam tantum contineat, et ejus pretium, II. talenta cum minis XL.; ac significare videatur Demosthenes mensam solam tanti fuisse locatam. Verba ista v. 15. οὔτε κτῆμα ἴδιον, interpretes cruciant, qui ideo ἥδιον legi volunt, nullo sensu, aut eo incommodo. Sane scriptum existimo a Demosthene, εἶτα τὸ κτῆμα ἴδιον, ut hoc dicat, non modo mense reditum fuisse majorem, sed et certum, si Pasionis propria pecunia instructa fuisset; quo casu possessio ejus non minus certa fuisset, quam officinæ; cum ejus reditum contra multo incertiorem existimarit Apollodorus, officinam optando, cujus reditus minor longe erat; nempe quia mensa erat ære alieno instructa. Hoc igitur aiebat, εἶτα τὸ κτῆμα ἴδιον, εἰ προσῆν χρήματα τῇ τραπέζῃ, *præterea mensa fuisset propria*, (non minus quam officina scilicet) *si propria pecunia fuisset instructa*. HERALDUS.

Ὡς ἀφεῖσαν] Ἀντὶ τοῦ, ἀφίεσαν, ἢ ἀφείκεισαν, κατὰ μετάθεσιν, ἢ συγκοπήν. ἀόρ. ἀ. esset ἄφεσαν, ut ἔθεσαν. WOLF.

Τὸ μὲν γὰρ διτάλαντον] Sic Felicianus. F. τὸ μὲν γὰρ δὴ τάλαντον. Nam διτάλαντον si fuisset τὸ ἀσπιδοπήγειον, id est 120. minarum reditum attulisset, haud stulte sapuisset Apollodorus. WOLF. AUGER.

Ἔφερεν] *Quotannis reddebat; quasique tributum annuum pendebat.* BUDÆUS.

Οὔτε τὸ κτῆμα ἴδιον] F. ἥδιον. Nam et τράπεζα et ἀσπιδοπήγειον fuerunt ἴδια κτήματα. Sed ἡ τράπεζα ἡδίων, διά τε τὴν πρόσοδον, καὶ διὰ τὸ ἀξίωμα: de quo vide Trapeziticum Isocratis nostri. WOLF. AUGER.

[1] ἀποδεικνύναι σημεῖα, τοῦτον συκοφαντεῖν ἐγκαλοῦντα Φορμίωνι. ἀλλ', οἶμαι, μέγιστον μὲν ἁπάντων τεκμήριόν ἐστι, τοῦ μηδεμίαν λαβεῖν ἀφορμὴν εἰς ταῦτα τοῦτον, τὸ ἐν τῇ μισθώσει γεγράφθαι, προσοφείλοντα τὸν Πασίωνα ἐπὶ τὴν τράπεζαν, οὐ δεδωκότα ἀφορμὴν τούτῳ. δεύτερον δὲ, τὸ τοῦτον ἐν τῇ νομῇ μηδὲν ἐγκαλοῦντα φαίνεσθαι. τρίτον δ', ὅτι μισθῶν [2] ἑτέροις ταὐτὰ ταῦτα, τοῦ ἴσου ἀργυρίου φανήσεται προσμεμισθωκὼς, οὐκ ἰδίαν ἀφορμήν· καίτοι εἰ, ἣν ὁ πατὴρ παρέσχεν, ὑπὸ τοῦδε [3] ἀποστεροῖτο, αὐτὸν νῦν [4] προσῆκεν ἄλλοθεν πορίσαντα δεδωκέναι. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, καὶ ἐμίσθωσεν ὕστερον Ξένωνι καὶ Εὐφραίῳ καὶ Εὔφρονι καὶ Καλλιστράτῳ, καὶ οὐδὲ τούτοις παρέδωκεν ἰδίαν ἀφορμὴν, ἀλλὰ τὰς παρακαταθήκας καὶ τὴν [5] ἀπὸ τούτων ἐργασίαν αὐτὴν [6] ἐμισθώσατο, λάβε μοι τὴν τούτων μαρτυρίαν, καὶ ὡς τὸ [7] ἀσπιδοπήγιον εἵλετο.

ΜΑΡΤΥΡΙΑ.

μεμαρτύρηται μὲν τοίνυν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι καὶ τούτοις ἐμίσθωσαν καὶ οὐ παρέδωκαν ἰδίαν ἀφορμὴν οὐδεμίαν, καὶ ἐλευθέρους τ' [8] ἀφεῖσαν ὡς μεγάλα εὖ πεπονθότες, καὶ οὐκ ἐδικάζοντο οὔτ' ἐκείνοις τότε οὔτε τούτῳ.

ε. Ὃν μὲν τοίνυν χρόνον ἡ μήτηρ ἔζη, ἡ πάντ' ἀκριβῶς

[1] ἐπιδεικνύναι σημεῖα τοῦ, τοῦτον
[2] ἑτέροις ὕστερον ταῦτα, τοῦ ἴσου ἀργυρίου, οὐ φανήσεται προσμεμισθωκὼς ἰδίαν
[3] ἀπεστερεῖτο [4] προσῆκεν ἐκείνοις ἄλλοθεν [5] [ἀπὸ] [6] ἐμισθώσαντο
[7] ἀσπιδοπηγεῖον [8] ἀφῆκαν

Τούτῳ] Np. Phormioni. Auger.

Φανήσεται προσμεμισθωκὼς οὐκ ἰδίαν ἀφορμὴν] De Apollodori fratre Pasicle, Phormionis advocato (ac filio potius), hoc intelligo. Huic enim ἡ τράπεζα in herciscunda familia obvenerat. Deinde conjungit Apollodorum et Pasiclem, verbis, ἐμίσθωσαν, παρέδωκαν, ἀφεῖσαν, εὖ πεπονθότες ἐδικάζοντο. Wolf.

Αὐτὸν νῦν προσῆκεν ἄλλοθεν πορίσαντα δεδωκέναι] Αὐτὸν, utrum? Apollodorum? cui? Phormioni. At, qui jam debebat ἀφορμὴν, ei alia conquirenda et danda erat? Sunt hæc præstigiarum similia, si mendum abest: aut ego, quid hoc rei sit, non assequor. Ac fortasse Demosthenes Phormionem non ita armare voluit, ut ab Apollodoro vulnerari non posset. Nam ex eadem officina pugiones adversariis porrexisse traditur, quibus sese mutuo conficerent. Ac Apollodori actio in Phormionem non exstat. Ea vero, quæ in Stephanum testem inscribitur, est hujus παραγραφῆς refutatio. Wolf.

Νῦν] *Nunc*, i. e. eo tempore quo mensam a Phormione traditam fratris nomine locavit. Auger.

Ἐμισθώσατο] F. ἐμισθώσαντο, S. ὁ Ξένων καὶ Εὐφραῖος, καὶ Εὔφρων. Wolf.

Ὅτι καὶ τούτοις ἐμίσθωσαν] S. ὁ Ἀπολλόδωρος καὶ ὁ Πασικλῆς: quasi aut hæreditate indivisa, aut societate coita. Idem.

Καὶ ἐλευθέρους ἀφεῖσαν] Utrum Xenon et reliqui servi fuerunt Pasionis? an τὸ ἐλευθέρους ἀφεῖναι, ἀντὶ τοῦ, ἀπολῦσαι ponitur? *In farrag.* F. ἀφῆκαν. Idem.

εἰδυῖα ταῦτα, οὐδὲν ἔγκλημα πώποτε ἐποιήσατο πρὸς τουτονὶ Φορμίωνα Ἀπολλόδωρος· ὡς δ' ἐτελεύτησεν ἐκείνη,
949 τρισχιλίας ἐγκαλέσας ἀργυρίου δραχμὰς, πρὸς αἷς ἔδωκεν ἐκείνη δισχιλίαις τοῖς τούτου παιδίοις, καὶ χιτωνίσκον τινὰ καὶ θεράπαιναν, ἐσυκοφάντει. καὶ οὐδ' ἐνταῦθα τούτων οὐδὲν, ὧν νῦν ἐγκαλεῖ, λέγων φανήσεται· ἐπιτρέψας δὲ τῷ τε τῆς ἑαυτοῦ γυναικὸς πατρὶ καὶ τῷ συγκηδεστῇ τῷ ἑαυτοῦ καὶ Λυσίνῳ καὶ Ἀνδρομένει, πείσαντων τούτων Φορμίωνα τουτονὶ δοῦναι δωρεὰν τὰς τρισχιλίας καὶ τὸ παρὸν καὶ φίλον μᾶλλον ἔχειν τοῦτον ἢ διὰ ταῦτα ἐχθρὸν εἶναι, λαβὼν τὸ σύμπαν πεντακισχιλίας καὶ πάντων ἀφεὶς τῶν [1]ἐγκλημάτων, τὸ δεύτερον εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἐλθὼν, πάλιν, ὡς ὁρᾶτε, δικάζεται, πάσας αἰτίας συμπλάσας καὶ ἐγκλήματα ἐκ παντὸς τοῦ [2]χρόνου τοῦ πρὸ τούτου — τοῦτο γάρ ἐστι μέγιστον ἁπάντων, — ἃ οὐδὲ πώποτ' ἠτιάσατο. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, λάβε μοι τὴν γνῶσιν τὴν γενομένην ἐν ἀκροπόλει, καὶ τὴν μαρτυρίαν τῶν παραγενομένων, ὅτ' ἀφίει τῶν ἐγκλημάτων ἁπάντων Ἀπολλόδωρος, λαμβάνων τοῦτο τὸ ἀργύριον.

ΓΝΩΣΙΣ. ΜΑΡΤΥΡΙΑ.

ἀκούετε τῆς γνώσεως, ὦ ἄνδρες δικασταὶ, ἣν ἔγνω Δεινίας, οὗ τὴν θυγατέρα οὗτος ἔχει, καὶ Νικίας ὁ τὴν ἀδελφὴν τῆς τούτου γυναικὸς ἔχων. ταῦτα τοίνυν λαβὼν καὶ ἀφεὶς ἁπάντων τῶν ἐγκλημάτων, ὥσπερ ἢ πάντων τεθνεώτων τούτων ἢ τῆς ἀληθείας οὐ γενησομένης φανερᾶς, δίκην τοσούτων ταλάντων λαχὼν, τολμᾷ δικάζεσθαι.

ς'. Τὰ μὲν οὖν πεπραγμένα καὶ γεγενημένα Φορμίωνι πρὸς Ἀπολλόδωρον ἐξ ἀρχῆς ἅπαντα ἀκηκόατε, ὦ ἄνδρες
950 Ἀθηναῖοι· [3]οἶμαι δὲ Ἀπολλόδωρον τουτονὶ οὐδὲν ἔχοντα δίκαιον εἰπεῖν περὶ ὧν ἐγκαλεῖ, ἅπερ παρὰ τῷ διαιτητῇ

[1] ἐγκλημάτων τὸ δεύτερον, [2] Desunt χρόνου τοῦ. [3] οἶομαι

ε. Καὶ τὸ παρὸν] Τοὺς τόκους τοὺς προσγενομένους. Verti: *et reliqua*. In margine notavi, *id quod interest*, vel, *cum accessione*: quod postremum cæteris præfero. Apparet enim, 3000. drachmarum accessionem ex usuris fuisse 2000. Idem. *Quodque quadranti summæ et integræ superest*. Budæus. Τοῦτο γάρ ἐστι] F. καὶ (τοῦτο γάρ ἐστι τὸ μέγιστον ἁπάντων) ἃ οὐδὲ πώποτε ἠτιάσατο. Wolf.

ς'. Οὐδὲν ἔχοντα δίκαιον εἰπεῖν] Sic lego, nisi malis οὐδέτερα ἔχοντα δίκαια εἰπεῖν. Idem.

λέγειν ἐτόλμα, ταῦτ' ἐρεῖν, ὡς τὰ γράμματα ἡ μήτηρ ἠφάνικε πεισθεῖσα ὑπὸ τούτου, καὶ, τούτων ἀπολωλότων οὐκ ἔχει τίνα χρὴ τρόπον ταῦτ' ἐξελέγχειν ἀκριβῶς. περὶ δὴ τούτων καὶ ταύτης τῆς αἰτίας σκέψασθε, ἡλίκ' ἄν τις ἔχοι τεκμήρια εἰπεῖν ὅτι ψεύδεται. πρῶτον μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τίς ἂν ἐνείματο τὰ πατρῷα, μὴ λαβὼν γράμματα ἐξ ὧν ἤμελλεν εἴσεσθαι τὴν καταλειφθεῖσαν οὐσίαν; οὐδὲ εἷς δήπου· καίτοι δυοῖν δέοντα εἴκοσιν ἔτη ἐστὶν ἐξότου ἐνείμω, καὶ οὐκ ἂν ἔχοις ἐπιδεῖξαι ὡς ἐνεκάλεσας πώποτε ὑπὲρ τῶν γραμμάτων. δεύτερον δὲ, τίς οὐκ ἂν, ἡνίκα Πασικλῆς ἀνὴρ γεγονὼς ἐκομίζετο τὸν λόγον τῆς ἐπιτροπῆς, εἰ δι' αὐτοῦ τὰ γράμματα ὤκνει τὴν μητέρα αἰτιᾶσθαι διεφθαρκέναι, τούτῳ ταῦτ' ἐδήλωσεν, ὅπως διὰ τούτου ταῦτα ἠλέγχθη; τρίτον δ', ἐκ ποίων γραμμάτων τὰς δίκας ἐλάγχανες; οὗτος γὰρ, πολλοῖς τῶν πολιτῶν δίκας λαγχάνων, πολλὰ χρήματα εἰσπέπρακται, γράφων εἰς τὰ ἐγκλήματα, ἔβλαψέ με ὁ δεῖνα οὐκ ἀποδιδοὺς ἐμοὶ τὸ ἀργύριον, ὃ κατέλιπεν ὁ πατὴρ ὀφείλοντα αὐτὸν ἐν τοῖς γράμμασι· καίτοι, εἰ ἠφάνιστο τὰ γράμματα, ἐκ ποίων γραμμάτων τὰς δίκας ἐλάγχανες; ἀλλὰ μὴν, ὅτι ταῦτ' ἀληθῆ λέγω, τὴν μὲν νομὴν ἀκηκόατε ἣν ἐνείματο, καὶ μεμαρτύρηται ὑμῖν· τῶν δὲ λήξεων τούτων ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας. λάβε τὰς μαρτυρίας μοι.

ΜΑΡΤΥΡΙΑΙ. 951

οὐκοῦν ἐν ταύταις ταῖς λήξεσιν ὡμολόγηκεν ἀπειληφέναι τὰ τοῦ πατρὸς γράμματα· οὐ γὰρ δὴ συκοφαντεῖν γε, οὐδ', ὧν οὐκ ὤφειλον οὗτοι, δικάζεσθαι φήσειεν ἄν.

ζ'. Νομίζω τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μεγάλων καὶ πολλῶν ὄντων ἐξ ὧν ἐστὶν ἰδεῖν οὐκ ἀδικοῦντα Φορμίωνα τουτονὶ, μέγιστον ἁπάντων εἶναι, ὅτι Πασικλῆς ἀδελφὸς ὢν Ἀπολλοδώρου τουτουὶ οὔτε δίκην εἴληχεν, οὔτ' ἄλλο οὐδὲν, ὧν οὗτος, ἐγκαλεῖ. καίτοι οὐ δήπου τὸν μὲν παῖδα ὑπὸ τοῦ πατρὸς καταλειφθέντα, καὶ, οὗ τῶν ὄντων

κύριος ἦν, ἐπίτροπος καταλελειμμένος, οὐκ ἂν ἠδίκει· σὲ δὲ, ὃς ἀνὴρ κατελείφθης, τέτταρα καὶ εἴκοσιν ἔτη γεγονὼς, καὶ ὑπὲρ αὐτοῦ ῥαδίως ἂν τὰ δίκαια ἐλάμβανες εὐθὺς, εἴ τι ἠδικοῦ. οὐκ ἔστι ταῦτα. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, καὶ ὁ Πασικλῆς οὐδὲν ἐγκαλεῖ, λάβε μοι τὴν τούτου μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

ἡ. Ἃ [1] τοίνυν περὶ τοῦ μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην δεῖ σκοπεῖν ὑμᾶς, ταῦτ' ἀναμνήσθητε ἐκ τῶν εἰρημένων. ἡμεῖς γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, γεγενημένου μὲν διαλογισμοῦ καὶ ἀφέσεως τῆς τραπέζης καὶ τοῦ [2] ἀσπιδοπηγίου τῆς μισθώσεως, γεγενημένης δὲ διαίτης καὶ πάλιν ἀφέσεως πάντων, οὐκ ἐόντων τῶν νόμων δίκας, ὧν ἂν ἀφῇ τις ἅπαξ, λαγχάνειν, συκοφαντοῦντος τούτου καὶ παρὰ τοὺς νόμους δικαζομένου, παρεγραψάμεθα ἐκ τῶν νόμων μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. ἵν' οὖν εἰδῆθ', ὑπὲρ οὗ τὴν ψῆφον οἴσετε, τόν τε νόμον ὑμῖν τοῦτον ἀναγνώσεται καὶ τὰς μαρτυρίας ἐφεξῆς τῶν παρόντων, ὅτ' ἠφίει τῆς
952 μισθώσεως καὶ τῶν ἄλλων ἁπάντων ἐγκλημάτων Ἀπολλόδωρος Φορμίωνα. λάβε δή μοι τὰς μαρτυρίας ταυτασὶ, καὶ τὸν νόμον.

ΜΑΡΤΥΡΙΑΙ. ΝΟΜΟΣ.

ἀκούετε τοῦ νόμου λέγοντος, ὦ ἄνδρες Ἀθηναῖοι, τά τε [3] ἄλλα, καὶ, ὧν ἂν γένηται δίκη, τούτων μὴ εἶναι δίκας, καὶ ὅσα τις ἀφῆκεν ἢ ἀπήλλαξεν. εἰκότως· εἰ γάρ ἐστι δίκαιον, ὧν ἂν ἅπαξ γένηται δίκη, μηκέτ' ἐξεῖναι δικάζεσθαι, πολὺ τῶν ἀφεθέντων δικαιότερον μὴ εἶναι δίκας. ὁ μὲν γὰρ ἐν ὑμῖν ἡττηθεὶς τάχα ἂν εἴποι, ὡς ἐξηπατήθητε ὑμεῖς· ὁ δὲ αὐτοῦ φανερῶς καταγνοὺς καὶ ἀφεὶς καὶ

[1] τοίνυν ἤδη καὶ περὶ αὐτοῦ τοῦ μὴ
[2] ἀσπιδοπηγείου
[3] ἄλλα, ὧν μὴ εἶναι * δεῖ δίκας, καὶ ὅσα

ζ'. Σὲ δὲ ὃς] F. σὲ δ' ἠδίκησεν, ὅς. et v. S. καὶ ὑπὲρ σαυτοῦ, ἢ ἑαυτοῦ. Idem.

ἡ. Ἃ τοίνυν αὐτοῦ] Ἃ τοίνυν τοῦ, vel αὖ τοῦ μὴ, διαιρέτως. Idem.

[1] Ὧν μὴ εἶναι δίκας] S. χρὴ, vel ἀντὶ τοῦ, ἂν μὴ εἶσι δίκαι. Idem. Lectionis ed. Benenat. sententia fortasse hæc est: *Auditis edicere legem, tum cetera, tum, quibus de rebus judicium factum fuerit, earum actionem non dari, et quæ quis remiserit aut transegerit* dicentem.

ἀπαλλάξας, τίν' ἂν ἑαυτὸν αἰτίαν αἰτιασάμενος, τῶν αὐτῶν πάλιν εἰκότως δικάζοιτο; οὐδεμίαν δήπου. διόπερ τοῦτο πρῶτον ἔγραψεν ὁ τὸν νόμον θεὶς, ὧν μὴ [1] εἶναι δίκας, καὶ ὅσα τις ἀφῆκεν ἢ ἀπήλλαξεν. ἃ τῷδε γέγονεν ἀμφότερα, καὶ γὰρ ἀφῆκε καὶ ἀπήλλαξεν. ὡς δ' ἀληθῆ λέγω, μεμαρτύρηται ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι.

θ'. Λάβε δέ μοι καὶ τὸν τῆς προθεσμίας νόμον.

ΝΟΜΟΣ.

ὁ μὲν τοίνυν νόμος, ὦ ἄνδρες Ἀθηναῖοι, σαφῶς [2] οὑτοσὶ τὸν χρόνον ὥρισεν· Ἀπολλόδωρος δ' οὑτοσὶ, παρεληλυθότων ἐτῶν πλέον ἢ εἴκοσι, τὴν ἑαυτοῦ συκοφαντίαν ἀξιοῖ περὶ πλείονος ὑμᾶς ποιήσασθαι τῶν νόμων, καθ' οὓς ὀμωμοκότες δικάζετε. καίτοι πᾶσι μὲν τοῖς νόμοις προσέχειν εἰκὸς ἐσθ' ὑμᾶς, οὐχ ἥκιστα δὲ τούτῳ, ὦ ἄνδρες Ἀθηναῖοι· δοκεῖ γάρ μοι καὶ ὁ Σόλων οὐδενὸς ἄλλου ἕνεκα θεῖναι αὐτὸν, ἢ τοῦ μὴ συκοφαντεῖσθαι ὑμᾶς. τοῖς μὲν γὰρ ἀδικουμένοις ἱκανὰ τὰ πέντε ἔτη ἡγήσατο εἶναι εἰσπράξασθαι, κατὰ δὲ τῶν 953
ψευδομένων τὸν χρόνον ἐνόμισε σαφέστατον ἔλεγχον ἔσεσθαι· καὶ ἅμα, ἐπειδὴ ἀδύνατον ἔγνω ὂν τούς τε συμβαλόντας καὶ τοὺς μάρτυρας ἀεὶ ζῆν, τὸν νόμον ἀντὶ τούτων ἔθηκεν, ὅπως μάρτυς εἴη τοῦ δικαίου τοῖς [3] εἰρημένοις.

ί. Θαυμάζω τοίνυν ἔγωγε, ὦ ἄνδρες δικασταὶ, τί [4] ποτ' ἐστὶν, ἃ πρὸς ταῦτ' ἐπιχειρήσει λέγειν Ἀπολλόδωρος οὑτοσί· οὐ γὰρ ἐκεῖνό γε ὑπείληφεν, ὡς ὑμεῖς, οὐδὲν ὁρῶντες εἰς χρήματα τοῦτον ἠδικημένον, ὀργιεῖσθ', ὅτι τὴν μητέρα ἔγημεν αὐτοῦ Φορμίων. οὐ γὰρ ἀγνοεῖ τοῦτο, οὐδ' αὐτὸν

[1] εἶναι * δεῖ δίκας, ὅσα [2] οὑτωσὶ [3] ἐρήμοις [4] [ποτ' ἐστὶν, ἃ]

θ'. Εἰσπράξασθαι] Petitus rescribit εἰς πράττεσθαι [*Leg. Attic.* L. IV. T. IV. p. 431.] Primum Demosthenes non εἰσπράττεσθαι dicit, sed εἰσπράξασθαι. Deinde Petitus voces distinctas vult εἰς πράττεσθαι, quasi esset *ad agendum;* sed tunc deberet dici εἰς τὸ πράττεσθαι. Elegantissime Demosthenes uno verbo. Solon *iis, qui injuriam passi sunt, quinquennium satis esse existimavit* exigere, agere, i. e. *ad exigendum, ad agendum.* Ineleganter Petitus, et ne quidem Græce duabus vocibus. SALVIN. Wolfius ibi etiam vertit *ad exigendum.* Meursius Them. Att. II. 23. *ad pœnam exigendam.* DUKER. Meminit ejusdem προθεσμίας νόμου extrema Orat. adv. Nausim. et Xenopithem. In ipsa autem Lege εἰσπράξασθαι verbum fuisse non arbitror. Orator enim ejus argumentum et sententiam exhibet, et materiæ, quam tractabat, accomodat. Itaque εἰσπράξασθαι de pecunia exigenda, ut p. 540. v. 17., recte accipitur. WESSELING.

Ὅπως μάρτυς εἴη τοῦ δικαίου τοῖς εἰρημένοις] Ἵνα τὴν δικαιοσύνην φυλάττῃ, καὶ τὴν ἀλήθειαν τῶν εἰρημένων μαρτυρῇ. WOLF.

ί. Τί ποτ' ἐστὶν ἃ] Ἀντὶ τοῦ, τίνα, ἢ ὅ, ἐτέρωσις ἀριθμεῖ. IDEM.

λέληθεν οὐδ' ὑμῶν πολλοὺς, ὅτι Σωκράτης ὁ τραπεζίτης ἐκεῖνος, παρὰ τῶν κυρίων ἀπαλλαγεὶς, ὥςπερ ὁ τούτου πατὴρ, ἔδωκε Σατύρῳ τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτοῦ ποτὲ γενομένῳ. ἕτερος Σωσικλῆς τραπεζιτεύσας ἔδωκε τὴν ἑαυτοῦ γυναῖκα Τιμοδήμῳ τῷ νῦν ἔτ' ὄντι καὶ ζῶντι, γενομένῳ ποτὲ ἑαυτοῦ. καὶ οὐ μόνον ἐνθάδε τοῦτο ποιοῦσιν οἱ περὶ τὰς ἐργασίας ταύτας ὄντες, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἐν Αἰγίνῃ ἔδωκε Στρυμόδωρος Ἑρμαίῳ τῷ ἑαυτοῦ οἰκέτῃ τὴν γυναῖκα, καὶ, τελευτησάσης ἐκείνης, ἔδωκε πάλιν τὴν θυγατέρα τὴν ἑαυτοῦ. καὶ πολλοὺς ἂν ἔχοι τις εἰπεῖν τοιούτους. εἰκότως. ὑμῖν μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς γένει πολίταις, οὐδὲ ἓν πλῆθος χρημάτων ἀντὶ τοῦ γένους καλὸν ἐστιν ἑλέσθαι· τοῖς δὲ τοῦτο μὲν δωρεὰν ἢ παρ' ὑμῶν ἢ παρ' ἄλλων τινῶν λαβοῦσι, τῇ τύχῃ δ' ἐξ ἀρχῆς, ἀπὸ τοῦ [1]χρηματίζεσθαι, καὶ ἑτέρων πλείω κτήσασθαι, καὶ αὐτῶν τούτων ἀξιωθεῖσι, ταῦτ' ἐστὶ φυλακτέα. διό-
954 περ Πασίων ὁ πατὴρ ὁ σὸς οὐ πρῶτος οὐδὲ μόνος, οὐδ' αὐτὸν ὑβρίζων οὐδ' ὑμᾶς τοὺς υἱεῖς, ἀλλὰ μόνην ὁρῶν σωτηρίαν τοῖς ἑαυτοῦ πράγμασιν, εἰ τοῦτον ἀνάγκῃ ποιήσειεν οἰκεῖον ὑμῖν, ἔδωκε τὴν ἑαυτοῦ γυναῖκα, μητέρα δ' ὑμετέραν τούτῳ. πρὸς μὲν οὖν τὰ συμφέροντα ἐὰν ἐξετάζῃς, καλῶς αὐτὸν βεβουλευμένον εὑρήσεις· εἰ δὲ πρὸς δόξαν ἢ γένος ἀναίνῃ Φορμίωνα κηδεστὴν, ὅρα μὴ γελοῖον ᾖ σὲ ταῦτα λέγειν. εἰ γάρ τις ἔροιτό σε ποῖόν τιν' ἡγῇ τὸν πατέρα τὸν σαυτοῦ εἶναι; χρηστὸν εὖ οἶδ' ὅτι φήσειας ἄν. πότερον οὖν οἴει μᾶλλον ἐοικέναι τὸν τρόπον καὶ πάντα τὸν βίον Πασίωνι, σαυτὸν ἢ τοῦτον; ἐγὼ μὲν γὰρ εὖ οἶδ' ὅτι τοῦτον. εἶθ', [2]ὅς ἐστιν ὁμοιότερος τῷ σῷ πατρὶ, τουτονὶ, τὴν μητέρα τὴν σὴν εἰ ἔγημεν, ἀναίνῃ;

[1] χρηματίσασθαι [2] ὅστις ἐστὶν ὁμοιότερος σοῦ τῷ σ. π., τοῦτον, εἰ τὴν μ. τ. σὴν ἔγημεν

Ἀπαλλαγεὶς ὥσπερ ὁ τούτου πατὴρ, ἔδωκε Σατύρῳ] Ambiguum, utrum ἐπαλλαγεὶς ὥσπερ, ut significet, et Pasionem fuisse libertinum, id quod postea dicit aperte, servum eum fuisse Archestrati argentarii, an ἔδωκεν ὥσπερ, ut referatur ad conjugium, non ad servitutem. IDEM.

Ἕτερος Σωκλῆς] F. Σωσικλῆς. IDEM.

Ἑαυτοῦ ποτὲ γενομένῳ] S. δούλῳ, δουλεύσαντι αὐτῷ. IDEM.

Τοῖς δὲ τοῦτο] Τὴν πολιτείαν. IDEM.

Λαβοῦσι τῇ τύχῃ] F. λαβοῦσι· καὶ τῇ τύχῃ. IDEM. L. τῇ τύχῃ δ' ἐξ. v. 16. αὐτῶν τούτων refertur ad honorem et jus civitatis, et deinde ταῦτα ad χρήματα. AUGER.

Κτήσασθαι καὶ αὐτῶν] F. κτήσασθαι, τῶν αὐτῶν τούτων ἀξιωθεῖσι. πῶς; τῇ τύχῃ ἐξ ἀρχῆς. τῇ ποίᾳ; ἀπὸ τοῦ χρηματίζεσθαι καὶ ἑτέρων πλείω κτήσασθαι. et v. 19. εἰ τοῦτον ἀνάγκῃ. WOLF.

ιά. Ἀλλὰ μὴν, ὅτι γε δόντος καὶ ἐπισκήψαντος τοῦ σοῦ πατρὸς ταῦτ' ἐπράχθη, οὐ μόνον ἐκ τῆς διαθήκης ἐστὶν ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλὰ καὶ σὺ μάρτυς αὐτὸς γέγονας. ὅτε γὰρ τὰ μητρῷα πρὸς μέρος αὐτὸς ἠξίους νέμεσθαι, ὄντων παίδων ἐκ τῆς γυναικὸς Φορμίωνι τούτῳ, τότε ὡμολόγεις κυρίως δόντος τοῦ πατρὸς τοῦ σοῦ κατὰ τοὺς νόμους αὐτὴν [1]γεγενῆσθαι. εἰ γὰρ αὐτὴν εἶχε λαβὼν ἀδίκως ὅδε, μηδενὸς δόντος, οὐκ ἦσαν οἱ παῖδες κληρονόμοι· τοῖς δὲ μὴ κληρονόμοις οὐκ ἦν μετουσία τῶν ὄντων. ἀλλὰ μὴν, ὅτι ταῦτ' ἀληθῆ λέγω, [2]μεμαρτύρηται, τὸ τέταρτον μέρος λαβεῖν καὶ ἀφεῖναι τῶν ἐγκλημάτων ἁπάντων.

ιβ'. Κατ' οὐδὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιον οὐδὲν εἰπεῖν ἔχων, ἀναιδεστάτους λόγους ἐτόλμα λέγειν πρὸς τῷ διαιτητῇ, περὶ ὧν προακηκοέναι βέλτιόν ἐσθ' ὑμᾶς. ἕνα 955
μὲν, τὸ παράπαν μὴ γενέσθαι διαθήκην, ἀλλ' [3]ἔτ' εἶναι τοῦτο πλάσμα καὶ σκευώρημα ὅλον· ἕτερον δὲ, ἕνεκα τούτου πάντα ταῦτα συγχωρεῖν τὸν πρὸ τοῦ χρόνον καὶ οὐχὶ δικάζεσθαι, ὅτι μίσθωσιν αὐτῷ ἤθελε φέρειν Φορμίων πολλὴν καὶ ὑπισχνεῖτο οἴσειν, ἐπειδὴ δὲ οὐ ποιεῖ ταῦτα, τηνικαῦτά, φησι, δικάζομαι.

ιγ'. Ὅτι δὲ ταῦτα ἀμφότερα, ἐὰν λέγῃ, ψεύσεται, καὶ τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις ἐναντία ἐρεῖ, σκοπεῖτε ἐκ τῶνδε. [4]ὅταν τοίνυν τὴν διαθήκην ἀρνῆται, ἐκ τίνος τρόπου πρεσβεῖα λαβὼν τὴν συνοικίαν κατὰ τὴν διαθήκην ἔχει, τοῦτο ἐρωτᾶτε αὐτόν. οὐ γὰρ ἐκεῖνό γε ἐρεῖ, ὡς, ὅσα μὲν πλεονεκτεῖν τόνδ' ἔγραψεν ὁ πατὴρ, κύρια ἐστι τῆς διαθήκης· τὰ δ' ἄλλα, ἄκυρα. ὅταν δ' ὑπὸ τῶν τούτου ὑποσχέσεων ὑπάγεσθαι φῇ, μέμνησθε, ὅτι μάρτυρας ὑμῖν παρεσχήμεθα, οἳ, χρόνον πολὺν τοῦδε ἀπηλλαγμένου, μισθωταὶ τούτοις ἐγίγνοντο τῆς τραπέζης καὶ τοῦ [5]ἀσπιδοπηγίου. καίτοι τόθ', ὁπηνίκα [6]ἐμίσθωσε τούτοις, τῷδ'

[1] γεγαμῆσθαι [2] * μεμαρτύρηκας τῷ τὸ [3] Deest ἔτ'. [4] ὅταν μὲν τοίνυν
[5] ἀσπιδοπηγείου [6] ἐμίσθωσεν ἐκείνοις, τῷδ' ἐγκαλεῖν

ιά. Τὰ μητρῷα πρὸς μέρος νέμεσθαι] Εἰς ἴσας μοίρας, κατ' ἰσομοιρίαν. Idem.

ιβ'. Ἀλλ' ἔτ' εἶναι τοῦτο] F. ἀλλ' εἶναι, τὸ ἔτι quid ad sententiam faciat, non video. Idem.

ιγ'. Πρεσβεῖα] Πρεσβεῖον est, legatum præcipuum quod pater maximo filio dedit, aut majori, ap. Dem. υ. Φορμ. Alibi, pro jure præcipuo maximi filii, quod jus primigenium; vel primigenia dici potest. Budæus.

Τόνδ'] M. αὐτόν. Auger.

Τῷδ' εἰπεῖν] F. τάδε εἰπεῖν, εἰ ἀληθῆ ἦν. Wolf.

εἰπεῖν παραχρῆμα ἐχρῆν, [1]εἰ ἀληθῆ ἦν· ὑπὲρ ὧν τότ' ἀφεὶς, νῦν τούτῳ δικάζεται. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, καὶ πρεσβεῖά τε τὴν συνοικίαν ἔλαβε κατὰ τὴν διαθήκην, καὶ τῷδε οὐχ ὅπως ἐγκαλεῖν ᾤετο δεῖν, ἀλλ' ἐπῄνει, λάβε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

ιδ'. Ἵνα τοίνυν εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα χρήματα ἔχων ἐκ τῶν μισθώσεων καὶ ἐκ τῶν χρεῶν, ὡς ἀπορῶν καὶ πάντα ἀπολωλεκὼς, [2]ὀδύρεται, βραχέα ἡμῶν ἀκού-
956 σατε. οὗτος γὰρ ἐκ μὲν τῶν χρεῶν ὁμοῦ τάλαντα εἴκοσιν εἰσπέπρακται ἐκ τῶν [3]γραμμάτων ὧν ὁ πατὴρ κατέλιπε, καὶ τούτων ἔχει [4]πλείω ἢ τὰ ἡμίσεα, πολλῶν γὰρ τὰ μέρη τὸν ἀδελφὸν ἀποστερεῖ· ἐκ δὲ τῶν μισθώσεων, ὀκτὼ μὲν ἐτῶν ἃ Φορμίων εἶχε τὴν τράπεζαν, ὀγδοήκοντα μνᾶς τοῦ ἐνιαυτοῦ ἑκάστου, τὸ ἥμισυ τῆς ὅλης μισθώσεως, καὶ ταῦτά ἐστι δέκα τάλαντα καὶ τετταράκοντα μναῖ, δέκα δ' ἐτῶν μετὰ ταῦτα ὧν [5]ἐμισθώσατο ὕστερον Ξένωνι καὶ Εὐφραίῳ καὶ Εὔφρονι καὶ Καλλιστράτῳ τάλαντον τοῦ ἐνιαυτοῦ ἑκάστου· χωρὶς δὲ τούτων, [6]ἐκ τῶν οἴκων τῆς ἐξαρχῆς νεμεθείσης οὐσίας, ἧς αὐτὸς ἐπεμελεῖτο, τὰς προσόδους, πλέον ἢ μνᾶς τριάκοντα. ἐὰν δὲ πάντα συνθῆτε, ὅσα ἐνείματο, ὅσα εἰσεπράξατο, ὅσα εἴληφε μίσθωσιν, πλέον ἢ τετταράκοντα τάλαντα εἰλῆφὼς φανήσεται, χωρὶς ὧν οὗτος εὖ πεποίηκε, καὶ τῶν μητρῴων, καὶ, ὧν ἀπὸ τῆς τραπέζης ἔχων οὐκ ἀποδίδωσι, πένθ' ἡμιταλάντων καὶ ἑξακοσίων δραχμῶν.

ιέ. Ἀλλὰ νὴ Δία ταῦθ' ἡ πόλις εἴληφε, καὶ δεινὰ πέπονθας πολλὰ καταλελειτουργηκώς; ἀλλ', ἃ μὲν ἐκ κοινῶν ἐλειτούργεις τῶν χρημάτων, σὺ καὶ ὁ ἀδελφὸς ἀνηλώσατε· ἃ δ' ὕστερον, οὐκ ἔστιν ἄξια μὴ ὅτι δυοῖν ταλάντοιν προσόδου, ἀλλ' οὐδὲ εἴκοσι μνῶν. μηδὲν οὖν τὴν πόλιν αἰτιῶ, μηδ', ἃ σὺ τῶν ὄντων αἰσχρῶς καὶ κακῶς ἀνήλωκας,

[1] εἴπερ [2] ὀδυρεῖται [3] γραμματείων [4] πλέον [5] ἐμίσθασαν
[6] ἐτῶν ἴσως εἴκοσι τῆς ἐξαρχῆς

ιδ'. Ἐκ τῶν οἴκων] Ἐτῶν ἴσως εἴκοσι. Fortasse non diversa lectio est, sed additamentum, ut legas: ἐκ τῶν οἴκων, ἐτῶν ἴσως εἴκοσι: ex ædibus intra annos circiter 20. IDEM.

Πένθ' ἡμιταλάντων] Τεττάραν καὶ ἥμισυ IDEM.

ὡς ἡ πόλις εἴληφε, λέγε. ἵνα δὲ εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, τό τε πλῆθος τῶν χρημάτων ὧν εἴληφε, καὶ τὰς λειτουργίας ἃς λελειτούργηκεν, ἀναγνώσεται ὑμῖν καθ' ἓν ἕκαστον. λάβε μοι τὸ βιβλίον τουτὶ, καὶ τὴν πρόκλησιν 957
ταυτηνὶ, καὶ τὰς μαρτυρίας ταυτασί.

ΒΙΒΛΙΟΝ. ΠΡΟΚΛΗΣΙΣ. ΜΑΡΤΥΡΙΑ.

τοσαῦτα μὲν τοίνυν χρήματα εἰληφὼς καὶ χρέα πολλῶν ταλάντων ἔτ' ἔχων, ὧν τὰ μὲν παρ' ἑκόντων, τὰ δ' ἐκ τῶν δικῶν εἰσπράττει, ἃ τῆς μισθώσεως ἔξω τῆς τραπέζης καὶ τῆς ἄλλης οὐσίας, ἣν κατέλιπε Πασίων, ὠφείλετο ἐκείνῳ, καὶ νῦν παρειλήφασιν οὗτοι, καὶ τοσαῦτα ἀνηλωκὼς ὅσα ὑμεῖς ἠκούσατε, οὐδὲ πολλοστὸν μέρος τῶν προσόδων, μὴ ὅτι τῶν ἀρχαίων, εἰς τὰς λειτουργίας, ὅμως ἀλαζονεύσεται καὶ τριηραρχίας ἐρεῖ καὶ χορηγίας· ἐγὼ δὲ, ὡς μὲν οὐκ ἀληθῆ ταῦτ' ἐρεῖ, ἐπέδειξα. [1] οἶμαι μὲν τοίνυν, κἂν εἰ πάντα ταῦτα ἀληθῆ λέγοι, κάλλιον εἶναι καὶ δικαιότερον τόνδε ἀπὸ τῶν αὑτοῦ λειτουργεῖν ὑμῖν, ἢ, τούτῳ δόντας τὰ τούτου, μικρὰ τῶν πάντων μετασχόντας αὐτοὺς, τόνδε μὲν ἐν ταῖς ἐσχάταις ἐνδείαις ὁρᾶν, τοῦτον δὲ ὑβρίζοντα καὶ εἰς ἅπερ εἴωθεν ἀναλίσκοντα.

ις'. Ἀλλὰ μὴν περί γε τῆς εὐπορίας, ὡς ἐκ τῶν τοῦ πατρὸς τοῦ σοῦ κέκτηται, καὶ, ὧν ἐρωτήσειν ἔφησθα, πόθεν τὰ ὄντα κέκτηται Φορμίων, μόνῳ τῶν ὄντων [2] ἀνθρώπων τοῦτον οὐκ ἔνεστιν εἰπεῖν τὸν λόγον. οὐδὲ γὰρ Πασίων ὁ σὸς πατὴρ ἐκτήσαθ' εὑρών, οὐδὲ τοῦ πατρὸς αὐτῷ παραδόντος· ἀλλὰ παρὰ τοῖς αὐτοῦ κυρίοις, Ἀντισθένει καὶ Ἀρχεστράτῳ, τραπεζιτεύουσι πεῖραν δοὺς, ὅτι χρηστός ἐστι καὶ δίκαιος, ἐπιστεύθη. ἔστι δ' ἐν ἐμπορίῳ καὶ χρήμασιν ἐργαζομένοις ἀνθρώποις, φιλεργὸν δόξαι καὶ χρηστὸν εἶναι τὸν αὐτὸν, θαυμαστὸν ἡλίκον. οὔτ' οὖν

[1] οἶμαι μέντοι, κἂν

[2] ἀνθρώπων σοι τοῦτον

ιέ. ΜΑΡΤΥΡΙΑ] M. ΜΑΡΤΥΡΙΑΙ in titulo. Auger.

Ἃ τῆς μισθώσεως ἔξω τῆς τραπέζης] Ἃ ἐκτὸς τῆς μισθώσεως τῆς τραπέζης. Wolf.

Μὴ ὅτι τῶν ἀρχαίων, εἰς τὰς λειτουργίας] Καὶ κοινοῦ, ἀνηλακώς. Idem.

Ἢ τούτῳ δόντας τὰ τούτου] F. A. ἢ τοῦτῳ δόντας ὑμᾶς τὰ τούτου, scilicet τοῦ Φορμίωνος. Idem.

ις'. Φιλεργὸν εἶναι] Φιλοκερδῆ. Lucri avidus non tam heri, quam suum negotium agere solet. Idem.

ἐκείνῳ ταῦθ' οἱ κύριοι παρέδωκαν, ἀλλ' αὐτὸς ἔφυ χρη-
958 στός, οὔτε τῷδε ὁ σὸς πατήρ· σὲ γὰρ ἂν πρότερον τοῦδε
χρηστὸν ἐποίησεν, εἰ ἦν ἐπ' ἐκείνῳ. εἰ δὲ τοῦτο ἀγνοεῖς,
ὅτι πίστις ἀφορμὴ [1] πασῶν ἐστὶ μεγίστη πρὸς χρηματι-
σμόν, πᾶν ἂν ἀγνοήσειας. χωρὶς δὲ τούτων, πολλὰ καὶ τῷ
σῷ πατρὶ καὶ σοὶ καὶ ὅλοις τοῖς ὑμετέροις πράγμασι Φορ-
μίων γέγονε χρήσιμος· ἀλλ', οἶμαι, [2] τῆς ἀπληστίας καὶ
τοῦ σοῦ τρόπου τίς ἂν δύναιτο ἐφικέσθαι;

ιζ'. Καὶ δῆτα θαυμάζω, πῶς οὐ λογίζῃ πρὸς σεαυτόν,
ὅτι ἐστὶν Ἀρχεστράτῳ τῷ ποτὲ τὸν πατέρα τὸν σὸν κτη-
σαμένῳ υἱὸς ἐνθάδε Ἀντίμαχος, πράττων οὐ κατ' ἀξίαν,
ὃς οὐ δικάζεταί σοι, οὐδὲ, φησὶ [3] δεινὰ πάσχειν, εἰ σὺ μὲν
χλανίδα φορεῖς, καὶ, τὴν μὲν λέλυσαι, τὴν δ' [4] ἔδωκας
ἑταίρᾳ, καὶ ταῦτα γυναῖκα ἔχων ποιεῖς, καὶ τρεῖς παῖδας
ἀκολούθους περιάγεις, καὶ ζῇς ἀσελγῶς οὕτως, ὥστε καὶ
τοὺς ἀπαντῶντας [5] αἰσθάνεσθαι· αὐτὸς δ' ἐκεῖνος πολλῶν
ἐνδεής ἐστιν, οὐδὲ τὸν Φορμίωνα [6] ἐκεῖνος ὁρᾷ. καίτοι, εἰ
κατὰ τοῦτ' οἴει σοι προσήκειν τῶν τούτου, ὅτι τοῦ πατρός
ποτε ἐγένετο τοῦ σοῦ, ἐκείνῳ προσήκει μᾶλλον ἢ σοι· ὁ
γὰρ αὖ σὸς πατὴρ ἐκείνων ἐγένετο. ὥστε καὶ σὺ καὶ οὗτος
ἐκείνου γίνεσθε ἐκ τοῦδε τοῦ λόγου. σὺ δ' εἰς τοῦθ' ἥκεις
ἀγνωμοσύνης, ὥςθ', ἃ προσήκει σοι τοὺς λέγοντας ἐχθροὺς
νομίζειν, ταῦτ' αὐτὸς ποιεῖς [7] ἀνάγκην εἶναι καὶ λέγειν·
καὶ, ὑβρίζεις μὲν σαυτὸν καὶ τοὺς γονέας τεθνεῶτας, προ-
πηλακίζεις δὲ τὴν πόλιν· καὶ, ἃ τῆς τούτων φιλανθρωπίας
ἀπολαύσας εὕρετο ὁ σὸς πατὴρ καὶ μετὰ ταῦτα Φορμίων
959 οὑτοσὶ, ταῦτα, ἀντὶ τοῦ κοσμεῖν καὶ περιστέλλειν, ἵνα καὶ
τοῖς δοῦσιν ὡς εὐσχημονέστατα ἐφαίνετο καὶ τοῖς λαβοῦ-
σιν ὑμῖν, ἄγεις εἰς μέσον, ἐλέγχεις, δεικνύεις, μονονοὺκ ὀνει-
δίζεις, οἷον ὄντα σε ἐποιήσαντο [8] Ἀθηναῖον. εἶτα εἰς τοῦθ'
ἥκεις μανίας — τί γὰρ ἂν ἄλλο τις εἴποι; — ὥστε οὐκ αἰ-

[1] τῶν πασῶν [2] τῆς σῆς ἀπληστίας [3] δεινά φησι [4] ἐκδέδωκας ἑταίρᾳ
[5] * αἰσχύνεσθαι [6] ἐκεῖνος οὐχ ὁρᾷ [7] σ' ἀνάγκην εἶναι λέγειν [8] ἀθηναῖοι

ιζ'. Καὶ τὴν μὲν λέλυσαι, τὴν δὲ ἔδωκας ἑταίρᾳ] Λέλυσαι, ἀντὶ τοῦ, ἐπρίω. ἔδωκας, ἀντὶ τοῦ, ἀπέδου, nisi forte mendum aliquod subsit. τήνδε ἔδωκας ἑταίρᾳ habet Felic. quod minus placet, ut ad χλανίδα referatur. IDEM.

Οὐδὲ τὸν Φορμίωνα ἐκεῖνος ὁρᾷ] S. πολλῶν ἐνδεῆ ὄντα. *In farrag.* F. ἂν οὐδ' κ. τ. λ. scil. ἐνδεᾶ ὄντα. IDEM.

Ἐκείνου] Sub. τοῦ πατρός. AUGER.

σθάνῃ, ὅτι νῦν ἡμεῖς μὲν, ἀξιοῦντες, ἐπειδή περ ἀπηλλάγη Φορμίων, μηδὲν [1] ὑπὸ λόγον εἶναι, εἴποτε τοῦ σοῦ πατρὸς ἐγένετο, ὑπὲρ σοῦ λέγομεν· σὺ δὲ, μηδέποτε ἐξίσου σοι γενέσθαι τοῦτον ἀξιῶν, κατὰ σαυτοῦ λέγεις! ἃ γὰρ ἂν σὺ δίκαια σαυτῷ κατὰ τούτου τάξῃς, τὰ αὐτὰ ταῦτα ἥξει κατὰ σοῦ παρὰ τῶν τὸν σὸν πατέρα ἐξαρχῆς κτησαμένων. ἀλλὰ μὴν, ὅτι κἀκεῖνος ἦν τινῶν, εἶτ' ἀπηλλάγη τὸν αὐτὸν τρόπον ὅνπερ οὗτος ἀφ' ὑμῶν, λάβε μοι ταυτασὶ τὰς μαρτυρίας, ὡς ἐγένετο Πασίων Ἀρχεστράτου.

ΜΑΡΤΥΡΙΑΙ.

ιή. Εἶτα τὸν σώσαντα μὲν ἐξαρχῆς τὰ πράγματα καὶ πολλὰ παρασχόντα χρήσιμον αὐτὸν τῷ πατρὶ τῷ τούτου, τοσαῦτα δ' αὐτὸν τοῦτον ἀγαθὰ εἰργασμένον ὅσα ὑμεῖς ἀκηκόατε, τοῦτον οἴεται δεῖν, ἑλὼν τηλικαύτην δίκην, ἀδίκως ἐκβάλλειν! οὐ γὰρ ἄλλο γ' ἔχοις οὐδὲν ἂν ποιῆσαι. εἰς μὲν γὰρ τὰ ὄντα εἰ βλέπεις ἀκριβῶς, ταῦτα εὑρήσεις ὧν ἐστὶν, ἂν, ὃ μὴ γένοιτο, ἐξαπατηθῶσιν οὗτοι. ὁρᾷς τὸν Ἀρχίλοχον τὸν Χαρισήμου; ποτὲ εἶχεν ἀγρόν· εἶτά γε νῦν πολλοὶ, πολλοῖς γὰρ ἐκεῖνος ὀφείλων αὐτὸν ἐκτήσατο. καὶ τὸν Σωσίνομον, καὶ τὸν Τιμόδημον, καὶ τοὺς ἄλλους τραπεζίτας; οἱ, ἐπειδὴ διαλύειν ἐδέησεν οἷς ὤφειλον, ἐξέστησαν ἀπάντων τῶν ὄντων. σὺ δ' οὐδὲν οἴει δεῖν σκοπεῖν, οὐδ' ὧν ὁ πατήρ, σου πολλῷ βελτίων ὢν καὶ ἄμεινον [2] φρονῶν, πρὸς 960
ἅπαντα ἐβουλεύσατο· ὃς, ὦ Ζεῦ καὶ θεοὶ, τοσούτῳ τοῦτον ἡγεῖτό σου πλείονος ἄξιον εἶναι καὶ σοὶ καὶ αὐτῷ καὶ τοῖς ὑμετέροις πράγμασιν, ὥςτε, ἀνδρὸς ὄντος σου, τοῦτον οὐ σὲ τῶν [3] ἡμίσεων κατέλιπεν ἐπίτροπον, καὶ τὴν γυναῖκα ἔδωκε, καὶ [4] ζῶντα αὐτὸν ἐτίμα. δικαίως, ὦ ἄνδρες Ἀθηναῖοι. οἱ μὲν γὰρ ἄλλοι τραπεζῖται, μίσθωσιν οὐ φέροντες, ἀλλ' αὐτοὶ αὑτοῖς ἐργαζόμενοι, πάντες ἀπώλοντο· οὗτος δὲ, μίσθωσιν φέρων δύο τάλαντα καὶ τετταράκοντα μνᾶς, ὑμῖν ἔσωσε τὴν τράπεζαν. ὧν ἐκεῖνος μὲν χάριν εἶχε· σὺ δὲ

[1] ὑπόλογον [2] φρενῶν πρὸς ἅπαντ', [3] μισθώσεων [4] ζῶν

ιή. Εἶτά γε νῦν πολλοὶ] S. ἔχουσιν ἐκεῖνον τὸν ἀγρόν. Wolf.

Τῶν ἡμίσεων κατέλιπεν ἐπίτροπον] *Cur sit additus, non video: Nam semissis hæreditatis fuit Pasiclis, cui tutor datus est Phormio. Idem.

οὐδένα [1] ποιεῖς λόγον, ἀλλ', ἐναντίᾳ τῇ διαθήκῃ καὶ ταῖς ἀπ' ἐκείνης ἀραῖς γραφείσαις ὑπὸ τοῦ πατρὸς, ἐλαύνεις, διώκεις, συκοφαντεῖς. ὦ βέλτιστε, εἰ οἷόν τέ σε τοῦτ' εἰπεῖν, οὐ παύσῃ καὶ γνώσῃ τοῦθ', ὅτι πολλῶν χρημάτων τὸ χρηστὸν εἶναι [2] λυσιτελέστερον; σοὶ γοῦν, εἴπερ ἀληθῆ λέγεις, χρήματα μὲν τοσαῦτ' εἰληφότι, πάντα ἀπόλωλεν, ὡς φῆς· εἰ δ' ἥσθα ἐπιεικὴς, οὐδέποτε αὐτὰ ἀνήλωσας.

ιθ'. Ἀλλ' ἔγωγε, μὰ τὸν Δία καὶ θεοὺς, πανταχῇ σκοπῶν οὐδὲν ὁρῶ, διότι ἄν σοι πεισθέντες οὗτοι τουδὶ καταψηφίσαιντο. τί γάρ; ὅτι πλησίον ὄντων τῶν ἀδικημάτων ἐγκαλεῖς; ἀλλ' ἔτεσι καὶ χρόνοις ὕστερον αἰτιᾷ. ἀλλ', ὅτι τοῦτον ἀπράγμων ἦσθα τὸν χρόνον; ἀλλὰ τίς οὐκ εἶδεν ὅσα πράγματα πράττων οὐ πέπαυσαι, οὐ μόνον ἰδίας δίκας διώκων οὐκ ἐλάττους ταυτησὶ, ἀλλὰ καὶ δημοσίᾳ συκοφαντῶν καὶ κρίνων τινάς; οὐχὶ Τιμομάχου κατηγόρεις; [3] οὐ Καλλίππου, τοῦ νῦν ὄντος ἐν Σικελίᾳ; οὐ πάλιν Μένωνος; οὐκ Αὐτοκλέους; οὐ Τιμοθέου; οὐκ ἄλλων πολλῶν; καίτοι, πῶς ἔχει λόγον σὲ Ἀπολλόδωρον ὄντα, πρότερον τῶν κοινῶν, ὧν μέρος ἠδικοῦ, δίκην ἀξιοῦν λαμβάνειν, ἢ τῶν ἰδίων, ὧν νῦν ἐγκαλεῖς, ἄλλως τε καὶ τηλικούτων ὄντων, ὡς σὺ φῆς; τί ποτ' οὖν ἐκείνων κατηγορῶν, τόνδε εἴας; οὐκ ἠδικοῦ, ἀλλ', οἶμαι, συκοφαντεῖς νῦν. ἡγοῦμαι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πάντων μάλιστ' εἰς τὸ πρᾶγμα εἶναι, τούτων μάρτυρας παρασχέσθαι. τὸν γὰρ συκοφαντοῦντα ἀεὶ τί νομίζειν χρὴ ποιεῖν νυνί; καὶ νὴ Δία ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω πάνθ' ὅσα τοῦ τρόπου τοῦ Φορμίωνός ἐστι σημεῖα καὶ τῆς τούτου δικαιοσύνης καὶ φιλανθρωπίας, καὶ ταῦτ' εἰς τὸ πρᾶγμα εἶναι πρὸς ὑμᾶς εἰπεῖν. ὁ μὲν γὰρ περὶ πάντα ἄδικος, τάχ' ἂν, εἰ τύχοι, καὶ τοῦτον ἠδίκει· ὁ δὲ μηδένα μηδὲν ἠδικηκὼς, πολλοὺς δὲ εὖ πεποιηκὼς ἑκὼν, ἐκ τίνος ἂν εἰκότως τρόπου τοῦτον

961

[1] ποιεῖ [2] λυσιτελέστερόν ἐστι; [3] οὐχὶ

Καὶ ταῖς ἀπ' ἐκείνης ἀραῖς] S. ἐναντία. Non opus est addere, ἔνοχος ὤν. IDEM.

ιθ'. Καλλίππου, τοῦ νῦν ὄντος ἐν Σικελίᾳ] Fortasse cum Dione profectus ad expellendum Dionysium juniorem. IDEM.

[7] Ὧν μέρος ἠδικοῦ] F. A. ὧν πολλοστὸν μέρος. IDEM.

Νυνὶ] Post νυνὶ f. add. λέγε τὰς μαρτυρίας. ΜΑΡΤΥΡΙΑΙ. et v. 4. p. 550. verti quasi legeretur. ἀκούετε δὴ καὶ τὰς πρὸς Ἀπολλόδωρον [sub. προσκεκλήσεις] τὰς παυρίας. τί ἂν μεῖς --- hic delendo ΜΑΡΤΥΡΙΑΙ. AUGER.

[1] μόνον ἠδίκει τῶν πάντων; τούτων τοίνυν τῶν μαρτυριῶν ἀκούσαντες, γνώσεσθε τὸν ἑκατέρου τρόπον.

ΜΑΡΤΥΡΙΑΙ.

[2] ἴσθι δὴ καὶ τὰς πρὸς Ἀπολλόδωρον τῆς πονηρίας.

ΜΑΡΤΥΡΙΑΙ.

ἆρ' οὖν ὅμοιος οὑτοσὶ σκοπεῖτε. λέγε.

ΜΑΡΤΥΡΙΑΙ.

ἀνάγνωθι δὴ καὶ ὅσα δημοσίᾳ χρήσιμος τῇ πόλει γέγονεν οὑτοσί.

ΜΑΡΤΥΡΙΑΙ.

κ'. Τοσαῦτα τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, Φορμίων χρήσιμος τῇ πόλει γεγονὼς καὶ πολλοῖς ὑμῶν, καὶ οὐδένα οὔτε ἰδίᾳ οὔτε δημοσίᾳ κακὸν οὐδὲν εἰργασμένος, οὐδ' ἀδικῶν Ἀπολλόδωρον τουτονί, δεῖται καὶ ἱκετεύει καὶ ἀξιοῖ σωθῆναι, καὶ ἡμεῖς συνδεόμεθα οἱ ἐπιτήδειοι ταῦθ' ὑμῶν· ἐκεῖνο 962
δ' ὑμᾶς ἀκοῦσαι δεῖ. τοσαῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, χρήμαθ' ὑμῖν ἀνεγνώσθη προσευπορηκὼς, ὅσα οὐθ' οὗτος, οὔτ' ἄλλος οὐδεὶς κέκτηται. πίστις μέντοι Φορμίωνι παρὰ τοῖς εἰδόσι καὶ τοσούτων καὶ πολλῷ πλειόνων χρημάτων ἐστὶ, δι' ἧς καὶ αὐτὸς αὑτῷ καὶ ὑμῖν χρήσιμός ἐστιν. ἃ μὴ πρόησθε, μηδ' ἐπιτρέψητε ἀνατρέψαι τῷ μιαρῷ τούτῳ ἀνθρώπῳ, μηδὲ ποιήσητε αἰσχρὸν παράδειγμα, ὡς τὰ τῶν ἐργαζομένων καὶ μετρίως ἐθελόντων ζῆν τοῖς βδελυροῖς καὶ συκοφάνταις ὑπάρχει παρ' ὑμῶν λαβεῖν. πολὺ γὰρ χρησιμώτερα ὑμῖν παρὰ τῷδε ὄντα ὑπάρχει. ὁρᾶτε γὰρ αὐτοὶ καὶ ἀκούετε τῶν μαρτύρων, οἷον ἑαυτὸν τοῖς δεηθεῖσι παρέχει· καὶ τούτων οὐδὲν ἕνεκα τοῦ λυσιτελοῦντος εἰς χρήματα πεποίηκεν, ἀλλὰ φιλανθρωπία καὶ τρόπου ἐπιεικείᾳ.

κά. Οὔκουν ἄξιον, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν τοιοῦτον ἄνδρα προέσθαι τούτῳ, οὐδὲ τηνικαῦτα ἐλεεῖν ὅτ' οὐδὲν ἔσται

[1] μόνον ἂν ἠδίκει

[2] Ἴσθι

Ἴσθι δὴ καὶ τὰς πρὸς Ἀπολλόδωρον τῆς πονηρίας] Requiro aliam lectionem, nec invenio. WOLF.

κ'. Χρήμαθ' ὑμῶν] Ὑμῖν ἀνεγνώσθη. IDEM.

πλέον τούτῳ, ἀλλὰ νῦν ὅτε κύριοι καθέστατε σῶσαι· οὐ γὰρ ἔγωγε ὁρῶ καιρὸν, ἐν τίνι ἂν μᾶλλον βοηθήσειέ τις αὐτῷ. τὰ μὲν οὖν πολλὰ, ὧν Ἀπολλόδωρος ἐρεῖ, νομίζετ' εἶναι λόγον καὶ συκοφαντίας, κελεύετε δ' αὐτὸν ὑμῖν ἐπιδεῖξαι, ἢ, ὡς οὐ διέθετο ταῦθ' ὁ πατὴρ, ἢ, ὡς ἔστι τις ἄλλη μίσθωσις πλὴν ἣν ἡμεῖς δείκνυμεν, ἢ, ὡς οὐκ ἀφῆκεν αὐτὸν διαλογισάμενος τῶν ἐγκλημάτων ἁπάντων ἃ ἔγνω ὁ κηδεστὴς ὁ τούτου καὶ οὗτος αὐτὸς συνεχώρησεν, ἢ, ὡς διδόασιν οἱ νόμοι δικάζεσθαι τῶν οὕτω πραχθέντων, ἢ, τῶν τοιούτων τι δεικνύναι· ἐὰν δ', ἀπορῶν, αἰτίας καὶ βλασ-
963 φημίας λέγῃ καὶ [1] κακουργῇ, μὴ προσέχετε τὸν νοῦν, μηδ' ὑμᾶς ἡ τούτου κραυγὴ καὶ ἀναίδεια ἐξαπατήσῃ, ἀλλὰ φυλάττετε καὶ μέμνησθε ὅσα ἡμῶν ἀκηκόατε. κἂν ταῦτα ποιῆτε, αὐτοί τε εὐορκήσετε, καὶ τοῦτον δικαίως σώσετε, ἄξιον ὄντα, νὴ τὸν Δία καὶ τοὺς θεοὺς ἅπαντας. ἀνάγνωθι λαβὼν αὐτοῖς τὸν νόμον, καὶ τὰς μαρτυρίας ταυδί.

ΝΟΜΟΣ. ΜΑΡΤΥΡΙΑΙ.

Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· [2] οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων. ἐξέρα τὸ ὕδωρ.

[1] κακολογῇ

[2] οἴομαι

κά. Τῶν οὕτω] Adde ὑπὲρ vel περὶ ante τῶν. AUGER.

Ἢ τῶν τοιούτων τι δεικνύναι] S. κελεύετε. WOLF.

Ἐξέρα τὸ ὕδωρ] Hinc apud D. Petrum, κύων ἐπὶ τὸ ἴδιον ἐξέραμα ἐπανερχομένη. In *farrag.* scholium in fine additum est, τουτέστιν, ἔκβαλλε. IDEM.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΠΑΝΤΑΙΝΕΤΟΝ ΠΑΡΑΓΡΑΦΙΚΟΥ ΛΟΓΟΥ.

Pag. ed. Reisk.

ΠΑΝΤΑΙΝΕΤΟΣ, παρὰ Τηλεμάχου τινὸς ἐργαστήριον ἐν Μαρωνείᾳ μεταλλικὸν — τόπος δὲ 963
οὗτος τῆς Ἀττικῆς — καὶ μετὰ τοῦ ἐργαστηρίου τριάκοντα τὸν ἀριθμὸν οἰκέτας ὠνούμενος,
δανείζεται παρὰ μὲν Μνησικλέους τάλαντον, παρὰ δὲ Φιλέτου καὶ Πλείστορος πέντε καὶ τεττα-
ράκοντα μνᾶς· καὶ ἦν ἀνητὴς ἐγγεγραμμένος ὁ Μνησικλῆς, καὶ τὰς ὠνὰς εἶχεν αὐτός. ὕστερον
δὲ ἀπαιτούμενος τὸ ἀργύριον ὁ Πανταίνετος δευτέρους λαμβάνει δανειστὰς, τόν τε παραγραφό-
μενον νῦν Νικόβουλον καὶ Εὔεργόν τινα, καὶ τούτοις ὑποθήκην δίδωσι τὸ ἐργαστήριον καὶ τὰ ἀν-
δράποδα· γραμματεῖον δὲ οὐχ ὑποθήκης ἀλλὰ πράσεως γράφεται, καὶ γίνεται πρατὴς καὶ
βεβαιωτὴς τοῖς δευτέροις δανεισταῖς ὁ πρότερος δεδανεικὼς ὁ Μνησικλῆς ὁ τὰς ὠνὰς ἔχων. καὶ
μισθοῦσι τῷ Πανταινέτῳ τά τε ἀνδράποδα καὶ τὸ ἐργαστήριον Εὔεργος καὶ ὁ Νικόβουλος, ὡς 964
δεσπόται δηθεν γεγονότες αὐτοῦ· τοσούτου δὲ μισθοῦσιν ὅσον τὸ δάνειον τόκον ἐποίει. ἐδεδανείκε-
σαν μὲν γὰς ἑκατὸν πέντε μνᾶς, ἔδει δὲ κατὰ μνᾶν τόκον εἶναι δραχμὴν· ἑκατὸν οὖν καὶ πέντε
δραχμὰς λαμβάνειν συνέθεντο, καὶ ἦν τοῦτο τῷ μὲν ἔργῳ, τόκος τῷ δὲ ὀνόματι, μίσθωσις.
τούτων παραχθέντων, ὁ μὲν Νικόβουλος ἀπεδήμησε· παρὰ δὲ τὴν ἀποουσίαν τὴν ἐκείνου Ἀθήνησι
τάδε γίγνεται. ὁ Εὔεργος, ὁ κοινωνὸς τοῦ δανείσματος, αἰτιώμενος τὸν Πανταίνετον, ὡς οὐδὲν τῶν
συγκειμένων ἐθέλοντα ποιεῖν, ἐλθὼν ἐπὶ τὸ ἐργαστήριον κατεῖχεν αὐτοῦ· καὶ δὴ ἀργύριον φυλάξας
ἐκ τῶν μετάλλων Πανταινέτῳ κομιζόμενον, ὅπερ ἔμελλεν εἰς τὸ δημόσιον καταβάλλειν, ἀφεί-
λετο τὸν κομίζοντα οἰκέτην βίᾳ. παρὸ καὶ δίπλην εἰς τὸ δημόσιον κατέβαλεν, ὡς ἔφη, τὴν κα-
ταβολὴν ὁ Πανταίνετος, τῆς προσηκούσης προθεσμίας δι' Εὔεργον ἐκπεσών· ἐπὶ τούτοις καὶ
δίκην ἔλαχε τῷ Εὐέργῳ βλάβης, καὶ εἶλεν αὐτόν. ὡς δὲ ἐπανῆκε καὶ ὁ Νικόβουλος ἐκ τῆς ἀπο-
δημίας, καὶ δανεισταὶ πολλοί τινες ἀνεφαίνοντο τοῦ Πανταινέτου, πρότερον ἀγνοούμενοι, λόγων
πολλῶν λεγομένων, πέρας συνέβησαν, ὥστε Νικόβουλον μὲν καὶ Εὔεργον, ἀπολαμβάνοντας ἑκα-
τὸν καὶ πέντε μνᾶς, ἀποστῆναι τοῦ ἐργαστηρίου καὶ τῶν ἀνδραπόδων· ταῦτα δὲ τοὺς ἑτέρους
δανείσαντας ὠνεῖσθαι. πάλιν δὲ οὐκ ἐθελόντων τῶν δανειστῶν ὠνεῖσθαι τὰ κτήματα, εἰ μὴ
πρατῆρες αὐτοὶ καὶ βεβαιωταὶ γίγνοιντο Νικόβουλος καὶ Εὔεργος, πείθεται ὁ Νικόβουλος καὶ
ὑπ' αὐτοῦ Πανταινέτου, καθὰ φησὶν, ἀξιούμενος, οὐ πρότερον δὲ ἀνεδέξατο, πρὶν τοῦ Πανταίνε- 965
τον ἄφεσιν αὐτῷ παντὸς ἐγκλήματος δοῦναι. ὁ δὲ Πανταίνετος ἔδωκε μὲν τὴν ἄφεσιν, καὶ
ἐπράθη τὰ κτήματα· οὐδὲν δὲ ἧττον καὶ τούτῳ τὴν αὐτὴν, ἥπερ Εὐέργῳ, δίκην εἴληχε, με-
ταλλικὴν [1] ἐπιγράφοντες τὴν δίκην, ὡς δὴ τῶν τε τὰ μέταλλα ἐργαζομένων εἰς ἂν καὶ περὶ
μέταλλον ἠδικημένος. ἐγκαλεῖ δὲ τῷ Νικοβούλῳ καὶ περὶ τῆς τῶν χρημάτων ἀφαιρέσεως τῶν
ὑπὸ τοῦ οἰκέτου κομιζομένων, καὶ περὶ τῆς τοῦ ἐργαστηρίου καὶ τῶν ἀνδραπόδων πράσεως
παρὰ τὰς συνθήκας γεγενημένης, καὶ μέντοι καὶ περὶ ἑτέρων τινῶν. ὁ δὲ Νικόβουλος παραγρά-
φεται τὸν ἀγῶνα, καθ' ἕνα μὲν ἐκεῖνον νόμον τὸν κελεύοντα, περὶ ὧν ἂν ἄφεσις καὶ
ἀπαλλαγὴ γένηται, περὶ τούτων μηκέτι ἐξεῖναι δικάζεσθαι, καθ' ἕτερον
δὲ ἐκεῖνον, ὃς διαῤῥήδην καὶ σαφῶς ὁρίζει περὶ τίνων δεῖ τὰς μεταλλικὰς δίκας
εἰσάγειν, ὧν οὐδὲν πεπονθότα Πανταίνετον, ἀτόπως φησὶ μεταλλικὴν δίκην δικάζεσθαι· καὶ
μὴν καὶ τρίτον παρέχεται νόμον, ὃς διαιρεῖ περὶ ποίων ἐγκλημάτων ποῖα χρὴ κρίνειν
δικαστήρια καὶ ποίας ἀρχὰς εἰσάγειν τὰς δίκας, Πανταίνετον δὲ φησι παρὰ
τοῦτον ποιεῖν τὸν νόμον, ποικίλα ἐγκλήματα εἰς ταὐτὸν μίξαντα καὶ περὶ πάντων τῷ μεταλ-
λικῷ δικαστηρίῳ τὴν κατηγορίαν ποιούμενον. τῷ μὲν οὖν περὶ τῆς ἀφέσεως νόμῳ κατ' ἀρχὰς
κέχρηται, τοῖς δὲ δύο τοῖς ἑτέροις ἐπὶ τοῦ τέλους, καὶ ἀρχόμενος ἀπὸ τῆς παραγραφῆς
καὶ λήγων εἰς ταύτην. ἐν δὲ μέσῳ τὴν εὐθυδικίαν πεποίηκεν, ἧς μέγιστον καὶ ἰσχυρότατόν
ἐστιν, ὅτι μηδὲ ἐπιδημῶν ἐτύγχανε τότε Νικόβουλος, ὅτε Πανταίνετος ἐκεῖνα, ἐφ' οἷς τότε 966
Εὐέργῳ, καὶ νῦν Νικοβούλῳ, τὴν δίκην εἴληχε.

[1] * ἐπιγραφόμενος

Παρὰ Τηλεμάχου est in oratione. WOLF.

Μαρωνείᾳ] Imperitus fuit situs Maroniæ et ἀγεογραφητὸς ille, quicunque scripsit hanc hypothesin, qui eum locum in Attica ponit, si ita scripsit. Itaque si vox Μαρωνείᾳ sana est, lege: τόπος δὲ οὗτος τῆς Θρᾴκης. PALMER.

Καὶ τὰς ὠνὰς εἶχεν αὐτὸς] Haud scio, an mancipem, redemtorem, aut fidejussorem dicere liceat. Sed malo ad verbum vertere, quam nimium in re dubia mihi permittere. WOLF.

Κατεῖχεν αὐτοῦ] F. αὐτὸ, S. τὸ ἐργαστήριον. IDEM.

Πέρας] Τελευτῶντες, κατὰ τὸ πέρας, πρὶν τὸν Πανταίνετον. et v. 27. μεταλλικὴν ἐπιγράφων τὴν δίκην. et v. 38. ποικίλα ἐγκλήματα. et ibid. F. ἐν τῷ μεταλλικῷ. IDEM.

Τοὺς ἑτέρους δανείσαντας] F. τοὺς ὕστερον δανείσαντας. IDEM.

Ὅτε Πανταίνετος ἐκεῖνα] F. A. ἔπασχεν ἐκεῖνα. IDEM.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΠΑΡΑΓΡΑΦΗ

ΠΡΟΣ ΠΑΝΤΑΙΝΕΤΟΝ.

ά. ΔΕΔΩΚΟΤΩΝ, ὦ ἄνδρες δικασταὶ, τῶν νόμων παραγράψασθαι περὶ ὧν ἄν τις ἀφεὶς καὶ ἀπαλλάξας δικάζηται, γεγενημένων ἀμφοτέρων μοι τούτων πρὸς Πανταίνετον τουτονὶ, παρεγραψάμην, ὡς ἠκούσατε ἀρτίως, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, οὐκ οἰόμενος δεῖν ἀφεῖσθαι τοῦ δικαίου τούτου, οὐδ', ἐπειδὰν ἐξελέγξω πρὸς ἅπασι τοῖς ἄλλοις καὶ ἀφεικότα τοῦτον ἐμαυτὸν καὶ ἀπηλλαγμένον, ἐγγενέσθαι τούτῳ μὴ φάσκειν ἀληθῆ με λέγειν, καὶ ποιεῖσθαι τεκμήριον, ὡς, εἴπερ ἐπράχθη τι τοιοῦτον, παρεγραψάμην ἂν αὐτόν· ἀλλ', ἐπὶ ταύτης τῆς σκήψεως εἰσελθὼν, ἀμφότερα ὑμῖν ἐπιδείξαι, καὶ ὡς οὐδὲν ἠδίκηκα τοῦτον, καὶ ὡς παρὰ τὸν νόμον μοι δικάζεται. εἰ μὲν οὖν ἐπεπόνθει τι τούτων Πανταίνετος ὧν νῦν ἐγκαλεῖ, κατ' ἐκείνους ἂν τοὺς χρόνους ἐφαίνετό μοι δικαζόμενος εὐθὺς, ἐν οἷς τὸ συμβόλαιον ἡμῖν πρὸς ἀλλήλους ἐγίγνετο, οὐσῶν μὲν ἐμμήνων τῶν δικῶν τούτων, ἐπιδημούντων δ' ἡμῶν ἀμφοτέρων, ἁπάντων δ' ἀνθρώπων εἰωθότων παρ' αὐτὰ [1] τὰ ἀδικήματα μᾶλλον ἢ χρόνων ἐγγεγενημένων ἀγανα-
067 κτεῖν· ἐπειδὴ δὲ οὐδὲν ἠδικημένος — ὡς καὶ ὑμεῖς εὖ οἶδ'

[1] τἀδικήματα

ά. Παρεγραψάμην, ὡς — δίκην] *Praescripsi, ut audistis nuper, Pantaeneto actionem experiundique potestatem esse denegandam:* ideo scilicet, quod me ἀφῆκεν τοῦ ἐγκλήματος, quod mihi pridem acceptum tulit quod nunc petit. Budæus.

Παρεγραψάμην ἂν αὐτὸν] Cum accusativo personae rarius, sæpius cum accusativo δίκην, aut cum infinitivo, μὴ εἰσαγώγιμον εἶναι. Wolf.

Ἐπὶ ταύτης τῆς σκήψεως εἰσελθὼν] Περὶ φάσεως καὶ δικαιολογίας. Idem.

Ἐπιδεῖξαι] Regitur ab οἰόμενος δεῖν. Fortasse tamen, et hoc ultimum malim, ita intelligenda hæc phrasis, ἀλλ' ἐπὶ κ. τ. λ. *sed ingressus hac fiducia nixus hoc utrumque ostendere*, i. e. me hoc utrumque ostensurum. Auger.

Οὐσῶν μὲν ἐμμήνων] De hac voce alibi dictum est, pro menstruis posse reponi semestria, παρὰ τοὺς ἓξ μῆνας τοὺς χειμερινοὺς, ἀργούσης τῆς ναυτιλίας καὶ ἐμπορίας.

ὅτι φήσετε, ἐπειδὰν τὰ πεπραγμένα ἀκούσητε — τῷ κατορθῶσαι τὴν πρὸς Εὔεργον δίκην ἐπῃρμένος, συκοφαντεῖ, ὑπόλοιπόν ἐστι παρ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἐπιδείξαντα ὡς οὐδ' ὁτιοῦν ἀδικῶ καὶ μάρτυρας ὧν ἂν λέγω παρασχόμενον, πειρᾶσθαι σώζειν ἐμαυτόν. δεήσομαι δὲ καὶ δίκαια καὶ μέτρια ὑμῶν ἁπάντων, ἀκοῦσαί τέ μου, περὶ ὧν παρεγραψάμην, εὐνοϊκῶς, καὶ προσέχειν ὅλῳ τῷ [1] γράμματι τὸν νοῦν· πολλῶν γὰρ δικῶν ἐν τῇ πόλει γεγενημένων, οὐδένα πω δίκην οὔτ' ἀναιδεστέραν οὔτε συκοφαντικωτέραν οἴομαι φανήσεσθαι δεδικασμένον, ἧς νῦν οὗτοσὶ λαχὼν εἰσελθεῖν τετόλμηκεν. ἐξαρχῆς δὲ, [2] ὡς οἷός τε ὦ, διὰ βραχυτάτων ἅπαντα τὰ πραχθέντα διηγήσομαι πρὸς ὑμᾶς.

β'. Ἐδανείσαμεν πέντε καὶ ἑκατὸν μνᾶς ἐγὼ καὶ Εὔεργος, ὦ ἄνδρες δικασταὶ, Πανταινέτῳ τούτῳ ἐπ' ἐργαστηρίῳ τε ἐν τοῖς ἔργοις ἐν Μαρωνείᾳ καὶ τριάκοντα ἀνδραπόδοις· ἦν δὲ τοῦ δανείσματος τετταράκοντα μὲν καὶ πέντε μναῖ ἐμαὶ, τάλαντον δ' Εὐέργου. συνέβαινε δὲ τοῦτον ὀφείλειν Μνησικλεῖ μὲν Κολυττεῖ τάλαντον, Φιλέᾳ δὲ Ἐλευσινίῳ καὶ Πλείστορι πέντε καὶ τετταράκοντα μνᾶς. πρατὴρ [3] μὲν τοῦ ἐργαστηρίου καὶ τῶν ἀνδραπόδων ὁ Μνησικλῆς ἡμῖν γίγνεται — καὶ γὰρ ἐώνητο ἐκεῖνος αὐτὰ τούτῳ παρὰ [4] Τηλεμάρχου τοῦ πρότερον κεκτημένου —, μισθοῦται δὲ [5] οὗτος παρ' ἡμῶν τοῦ γιγνομένου τόκου τῷ ἀργυρίῳ, πέντε καὶ ἑκατὸν δραχμῶν τοῦ μηνὸς ἑκάστου. καὶ τιθέμεθα συνθήκας, ἐν αἷς ἥ τε μίσθωσις ἦν γεγραμμένη, καὶ [6] λύσις παρ' ἡμῶν ἔν τινι ῥητῷ χρόνῳ. πραχθέντων δὲ τούτων Ἐλαφηβολιῶνος μηνὸς ἐπὶ Θεοφίλου ἄρχοντος, ἐγὼ 968
μὲν ἐκπλέων εἰς τὸν Πόντον εὐθὺς ᾠχόμην, οὗτος δ' ἐνθάδε

[1] πράγματι [2] ὡς ἂν οἷός [3] μὲν δὴ τοῦ [4] Τηλεμάχου
[5] οὗτοσὶ [6] λύσις τούτῳ παρ'

Wolf.

Ὅλῳ τῷ γράμματι] F. πράγματι. et v. 8. πολλῶν γὰρ δικῶν, pro δικαίων. Idem.

β'. Ἐδανεισάμην] M. ἐδανείσαμεν. et v. 19. πρατὴρ μὲν οὖν. Idem.

Μισθοῦται —— μηνὸς ἑκάστου] Quibus verbis significat Demosthenes, contractum illum nomine quidem *conductionem* fuisse, sed revera *mutuum usurarium*. Quem contractum ne quis improbandum censeret, addidit usuræ loco pensitationem menstruam se stipulatum, quantam scilicet usuram stipulari per leges liceret. Eam autem esse in singulas minas drachmas singulas. γιγνόμενον τόκον, *justam et legitimam usuram* vocat: ut γιγνόμενον ἀργύριον ἀποδοῦναι, *probos et legitimos numos reddere*; et ap. Herodot. II. ὄργυιαι δίκαιαι, *justæ ulnæ*, vel orgyiæ. *De asse et in Annot. in Pandect.* Budæus.

Λύσις παρ' ἡμῶν] *Redemtio a nobis*, ut liceret redimere a nobis officinam. Wolf.

ἦν καὶ Εὔεργος. τὰ μὲν δὴ πραχθέντα τούτοις πρὸς [1] ἑαυτοὺς ἕως ἀπεδήμουν ἐγώ, οὐκ ἂν ἔχοιμι εἰπεῖν· οὔτε γὰρ ταὐτὰ λέγουσιν, οὔτ' ἀεὶ ταὐτὰ οὗτός γε. ἀλλὰ τοτὲ μέν φησιν ἐκπεσεῖν ὑπ' ἐκείνου βίᾳ παρὰ τὰς συνθήκας ἐκ τῆς μισθώσεως, τοτὲ δὲ αὐτὸν αἴτιον αὑτῷ πρὸς τὸ δημόσιον γενέσθαι τῆς ἐγγραφῆς, τοτὲ δὲ ἄλλο ὅ τι ἂν βούληται· ἐκεῖνος δ' ἁπλῶς, οὔτε τοὺς τόκους ἀπολαμβάνων, οὔτε τῶν ἄλλων τῶν ἐν ταῖς συνθήκαις ποιοῦντος οὐδὲν τούτου, ἐλθὼν παρ' ἑκόντος τούτου λαβὼν ἔχειν τὰ ἑαυτοῦ, μετὰ δὲ ταῦτα ἀπελθόντα τοῦτον ἥκειν τοὺς ἀμφισβητήσοντας ἄγοντα, αὐτὸς δ' οὐκ ἐπεξελθεῖν ἐκείνοις, τοῦτον δ' οὐχὶ κωλύειν ἔχειν ὅσα περ ἐμισθώσατο, εἰ ποιοίη τὰ συγκείμενα. τούτων μὲν δὴ τοιούτους ἀκούω λόγους. ἐκεῖνο δὲ οἶδα, ὅτι, εἰ μὲν οὗτος ἀληθῆ λέγει, καὶ δεινὰ πέπονθεν ὥσπερ φησὶν ὑπὸ τοῦ Εὐέργου, ἔχει δίκην, [2] ἧς ἐτιμήσατο αὐτός — εἷλε γὰρ εἰσελθὼν αὐτὸν ὡς ὑμᾶς —, καὶ οὐ δήπου τῶν αὐτῶν παρά τε τοῦ πεποιηκότος δίκαιός ἐστι δίκην λαβεῖν καὶ παρ' ἐμοῦ τοῦ μηδ' ἐπιδημοῦντος· εἰ δ' ὁ Εὔεργος ἀληθῆ λέγει, σεσυκοφάντηται μὲν ὡς ἔοικεν ἐκεῖνος, ἐγὼ δ' οὐδ' οὕτω τῶν αὐτῶν φεύγοιμ' ἂν δίκην εἰκότως. ὡς οὖν ταῦτα πρῶτον ἀληθῆ λέγω, τούτων τοὺς μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

ὅτι μὲν τοίνυν καὶ πρατὴρ ἦν ἡμῖν τῶν κτημάτων, ὅσπερ
969 ἐξ ἀρχῆς αὐτὸς [3] ἐώνητο, καὶ κατὰ τὰς συνθήκας οὗτος ἐμισθώσατο ἡμέτερον ὂν τὸ ἐργαστήριον καὶ τὰ ἀνδράποδα, καὶ οὔτε παρῆν ἐγὼ τοῖς μετὰ ταῦτα πρὸς Εὔεργον τούτῳ πραχθεῖσιν οὔτε ἐπεδήμουν ὅλως, ἔλαχέ τε δίκην ἐκείνῳ καὶ οὐδὲν ἡμῖν πώποτε ἐνεκάλει, ἀκούετε τῶν μαρτύρων, ὦ ἄνδρες δικασταί.

γ'. Ἐπειδὴ τοίνυν ἀφικόμην σχεδόν τι πάντα ἀπολωλεκὼς ὅσα ἔχων ἐξέπλευσα, ἀκούσας καὶ καταλαβὼν

[1] αὐτοὺς [2] οἷς. [3] ἐώνητο, ὁ Μησικλῆς, καὶ

Ἔχει δίκην ἧς ἐτιμήσατο αὐτὸς] S. ἐκείνῳ. Notatum αὐτόν. Malim αὐτῷ. IDEM.

Εἰ δ' Εὔεργος ἀληθῆ λέγει] Τὸ ἀληθῆ λέγει videtur a grammatico adjectum, cum possit ἀπὸ κοινοῦ ex superiore intelligi. et, v. 28. οὔτε ἐπεδήμουν ὅλως, ἔλαχε δὲ δίκη. et, p. 556. v. 2. θαυμαστὸν ὡς ἐλυπήθην, ὁρῶν τὸ πεζόμενα μοι περιεστηκὸς εἰς ἄπορον, pro θαυ-

τοῦτον μὲν ἀφεστηκότα, τὸν δ' Εὔεργον ἔχοντα καὶ κρατοῦντα ὧν ἐωνήμεθα, [1]θαυμαστῶς ὡς ἐλυπήθην, ὁρῶν τὸ πρᾶγμά μοι περιεστηκὸς εἰς ἄτοπον· ἢ γὰρ κοινωνεῖν ἔδει τῆς ἐργασίας καὶ τῶν ἐπιμελειῶν τῷ Εὐέργῳ, ἢ χρήστην ἀντὶ τούτου τὸν Εὔεργον ἔχειν, καὶ πρὸς ἐκεῖνον πάλιν μίσθωσιν γράφειν, καὶ συμβόλαιον ποιεῖσθαι. τούτων δ' οὐδ' ἕτερον προηρούμην· ἀηδῶς δ' ἔχων οἷς λέγω τούτοις, ἰδὼν τὸν Μνησικλέα τὸν πρατῆρα τούτων ἡμῖν γεγενημένον, προσελθὼν ἐμεμφόμην αὐτῷ, λέγων, οἷον ἄνθρωπον προὐξένησέ μοι, καὶ τοὺς ἀμφισβητοῦντας, καὶ τί ταῦτ' ἐστὶν, ἠρώτων. ἀκούσας δ' ἐκεῖνος, τῶν μὲν ἀμφισβητούντων κατεγέλα· συνελθεῖν δὲ ἔφη τούτους βούλεσθαι πρὸς ἡμᾶς, καὶ [2]συνάξειν ἡμᾶς, καὶ παραινέσειν τούτῳ πάντα ποιεῖν τὰ δίκαια ἐμοὶ, καὶ οἴεσθαι πείσειν. ὡς δὲ συνήλθομεν, τὰ μὲν πολλὰ τί δεῖ λέγειν; ἧκον δ' οἱ δεδανεικέναι φάσκοντες τούτῳ ἐπὶ τῷ ἐργαστηρίῳ καὶ τοῖς ἀνδραπόδοις, ἃ ἡμεῖς ἐπριάμεθα παρὰ Μνησικλέους· καὶ οὐδὲν ἦν ἁπλοῦν οὐδ' ὑγιὲς τούτων, πάντα δ' ἐξελεγχόμενοι ψευδῆ λέγοντες, καὶ τοῦ Μνησικλέους βεβαιοῦντος ἡμῖν, προκαλοῦνται πρόκλησιν ἡμᾶς, ὡς οὐ δεξομένους, ἢ κομίσασθαι πάντα τὰ χρήματα παρ' αὐτῶν καὶ ἀπελθεῖν, ἢ διαλῦσαι σφᾶς ὑπὲρ ὧν ἐνεκάλουν, αἰτιώμενοι πολλῷ πλείονος ἄξια ἔχειν ὧν ἐδεδώκειμεν χρημάτων. ἀκούσας δ' ἐγὼ, παραχρῆμα, οὐδὲ βουλευσάμενος, κομίσασθαι συνεχώρησα, καὶ τὸν Εὔεργον ἔπεισα. ἐπειδὴ δὲ ἔδει ἡμᾶς τὰ χρήματα [3]λαμβάνειν, καὶ τὸ πρᾶγμα εἰς τοῦτο προῆκτο, οὐκ [4]ἔφησαν μετὰ ταῦτα δώσειν οἱ τότε ἐκεῖνα [5]ἐπαγγειλάμενοι, εἰ μὴ πρατῆρες γιγνοίμεθ' ἡμεῖς τῶν κτημάτων αὐτοῖς, νοῦν ἔχοντες, ὦ ἄνδρες Ἀθηναῖοι, κατ' αὐτό γε τοῦτο· ἑώρων γὰρ ἡμᾶς οἷα 970

[1] θαυμαστὴν [2] συνάξειν αὐτὸς ἡμᾶς [3] ἀπολαμβάνειν [4] ἔφασαν [5] ἐπαγγελλόμενοι

μαστῶς et ἄτοπον. IDEM.

γ'. Ἀηδῶς δ' ἔχων κ. τ. λ.] Vid. Herald. Anim. in Salmas. Obss. ad Jus A. et R. l. IV. c. III.

Ἡμᾶς] Hic accipiendum pro ἀμφοτέρους, i. e. omnes partes contendentes. AUGER.

Καὶ τοῦ Μενεκλέους βεβαιοῦντος ἡμῖν] S. τὴν πρᾶσιν. WOLF.

Προκαλοῦνται πρόκλησιν — ἐνεκάλουν] Optionem nobis offerebant, velut non accepturis, ut aut ab eis integram pecuniam auferentes a lite discederemus, aut iisdem ipsis solveremus eam pecuniam quam a nobis petebant. διαλῦσαι enim τὸν ἐγκαλοῦντα est eum liberare, h. e. ἀπαλλάξαι. BUDÆUS.

Ὡς οὐ δεξομένους, per o, non per α. WOLF.

Ἢ διαλῦσαι σφᾶς] Absolvere, satisfacere sibi. IDEM.

ἐσυκοφαντούμεθα ὑπὸ [1] τούτων. ὡς οὖν καὶ ταῦτα ἀληθῆ λέγω, λάβε μοι καὶ ταύτας τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

δ'. Ἐπειδὴ τοίνυν τὸ πρᾶγμα ἐνταῦθ' εἱστήκει, καὶ τὰ μὲν χρήματα οὐ προΐεντο οὓς ἐπήγαγεν οὗτος, ἡμεῖς δ' εἰκότως ἐφαινόμεθα ὧν ἐωνήμεθα κρατεῖν, ἱκέτευεν, ἐδεῖτο, ἠντιβόλει πρατῆρας ἡμᾶς γενέσθαι. ἀξιοῦντος δὲ τούτου καὶ πολλὰ δεηθέντος ἐμοῦ, καὶ τί οὐχὶ ποιήσαντος; καὶ τοῦτο ὑπέμεινα. ὁρῶν δ' αὐτὸν, ὦ ἄνδρες Ἀθηναῖοι, κακοήθη, καὶ, τὸ μὲν ἐξ ἀρχῆς τοῦ Μνησικλέους κατηγοροῦντα πρὸς ἡμᾶς, πάλιν δὲ [2] ὡς φίλος ἦν τὰ μάλιστα Εὐέργῳ τούτῳ προσκεκρουκότα, καὶ, τὸ μὲν πρῶτον ὡς ἐγὼ κατέπλευσα ἄσμενον φάσκοντα ἑωρακέναι με, ἐπειδὴ δὲ ἔδει τὰ δίκαια ποιεῖν [3] ἐμοὶ δυσκολαίνοντα, καὶ, ἅπασι μέχρι τοῦ προλαβεῖν καὶ τυχεῖν ὧν δέοιτο φίλον ὄντα, μετὰ ταῦτα δ' ἐ-
971 χθρὸν καὶ διάφορον γιγνόμενον, ἠξίουν ἀπαλλαττόμενος καὶ πρατὴρ ὑπὲρ τῶν [4] τούτου γινόμενος, πάντων ἀφεθεὶς τῶν ἐγκλημάτων καὶ ἀπαλλαγεὶς, οὕτω διαλύεσθαι. τούτων δὴ συγχωρηθέντων, οὗτος μὲν ἀφῆκεν ἁπάντων ἐμέ· ἐγὼ δὲ πρατὴρ, ὥςπερ ἐδεῖτ' οὗτος, τῶν κτημάτων [5] ἐγενόμην, καθάπερ αὐτὸς ἐπριάμην παρὰ Μνησικλέους. κομισάμενος δὲ τὰ ἐμαυτοῦ καὶ τοῦτον οὐδ' ὁτιοῦν ἀδικῶν, μὰ τοὺς θεοὺς, οὐδ' ἂν εἴ τι γένοιτο, ᾠήθην ἂν δίκην μοι λαχεῖν ποτὲ τουτονί. τὰ μὲν δὴ γεγενημένα, καὶ περὶ ὧν οἴσετε τὴν ψῆφον, καὶ δι' ἃ τὴν δίκην συκοφαντούμενος παρεγραψάμην μὴ εἰσαγώγιμον εἶναι, ταῦτ' ἐστὶν, ὦ ἄνδρες δικασταί· παρασχόμενος δὲ μάρτυρας οἳ παρῆσαν, ἡνίκα ἀφιέμην ὑπὸ τούτου καὶ ἀπηλλαττόμην, ὡς οὐδ' εἰσαγώγιμος ἐκ τῶν νόμων ἐστὶν ἡ δίκη, μετὰ ταῦτ' ἐπιδείξω. καί μοι λέγε ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

λέγε δή [6] μοι τὴν τῶν ἐωνημένων μαρτυρίαν, ἵν' εἰδῆθ',

[1] τούτου [2] ὦ φ. ἡ. τ. μ., τῷ Εὐέργῳ, [3] ἐμοὶ πάλιν δυσκολαίνοντα
[4] τούτου τινῶν γινόμενος [5] ἐγιγνόμην [6] μοι καὶ τὴν

Ὡς ἐσυκοφαντούμεθα ὑπὸ τούτων] F. τούτου, s. τοῦ Πανταινέτου. IDEM.

ὅτι τούτου κελεύοντος αὐτὰ ἀπεδόμην, οἷς οὗτος ἐκέλευσε.

ΜΑΡΤΥΡΙΑ.

οὐ τοίνυν μόνον ἡμῖν εἰσὶν οὗτοι μάρτυρες, ὡς ἀφείμεθα καὶ νῦν συκοφαντούμεθα, ἀλλὰ καὶ Πανταίνετος αὐτός. ὅτε γὰρ λαγχάνων Εὐέργῳ τὴν δίκην εἴασεν ἐμὲ, τότ' ἐμαρτύρει οὗτος πρὸς ἐμὲ αὐτῷ μηδὲν ἔγκλημα ὑπόλοιπον εἶναι· οὐ γὰρ ἂν δήπου τῶν αὐτῶν ἀδικημάτων, παρόντων ἀμφοῖν ὁμοίως ἐγκαλῶν, τὸν μὲν εἴασε, τῷ δ' ἐδικάζετο. ἀλλὰ μὴν, ὅτι γ' οὐκ ἐῶσιν οἱ νόμοι περὶ τῶν οὕτω πραχθέντων πάλιν λαγχάνειν, [1] οἶμαι μὲν ὑμᾶς, καὶ μηδὲν εἰπόντος 972
ἐμοῦ, γιγνώσκειν· ὅμως δὲ λέγε αὐτοῖς καὶ τὸν νόμον τουτονί.

ΝΟΜΟΣ.

ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ νόμου λέγοντος ἄντικρυς, ὧν ἂν ἀφῇ καὶ ἀπαλλάξῃ τις, μηκέτι τὰς δίκας εἶναι· καὶ μὴν, ὅτι γ' ἀμφότερ' ἐστὶ πεπραγμένα ταῦτα τούτῳ πρὸς ἡμᾶς, ἠκούσατε τῶν μαρτύρων.

ε. Ἁπάντων μὲν τοίνυν τῶν ἐν τοῖς νόμοις ἀπειρημένων οὐ προσήκει δικάζεσθαι, οὐχ ἥκιστα δὲ τούτων. ἃ μὲν γὰρ τὸ δημόσιον πέπραχεν, ἔχοι τις ἂν εἰπεῖν, ὡς ἀδίκως ἢ οὐ προσήκοντα πέπραχε, καὶ, περὶ ὧν ἔγνω τὸ δικαστήριον, ἔστιν εἰπεῖν ὡς ἐξαπατηθὲν τοῦτ' ἐποίησε, καὶ, περὶ τῶν ἄλλων τῶν ἐν τῷ νόμῳ κειμένων, καθ' ἑκάστου γένοιτ' ἄν τις εἰκότως λόγος· ἃ δ' αὐτὸς ἐπείσθη καὶ ἀφῆκεν, οὐκ ἔνι δήπουθεν εἰπεῖν, οὐδ' αὐτὸν [2] αἰτιάσασθαι ὡς οὐ δικαίως ταῦτ' ἐποίησεν. οἱ μὲν οὖν παρά τι τῶν ἄλλων τούτων δικαζόμενοι, τοῖς ὑφ' ἑτέρων δικαίοις ὡρισμένοις οὐκ ἐμμένουσιν, ὁ δ' ὧν ἂν ἀφῇ πάλιν λαγχάνων, τοῖς ὑφ' ἑαυτοῦ· διὸ πάντων μάλιστ' ἄξιον τούτοις χαλεπαίνειν. οὐκοῦν, ὡς μὲν ἀφῆκέ με πάντων ὅτε ἐγενόμην τῶν ἀνδραπόδων πρατὴρ, ἐπέδειξα· ὅτι δ' οὐκ ἐῶσιν οἱ νόμοι τού-

[1] οἴομαι

[2] αἰτιᾶσθαι

Οἱ μὲν οὖν παρά τι τῶν ἄλλων τούτων δικαζόμενοι] Non placet hæc lectio, nec occurrit melior. IDEM. Pro τούτων f. leg. ἀπειρημένων. AUGER.

των εἶναι δίκας, ἀκηκόατε ἀρτίως ἀναγιγνωσκομένου τοῦ νόμου.

ς'. Ἵνα δ', ὦ ἄνδρες Ἀθηναῖοι, μή τις οἴηται τοῖς περὶ τῶν πραγμάτων αὐτῶν δικαίοις ἂν ἁλισκόμενόν με ἐπὶ τοῦτο ἀποχωρεῖν, καὶ καθ' ἕκαστον, ὧν ἐγκαλεῖ, βούλομαι δεῖξαι αὐτὸν ψευδόμενον. λέγε [1] αὐτὸ τὸ ἔγκλημα, ὅ μοι δικάζεται.

973 ΕΓΚΛΗΜΑ.

[2] Ἔβλαψε Νικόβουλος ἐπιβουλεύσας ἐμοὶ καὶ τῇ οὐσίᾳ τῇ ἐμῇ, ἀφελίσθαι κελεύσας Ἀντιγένην τὸν ἑαυτοῦ οἰκέτην τὸ ἀργύριον τοῦ ἐμοῦ οἰκέτου, ὃ ἔφερε καταβολὴν τῇ πόλει τοῦ μετάλλου, ὃ ἐγὼ ἐπριάμην ἐννενήκοντα μνῶν· καὶ αἴτιος ἐμοὶ γενόμενος ἐγγραφῆναι τὸ διπλοῦν τῷ δημοσίῳ.

ἐπίσχες. ταυτὶ πάντα, ἃ νῦν ἐγκέκληκεν ἐμοί, πρότερον τὸν Εὔεργον αἰτιασάμενος, τὴν δίκην εἶλε. μεμαρτύρηται μὲν δὴ καὶ ἐν ἀρχῇ μοι τοῦ λόγου πρὸς ὑμᾶς, ὡς ἀπεδήμουν ὅτε τούτοις αἱ πρὸς ἀλλήλους ἐγίγνοντο διαφοραί· οὐ μὴν ἀλλὰ καὶ ἐκ τοῦ [3] ἐγκλήματος τούτου δῆλόν ἐστιν. οὐδαμοῦ γὰρ ὡς ἔγωγέ τι πεποίηκα τούτων ἔγραψεν· ἀλλ', ὑπογράψας ἐπιβουλεῦσαί με αὐτῷ καὶ τῇ οὐσίᾳ, [4] προστάξαι φησὶ τῷ παιδὶ ταῦτα ποιεῖν, ψευδόμενος. πῶς γὰρ ἐγὼ προσέταξα, ὃς, ὅτε ἐξέπλεον, τῶν γενησομένων ἐνταῦθ' οὐδ' ὁτιοῦν δήπουθεν ἤδειν; εἶτα καὶ πόση μωρία, λέγοντα, ὡς ἐπεβούλευον ἀτιμῶσαι καὶ τὰ ἔσχατα πρᾶξαι, οἰκέτῃ με ταῦτα προστάξαι γεγραφέναι, ἃ οὐδὲ πολίτης πολίτην δύναιτ' ἂν ποιῆσαι; τί οὖν ἐστὶ τοῦτο; οὐκ ἔχων, οἶμαι, κατ' οὐδὲν διὰ τὴν ἀποδημίαν εἰς ἐμὲ τούτων ἀνενεγκεῖν τι, συκοφαντεῖν δὲ βουλόμενος, ὡς προσέταξα, ἐνέγραψεν· οὐδὲ γὰρ λόγος ἦν, εἰ μὴ τοῦτ' ἐποίησε. λέγε [5] τὸ ἀκόλουθον.

ΕΓΚΛΗΜΑ.

καὶ, ἐπειδὴ ὅλον ἐγὼ τῷ δημοσίῳ, καταστήσας Ἀντιγένην τὸν ἑαυτοῦ οἰκέτην εἰς τὸ ἐργαστήριον τὸ ἐμὸν, τὸ ἐπὶ Θρασύλλου, κύριον τῶν ἐμῶν, ἀπαγορεύοντος ἐμοῦ.

[1] δ' αὐτὸ [2] Ἔβλαψέ με Νικόβουλος [3] ἐγκλήματος * αὐτοῦ τοῦτο
[4] προστάξαι με φησὶ [5] τἀκόλουθον

Δικαίοις ἂν ἁλισκόμενόν με ἐπὶ τοῦτο ἀποχωρεῖν. Wolf.

Ἐκ τοῦ ἐγκλήματος τούτου] M. τοῦτο δῆλον. et, v. 24. οἰκέτῃ με ταῦτα, vel τὰ τοιαῦτα, pro μετὰ ταῦτα. Idem.

Ἐπὶ Θρασύλλῳ] Thrasyllum erat locus quidam Amphitropæ, quemadmodum Aulon. Nec puto recte sentire Harpocrationem, qui interpretatur: ἐπὶ τῷ Θρασύλλου μνήματι. *Att. Lect. L. V. c.* 30. Meur-

ἐπίσχες. πάλιν ταυτὶ πάντα ὑπ' αὐτοῦ τοῦ πράγμα- 971
τος ἐξελεγχθήσεται ψευδόμενος. γέγραφε γὰρ καταστῆ-
σαι μὲν ἐμέ, ἀπαγορεύειν δὲ αὐτόν· ταῦτα δ' οὐχ οἷόν τε
τὸν μὴ παρόντα. οὔτε γὰρ ἐγὼ καθίστην, ὅγε ὢν ἐν τῷ
Πόντῳ, οὔτ' [1]ἀπηγόρευσεν οὗτος τῷ μὴ παρόντι. πῶς γάρ;
πῶς οὖν εἰς ἀνάγκην ἦλθε ταῦθ' οὕτω γράψαι; Εὔεργος
τότ', οἶμαι, πλημμελῶν ὧν δέδωκε δίκην, συνήθως ἔχων ἐμοὶ
καὶ γνώριμος ὤν, κατέστησέ τινα οἰκέτην οἴκοθεν λαβὼν
παρ' ἐμοῦ φυλάττειν, ὡς αὐτόν. εἰ μὲν οὖν ἔγραψε τἀληθές,
γέλως ἂν ἦν· τί γὰρ, εἰ κατέστησεν Εὔεργος, [2]ἔγωγ' ἀδι-
κῶ; φεύγων δὲ τοῦτο, τοιαῦτ' [3]ἠνάγκασται γράφειν, ἵν' ᾖ
πρὸς ἐμὲ αὐτῷ τὸ ἔγκλημα. λέγε τὰ ἐφεξῆς.

ΕΓΚΛΗΜΑ.

πείσας τοὺς οἰκέτας τοὺς ἐμοὺς καθέζεσθαι εἰς τὸν Κεγχρεῶνα ἐπὶ βλάβῃ τῇ ἐμῇ.

ἐπίσχες. τουτὶ παντελῶς ἤδη καὶ ἀναιδές ἐστιν. οὐ γὰρ
μόνον ἐκ τοῦ προκαλεῖσθαι τούτους παραδοῦναι, τοῦτον
δὲ μὴ ἐθέλειν, ἀλλὰ καὶ ἐκ πάντων δῆλόν ἐστι ψεῦδος
ὄν. τίνος γὰρ ἕνεκ' ἔπειθον; ἵνα, νὴ Δί', αὐτοὺς κτήσωμαι;
ἀλλ', αἱρέσεώς μοι δοθείσης ἢ ἔχειν [4]ἢ κτήσασθαι ἢ κομί-
σασθαι τὰ ἐμαυτοῦ, εἱλόμην κομίσασθαι, καὶ ταῦτα με-
μαρτύρηται. λέγε δ' [5]ὁμοίως τὴν πρόκλησιν.

ΠΡΟΚΛΗΣΙΣ.

ταύτην τοίνυν οὐχὶ δεξάμενος τὴν πρόκλησιν, ἀλλὰ φυγὼν,
σκέψασθε, οἷον εὐθέως μετὰ ταῦτ' ἐγκαλεῖ. λέγε τὸ ἐχόμενον.

[1] ἀπηγόρευεν [2] ἐγώ σε ἀδικῶ [3] ἐπηνάγκασταί [4] [ἢ κτήσασθαι] [5] ὅμως

SIUS.

Θεατύλλου] Sub. ἐργαστηρίῳ. AUGER.

Κατέστησεν ὡς αὐτὸν] Ἀντὶ τοῦ, πρὸς ἑαυτόν. F. ὡς ἑαυτοῦ, s. ὄντα. WOLF. *Ut ipsum*, i. e. suo ipsius nomine qui servum collocabat. AUGER.

Καθέζεσθαι εἰς τὸν Κεγχρεῶνα] Suidas: εἰς τὸ καθαριστήριον, ὅπου τὴν ἐκ τῶν μετάλλων διέψυχον κέγχρον. Ego suspicor, esse proprium loci nomen, seu asyli servorum, ut fuit τὸ καθέζεσθαι ἐπὶ τὸ χῶμα, asylum trierarcharum: nisi forte hoc dicat, avocatos fuisse servos a mandato opere, et ad aliud traductos. WOLF.

Ἢ ἔχειν, ἢ κτήσασθαι] Aut τὸ ἢ κτήσασθαι abundat, aut καὶ κτήσασθαι legendum. IDEM. Hæ duæ voces supervacuæ videntur et recidendæ. AUGER.

ΕΓΚΛΗΜΑ.

καὶ κατεργασάμενος τὴν ἀργυῖτιν, ἣν οἱ ἐμοὶ οἰκέται εἰργάσαντο, καὶ ἔχων τὸ ἀργύριον τὸ ἐκ ταύτης τῆς ἀργυρίτιδος.

975 ἐπίσχες. πάλιν ταῦτα πῶς ἔνεστ᾽ ἐμοὶ πεπρᾶχθαι τῷ μὴ παρόντι, καὶ περὶ ὧν Εὐέργου κατεδικάσω; λέγε δ᾽ [1] αὐτὸ τὸ ἔγκλημα ἐφεξῆς.

ΕΓΚΛΗΜΑ.

καὶ ἀποδόμενος τὸ ἐργαστήριον τὸ ἐμὸν καὶ τοὺς οἰκέτας παρὰ τὰς συνθήκας, ἃς ἔθετο πρὸς ἐμέ.

ἐπίσχες. τουτὶ πολὺ πάνθ᾽ ὑπερβέβληκε τἆλλα. πρῶτον μὲν γὰρ παρὰ τὰς συνθήκας, φησὶν, ἃς ἔθετο πρὸς ἐμέ· αὗται δ᾽ εἰσὶ τίνες; ἐμισθώσαμεν τῶν τόκων τῶν γινομένων τούτῳ τὰ ἡμέτερα ἡμεῖς, καὶ ἄλλο οὐδέν· πρατὴρ μὲν γὰρ ὁ Μνησικλῆς ἡμῖν ἐγεγόνει, τούτου παρόντος καὶ κελεύοντος. μετὰ [2] ταῦτα τὸν αὐτὸν τρόπον ἡμεῖς ἑτέροις ἀπεδόμεθα, ἐφ᾽ οἷσπερ αὐτοὶ ἐπριάμεθα, οὐ μόνον κελεύοντος ἔτι τούτου, ἀλλὰ καὶ ἱκετεύοντος· οὐδεὶς γὰρ ἤθελε δέχεσθαι τοῦτον πρατῆρα. τί οὖν αἱ τῆς μισθώσεως ἐνταῦθ᾽ συνθῆκαι; τί τοῦτο, ὦ φαυλότατ᾽ ἀνθρώπων, ἐνέγραψας; ἀλλὰ μὴν, ὅτι σοῦ κελεύοντος, καὶ, ἐφ᾽ οἷσπερ ἐωνήμεθα, αὐτοὶ πάλιν ἀπεδόμεθα, λέγε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

μαρτυρεῖς τοίνυν καὶ σύ· ἃ γὰρ ἡμεῖς πέντε καὶ ἑκατὸν μνῶν ἐωνήμεθα, ταῦθ᾽ ὕστερον τριῶν ταλάντων καὶ δισχιλίων καὶ ἑξακοσίων ἀπέδου σύ. καίτοι, τίς ἂν καθάπαξ [3] πρατῆρας ἔχων σοὶ δραχμὴν ἔδωκε μίαν. ἀλλὰ μὴν, ὅτι ταῦτ᾽ ἀληθῆ λέγω, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ἔχων μὲν τοίνυν, ἢν ἐπείσθη, τῶν αὐτοῦ τιμὴν, δεηθεὶς δέ

[1] αὐτοῖς [2] ταῦτα δὲ τὸν [3] πρατῆρά σ᾽ ἔχων

Καθάπαξ μὴ πρατῆρας ἔχων addita negatione legendum, sententia docet: nisi placeat, καθάπαξ, πρατῆρα σὲ ἔχων. WOLF.

Αὐτοῦ] L. ἐμαυτοῦ, et ibid. deleo δί. AUGER.

μου τότε γενέσθαι πρατῆρα καθ' ὃ συνέβαλον ἀργύριον, 976
αὐτὸς δυοῖν ταλάντοιν προσδικάζεται. καὶ τὰ λοιπὰ τῶν ἐγκλημάτων ἔτ' ἐστὶ δεινότερα. λέγε δή μοι τὸ λοιπὸν τοῦ ἐγκλήματος.

ΕΓΚΛΗΜΑ.

ἐνταυθοῖ πόλλ' ἄττα καὶ δεινά μοι ἅμα ἐγκαλεῖ· καὶ γὰρ αἰκίαν, καὶ ὕβριν, καὶ βιαίων, καὶ πρὸς ἐπικλήρους ἀδικήματα. τούτων δ' εἰσὶν ἑκάστου χωρὶς αἱ δίκαι, καὶ οὔτε πρὸς τὴν αὐτὴν ἀρχὴν, οὔθ' ὑπὲρ τιμημάτων τῶν αὐτῶν. ἀλλ' ἡ μὲν αἰκία καὶ [1]τὰ τῶν βιαίων, πρὸς τοὺς τετταράκοντα· αἱ δὲ τῆς ὕβρεως, πρὸς τοὺς θεσμοθέτας· ὅσα δ' εἰς ἐπικλήρους, πρὸς τὸν ἄρχοντα. οἱ δὲ νόμοι καὶ τούτων διδόασι τὰς παραγραφὰς ἀντιλαγχάνειν, περὶ ὧν οὐκ εἰσὶν εἰσαγωγεῖς. λέγε δ' αὐτοῖς τοῦτον τὸν νόμον.

ΝΟΜΟΣ.

τοῦτο τοίνυν ἐμοῦ παραγεγραμμένου πρὸς τῇ ἄλλῃ παραγραφῇ, καὶ οὐκ ὄντων εἰσαγωγέων τῶν θεσμοθετῶν ὑπὲρ ὧν λαγχάνει Πανταίνετος, ἐξαλήλιπται, καὶ οὐ πρόσεστι τῇ παραγραφῇ. τὸ δ' ὅπως, ὑμεῖς σκοπεῖτε· ἐμοὶ [2]μὲν γὰρ ἕως ἂν ἔχω τὸν νόμον τοῦτον δεικνύναι, οὐδ' ὁτιοῦν διαφέρει. οὐ γὰρ τὸ γινώσκειν καὶ συνιέναι τὰ δίκαια ὑμῶν ἐξαλεῖψαι δυνήσεται.

ζ'. Λάβε δή μοι καὶ τὸν μεταλλικὸν νόμον· καὶ γὰρ ἐκ τούτου δείξειν οἴομαι οὐκ οὖσαν εἰσαγώγιμον τὴν δίκην, χάριτός τε ὢν μᾶλλον ἄξιος ἢ τοῦ συκοφαντεῖσθαι. λέγε.

[1] τὰ περὶ τῶν

[2] [μὲν]

Αὐτὸς δυοῖν ταλάντοιν προσδικάζεται] Tanti Pantænetum æstimasse mulctam, ex iis, quæ sequuntur, apparet. Wolf.

Καὶ βιαίων] Imo βίαν, nisi mavis ut infra τὰ τῶν βιαίων, subaudiendo ἐγκλήματα ἀδικημάτων. et v. 11. αἱ sub. δίκαι. Auger.

Πρὸς τοὺς τετταράκοντα] Hujus magistratus nomen alibi me legisse non recordor. Wolf.

Καὶ τούτων τὰς παραγραφὰς ἀντιλαγχάνειν] Παραγράφεσθαι, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. Idem.

Τοῦτο ἐξαλήλιπται] Ὑπὸ τίνων, τῶν θεσμοθετῶν, ἢ τοῦ ἄρχοντος? Sequitur enim δυνήσεται. Idem.

Καὶ οὐ πρόσεστι τῇ παραγραφῇ] Verteram: *abolita sunt, et ad præscriptionem non pertinent*: ad crimina referens: quasi scriptum esset: καὶ οὐ μέτεστι τῇ παραγραφῇ. Sed est, ut opinor, (certi enim nihil habeo) querela de iniquitate, vel prætoris, vel sexvirorum, qui exceptionem Nicobali mutilarint. Nam id accusatori licuisse, non existimo. Alioqui pro παραγραφῇ legendum videretur γραφῇ. Idem.

Τὸ γινώσκειν καὶ συνιέναι addita conjunctione. τὴν γνῶσιν καὶ σύνεσιν τὴν ὑμετέραν τῶν δικαίων. Idem.

Δυνήσεται] *Poterit* nempe, quicumque ille sit qui delevit in exceptione mea illud quod addideram, sive Pantænetus, sive alius. Auger.

ΝΟΜΟΣ.

οὗτος σαφῶς ὁ νόμος διείρηκεν, ὧν εἶναι δίκας προσήκει μεταλλικάς. οὐκοῦν ὁ μὲν νόμος, ἐάν τις ἐξείλῃ [1] τι-
977 νὰ τῆς ἐργασίας, ὑπόδικον ποιεῖ· ἐγὼ δ' οὐχ ὅπως αὐτὸς ἐξείλλω τοῦτον, ὧν ἄλλος ἀπεστέρει, τούτων ἐγκρατῆ κατέστησα καὶ παρέδωκα, καὶ πρατὴρ ὑπὲρ τούτου δεηθέντος ἐγενόμην. ναί, φησιν· ἀλλὰ κἂν [2] ἄλλος τις ἀδικῇ τι περὶ τὰ μέταλλα, καὶ τούτων εἰσὶ δίκαι. ὀρθῶς γ', ὦ Πανταίνετε· ἀλλὰ ταῦτα τί ἐστιν; ἂν ὑφάψῃ τις, ἂν ὅπλα ἐπιφέρῃ, ἂν ἐπικατατέμνῃ τῶν μέτρων ἐντὸς, ταῦτά ἐστι τἄλλα, ὧν οὐδὲν δήπου πέπρακται πρὸς ὑμᾶς ἐμοί· πλὴν [3] εἰ, τοὺς κομιζομένους ἃ προεῖντό σοι, μεθ' ὅπλων ἥκειν νομίζεις. εἰ δὲ ταῦθ' ἡγῇ, πρὸς ἅπαντας τοὺς [4] προϊεμένους τὰ ἑαυτῶν εἰσί σοι δίκαι μεταλλικαί· ἀλλ' οὐ δίκαιον. φέρε γὰρ, [5] ὅστις μέταλλον παρὰ τῆς πόλεως πρίηται, τοὺς κοινοὺς παρελθὼν νόμους, καθ' οὓς καὶ διδόναι καὶ λαμβάνειν πᾶσι προσήκει δίκας, ἐν ταῖς μεταλλικαῖς δικάσεται; τί δὲ, [6] ἐὰν δανείσηταί τις παρά του; τί δὲ, ἂν κακῶς ἀκούσῃ; ἂν πληγὰς λάβῃ; ἂν κλοπὴν ἐγκαλῇ; ἂν προεισφορὰν μὴ κομίζηται; ἂν ὅλως

[1] τινὰ ἐκ τῆς [2] ἄλλο τι ἀδικῇ τις [3] εἰ μὴ τοὺς [4] προϊεμένους σοι τὰ [5] ὅστις ἂν μέταλλον [6] ἂν

ζ'. Ἐάν τις ἐξείλλῃ] Hinc τὴν ἐξούλην deducit Libanius. Wolf.

Ἐγὼ δὲ οὐχ — κατέστησα] *Ego vero non solum ipsum non ejeci, sed unde ab alio ejectus est, ipsum in possessionem restitui.* Budæus.

Κἂν ἄλλως τις] Adverbialiter per ω. vel κἂν ἄλλο τις. et v. 10. τῶν μέτρων ἐκτός. Nam ἐντὸς τῶν μέτρων, utique licet. Wolf.

Ἂν ὑφάψῃ τις —] Primum dicit, *si quis ignem importarit atque succenderit;* quod refero tum ad ipsa metalla, cum ad columnas, quibus metallorum fodinæ sustentantur et fulciuntur, de quibus Pollux VII. 23. μεσοκρινεῖς κίονες, οἱ ἐν τοῖς μετάλλοις ἐφεστηκότες ἀνέχειν τὰ ὀρύγματα. Magnum enim dabatur sive metalli redemptoribus sive operæ mancipibus damnum, in flando metallo, et in ambustis columnis, quibus fodinæ sustinebantur. Sequitur ἂν ὅπλα ἐπιφέρῃ. Vertit Wolfius: *Si quis arma intulerit,* male, quod viri magni pace dictum velim. Corruptum locum lego ἂν ὅπλα ἐκφέρῃ, et verto: *Si vasa instrumentaque exportarit,* sive illa sint τῶν μεταλλέων, sive ad metalla aut metalli fodinas pertineant, ut sunt quæ recenset Pollux X. 31. θύλακες, περίοδος, σάλαξ. Addit demum ἂν ἐπικατατέμνῃ τῶν μέτρων ἐντὸς, *si effoderit,* μεταλλεύσῃ, *extra fines suos,* intra alienos; de quo paullo post p. 564. v. 2. *Leg. Attic.* L. VII. T. XII. Petitus. Dubito de conjecturæ veritate. Ipsemet Orator arma intelligenda esse declarat: recitatis enim quibusdam ex lege, subdit continuo τἄλλα ὧν οὐδὲν δήπου πέπρακται πρὸς ὑμᾶς ἐμοί· πλὴν εἰ τοὺς κομιζομένους ἃ προεῖντό σοι, μεθ' ὅπλων ἥκειν νομίζεις, quorum ultima de armis esse accipienda utique dubitari non potest. Wesseling. Lego et intelligo cum S. Petito Auger.

Ἂν προεισφορὰν μὴ κομίζηται] Cum divites tributum pro pauperibus pependerunt, nec pecuniam pro illis numeratam recuperare potuerunt. Vide Ulpianum in

ἄλλο τι; ἐγὼ μὲν οὐκ οἶμαι· ἀλλὰ τὰς μεταλλικὰς δίκας [1] εἶναι τοῖς κοινωνοῦσι μετάλλου, καὶ τοῖς ἕτερον συντρήσασιν [2] εἰς τὰ τῶν πλησίον, καὶ ὅλως τοῖς ἐργαζομένοις τὰ μέταλλα, καὶ τῶν ἐν τῷ νόμῳ τι ποιοῦσι· τῷ δὲ δανείσαντι Πανταινέτῳ, καὶ ταῦτ' ἀπειληφότι γλίσχρως καὶ [3] μόλις, περὶ τούτου οὐκ εἶναι δίκην μεταλλικὴν προσφθεγκτέον, οὐδ' ἐγγύς. ὡς μὲν οὖν οὔτ' ἠδίκηκα τοῦτον οὐδέν, οὔτ' εἰσαγώγιμος ἐκ τῶν νόμων ἐστὶν ἡ δίκη, ταῦτ' ἄν τις σκοπῶν ῥᾳδίως γνοίη.

ἡ. Οὐδὲν τοίνυν δίκαιον ἔχων οὐδὲ καθ' ἓν λέγειν ὑπὲρ 978
ὧν ἐγκαλεῖ, ἀλλὰ καὶ ψευδῆ γεγραφὼς εἰς τὸ ἔγκλημα, καὶ περὶ ὧν ἀφῆκε δικαζόμενος, τοῦ ἐξελθόντος, ὦ ἄνδρες Ἀθηναῖοι, μηνὸς, ἐπειδὴ ἔμελλον εἰσιέναι τὴν δίκην, ἤδη τῶν δικαστηρίων [4] ἐπικεκυρωμένων, προσελθὼν καὶ περιστήσας τοὺς μεθ' [5] ἑαυτοῦ τὸ ἐργαστήριον συνεστηκότων, πρᾶγμα ποιεῖ πάνδεινον. ἀναγινώσκει μοι πρόκλησιν μακρὰν, ἀζι-

[1] εἶναι δίκας [2] [εἰς τὰ τῶν πλησίον] [3] μόλις παρὰ τούτου, [4] ἐπικεκληρωμένων [5] ἑαυτοῦ, τ. ἐ. τῶν συνεστηκότων,

orationem περὶ Συμμοριῶν. Wolf. προεισφορὰ est tributum quod, urgente necessitate, pro pauperibus pendebant divites, ita ut numeratam pro ipsis pecuniam deinde pro jure suo exigerent. Auger.

Τοῖς ἕτερον συντρήσασιν εἰς τὰ τῶν πλησίον] Συντρεῖν ἕτερον, *perfodere* aut *perforare alterum, in ea, quæ vicinorum sunt.* Videtur aliquid mendi esse in verbis: et τὸ ἕτερον fortassis abundat: sed sententia non est obscura. Wolf.

Τῶν ἐν τῷ νόμῳ τι ποιοῦσι] S. τῶν ἀπηγορευμένων ὑπὸ τοῦ νόμου. Idem.

Περὶ τούτου οὐκ εἶναι δίκην μεταλλικὴν, προσφθεγκτέον οὐδ' ἐγγὺς] Προσφθεγκτέον οὐκ εἶναι δίκην μεταλλικὴν τῷ δανείσαντι Πανταινέτῳ, οὐδ' ἐγγὺς, ἀντὶ τοῦ, Πανταινέτῳ κατ' οὐδένα τρόπον δίκην εἶναι κατὰ τοῦ δανείσαντος. Idem.

ἡ. Τῶν δικαστηρίων ἤδη ἐπικεκληρωμένων] Κληρωτὰ γὰρ τὰ δικαστήρια. Isocrates Areopagitico: πρὸ τῶν δικαστηρίων κληρουμένους, εἶθ' ἕξουσι τροφὴν, εἴτε καὶ μή. Sunt etiam certis in causis, apud Romanos quidem, ex ordinariis judicibus aliqui a Reis delecti, et ab alterutris nonnulli rejecti, ut in Milonianæ interpretatione docet Asconius. Si ἐπικεκυρωμένων, significat, *sortitione peracta, jam cum auctoritate fuisse judices.* Idem.

Καὶ περιστήσας τοὺς μεθ' ἑαυτοῦ τὸ ἐργαστήριον συνεστηκότων] Mendosus locus. F. τοὺς μεθ' ἑαυτοῦ ἐκ τῶν ἐργαστηρίων συνεστηκότας. etsi malim: τοὺς μεθ' ἑαυτοῦ συνεστηκότας, *gregalibus suis adductis.* Verti, ut potui: *adductisque secum iis, qui una cum ipso officinam constituerant.* Sed rectius fortassis intelliguntur τὰ ἐργαστήρια τῶν συκοφαντῶν, de quibus agitur in exceptione adversus Zenothemidem. Idem. *societatem factiosorum.* ἐργαστήριον eo sensu hic sumitur, quo π. Ζηνοθ. ἐργαστήρια τῶν συκοφαντῶν, *societates calumniatorum.* Auger.

Ἀναγινώσκει μοι πρόκλησιν μακρὰν] *Recitat mihi provocationem* vel *denunciationem bene longam, postulans servum quem conscium esse rei gestæ diceret, in quæstionem ea lege dari, ut si vera ipse dixisset, confestim ego tantæ damnarer pecuniæ, quanta pecunia legibus definita est: sin falsa viderentur quæ idem ipse in controversiam deduxisset, ipse ut quæstionis habendæ moderator et arbiter Mnesicles pretium servi in quæstionem injuria postulati arbitrio suo constitueret et æstimaret.* πρόκλησις est ἐξαίτησις τῶν θεραπόντων εἰς βάσανον ὅτε δικάζοιντο, πρὸς μαρτυρίαν τοῦ πράγματος. Moris enim fuit apud Antiquos, ut qui servum ad testimonium ferendum posceret, is pretii servi fidejussores daret in causa tum civili tum capitali. Qui autem servum ad quæstionem exposcebat, non alias æstimationem dabat, quam si causa caderet.

ῶν, ὃν φησιν οἰκέτην ταῦτα συνειδέναι, βασανίζεσθαι· κἂν μὲν ᾖ ταῦτ' ἀληθῆ, τὴν δίκην ἀτίμητον ὄφλειν αὐτῷ, ἐὰν δὲ ψευδῆ, τὸν βασανιστὴν Μνησικλέα ἐπιγνώμονα τῆς τιμῆς εἶναι τοῦ παιδός. λαβὼν δ' ἐγγυητὰς τούτων παρ' ἐμοῦ, καὶ σημηναμένου τὴν πρόκλησιν ἐμοῦ — οὐχ ὡς δίκαιον ὄν· ποῦ γάρ ἐστι δίκαιον ἐν οἰκέτου σώματι καὶ ψυχῇ, ἢ δύο ὠφληκέναι τάλαντα, ἢ μηδὲν τὸν συκοφαντοῦντα ζημιοῦσθαι; ἀλλ' ἐγώ, πολλῷ τῷ δικαίῳ περιεῖναι βουλόμενος, συνεχώρουν —, καὶ μετὰ ταῦτα [1] προκαλεῖταί με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολάς· οὕτως εὐθὺς ἦν δῆλος, οὐδ' οἷς αὐτὸς ὡρίσατο δικαίοις ἐμμένων. ἐπειδὴ δ' ἥκομεν πρὸς τὸν βασανιστήν, ἀντὶ τοῦ τὴν πρόκλησιν ἀνοίξας δεῖξαι τὰ γεγραμμένα, καὶ κατὰ ταῦτα πράττειν ὅ τι δοῖεν — διὰ γὰρ τὸν

[1] προσκαλεῖται μέν με

Quare fidejussor intercedebat inter actorem et reum: quanquam id Demosthenes postulationem adversarii depellendo ait iniquum esse. *In Annot. in Pandect.* Budæus.

Ἀναγκάσκει κ. τ. λ.] Quænam erat illa πρόκλησις? Servum Nicobuli torquendum sibi dari poscebat Pantænetus, ea lege, ut, si in tormentis veram esse suam postulationem appareret, Nicobulus δίκην ἀτίμητον ὄφλῃ: sin falsa, pro servo tormentis adhibito tantum Nicobulo præstaret Pantænetus, quanti damnum tortor æstimaret. ἀτίμητον ergo δίκην ὄφλειν volebat Pantænetus Nicobulum, i. e. damnum, quantum ipse æstimaverat, ita ut æstimationem impugnare non liceret, sibi præstare; pro damno dato tantum sibi solvi, quantum petiisset, ut nulla alia æstimatione esset opus. Id autem æstimaverat II. talentis. His expositis, interpretatio addenda est, reformatis quibusdam, in quibus Wolfius aberravit: *Legit mihi prolixam provocationem, servum, quem harum rerum conscium dicebat, in quæstionem postulans. Quod si ea vera essent, summam, quam ille petebat, absque alia damni sui æstimatione solverem; sin falsa, æstimaret tortor Mnesicles, quanti esset damnum ex servi mei quæstione mihi datum. Atque acceptis a me vadibus, et obsignato provocationis, sive delatæ conditionis, libello, non quod justum esset, (ubi enim justum ex servi cruciatu pendere, ut aut II. talentis condemnarer, aut, si absolverer, nulla calumniatorem pœna sequeretur?) sed quod ego magna juris abundantia superare volebam, consensum præstiti.* Herald. Anim. in Salmas. Obss. ad Jus A. et R. l. III. c. V. §. 3. cf. l. VI. c. XIV.

Τὴν δίκην ἀτίμητον ὄφλειν αὐτῷ] Ne quid de petita mulcta detrahatur. Pollux lib. 8. ἀτίμητος δίκη, ἣν οὐκ ἔστιν ὑπατιμήσασθαι, ἀλλ' ἢ τοσούτου τετιμῆσθαι, ὅσον ἐπιγέγραπται. Suidas: ἀτίμητος ἀγὼν, ἐφ' ᾧ τίμημα ὡρισμένον ἐκ τῶν νόμων οὐ κεῖται, ἀλλ' εἰ δικάζοντες ἐτιμῶντο, τί δεῖ παθεῖν, ἢ ἀποτίσαι, ὁ δὲ τιμητὸς, ᾧ πρόσεστιν ἀπὸ τῶν νόμων ὡρισμένον τίμημα. Huic contrarium habet Varini Lexicon: ὁ μὲν τιμητὸς ἀγὼν, ἐφ' ᾧ τίμημα ὡρισμένας ἐκ τῶν νόμων οὐκ ἔστιν, ἀλλὰ τοὺς δικαστὰς ἔδει τιμᾶσθαι, ὅ,τι χρὴ παθεῖν, ἢ ἀποτίσαι, ὁ δὲ ἀτίμητος τοὐναντίον, ᾧ πρόσεστιν ἐκ τῶν νόμων ὡρισμένας τίμημα, ὡς οὐδὲν δεῖν τοὺς δικαστὰς τιμῆσαι. Ac Pollux cum Varino consentit, ut videatur Suidæ locus depravatus. ζημία autem ἀτίμητος, quam hic petit Pantænetus, non erat legibus, sed ab ipso accusatore definita duorum talentum. Itaque pro definita legibus, malim, eam, quam postulasset, aut in actione perscripsisset. Wolf.

Προκαλεῖταί με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολὰς] Nam si quæstiones processissent, judicio nihil fuisset opus. Sed mirum, licuisse pecuniam semel depositam tollere. Idem. *Post hæc provocat* vel *lacessit me judicio rursus, simul ac sustulit pignora.* Quibus verbis significat minime illum stetisse priore sponsione, sed pignora sua rece-

θόρυβον τὸν τότε καὶ τὸ μέλλειν καλεῖσθαι τὴν δίκην, τοιοῦτον ἦν, Προκαλοῦμαί σε ταυτὶ, Δέχομαι· Φέρε τὸν δακτύλιον, Λαβέ· Τίς δ' ἐγγυητής; Οὗτοσὶ, οὐδὲν οὔτ' ἀντίγραφον, οὔτ' ἄλλο οὐδὲν ἐποιησάμην τοιοῦτον — ἀντὶ δὴ τοῦ ταῦθ' οὕτως, ὥςπερ λέγω, πράττειν, ἑτέραν ἦκεν ἔχων πρόκλησιν, ἀξιῶν αὐτὸς βασανίζειν τὸν ἄν- 979
θρωπον· καὶ ἐπιλαβόμενος εἶλκε, καὶ ἐνέλιπεν οὐδὲν ἀσελγείας. καὶ ἔγωγ' ἐνεθυμήθην, ὦ ἄνδρες δικασταὶ, ἡλίκον ἐστὶ [1] πλεονέκτημα καταπεπλῆχθαι τὸν βίον. ἐγὼ γὰρ ἐμαυτὸν ταῦτα πάσχειν ἐδόκουν, καταφρονούμενος τῷ ἁπλῶς καὶ ὡς πέφυκα ζῆν, καὶ δίκην διδόναι παμμεγέθη ταῦθ' ἀνεχόμενος. ὅτι δ' οὖν ἠναγκαζόμην, παρ' ἃ ἡγούμην δίκαια εἶναι, ἀντιπροκαλεῖσθαι καὶ τὸν οἰκέτην παρεδίδουν· καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε τὴν πρόκλησιν.

ΠΡΟΚΛΗΣΙΣ.

φυγὼν μὲν τοίνυν ταῦτα, φυγὼν δ' ἃ τὸ πρῶτον αὐτὸς προὐκαλέσατο, ἔγωγε, ὅ τι ποτ' ἐρεῖ πρὸς ὑμᾶς, θαυμάζω. ἵνα δ' εἰδῆτε ὑφ' οὗ φησὶ καὶ τὰ δεινὰ πεπονθέναι, θεάσασθε. οὗτός ἐστιν ὁ Πανταίνετον ἐκβαλὼν, οὗτός ἐστιν ὁ κρείττων τῶν φίλων τῶν Πανταινέτου καὶ τῶν νόμων· οὐ γὰρ ἔγωγ' ἐπεδήμουν, οὐδ' αὐτὸς ἐγκαλεῖ.

θ'. Βούλομαι δ' ὑμῖν, καὶ δι' ὧν τοὺς πρότερον δικαστὰς ἐξαπατήσας εἷλε τὸν Εὔεργον, εἰπεῖν, ἵν' εἰδῆθ', ὅτι καὶ νῦν οὐδὲν οὔτ' ἀναιδείας οὔτε τοῦ ψεύδεσθαι παραλείψει· πρὸς δὲ τούτοις, καὶ περὶ ὧν ἐμοὶ δικάζεται νῦν, τὰς αὐτὰς οὔσας ἀπολογίας εὑρήσετε, [2] ὅπερ ἔλεγχος ἀκριβέστα-

[1] πλεονέκτημα τὸ μὴ καταπεπλῆχθαι * διὰ τὸν βίον.

[2] ὅσπερ

pisse. Budæus.

Καὶ τὸ μέλλειν] Hic legendum mihi videtur: καὶ τὸ μέλλειν αὐτόν με προσκαλεῖσθαι πρὸς τὴν δίκην. et v. 4. οὐδὲν hoc prius eliminandum puto ut inutile. Auger.

Καλεῖσθαι] Προκαλεῖσθαι legi vult, si bene intellexerim, Budæus, affirmans locum mutilatum esse et corruptum.

Ἡλίκον ἐστὶ πλεονέκτημα καταπεπλῆχθαι τὸν βίον] Quanta esset injuria vitam abjectam agere. F. μὴ καταπεπλῆχθαι, et hoc sequor, dum melius aliquid invenero. Wolf. Vult quoque μὴ addi Augerus.

Ἐμαυτὸν ταῦτα πάσχειν ἐδόκουν, καταφρονούμενος] Aut ἐγὼ γὰρ αὐτὸς, aut ἐμαυτὸν καταφρονούμενον. Wolf.

Παρ' ἃ ἡγούμην δίκαια] Τὸ παρ' videtur abundare, et legendum ἠναγκαζόμην ἃ ἡγούμην δίκαια. Nam παρὰ τὰ δίκαια ἀντιπροκαλεῖσθαι ὁμολογεῖν, absurdum esset, si fateretur, se iniqui aliquid postulasse. Idem.

Ταῦτα] *Hæc quæ dico*, ut supra ταῦτα cum agitur de Pantæneto, *hæc quæ dicit*. Auger.

θ'. Ὅπερ ἔλεγχος] M. ὅσπερ. et p. 568. v. 16. ὧν δίκην λαχὼν ἥρηκεν, παρὰ τὸ αἱρεῖν, non

τός ἐστιν ὑπὲρ τοῦ τότ' ἐκεῖνον σεσυκοφαντῆσθαι. οὗτος γὰρ ἠτιάσατό γ' ἐκεῖνον πρὸς ἅπασι τοῖς ἄλλοις, [1] εἰσελθόντ' εἰς ἀγρὸν ὡς αὐτὸν, ἐπὶ τὰς ἐπικλήρους εἰσελθεῖν καὶ τὴν μητέρα τὴν αὑτοῦ, καὶ τοὺς νόμους ἧκεν ἔχων τοὺς
980 τῶν ἐπικλήρων πρὸς τὸ δικαστήριον. καὶ πρὸς μὲν τὸν ἄρχοντα, ὃν τῶν τοιούτων οἱ νόμοι κελεύουσιν ἐπιμελεῖσθαι, καὶ παρ' ᾧ τῷ μὲν ἠδικηκότι κίνδυνος περὶ τοῦ τί χρὴ παθεῖν ἢ ἀποτίσαι, τῷ δ' ἐπεξιόντι μετ' οὐδεμιᾶς ζημίας ἡ βοήθεια, οὐδέπω καὶ τήμερον ἐξήτασται, οὐδ' εἰσήγγειλεν, οὔτ' ἐμὲ οὔτε τὸν Εὔεργον ὡς ἀδικοῦντας· ἐν δὲ τῷ δικαστηρίῳ ταῦτα [2] κατηγορεῖ, καὶ δυοῖν ταλάντοιν εἶλε δίκην. ἦν γὰρ, οἶμαι, κατὰ μὲν τοὺς νόμους προειδότα τὴν αἰτίαν, ἐφ' ᾗ κρίνεται, ῥᾴδιον τἀληθῆ καὶ τὰ δίκαια ἐπιδείξαντ' ἀποφεύγειν· ἐν δὲ μεταλλικῇ δίκῃ, περὶ ὧν [3] οὐδὲν ἤλπιζεν αὐτοῦ κατηγορηθήσεσθαι, χαλεπὸν παραχρῆμα ἔχειν ἀπολύσασθαι τὴν διαβολήν. ἡ δ' ὀργὴ παρὰ τῶν ἐξηπατημένων ὑπὸ τούτου δικαστῶν, ἐφ' ᾧ τὴν ψῆφον [4] εἶχον πράγματι, τοῦτου κατεψηφίσατο. καίτοι, τὸν ἐκείνους ἐξηπατηκότα τοὺς δικαστὰς, ἆρ' οἰκήσειν ὑμᾶς ἐξαπατᾶν οἴεσθε; ἢ πεπιστευκότα εἰσιέναι τοῖς πράγμασιν, ἀλλ' οὐ τοῖς λόγοις καὶ τοῖς [5] συνεστῶσι μεθ' ἑαυτοῦ μάρτυσι, τῷ τ' ἀκαθάρτῳ καὶ μιαρῷ Προκλεῖ τῷ μεγάλῳ τούτῳ, καὶ Στρατοκλεῖ τῷ πιθανωτάτῳ πάντων ἀνθρώπων καὶ πονηροτάτῳ, καὶ τῷ μηδὲν ὑποστελλόμενον μηδ' αἰσχυνόμενον κλαιήσειν καὶ ὀδυρεῖσθαι; καίτοι τοσούτου

[1] ἐλθόντ' [2] κατηγόρει [3] οὐδ' ἂν ἤλπισεν [4] * οἶκ εἶχον
[5] συνεστῶσι τούτοις [μεθ' ἑαυτοῦ]

τὸ ἐρέω. et ibid. v. 18. αὐτὸς αὐτὸν, S. τὸν οἰκέτην. Wolf.

Καὶ τοὺς νόμους ἧκεν κ. τ. λ.] Queritur Demosthenes h. l. ordinem judiciorum non esse servatum adversus Evergum, II. talentis ob injuriam, quam Pantænetus dicebat puellis patre orbis ab eo factam, damnatum. Cum enim causa metallica in judicio agitaretur eum obiter questum esse, Evergum, cum officinam metallicam invaderet, in gynæceum quoque impudenter irrupisse, ubi mater et ἐπίκληροι essent, sicque injuriam iis esse factam. Atque lex περὶ τῶν ἐπικλήρων volebat, ait Demosthenes, *denunciationem*, εἰσαγγελίαν, prius apud Archonta, nempe ἄρχοντα ἐπώνυμον, quem *Prætorem* Latini reddiderunt, fieri, ad quem τῶν ἐπικλήρων cura pertinet, et apud quem reum ait periclitari de capite aut ære, non quod Prætor causas eas definiret, sed quod judicaret, admittenda esset necne εἰσαγγελία, quam si in judicium deducebat, tunc reus periclitabatur de pœna corporali aut pecuniaria; actor autem sine periculo accusabat, cum ἐν εἰσαγγελίαις pœna nulla, aut mulcta, esset in eum constituta, qui non obtinebat. *Herald.* Anim. in Salmas. Obss. ad Jus A. et R. l. III. c. XIV. §. 4.

Τοῦ τοῦ] M. ἐκείνου, quod refertur ad Evergum, et deinde κατεψηφίσατο, referendo ad ὀργή. Auger.

[1] δεῖ σ' ἐλέου τινὸς ἄξιον εἶναι, ὥςτε μισηθείης ἂν δικαιότατ' ἀνθρώπων ἁπάντων ἐξ ὧν πεπραγμάτευσαι· ὅς γε ὀφείλων μνᾶς ἑκατὸν καὶ πέντε, καὶ οὐχ οἷός τε ὢν διαλῦσαι, τοὺς ταῦτα συνευπορήσαντας καὶ γενομένους αἰτίους σοι τοῦ τὰ δίκαια ποιῆσαι τοῖς συμβαλοῦσιν ἐξαρχῆς, χω- 981
ρὶς ὧν περὶ [2] αὐτὰ συμβόλαια ἠδίκεις, καὶ προσατιμῶσαι ζητεῖς. καὶ τοὺς μὲν ἄλλους τοὺς δανειζομένους ἴδοι τις ἂν ἐξισταμένους τῶν ὄντων· σοὶ δ' ὁ συμβεβληκὼς τοῦτο πέπονθε, καὶ, δανείσας τάλαντον, δύο ὤφληκε συκοφαντηθείς. ἐγὼ δὲ, τετταράκοντα δανείσας μνᾶς, δυοῖν ταλάντοιν ταυτηνὶ φεύγω δίκην· καὶ, ἐφ' οἷς δανείσασθαι μὲν οὐδεπώποτ' [3] ἐδυνήθης ἑκατὸν μνῶν πλέον, πέπρακας δὲ καθάπαξ τριῶν ταλάντων καὶ δισχιλίων, εἰς ταῦτα, τέτταρα ὡς ἔοικεν ἠδίκησαι [4] τάλαντα ὑπό του, καὶ ταῦτα ὑπὸ τοῦ οἰκέτου, νὴ τὸν Δία, τοῦ ἐμοῦ. τίς δ' ἂν οἰκέτῃ παραχωρήσειε πολίτης τῶν ἑαυτοῦ; ἢ τίς ἂν φήσειεν, ὧν δίκην λαχὼν ἤρηκεν [5] αὐτὸς Εὔεργον, τούτων καὶ τὸν ἐμὸν παῖδα ὑπεύθυνον εἶναι προσήκειν; χωρὶς δὲ τούτων, αὐτὸς αὐτὸν οὗτος ἀφῆκε τῶν τοιούτων αἰτιῶν ἁπασῶν. οὐ γὰρ νῦν ἔδει λέγειν, οὐδ' εἰς τὴν πρόκλησιν γράφειν ἐν ᾗ βασανίζειν [6] ἐζήτει· ἀλλὰ, λαχόντα ἐκείνῳ τὴν δίκην, τὸν κύριον διώκειν ἐμέ. νῦν δ' εἴληχε μὲν ἐμοὶ, κατηγορεῖ δ' ἐκείνου· ταῦτα δ' οὐκ ἐῶσιν οἱ νόμοι. τίς γὰρ πώποτε, τῷ δεσπότῃ λαχὼν, τοῦ δούλου τὰ πράγματα, [7] ὡς κυρίου, κατηγορήσειεν;

ί. Ἐπειδὰν τοίνυν τις αὐτὸν ἔρηται, καὶ τί δίκαιον

[1] δεῖς ἐλέου τινὸς ἄξιος [2] αὐτὰ τὰ συμβόλαια ἠδικήκεις [3] ἠδυνήθης
[4] τάλαντα! ὑπὸ τοῦ ταῦτα; ὑπὸ [5] οὗτος [6] ἐξήτει [7] ὥσπερ κυρίου, κατηγόρησεν

ί. Ἐπειδὰν τοίνυν τις κ. τ. λ.] Demosthenes hoc loco invidiam, qua premebantur fœneratores, amovere a Nicobulo vult, quod is non artem fœneratoriam faceret, sed amicos sublevando, suis quoque rebus aliquomodo consuleret. Neque enim fœneratores privatos odio publico eximit, si qui artem illam, quanquam inter privatos parietes faciebant; sed non omnes, qui pecuniam mutuo darent, et inde lucellum facerent, inter quos haberi volebat Nicobulum, quem tamen fœnus acerrime agitasse quædam videntur demonstrare, eo ordine habendos significat. Atque locum hunc non de danistis publicis fœnus exercentibus, sed de fœneratoribus privatis, quique hoc vitæ genus dissimularent esse accipiendum, ostendit quod ille ait ibidem, postquam fœneratores invisos esse dixit, hoc genus hominum inde sibi notum, eo quod eorum pecunia quandoque usus esset, iisdem quibus alii conditionibus; quod de trapezitis publicis, qui in foro prostabant omnibus noti, nihil attinebat dicere. p. 569. v. 10. Atque hos δανείζοντας appellat, non δανειστὰς, quia δανειστοῦ appellatio artem veluti et professionem significat; ὁ δανείζων autem dici potest, qui rem eandem facit, sed non tanquam artifex, ut ita dicam, nec pas-

ἕξεις λέγειν πρὸς Νικόβουλον; μισοῦσί, φησιν, Ἀθηναῖοι τοὺς δανείζοντας· Νικόβουλος δ' ἐπίφθονός ἐστι, καὶ ταχέως βαδίζει, καὶ μέγα φθέγγεται, καὶ βακτηρίαν φορεῖ· ταῦτα δ' ἐστὶν ἅπαντά, φησι, πρὸς ἐμοῦ. καὶ ταῦτ' οὐκ αἰσχύνεται λέγων, οὐδὲ τοὺς ἀκούοντας οἴεται μανθάνειν, ὅτι συκοφαντοῦντός ἐστιν ὁ λογισμὸς οὗτος, οὐκ ἀδικου-
32 μένου. ἐγὼ δ' ἀδικεῖν μὲν οὐδένα τῶν δανειζόντων οἴομαι· μισεῖσθαι μέντοι τινὰς εἰκότως ἂν ὑφ' ὑμῶν, οἱ, τέχνην τὸ πρᾶγμα πεποιημένοι, μήτε συγγνώμης μήτ' ἄλλου μηδενός εἰσιν, ἀλλ' ἢ τοῦ πλείονος. διὰ [1] γὰρ τὸ δεδανεῖσθαι πολλάκις, μὴ μόνον αὐτὸς τούτῳ δανεῖσαι, οὐδ' [2] ἐγὼ τούτους ἀγνοῶ οὐδὲ φιλῶ· οὐ μέντοι γε ἀποστερῶ, μὰ Δία, οὐδὲ συκοφαντῶ. ὅστις δὲ εἴργασται μέν, ὥσπερ ἐγὼ πλέων καὶ κινδυνεύων, εὐπορήσας δὲ μικρῶν ἐδάνεισε ταῦτα, καὶ χαρίσασθαι βουλόμενος καὶ μὴ λαθεῖν διαῤῥυὲν αὐτὸν τὸ ἀργύριον, τί τίς ἂν τοῦτον εἰς ἐκείνους τιθείη; εἰ μὴ τοῦτο λέγεις, ὡς, ὃς ἄν σοι δανείσῃ, τοῦτον δημοσίᾳ μισεῖσθαι προσήκει. λέγε δή μοι τὰς μαρτυρίας, τίς ἐγὼ πρὸς τοὺς συμβάλλοντας [3] ἀνθρώπους καὶ πρὸς τοὺς δεομένους εἰμί.

[1] γὰρ καὶ τὸ [2] ἐγὼ αὐτὸς τούτους [3] * ἄνθρωπος

sim, sed per occasionem, et aliam ob causam, quam ut inde tantum rem faciat. Sed et δανείζων, dicetur, qui clam eam rem facit, μήτε συγγνώμης μήτε ἄλλου μηδενὸς ὤν, ἀλλ' ἢ τοῦ πλείονος: non ut beneficium cuiquam conferat, atque inopiam alterius sublevet, sed ut ex eo negotio lucrum, quam fieri potest, maximum percipiat; unde fit ut nulla misericordia, nullo humanitatis respectu tangatur, id unum agens, ut lucrum faciat, cui proposito sæpe obstat χρηστότης, et Ζεὺς ὁ μειλίχιος. Ejusmodi igitur homines toti sunt τοῦ πλείονος, qui est effectus fœnoris. Quare ne momentum quidem temporis, quod caro vendunt, perdere in animum inducere possunt, nec cuiquam parcunt, meri δανεισταί: sed quia publice id non profitentur, δανείζοντας eos dicit Aristoteles Polit. l. I. c. VII. At Nicobulus dicebat δανεῖσαι quidem se τῷ Πανταινέτῳ, sed ut ei auxilio esset, ut res ejus juvaret, simul etiam ut ex pecunia sua pauxillum emolumenti caperet; quo nomine inter τούτους τοὺς δανείζοντας censendum se negabat. ὅστις - - - προσήκει. v. 13. Nota illud eleganter dictum, καὶ μὴ λαθεῖν διαῤῥυὲν αὐτὸν τὸ ἀργύριον. Quomodo eos, qui pecuniam otiosam in arca premunt, dicebat eleganter Chrysost. in Psalm. XLIX. τὸν πλοῦτον ἐλαττοῦν τῇ φυλακῇ. Quare οἱ δανείζοντες h. l. non sunt οἱ κιχρᾶντες, qui gratis mutuo dant, ut Salmasius de M. U. p. 17. volebat, sed ἐπὶ τόκῳ. Neque cum dicebat Nicobulus pecuniam suam se δανεῖσαι, χαρίζεσθαι βουλόμενον, significabat mutuam se dedisse pecuniam gratis, sed amicis opitulantem nec fœnerandi artem facientem, etsi pecuniæ suæ usuram caperet. *Herald. Anim. in Salmas. Obss. ad Jus A. et R.* l. II. c. XXIV. §. 1. sqq.

Μισοῦσι Ἀθηναῖοι τοὺς δανείζοντας] Similiter Plautus Mostell. III. 1. 123. *Nullum adepol hodie genus est hominum tetrius - - - quam Danisticum.*

Καὶ βακτηρίαν φορεῖ] Utrum id fœneratorum insigne fuit? an habuerunt in eo descripta debitorum nomina? aut incisas æris alieni summas? τῷ γὰρ ταχέως βαδίζοντι τίς χρεία βακτηρίας. Wolf.

Ταῦτα δὲ ἐστὶν ἅπαντά, φησι, πρὸς ἐμοῦ] *Hæc, inquit, omnia a me stant, et causam meam adjuvant.* Budæus.

ΜΑΡΤΥΡΙΑΙ.

τοιοῦτος, ὦ Πανταίνετε, ἐγὼ ὁ ταχὺ βαδίζων, καὶ τοιοῦτος σὺ ὁ ἀτρέμας.

ιά. Ἀλλὰ μὴν περί γε τοῦ ἐμοῦ βαδίσματος ἢ τῆς διαλέκτου πάντ' ἐρῶ τἀληθῆ πρὸς ὑμᾶς, ὦ ἄνδρες δικασταί, μετὰ παῤῥησίας· ἐγὼ γὰρ οὐχὶ λέληθα ἐμαυτὸν, οὐδ' ἀγνοῶ, οὐ τῶν εὖ πεφυκότων κατὰ ταῦτα ὢν ἀνθρώπων, οὐδὲ τῶν λυσιτελούντων [1] ἐμαυτῷ. εἰ γὰρ, ἐν οἷς οὐδὲν ὠφελοῦμαι ποιῶν, λυπῶ τινὰς, πῶς οὐκ ἀτυχῶ κατὰ τοῦτο τὸ μέρος; ἀλλὰ τί χρὴ παθεῖν, ἂν τῷ [2] δεῖνι δανείσω; διὰ ταῦτα δίκην προσόφλειν; μηδαμῶς. κακίαν γάρ μοι καὶ πονηρίαν οὔθ' οὗτος προσοῦσαν οὐδεμίαν δείξει, οὔθ' ὑμῶν τοσούτων ὄντων οὐδεὶς σύνοιδε· τἆλλα δὲ ταῦθ' ἕκαστος ἡμῶν, ὅπως ἔτυχε, πέφυκεν, οἶμαι. καὶ φύσει μάχεσθαι [3] μὲν ἔχοντα οὐκ εὔπορόν ἐστιν, οὐ γὰρ ἂν ἀλλήλων διεφέρομεν οὐδέν· γνῶναι δ' ἰδόντα ἕτερον καὶ ἐπιπλῆξαι, ῥᾴδιον. ἀλλὰ τί τούτων ἐμοὶ πρὸς σὲ, Πανταίνετε; [4] οὐδέν. πολλὰ καὶ δεινὰ πέπονθας. οὐκοῦν εἴληφας [5] δίκην, οὐ παρ' ἐμοῦ γε· οὐδὲ γὰρ ἠδικήθης οὐδὲν ὑπ' ἐμοῦ. οὐ γὰρ ἄν ποτε ἀφῆκας, οὐδ', ὅτ' Εὐέργω προῃροῦ λαγχάνειν, εἴας ἂν ἐμὲ, οὐδὲ πρατῆρα ἠξίωσας ὑποστῆναι τόν γε δεινά σε καὶ μεγάλα εἰργασμένον. εἶτα καὶ πῶς ἂν ὁ μὴ παρὼν, μηδ' ἐπιδημῶν ἐγὼ τί σε ἠδίκησα;

ιβ'. Εἰ τοίνυν ὡς οἷόν τε μέγιστ' ἠδικῆσθαι δοίη [6] τις αὐτῷ, καὶ ἐρεῖν ἅπαντα τἀληθῆ περὶ τούτων νυνὶ, ἐκεῖνό γ' [7] οἶμαι πάντας ἂν ὑμᾶς ὁμολογῆσαι, ὅτι πολλὰ συμβέβηκεν ἠδικῆσθαί τισιν ἤδη μείζω τῶν εἰς χρήματα γινομένων ἀδικημάτων. καὶ γὰρ ἀκούσιοι φόνοι, καὶ ὕβρεις εἰς ἃ μὴ δεῖ, καὶ πολλὰ τοιαῦτα ἄλλα γίνεται. ἀλλ' ὅμως ἁπάντων τούτων ὅρος καὶ λύσις τοῖς παθοῦσι τέτακται, τὸ πεισθέντας ἀφεῖναι· καὶ τοῦθ' οὕτω τὸ δίκαιον ἐν πᾶσιν ἰσχύει, ὥστε ἂν, ἑλών τις [8] ἀκουσίου φόνου καὶ σαφῶς ἐπι-

[1] *ἑαυτοῖς [2] [δεῖνι] [3] μὲν ἔχοντα μάχεσθαι [4] [οὐδὲν] [5] δίκην. οὐ παρ' ἐμοῦ γε; [6] τις ἂν αὐτῷ [7] οἴομαι [8] *ἑκουσίου

ιά. Τούτων] Sub. ἐνόντων. Malim tamen ταῦτα subaudiendo ἔνοντα, vel etiam addendo, et v. 24. post τις adde vel sub. τινά. et p. 571. v. 5. L. ἢ καὶ τεθνᾶναι. AUGER.

Ἠξίωσας ὑποστῆναι] Γενέσθαι. WOLF.

ιβ'. Ἂν ἑλών τις ἀκουσίου φόνου] M. ἑκουσίου. τοῦτο γὰρ δεινότερον. et, p. 571. v. pen. τοῦτ' ἔσται δεινότατον. IDEM.

δείξας μὴ καθαρὸν, μετὰ ταῦτ' αἰδέσηται καὶ ἀφῇ, οὐκέτ' ἐκβαλεῖν κύριος τὸν αὐτόν ἐστιν. οὐδὲ γὰρ, ἂν ὁ παθὼν αὐτὸς ἀφῇ τοῦ φόνου πρὶν τελευτῆσαι τὸν δράσαντα, οὐδενὶ τῶν λοιπῶν συγγενῶν ἔξεστ' ἐπεξιέναι· ἀλλ', οὓς ἐκπίπτειν καὶ φεύγειν, [1] ἂν ἁλίσκωνται, καὶ τεθνάναι προστάττουσιν οἱ νόμοι, τούτους, ἂν ἀφεθῶσιν ἅπαξ, ἁπάντων ἐκλύει τῶν δεινῶν τοῦτο τὸ ῥῆμα. εἶθ' ὑπὲρ [2] μὲν ψυχῆς καὶ τῶν μεγίστων οὕτως ἰσχύει καὶ μένει τὸ ἀφεῖναι, ὑπὲρ δὲ χρημάτων καὶ ἐλαττόνων ἐγκλημάτων ἄκυρον ἔσται; μη-
984 δαμῶς. οὐ γὰρ, εἰ μὴ τῶν δικαίων ἐγὼ παρ' ὑμῖν τεύξομαι, τοῦτ' ἔστι δεινότατον· ἀλλ', εἰ πρᾶγμα δίκαιον, ὡρισμένον ἐκ παντὸς τοῦ χρόνου, νυνὶ [3] καταλυθήσεται ἐφ' ἡμῶν.

[1] ἂν * δ' ἁλίσκωνται [2] μὲν τῆς ψυχῆς [3] καταλύσετε

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΑΡΑΓΡΑΦΙΚΟΥ ΠΡΟΣ ΝΑΥΣΙΜΑΧΟΝ ΚΑΙ ΞΕΝΟΠΕΙΘΗΝ ΛΟΓΟΥ.

Pag. ed. Reisk.

ΝΑΥΣΙΜΑΧΟΣ καὶ Ξενοπείθης ἐπετροπεύθησαν ὑπὸ Ἀρισταίχμου. ἐγγραφέντες δὲ εἰς 984
ἄνδρας ἔλαχον δίκην ἐπιτροπῆς αὐτῷ. εἶτα διελύσαντο λαβόντες τρία τάλαντα, καὶ ἀφῆκαν αὐτὸν τῶν ἐγκλημάτων. καὶ ὁ μὲν τετελεύτηκε καταλιπὼν παῖδας τέτταρας· τούτοις δὲ μετὰ χρόνον συχνὸν ὁ Ναυσίμαχος καὶ Ξενοπείθης δικάζονται βλάβης, χρήματα ἀπαιτοῦντες ἐκ τῆς ἐπιτροπῆς. οἱ δὲ παραγράφονται παρατιθέμενοι τὸν νόμον τὸν οὐκ ἐῶντα, περὶ ὧν ἄν τις ἄφεσιν δῷ καὶ ἀπαλλαγὴν, πάλιν δικάζεσθαι.

Ἔλαχον δίκην ἐπιτροπῆς αὐτῷ. et ibid. λαβόντες τρία τάλαντα. et v. 3. ἀφῆκαν αὐτὸν τῶν ἐγκλημάτων. et v. 5. οἱ δὲ παραγράφονται. Wolf.

Γράφονται] Rescribendum est παραγράφονται. *Leg. Attic.* L. IV. T. IV. p. 429. Petitus.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΠΑΡΑΓΡΑΦΗ

ΠΡΟΣ ΝΑΥΣΙΜΑΧΟΝ ΚΑΙ ΞΕΝΟΠΕΙΘΗΝ.

ά. ΔΕΔΩΚΟΤΩΝ, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν νόμων παραγράφεσθαι, περὶ ὧν [1] ἄν τις ἀφεὶς καὶ ἀπαλλάξας πάλιν δικάζηται, γεγενημένων ἀμφοτέρων τούτων τῷ πατρὶ πρὸς Ναυσίμαχον καὶ Ξενοπείθην τοὺς εἰληχότας ἡμῖν, 985
παρεγραψάμεθα, ὥσπερ ἠκούσατε ἀρτίως, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. δεήσομαι δὲ καὶ δίκαια καὶ μέτρια ὑμῶν ἁπάντων, πρῶτον μὲν εὐνοϊκῶς ἀκοῦσαί μου λέγοντος, ἔπειτ', ἐὰν ἀδικεῖσθαι δοκῶ [2] ἢ καὶ μὴ προσήκοντος ἐγκλήματος φεύγειν δίκην, βοηθῆσαί μοι τὰ δίκαια. ὁ μὲν γὰρ ὑμεῖς ἐπὶ τῇ δίκῃ τίμημα ἀκηκόατε, τριάκοντά εἰσιν μναῖ·

[1] ἂν ὧν [2] Deest ἢ.

ά. Τοὺς εἰληχότας ἡμῖν] S. δίκην. quæ vox fortassis a librariis est omissa. Wolf.

Ἐὰν ἀδικεῖσθαι δοκῶ, ἢ καὶ μὴ] Τὸ ἢ mallem abesse, ut est annotatum in varia lectione. Idem.

Τριάκοντα μναῖ] Quater 30. minæ sunt

ὧν δὲ φεύγομεν χρημάτων, τέτταρα τάλαντα. ὄντες γὰρ δύο τέτταρας εἰλήχασι δίκας ἡμῖν τῶν αὐτῶν χρημάτων ἁπάσας, τρισχιλίων ἑκάστην, βλάβης· καὶ νυνὶ πρὸς τριάκοντα μνῶν ἐπίγραμμα ὑπὲρ τοσούτων χρημάτων εἰς ἀγῶνα καθέσταμεν. τὴν μὲν οὖν συκοφαντίαν τὴν τούτων, καὶ μεθ' ὅσης ἐπιβουλῆς ἐληλύθασιν ἐφ' ἡμᾶς, ἐξ αὐτῶν τῶν πεπραγμένων εἴσεσθε· ἀναγνώσεται δὲ [1] πρῶτον ὑμῖν τὰς μαρτυρίας, ὡς ἀφεῖσαν τὸν πατέρα ἡμῶν ὧν ἐνεκάλεσαν εἰς τὴν ἐπιτροπήν. κατὰ γὰρ τοῦτο καὶ παρεγραψάμεθα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. καί μοι λέγε ταυτασὶ τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, [2] δίκας ἔλαχον τῆς ἐπιτροπῆς, καὶ ἀφεῖσαν ταύτας, καὶ τὰ συγχωρηθέντα χρήματα ἔχουσιν, ἀκούετε τῶν [3] μαρτυριῶν· ὅτι δ' οὐκ ἐῶσιν οἱ νόμοι περὶ τῶν οὕτω πραχθέντων αὖθις δικάζεσθαι, νομίζω μὲν ὑμᾶς ἅπαντας εἰδέναι, κἂν μηδὲν εἴπω περὶ αὐτῶν ἐγώ, βούλομαι δ' ὅμως καὶ τὸν νόμον ὑμῖν αὐτὸν ἀναγνῶναι. λέγε τὸν νόμον.

986 ## ΝΟΜΟΣ.

ἀκούετε, ὦ ἄνδρες δικασταί, τοῦ νόμου σαφῶς λέγοντος ἕκαστα ὧν μὴ [4] εἶναι δίκας, ὧν ἔνεστιν, ὁμοίως τοῖς ἄλλοις κύριον, περὶ ὧν ἄν τις ἀφῇ καὶ ἀπαλλάξῃ μὴ δικάζεσθαι; οὕτω τοίνυν καὶ μετὰ πολλῶν μαρτύρων τῆς ἀφέσεως γεγονυίας, καὶ φανερῶς ἀπολύοντος ἡμᾶς τοῦ νόμου, εἰς τοῦτο ἐληλύθασιν ἀναισχυντίας οὗτοι καὶ τόλμης, ὥστε, τεττάρων μὲν καὶ δέκα ἐτῶν γεγενημένων ἀφ'

[1] πρῶτον μὲν ὑμῖν [2] καὶ δίκας [3] μαρτύρων
[4] εἶναι * δεῖ δίκας· ὧν ἔν ἐστιν, ὁμοίως

120. et quater 3000. drachmæ sunt totidem (1000. enim drachmæ 10. minas faciunt) 60. minæ talentum. Ergo 240. minæ sunt 4. talenta: quia uterque frater a quatuor fratribus tricenas minas postulavit. IDEM. Vid. Herald. Anim. in Salmas. Obss. ad Jus A. et R. l. III. c. IV. §. V.

ὧν ἔνεστιν ὁμοίως τοῖς ἄλλοις κύριον] Pro ἀφ', ἢ, ἐξ ὧν. *In farrag.* Unica vocabula ὑφὲν scripta, cum duo verba sint, hunc locum obscuravit. Qua divisa, nihil opus est assumentis scholii. Tu lege, retentis auctoris verbis: ὧν μὴ εἶναι δίκας, scil. χρὴ, vel κατ' ἐναλλαγὴν, ὧν μὴ εἰσι δίκαι, ὧν ἔν ἐστιν, ὁμοίως τοῖς ἄλλοις κύριον. Ait, multa esse ob quæ actio non detur: quorum unum sint ea, quæ acta transactaque sint, æque ratum ac cætera. WOLF.

οὗ τὸν πατέρα ἡμῶν ἀφεῖσαν, εἴκοσι δὲ καὶ δυοῖν ἀφ' οὗ τυγχάνουσι γεγραμμένοι, τετελευτηκότος δὲ καὶ τοῦ πατρὸς τοῦ ἡμετέρου [1] καθ' ὃν αὐτοῖς ἐγένοντο αἱ ἀπαλλαγαὶ, καὶ τῶν ἐπιτρόπων οἱ μετὰ τὸν ἐκείνου θάνατον τῶν ἡμετέρων ἐγένοντο κύριοι, καὶ τῆς ἑαυτῶν μητρὸς ἥτις ἅπαντα ταῦτα ἤδει, καὶ διαιτητῶν, καὶ μαρτύρων, καὶ πάντων — τῶν πλείστων, ὡς εἰπεῖν, τὴν ἀπειρίαν τὴν ἡμετέραν καὶ τὴν ἐξ ἀνάγκης ἄγνοιαν τῶν πεπραγμένων, ἔρμαιον νομίσαντες [2] αὐτῶν, τὰς δίκας ἡμῖν ἔλαχον ταύτας, καὶ λόγον οὔτε δίκαιον οὔτ' ἐπιεικῆ τολμῶσι λέγειν.

β'. Φασὶ γὰρ οὐκ ἀποδόσθαι τὰ πατρῷα ὧν ἐκομίζοντο χρημάτων, οὐδ' ἀποστῆναι τῶν ὄντων, ἀλλ', ὅσα αὐτοῖς κατελείφθη χρέα καὶ σκεύη καὶ ὅλως χρήματα, ταῦθ' αὑτῶν γίγνεσθαι· ἐγὼ δ' οἶδ' ἀκούων, ὅτι τὴν οὐσίαν Ξενοπείθης καὶ Ναυσικράτης ἅπασαν χρέα κατέλιπον καὶ φανερὰν ἐκέκτηντο μικράν τινα, εἰσπραχθέντων δὲ τῶν χρεῶν καί τινων σκευῶν πραθέντων, ἔτι δ' ἀνδραπόδων, τὰ χωρία καὶ τὰς συνοικίας ἐπρίαντο οἱ ἐπίτροποι, ἃ παρέλαβον οὗτοι. εἰ μὲν οὖν μηδὲν ἠμφισβητήθη περὶ τούτων πρότερον, μηδ' ὡς οὐ καλῶς διῳκημένων εἰς δίκην ἦλθεν, 987
ἄλλος ἂν ἦν λόγος· ἐπειδὴ δ', ὅλην τὴν ἐπιτροπὴν ἐγκαλέσαντες οὗτοι καὶ δίκας λαχόντες, χρήματ' ἐπράξαντο, ταῦτα πάντα ἀφεῖται τότε. οὔτε γὰρ οὗτοι τοῦ ὀνόματος δήπου τοῦ τῆς ἐπιτροπῆς τὰς δίκας ἐδίωκον, ἀλλὰ τῶν χρημάτων, οὔτ' ἐκεῖνοι τοὔνομα τοῦτο ἐωνοῦντο ὧν ἀπέτισαν χρημάτων, ἀλλὰ τὰ ἐγκλήματα. ὅτι μὲν οὖν, ὧν πρὸ τῶν ἀπαλλαγῶν εἰσέπραξε χρεῶν ὁ πατὴρ ἢ ὅλως ἔλαβε χρημάτων ἐκ τῆς ἐπιτροπῆς, οὐδενός εἰσι δίκαι τούτοις καθ' ἡμῶν ἀπηλλαγμένοις, ἐξ αὐτῶν τῶν νόμων καὶ τῆς ἀφέσεως ἱκανῶς πάντας ἡγοῦμαι ὑμᾶς μεμαθηκέναι. ὅτι δ' ὕστερον οὐκ ἔνι τὴν κομιδὴν γεγενῆσθαι τούτων τῶν χρημάτων — τοῦτο γὰρ πλάττουσιν οὗτοι καὶ παράγουσι —, τοῦτο βούλομαι δεῖξαι.

[1] καθ'] πρὸς

[2] αὐτῶν

Ἀφ' οὗ τυγχάνουσι γεγραμμένοι] Ἀφ' οὗ τὸν πατέρα ἐγράψαντο. Idem.

Καθ' ὃν] F. πρὸς ὃν, ἢ, μεθ' οὗ. Idem.

Καὶ πάντων τῶν πλείστων ὡς εἰπεῖν] F. καὶ τῶν πλείστων ἢ πάντων ὡς εἰπεῖν, S. τετελευτηκότων. Idem.

β'. Ἀπηλλαγμένοι] Ἀπηλλαγμένων, *contra nos qui missi facti sumus.* Sin ἀπηλλαγμένοις, ad accusatores referatur, quibus satisfactum est. Idem.

γ'. Τὸν μὲν γὰρ πατέρα οὐδ' ἂν αἰτιάσαιντο λαβεῖν, τέτταρσι γὰρ ἢ τρισὶ μησὶν ὕστερον ἢ διελύσατο πρὸς τούτους ἐτελεύτησεν· ὡς δ' οὐδὲ Δημάρετον τὸν καταλειφθέντα ἡμῶν ἐπίτροπον λαβεῖν οἷόν τε — καὶ γὰρ τοῦτον ἔγραψαν εἰς τὸ ἔγκλημα —, καὶ τοῦτο ἐπιδείξω. μέγιστοι μὲν οὖν εἰσὶν αὐτοὶ ἡμῖν οὗτοι μάρτυρες. οὐδαμοῦ γὰρ φανήσονται δίκην εἰληχότες ζῶντι τῷ Δημαρέτῳ· οὐ μὴν ἀλλὰ καὶ τὸ πρᾶγμα ἄν τις σκοπῶν αὐτὸ καὶ θεωρῶν, ἴδοι οὐ μόνον οὐχὶ λαβόντα, ἀλλ' οὐδ' ἐνὸν αὐτῷ λαβεῖν. ἦν μὲν γὰρ τὸ χρέος [1] ἐν Βοσπόρῳ· ἀφίκετο δ' οὐδὲ πώποτε εἰς τὸν τόπον τοῦτον ὁ Δημάρετος. πῶς οὖν εἰσέπραξεν; ἔπεμψε, νὴ Δία, εἴποι τις ἄν, τὸν κομιούμενον. σκοπεῖτε δὴ τοῦτο
988 οὕτωσί. ὤφειλεν Ἑρμώναξ στατῆρας ἑκατὸν, παρὰ Ναυσικράτους λαβὼν, τούτοις. τούτων ἐπίτροπος καὶ κηδεμὼν Ἀρίσταιχμος ἐγένετο ἑκκαίδεκα ἔτη. οὐκοῦν ἅ γε, τούτων ἀνδρῶν γεγονότων, δι' ἑαυτοῦ διέλυσε χρήματα ὁ Ἑρμώναξ, οὐκ ἀπέδωκεν, ὅτ' ἦσαν παῖδες· οὐ γὰρ δίς γε ταὐτὰ κατετίθει. ἔστιν οὖν οὕτω τίς ἀνθρώπων ἄτοπος, ὥςθ'; ἃ τοὺς κυρίους διεκρούσατο μὴ καταθεῖναι τοσοῦτον χρόνον, ταῦτα τῷ μὴ κυρίῳ, γράψαντι γράμματα, ἑκὼν ἀποδοῦναι; ἐγὼ μὲν οὐκ οἶμαι. ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, καὶ ὁ μὲν πατὴρ ἐτελεύτησεν εὐθέως μετὰ τὰς διαλύσεις, τῷ Δημαρέτῳ δ' οὐδὲ πώποθ' οὗτοι τῶν χρημάτων [2] τούτων δίκην ἔλαχον, οὐδ' ὅλως ἐξέπλευσεν ἐκεῖνος οὐδ' ἀπεδήμησεν ἐκεῖσε, λάβε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

ὅτι μὲν τοίνυν οὔθ' ὁ πατὴρ μετὰ τὴν ἄφεσιν τὰ χρήματα εἰσέπραξεν, οὔτ' ἂν ἔδωκεν ἑκὼν οὐδεὶς εἴ τινα ἔπεμψεν ὁ Δημάρετος, οὔτ' ἂν ἔπλευσεν αὐτὸς, οὐδ' ἂν ἀφίκετο ἐκεῖσε, δῆλον ἐκ τῶν χρόνων καὶ τῶν [3] μαρτύρων ὑμῖν γέγονε.

[1] ἐν τῷ Βοσπόρῳ [2] τούτων τῶν χρημάτων [3] μαρτυριῶν

γ'. Οὐκοῦν ἅ γε] Per γ, non per τ. qui error frequens est ob γάμμα alterum, cum et lineola etiam versus sinistram errore calami additur. Videtur hic locus esse mutilus, quod solutio ista Hermonactis quasi ex abrupto inseritur, et magnæ impudentiæ esset, a tutoribus eam pecuniam postulare, quam ipsi suæ tutelæ facti, a debitore accepissent. Idem.

Οὔτ' ἂν ἔπλευσεν] Hic legendum arbitror: οὔ τ' αὖ ἔπλευσεν αὐτὸς, οὐδ' ἀφίκετο, delendo ἂν, nisi mavis αὖ repetere, οὐδ' ἀ-

δ'. Βούλομαι τοίνυν καὶ ὅλως ψευδομένους αὐτοὺς ὅλον τὸ πρᾶγμα ἐπιδεῖξαι. οὗτοι γὰρ γεγράφασιν εἰς ὃ νῦν ἔγκλημα διώκουσιν, ὀφείλειν ἡμᾶς τὸ ἀργύριον, κομισαμένου τοῦ πατρὸς καὶ παραδόντος αὐτοῖς τοῦτο τὸ χρέος, ἐν τῷ λόγῳ τῆς ἐπιτροπῆς ὀφειλόμενον. καί μοι λέγε αὐτὸ τὸ ἔγκλημα λαβών.

ΕΓΚΛΗΜΑ.

ἀκούετε γεγραμμένον ἐν τῷ ἐγκλήματι παραδόντος ἐμοὶ τοῦ Ἀρισταίχμου τὸ χρέος ἐν τῷ λόγῳ τῆς ἐπιτροπῆς; ὅτε τοίνυν ἐλάγχανον τῷ πατρὶ τῆς 989
ἐπιτροπῆς, τἀναντία ἐγράψαντο τούτων· ὡς γὰρ οὐκ ἀποδόντι λόγον καὶ [1]τοῦτ' ἐγκαλοῦντες φαίνονται. λέγε δ' αὐτὸ τὸ ἔγκλημα, ὃ τότ' ἔλαχον τῷ πατρί.

ΕΓΚΛΗΜΑ.

ἐν ποίῳ δὴ λόγῳ νῦν ἐγκαλεῖτε, ὡς παρέδωκεν, ὦ Ξενοπείθη καὶ Ναυσίμαχε; τοτὲ μὲν γὰρ ὡς οὐκ ἀποδιδόντι δίκας ἐλαγχάνετε, καὶ χρήματ' ἐπράττεσθε· τοτὲ δ' ὡς παραδόντος διώκετε. εἰ δ' ἐπ' ἀμφότερα ἔσται συκοφαντεῖν ὑμῖν, καὶ τοτὲ μὲν τοῦ μὴ παραδοῦναι χρήματα πράξεσθε, τοτὲ δὲ ὡς παραδόντος διώξετε, οὐδὲν [2]κωλύσει καὶ τρίτον τι σκοπεῖν μετὰ ταῦτα ὅτου πάλιν δικάσεσθε· οἱ νόμοι δ' οὐ ταῦτα λέγουσιν, ἀλλ' ἅπαξ περὶ τῶν αὐτῶν πρὸς τὸν αὐτὸν εἶναι τὰς δίκας.

ε'. Ἵνα τοίνυν εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐ μόνον οὐκ ἀδικοῦνται νῦν, ἀλλὰ καὶ παρὰ πάντας ἡμῖν δικάζονται τοὺς νόμους, βούλομαι καὶ τοῦτον ὑμῖν τὸν νόμον εἰπεῖν, ὅστις διαρρήδην λέγει, ἐὰν πέντε ἔτη παρέλθῃ, καὶ μὴ δικάσωνται, μηκέτ' εἶναι τοῖς ὀρφανοῖς δίκην περὶ τῶν ἐκ τῆς ἐπιτροπῆς ἐγκλημάτων. καὶ τοῦτον ὑμῖν ἀναγνώσεται τὸν νόμον.

[1] τοῦτό γ' ἐγκαλοῦντες

[2] κωλύει

ἀφίκετο. AUGER.

δ'. Εἰς ὃ νῦν ἔγκλημα διώκουσιν] Εἰς τοῦθ', ἕ. WOLF. i. e. εἰς τοῦτο ἔγκλημα καθ' ὃ νῦν διώκουσιν. AUGER.

Οὐκ ἀποδόντι λόγον] Sub. ἐλάγχανον. Et v. 15. παρέδωκεν sub. τὸ χρέος. Intelligentia hujus loci, qui paulo obscurior est, pendet, ut mihi videtur, ex vera significatione verbi παραδίδωμι. Hic, meo quidem judicio, significat, *declarare aliquid scripto aliquo quo ratio redditur rei administratæ.* IDEM.

ΝΟΜΟΣ.

ἀκούετε, ὦ ἄνδρες δικασταὶ, τοῦ νόμου λέγοντος ἄντικρυς, ἐὰν μὴ πέντε ἐτῶν δικάσωνται, μηκέτ' εἶναι δίκην; οὐκοῦν ἐλάχομεν, φαῖεν ἄν. καὶ διελύσασθέ γε· ὥστ' οὐκ εἰσὶν αὖθις ὑμῖν δίκαι. ἢ δεινόν γ' ἂν εἴη, εἰ τῶν μὲν ἐξαρχῆς ἀδικημάτων οὐ δίδωσιν ἔξω πέντε ἐτῶν τὰς δίκας τοῖς ὀρφανοῖς ὁ [1] νόμος κατὰ τῶν οὐκ ἀφειμένων ἐπι-
990 τρόπων· πρὸς δὲ τοὺς ἐξ ἐκείνων ἡμᾶς, περὶ ὧν αὐτοὺς ἀφείκατε, εἰκοστῷ νῦν ἔτει δίκην τελέσαισθ' ὑμεῖς.

ς'. Ἀκούω τοίνυν αὐτοὺς τὰ μὲν [2] περὶ τῶν πραγμάτων αὐτῶν καὶ τῶν νόμων δίκαια φεύξεῖσθαι· παρεσκευάσθαι δὲ λέγειν, ὡς πολλὰ χρήματα αὐτοῖς κατελείφθη, καὶ ταῦτ' ἀπεστερήθησαν, καὶ τεκμηρίῳ [3] χρήσασθαι τούτῳ, τῷ μεγέθει τῶν δικῶν ἃς ἐξαρχῆς ἔλαχον, καὶ τὴν ὀρφανίαν ὀδυρεῖσθαι, καὶ τὸν τῆς ἐπιτροπῆς λόγον διεξιέναι, καὶ ταῦτ' εἶναι, οἷς πεπιστεύκασι, καὶ δι' ὧν ὑμᾶς ἐξαπατήσειν οἴονται. ἐγὼ δὲ τῶν μὲν δικῶν τὸ μέγεθος τῶν τότε [4] λεχθεισῶν μεῖζον ἡγοῦμαι τεκμήριον [5] ἡμῖν, ὡς ἐσυκοφαντεῖτο ὁ πατὴρ, εἶναι, ἢ τούτοις ὡς πολλὰ ἀπεστεροῦντο. ὀγδοήκοντα μὲν γὰρ τάλαντ' ἔχων ἐξελέγχειν, οὐδεὶς ἂν τρία λαβὼν ἀπηλλάγη· τοσούτων δὲ χρημάτων φεύγων ἐπιτροπῆς, οὐδείς ἐστιν, ὅστις οὐκ ἂν ἔδωκε τρία τάλαντα, τὸν κίνδυνον ὠνούμενος καὶ τὰ φύσει τότε τούτοις πλεονεκτήματα ὑπάρχοντα. καὶ γὰρ ὀρφανοὶ, καὶ νέοι, καὶ ὁποῖοί τινές εἰσιν, ἀγνῶτες ἦσαν· ταῦτα δὲ πάντες φασὶ μεγάλων δικαίων παρ' ὑμῖν ἰσχύειν πλέον.

ζ'. Ὅτι τοίνυν οὐδ' ἀνάσχοισθ' ἂν αὐτῶν εἰκότως οὐδὲν περὶ τῆς ἐπιτροπῆς, καὶ τοῦτ' οἴομαι δείξειν. εἰ γὰρ ὡς [6] οἴονται μέγιστ' ἠδικῆσθαι δοίη [7] τις αὐτοῖς καὶ ἐρεῖν ἁπαν-

[1] νόμος, οὐδὲ κατὰ [2] * παρὰ [3] χρήσεσθαι τούτου [4] ληχθεισᾶν [5] ὑμῖν
[6] οἴονται] οἷόν τε [7] τις ἂν αὐτοῖς κ. ἐ. πάντα

Δίκην τελέσαισθ' ὑμεῖς] Τελέσασθαι δίκην, ἀντὶ τοῦ, ἀποφαίνεσθαι περὶ τοῦ ἐγκλήματος. Sic πρὸς Βοιωτὸν infra, p. 999. 25. ed. R. εἰ ἐρήμην ἔᾶσει τελεσθῆναι τὴν δίκην. Wolf.

ς'. Καὶ τεκμηρίῳ χρήσασθαι τούτῳ, τῷ μεγέθει] F. τούτων (S. τῶν χρημάτων) τῷ μ. In *farrag.* M. χρήσεσθαι τούτου, scil. τοῦ ἀποστερηθῆναι. Idem. χρήσεσθαι τούτων. Auger.

Τῶν τότε λεχθεισᾶν] Λέγειν δίκας in hac significatione (quod sciam) non dicitur, sed λαγχάνειν. unde εἰληγμέναι δίκαι καὶ ληχθεῖσαι per η in secunda, παρὰ τὸ λήχω. Wolf.

ζ'. Ὡς οἷόν τε μέγιστα] Hanc lectionem probo. Idem.

τα τἀληθῆ περὶ τούτων νυνὶ, ἐκεῖνό γ' [1] οἶμαι πάντας ἂν ὑμᾶς ὁμολογῆσαι, ὅτι πολλὰ συμβέβηκεν ἠδικῆσθαί τισιν ἤδη μείζω τῶν εἰς χρήματα γιγνομένων ἀδικημάτων. καὶ γὰρ ἀκούσιοι φόνοι, καὶ ὕβρεις εἰς ἃ μὴ δεῖ, [2] καὶ πολλὰ τοιαῦτ' ἀδικήματα γίγνεται· ἀλλ' ὅμως ἁπάντων τούτων 991
ὅρος καὶ λύσις τοῖς παθοῦσι τέτακται τὸ πεισθέντας ἀφεῖναι, καὶ τοῦθ' οὕτω τὸ δίκαιον ἐν πᾶσιν ἰσχύει, ὥστ' ἂν, ἑλών τις [3] ἀκουσίου φόνου καὶ σαφῶς ἐπιδείξας μὴ καθαρὸν, μετὰ ταῦτα αἰδέσηται καὶ ἀφῇ, οὐκέτ' ἐκβαλεῖν κύριος τὸν αὐτόν ἐστιν. εἶθ' ὑπὲρ μὲν ψυχῆς καὶ τῶν μεγίστων οὕτως ἰσχύει καὶ μένει τὸ ἀφεῖναι, ὑπὲρ δὲ χρημάτων καὶ ἐλαττόνων ἐγκλημάτων ἄκυρον ἔσται; μηδαμῶς. οὐ γὰρ, εἰ μὴ τῶν δικαίων ἐγὼ παρ' ὑμῖν τεύξομαι, τοῦτ' ἔστι δεινότατον· ἀλλ', εἰ πρᾶγμα δίκαιον, ὡρισμένον ἐκ παντὸς τοῦ χρόνου, νυνὶ καταλυθήσεται.

ἡ. Οὐκ ἐμίσθωσαν ἡμῶν τὸν οἶκον, ἴσως ἐροῦσιν· οὐ γὰρ ἐβούλεθ' ὁ θεῖος ὑμῶν Ξενοπείθης, ἀλλὰ, φήναντος Νικίδου, τοὺς δικαστὰς ἔπεισεν ἐᾶσαι διοικεῖν αὐτόν. καὶ ταῦτ' ἴσασι πάντες. πολλὰ δ' ἥρπασαν ἡμῶν ἐκεῖνοι· οὐκοῦν, ἢν ἐπείσθητέ γε, τούτων δίκην παρ' αὐτῶν ἔχετε, καὶ οὐ δήπουθεν πάλιν δεῖ λαβεῖν ὑμᾶς παρ' ἐμοῦ.

θ'. Ἵνα δὲ μηδ' οἴησθε εἶναί τι ταῦτα, ἔστι μὲν οὐκ ἴσον· πῶς γάρ; πρὸς τοὺς πράξαντας διαλυσαμένους τῶν οὐκ εἰδότων κατηγορεῖν. ὅμως μέντοι, ὦ Ξενοπείθη καὶ Ναυσίμαχε, εἰ μεγάλα ὑμῖν καὶ θαυμαστὰ τὰ δίκαια [4] εἶναι ταῦτα ὑπολαμβάνετε, ἀποδόντες τὰ τρία τάλαντα περαίνετε· ὧν δὲ τοῦ μὴ κατηγορῆσαι τοσαῦτα χρήματα ἐπράξασθε, πρὶν ἂν ταῦτα ἀποδῶτε, σιωπᾶν ἐστὲ δίκαιοι, καὶ [5] μὴ κατηγορεῖν καὶ ἔχειν. ἔσχατον γὰρ δὴ πραγμάτων τοῦτό γε.

[1] οἴομαι [2] καὶ ἄλλα πολλὰ [3] ἑκουσίου [4] εἶναι τὰ δίκαια [5] * μὴ καὶ

Καὶ τοῦθ' οὕτω — ἐστι] Et usque adeo hoc jus in omnes valet, ut si quis propter cædem non voluntariam alium arcesserit, reum etiam peregerit, manifestoque convicerit, deinde a reo placatus quoquo modo culpam crimenve condonarit, ultra finibus patriæ expellere eum non possit; quia injuria remissa abolitaque exsuscitari deinde nequit. Et iisdem verbis usus est Demosthenes in Orat. π. Πανταινετ. circa fin. αἰδοῦμαι enim non modo ἐντρέπομαι significat, καὶ μετ' αἰδοῦς ἐπιδέχομαι, h. e. veneror et honori habeo; sed etiam πείθομαι, placor et injuriam remitto, iram condono. Budæus.

ἡ. Αὐτὸν] Nempe τὸν οἶκον. Auger.

θ'. Περαίνετε] Sub. τὴν δίκην. Ibidem ὧν refertur ad tutores et regitur a κατηγορῆσαι, hæc vox pendet, et nihil est in sequentibus quo cum possit construi. τοῦ

ί. Τάχα [1] τοίνυν καὶ τριηραρχίας ἐροῦσι· καὶ τὰ ὄντα
992 ὡς ἀναλώκασιν εἰς ὑμᾶς. ἐγὼ δ', ὅτι μὲν ψεύσονται, καὶ, τὰ πολλὰ ἀπολωλεκότες τῶν ὄντων αὐτοῖς, μικρὰ τῆς πόλεως μετειληφυίας, οὐ δικαίαν οὐδὲ γιγνομένην χάριν ἀξιώσουσι κομίζεσθαι παρ' ὑμῶν, ἐάσω· ἀξιῶ δὲ καὶ αὐτὸς, ὦ ἄνδρες δικασταὶ, εἶναι τοῖς λειτουργοῦσιν ὑμῖν ἅπασι χάριν τινὰ ὑπάρχουσαν παρ' ὑμῶν, τισὶ δὲ μεγίστην; τοῖς, ὃ μὲν χρήσιμον τῇ πόλει τοῦ πράγματός ἐστι, ποιοῦσιν, ὃ δ' αἰσχρὸν ἂν ἅπαντες εἶναι φήσαιεν καὶ ὄνειδος, μὴ κατασκευάζουσιν. οἱ μὲν τοίνυν μετὰ τοῦ λειτουργεῖν τὰ σφέτερα αὐτῶν διεφθαρκότες, τὴν βλασφημίαν ἀντὶ τῆς χρείας τῇ πόλει καταλείπουσιν, οὐδεὶς γὰρ αὐτὸς αὐτοῦ κατηγόρησε πώποτε, ἀλλ', ὡς ἡ πόλις τὰ ὄντα [2] ἀφαιρεῖται, λέγει· οἱ δὲ, ὅσα μὲν προστάττετε ὑμεῖς, ποιοῦντες προθύμως, τῇ περὶ [3] τὰ ἄλλα δὲ σωφροσύνῃ τὰ ὄντα σώζοντες, οὐ μόνον κατὰ τοῦτ' ἐκείνων πλεονεκτοῖεν ἂν εἰκότως, [4] ὅτι γεγόνασι χρήσιμοι καὶ ἔσονται, ἀλλ' ὅτι καὶ χωρὶς ὀνείδους ταῦτα παρ' αὐτῶν ὑμῖν γίγνεται. ἡμεῖς μὲν τοίνυν τοιοῦτοι εἰς ὑμᾶς φανούμεθα ὄντες· τούτους δ' ἐάσω, μή με φῶσι κακῶς αὐτοὺς λέγειν.

ιά. Οὐ τοίνυν θαυμάσαιμ' ἂν, εἰ καὶ δακρύειν καὶ ἐλεεινοὺς αὐτοὺς πειρῶνται ποιεῖν. ἐγὼ δ' ἀξιῶ πρὸς ταῦτα ὑπολαμβάνειν ἅπαντας ὑμᾶς, ὅτι τῶν αἰσχρῶν ἐστὶ, μᾶλλον δ' οὐδὲ δικαίων, τὰ μὲν ὄντα κατέσθοντας καὶ παροινοῦντας μετὰ Ἀριστοκράτους καὶ Διογνήτου καὶ [5] τοιούτων ἀνθρώπων καὶ κακῶς ἀναλωκέναι· τὰ δ' ἀλλότρια ὥστε λαβεῖν, δακρύειν νυνὶ καὶ κλαίειν. ἐπ' ἐκείνοις ἐκλαίετ' ἂν,
993 οἷς ἐποιεῖτε, δικαίως· νῦν δὲ οὐ δεῖ δακρύειν, ἀλλ' ὡς οὐκ ἀφήκατε δεικνύναι, ἢ, ὡς εἰσὶν ὧν ἂν ἀφήκατε αὖθις ὑμῖν [6] δικαίως τὸ λαγχάνειν ἔτι δίκαιόν ἐστι, τοῦ νόμου πέντε ἔτη τὴν προθεσμίαν δεδωκότος. ταῦτα γάρ ἐστιν

[1] τοίνυν ἴσως καὶ [2] ἀφήρηται [3] τἄλλα [4] ὅτι καὶ γεγόνασιν
[5] τοιούτων ἑτέρων ἀνθρώπων αἰσχρᾶς καὶ κακῶς
[6] * δίκαι, ἢ ἃς εἰκοστῷ λαγχάνειν ἔτει δίκαιόν ἐστι,

μὴ sub. ἕνεκα. IDEM.

ιά. Μᾶλλον δ' οὐδὲ δικαίων] Felic. οὐδὲ δίκαιον, ἢ, οὐδὲ τῶν δικαίων. WOLF.

Κατέσθοντας] Imo κατεσθίοντας. AUGER.

Καὶ κακῶς] F. A. καὶ τὰ μὲν ἴδια κακῶς ἀνηλωκέναι, τὰ δ' ἀλλότρια, etc. ut constet ἀντίθετον. WOLF.

Ἢ ἃς εἰσὶν ὧν ἂν ἀφήκητε, αὖθις ὑμῖν δικαίας τὸ λαγχάνειν, ὅτι δίκαιόν ἐστι] F. ἢ ἃς εἰσιν, ἂν ἂν ἀφήκητε, αὖθις δίκαι; ἢ, ἃς τὸ λαγχάνειν ἔτι δίκαιόν ἐστι. IDEM.

ὑπὲρ ὧν οὗτοι δικάζουσιν. ἐὰν δὲ μὴ δύνωνται ταῦτα [1] δεικνύναι, ὡς οὐ δυνήσονται, ἡμεῖς ὑμῶν ἁπάντων, ὦ ἄνδρες δικασταί, [2] δεησόμεθα, μὴ ἡμᾶς προέσθαι τούτοις, μηδὲ τετάρτην οὐσίαν ἔτι δοῦναι, τρεῖς ἑτέρας κακῶς διωκηκόσιν, ἣν παρ' ἑκόντων ἔλαβον τῶν ἐπιτρόπων, ἣν ὑπὲρ τῶν δικῶν εἰσεπράξαντο, ἣν πρώην ἀφείλοντο Αἰσίου δίκην ἑλόντες· ἀλλ' ἡμᾶς τὰ ἡμέτερα, ὥςπερ ἐστὶ δίκαιον, ἐᾶν ἔχειν. ἃ καὶ ὑμῖν ἐστὶν [3] ἐν ὠφελείᾳ μείζονι παρ' ἡμῖν ὄντα, ἢ παρὰ τούτοις· καὶ δικαιότερον δήπου τὰ ἡμέτερα ἡμᾶς ἐστὶν ἔχειν, ἢ τούτους.

Οὐκ οἶδ', ὅτι δεῖ πλείω λέγειν· [4] οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων. ἐξέρα τὸ ὕδωρ.

[1] [δεικνύναι] [2] δεόμεθα [3] ἐπ' [4] οἴομαι

Ἣν πρώην ἀφείλοντο Αἰσίου δίκην [ἑλόντες] Ἀφείλοντο Αἰσίου conjunge. IDEM.

FINIS TOMI TERTII.

Londini imprimebat J. F. DOVE, in Area quæ est Divi Joannis.

University Of California, Los Angeles
L 007 587 044 4

PA
3479
A1
1828
v.7

UC SOUTHERN REGIONAL LIBRARY FACILITY
AA 000 538 395 5